58. Τὶ Ταντάλου σὲ δ' ἀντία πρεσβεύων] ἐγὼ δέ σε, ὦ Πίλοψ, ἐναντία ταῖς τῶν πρεσβέων δόξαις, ἐγκωμιάσω· ἀντὶ τοῦ, ἐναντία καὶ ἕτερα ὡς ἔνιοι οἱ πρέσβεις ποιοῦνται, δοξάσω σε καὶ ἐρῶ. οἱ μὲν γάρ σε ἐθέντο τιθνεῶτα· ἐγὼ δὲ πλανήτην. Ἄλλως. γράψω εἰς σὲ παλινῳδίαν, καὶ ἐναντία τοῖς λέγουσί σε κρεανομεῖσθαι. V.

Τὶ Ταντάλου] ὦ Πίλοψ, υἱὲ Ταντάλου, τὰ περὶ σοῦ δὲ ἐγὼ ἐναντίως τῶν πρεσβέων ἐρῶ ποιητῶν, ὁπότε ἐκάλεσεν ὁ σὸς πατὴρ τοὺς θεοὺς εἰς τὴν προσφιλῆ αὐτῷ Σίπυλον, δι' αὐτὸν καὶ τὸν ὑσεσίστατον ἱρανον, ἤγουν τὴν ἀμαξαίαν δεξίωσιν, λέγω δὲ τὰ διδοὺς αὐταῖς, ἀμοιβὴν ἔχοντα τῶν δεί-

* Est adeo grammatici sententia, esse ita accipiendum: efficit, *ut sæpe etiamsi incredibile credibile illud sit* s. esse videatur. ἐμήσατο, καὶ ἄπιστον, πιστὸν ἔμμεναι τὸ (τοῦτο), πολλάκις. potest voce et pronuntiatione juvari.

† Πηλιὺς. Vitium seu librarii seu memoriæ: est Τιδιύς.

ωνων, ὧν αὐτοὶ διδάσκασιν αὐτῷ· τότε λίγω ἁρπάσαι σε τὸν Ποσειδῶνα, τὸν τῇ λαμπρᾷ τριαίνῃ χρώμενον, μαλαχθέντα τὸν λογισμὸν ὑπὸ ἔρωτος, ἐπὶ ἵπποις χρυσοῖς, ἀντὶ τοῦ, ἅρμασι χρυσῷ, ὅτι μεταδιδάσει πρὸς τὸ ἔχειν οἴκημα τοῦ Διός, τοῦ πάνυ τιμίου. R.

60. Ὁπότ' ἐκάλεσε πατὴρ] ἐσαφὴς ὁ νοῦς, οὐκ ἔχων, τίνα ἐκάλεσεν ὁ Τάνταλος. τὸ ἐκαγόμενον δὲ λύει τὴν αὐτοῦ ἀσάφειαν. ἐκάγεται γὰρ, ἀμάξαις θεοῖσι δεῖπνα παρέχων. ἀφ' ὃ δῆλον γίνεται, ὅτι τοὺς θεοὺς ἐκάλεσεν. Εἶχε δ' ἂν σαφέστερον, εἰ οὕτως ἂν ἐλέγετο· ὁπότ' ἐκάλεσε πατὴρ τοὺς θεοὺς, ἁμάξαις αὐτοῖς δεῖπνα παρέχων. ἐλλειπτικὸν δὲ δοκεῖ εἶναι πρὸς τὴν σύνταξιν τὸ ὅλον χωρίον, καὶ ληπτέον ἔξωθεν τὸ, ᾄδεται *. R.

61. Εὐνομώτατον] δικαιότατον --- ἐπεὶ ἀνίδεσις ἦν ὧν ὑπὸ θεῶν ἀγαθῶν ἔπαθεν. ἢ τοῦτο λέγει διὰ τὸ τοὺς θεοὺς ἐφιάτορας εἶναι. Τὸ δὲ πᾶν ἔχει οὕτως· ὦ υἱὲ τοῦ Ταντάλου, Πέλοψ. εἶτα πρεσκατάσασιν ἐκάγει τοῦ λόγου· ἀντία δὲ καὶ ἐναντίως τῶν πρεσβίρων ἐφορικῶν καὶ ποιητῶν φθίγξομαί καὶ εἶπα, ἁρπάσαι σε τὸν ἀγλαοτρίαιναν Ποσειδῶνα, ἀνὰ ταῖς χρυσέαις ἵπποις, δαμέντα καὶ τραπθέντα τὰς φρένας ἱμέρῳ καὶ τῇ σῇ ἐπιθυμίᾳ, ὥστε μεταδιδάσει καὶ μετοικιεῖν πρὸς τὸ ὕπατον καὶ τὸ ἐξοχώτατον δῶμα τοῦ Διὸς τοῦ εὐρυτίμου, ὅτι ἐκάλεσε καὶ συνήγαγεν ὁ θὸς πατὴρ Τάνταλος, τοὺς θεοὺς δηλονότι, εἰς τὸν εὐνομώτατον καὶ δικαιότατον ἔρανον, καὶ εἰς τὴν φίλην καὶ πρεσφιλῆ αὐτῷ, τῷ Ταντάλῳ, Σίπυλον ἤτοι τὸ ὄρος ἐν ᾧ κατώκει. R.

62. Ἔρανος τὸ εἰσφερόμενον ὑφ' ἑκάστου τῶν φίλων εἰς κοινὴν ἀπόλαυσιν. R.

Σίπυλον] οἱ μὲν πόλεως ὄνομα (ἔφασαν addunt R.), οἱ δὲ ὄρος περὶ τὴν Λυδίαν, ἔθος ὁ Πίλοψ (tria ultima verba omittunt R.). V. R.

66. χρυσέαισιν] ἀντὶ τοῦ, ἐπὶ χρυσῶν ἵππων μεταδιδάσας, μεταγαγών. V.

68. Ποτὶ δῶμα Διὸς] καθ' ὑπερβατὸν νοείσθω. Γανυμήδης γὰρ πρεσβύτερος Πίλοπος. καὶ ἴσι τὸ ὑπερβατὸν οὕτως· Διὸς δῶμα μεταδᾶσαι διυτίρῳ χρόνῳ, ἵνθα ἦν καὶ Γανυμήδης· ἴξωθεν τὸ πρότερος πρεσληπτέον. V.

69. Ἔνθα διυτίρῳ χρόνῳ] διυτίρῳ, ἀντὶ τοῦ ὑστέρῳ. πρωτίρῳ δὲ ἐχρῆν εἰπεῖν. πρεσβύτερος γὰρ Γανυμήδης Πίλοπος, ὥς ἐσιν ἐκ τῶν ἐπιγόνων τετιμήρασθαι· Ἕκτωρ γὰρ καὶ Ἀγαμέμνων, Αἰγείας καὶ Πρίαμος, Πίλοψ καὶ Λαομέδων, καὶ πάλιν Λαομέδων, οὗ Πρίαμος, οὗ Ἕκτωρ. Πίλοπος γὰρ Ἀτρεὺς, οὗ Ἀγαμέμνων κατὰ τὸν Ἔφορον πρεσαιήρατο ὁ Γανυμήδης Πίλοπος. καθ' ὑπερβατὸν οὖν αὐτὸ ἀκουτέον, ὅτως ἐπὶ τοῦ Πίλοπος λίγηται οὕτως· ὁπότ' ἐκάλεσε πατὴρ ἐπὶ τὸν εὐνομώτατον ἔρανον φίλαν τι Σίπυλον, τότε Ἀγλαοτρίαιναν μεταδᾶσαι διυτίρῳ χρόνῳ, ἵνθα ἦλθε καὶ Γανυμήδης. V.

Διυτίρῳ χρόνῳ] ἵνθα ἀπῆλθεν, ἀντὶ τοῦ ἀπηνίχθη καὶ ὁ Γανυμήδης, πρότερον δηλονότι, ἐπὶ χρείαν τοῦ Διὸς, τὴν αὐτὴν τῇ τοῦ Ποσειδῶνος. R.

72. Ὡς δ' ἅφαντος ἔπιλε] ὡς δὲ ἀφανὴς ἐγένου, καὶ οἱ ζητοῦντές σε πανταχοῦ ὑπέρχεσθαι, μὴ ἀγνοοῦντές σε τῇ μητρὶ, Εὐρυνάσσῃ τὸ ὄνομα, οἱ γείτονες διαδιδάσκουσιν, ὑπὸ τοῦ πατρὸς σε κατακαλύπτεσθαι τοῖς θεοῖς εἰς ἰδιοχίαν, ψευδῆ λέγοντες. V. ἐπεὶ δὲ ἀφανὴς ὑπῆρχες, οὐδὲ πρὸς τὴν μητέρα τὸν σὸν ἄγαγόν σε οἱ περιμφθέντες ὑπ' αὐτῆς ἄνδρες ἔστ' ἐπὶ τὸν ζήτησιν, πολλὰ μεριμνῶν, ἄγων ζητοῦντες, εἰκῇ τις αὐτίκα ἀπὸ τῶν φθονερῶν γειτόνων κρυφίως, ὅτι σε ἐπὶ τὴν ἀκμὴν τοῦ ὕδατος τὴν ζέουσαν ὑπὲρ τοῦ πυρὸς, μαχαίρᾳ τεμόντες σε κατὰ μέλη οἱ περὶ τὸν Τάνταλον ἐμβεβλήκασι, καὶ ἐν τῇ τραπέζῃ οἱ θεοὶ δαπερίσανσο εἰς μικρότατα, καὶ ἔφαγον ἀπὸ τῶν κρεῶν τῶν σῶν. R.

75. Κρυφᾷ] δολερῶς ἀντὶ τοῦ κρύφα. ἀρπαγῆναι δέ φησι Πίλοπα ὑπὸ Ποσειδῶνος. εἶτα ἵνα τῶν γειτόνων φθονούντων διασπυάσαι τοῦτον τὸν μῦθον, ὡς ἱερουργήθη. V.

78. Ζέουσαν ἰσ' (sic et Call. quanquam in textu ἀμφ') ἀκμὰν] ἀντὶ τοῦ εἰς ὕδωρ ἀκμαῖως ζέον, εἰς θερμὸν, κατὰ μέλη τεμόντες ἐμβεβλήκασι, καὶ τὸ τελευταῖον ἐν ταῖς τραπέζαις παραθέντες, καὶ μερίδας ποιήσαντες βεβρώκασιν. —Ἄλλως. ζέουσαν, τὴν ζέσιν τοῦ ὕδατος. ἐπὶ τὴν αὐτὴν δύναμιν ἔχει τῷ σιδήρῳ τὸ πῦρ. V.

79. Μαχαίρᾳ τάμον] οἱ Ταντάλου δορύφοροι ἔταμον τῇ μαχαίρᾳ· καὶ μέρος ἑκάστῳ τῶν θείων μέλος ἀποδιδόντες ἐν τῇ τραπέζῃ ἔθηκαν. ἔφαγον δύνασα ὄντα τῷ σώματι, τουτέστι, μετὰ τὸ σῶμα μέλλα ἔφυγον φαγεῖν ἔθηκαν, χεῖρας, πόδας, καὶ τὴν κεφαλήν. Ἄλλως. δύνασα ἤ τὰ ἴσχατα, τὰ βιζοειγμένα τῷ αἵματι. V.

80. Ἀμφὶ δύνατα] ἀπὸ τῆς περὶ προθέσεως γίνεται συγκριτικὸν μὲν, πρότερον, ὑπερθετικὸν δὲ πρῶτον. λέγεται γὰρ τὸ μὲν πρότερον, ὅταν ἐν μόνῳ ἐκάγηται, ἢ πολλὰ ἐν μιᾷ τάξει, ἢ ἐν ἑνὶ χρόνῳ. οἷον πρότερος ὅδε τοῦδε, καὶ πρότερος ὁ δεῖπα ἡμῶν, ἢ τῷ χρόνῳ ἢ τῇ τάξει, ἡμῶν δηλον-

* Prave interpunxerat Schol, ut vulgo fiebat, post φθίγξομαι.

ὅτι ἐν ἐνὶ χρόνῳ ἡ μίᾳ τάξει ὄντων. τὸ δὲ ά, ὅταν παλαὶ ᾖ ἐπαγόμενα, ἄλλου ἄλλο πρότερον ἐφιζῆς, ἢ κρίνετον. ἀπολουθεῖ δὲ πρὸς μὲν τὸ πρότερον τό β' μόνον, ἢ πληθυντικῶς τὰ β', κατὰ τὸν εἰρημένον λόγον. πρὸς δὲ τὸ ά δεύτερα γ', καὶ ἑξῆς. ἀπὸ δὲ τῆς ὑπὸ προθέσεως γίνεται συγκριτικὸν μὰν, ὕστερον, ὑστεροτικὸν δὲ, ὕστατον· ὧν τὸ μὲν ἀπαντᾷ πρὸς τὸ πρότερον, τὸ δὲ ὕστατον πρὸς τὸ πρῶτον, ὅταν ἐπὶ χρόνου ταῦτα λαμβάνηται. ἐπὶ γὰρ τάξεως τὸ ἔσχατον ἀπαντᾷ καὶ τὸ δεύτερον, ἢ καὶ ἐπὶ χρόνου λαμβάνηται καὶ ἐπὶ τάξεως. ἔστι δὲ δύο ἐξ ἀνάγκης ὑστεροτικὰ χρονικὰ, τὸ πρῶτον καὶ τὸ ὕστατον, τὸ μὲν ἐπὶ τῆς ἀρχῆς, τὸ δὲ ἐπὶ τέλους· καὶ δύο ὁμοίως, τάξεως, τὸ πρῶτον καὶ τὸ ἔσχατον. τῶν δὲ μέσων τούτων μόνον τὸ δεύτερον συγκριτικῶς ἐξ ἀνάγκης προφέρεται. ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων ἐξαιρίαν ἔχει χώραν, οἷον τὸ συγκριτικὸν, ὅτι τὸ ὑπερθετικόν. ὁ δὲ Πίνδαρος ἐξ ὑστεροτικὸν ἀπὸ τοῦ δευτέρου σχηματίζει, τὸ δεύτατον· θέλει δὲ τοῦτο σημαίνειν τριτον τῷ ὕστατον. ἐπὶ δὲ ἐπὶ σημερίσματος τοῦτο εἴρηκεν. διεδέξατο γάρ, φησιν, ἀμφιδύτατα, ἤγουν εἰς μεσπόρατα. τὸ δὲ τρίτατος παρὰ ποιηταῖς ἔχ ὑστεροτικῶς οὕτω σχηματίζεται, ἀλλ' ὡς τὸ ἐγγύατος παρ' αὐτοῖς καὶ ἑβδόματος· ἃ κατὰ ἀπολουθίαν λέγεται τοῦ τέταρτος καὶ δέκατος καὶ πεντεκαιδέκατος καὶ τῶν ὁμοίων. R.

82. Ἐμοὶ δ' ἄπορα] ἀντὶ τοῦ ἄπορον, τουτέστιν, ὑπ' οὐδενὸς λογισμοῦ ἐνδιδομένον, εἰκοῖν τίνα ἀπὸ τῶν Διῶν μέργον τὴν γαστέρα, ἤγουν μανόμενον, τουτέστιν ἀκρατῆ τῆς γαστρός. ἀφίσμαι τούτου τοῦ σκοποῦ. βλάβη γὰρ ἐκληρώσατο κατὰ πολὺ τοὺς κακηγόρους, τουτέστι, τοὺς βλασφημοῦντας εἰς τοὺς Διούς, ἤγουν, βλάβην κληρονομοῦσιν οἱ βλασφημοῦντες εἰς τοὺς Διούς. R.

84. Ἀφίσαμαι] μακρὰν καὶ πρόβλημα γίνομαι τοῦ τοιαῦτα περὶ Διῶν λέγειν. Τοῦ δὲ, ἀπίρεδιμι (κ. τ. λ.) ὁ νῦν· ἀπίρεδιμι εἶληχε τοὺς κακηγόρους, ὅπερ ἐστὶν, οἱ κακήγοροι τῶν ἀνθρώπων πρωτίως ἐκ ἀπερεῖδῆς εἰσιν. ἢ οὕτως· οἱ κακήγοροι ὕβρει λελόγχασιν, ἢ ἀπίρδιμεν. οἷον, οὐδὲν περδαίνουσι κακηγοροῦντες. τινὲς δὲ τῇ ἐκλείψει τοῦ υ ἔχρήσαντο. κακηγόρους μὲν αὐτοὺς, ἀσεζεῖς καὶ βλασφήμους. Ἄλλως. τοὺς κακηγόρους ἀπίρδιμι καὶ βλάβη ἐκλήρωσεν. ἀπίρδιμι δέ ἐστιν ἡ κακηγορία καὶ ἡ βλάβη, ἢ τοὺς κακηγόρους περιέχει. τοῦ δὲ κακηγόρους Δωρικὴ ἡ ἀνάγνωσις. ἀεὶ γὰρ ἡ αἰτιατικὴ παρ' αὐτοῖς κατ' ἀφαίρεσιν τοῦ υ λαμβάνεται, διὰ μόνου τοῦ ω. V. Δωρικὴ ἡ ἀνάγνωσις· ἀεὶ γὰρ ἡ αἰτιατικὴ παρ' αὐτοῖς διὰ τοῦ ω μεγάλου ἐκφέρεται. τοὺς λύκους γὰρ ὁ Θεόκριτος (Id. iv. 11. ubi tamen τοὺς λύκος). οὐ χρὴ τοίνυν μικρὸν γράφειν τὸ ς ὁ ς, ὃς τισιν ἔδοξε. μακρὰν γὰρ ἡ τοιαύτη συλλαβὴ ἐφέλκει εἶναι. R.

85. Κακηγόρως] τοῦτο λέγει ὅτι ὁ κακηγορῶν οὐδὲν ἄλλο περδίζει, πλὴν τοῦ κακὸς εἶναι. R.

Εἰ δὲ δή τινα] εἰ δὲ δή τινα ἄνδρα ἄλλον, οἱ Θεοὶ ἐτίμησαν καὶ μέλισα τὸν Τάνταλον. V. Ἐὰν δὲ ἐτίμησαν τινὰ ἄνθρωπον θνητὸν οἱ ἔφοροι τοῦ οὐρανοῦ, τουτέστιν οἱ Θεοὶ, ὁ Τάνταλος ἦν οὗτος· ἀλλ' οὐκ ἐδυνήθη κατασίψαι τὴν μεγάλην ταύτην εὐδαιμονίαν, ἀντὶ τῦ, διοικῆσαι ἐπ' ἀφελείᾳ ἑαυτοῦ· ἀπὸ μεταφορᾶς τῶν ἐν τῷ τοιούτῳ ἀγώνων, ἃ πιφθίνται μὲν ἐνίοτε τοὺς μεταλαμβάνοντας αὐτῶν, ἄπιστα δὲ μένοντα τοῦ τοιούτου μὴ δυνηθέντος κατεγάσασθαι αὐτὰ, βλάβην εἶδον ἐπάγων. ὑπὸ τῦ πόρου δὲ, ἤγουν τοῦ ὄγκου τῆς τιμῆς ἴλαδε βλάβην ὑπερβολικὴν, ἁμαρτὼν εἰς τοὺς Θεούς· δι' ἣν ὁ πατὴρ αὐτοῦ ὁ Ζεὺς ὑπερεπρίμασεν οἱ, αὐτῷ, τουτέστι καθ' αὐτοῦ, λίθον ἰσχυρὸν, ἀντὶ τοῦ μέγαν· ἵν ἀεὶ προθυμούμενος ἀπόσασθαι τῆς κεφαλῆς, πόβρω ἀδυνῆς φέρεται· μὴ δυνάμενος δηλονότι ἀπαλλαγῆναι αὐτῦ. Τὸ οὗτος, ἢ πρὸς τὸ Τάνταλος νόει, ἢ πρὸς τὸ τιμηθέντι παρὰ Διῶν, οὗτος· εἰ δέ τινα τῶν ἀνθρώπων οἱ Θεοὶ ἐτίμησαν, οὐκ ἄλλος ἦν ὁ τιμηθείς, ἢ ὁ Τάνταλος οὗτος. ἀλλὰ γὰρ κατασίψαι, ἤγουν καταισχῦναι· οἱ γὰρ πίστευσις τὴν τροφὴν, καὶ οὐκ ἐμπίνεις, κατίσχυσι ταύτην ἐντός. ἴλαδε δὲ λέγει τὴν παρὰ τῶν Διῶν δεδομένην αὐτῷ τιμήν. R.

87. Ἀλλὰ γὰρ κατασίψαι] καταισχῦναι καὶ ἐναπολαῦσαι τῆς εὐτυχίας. ἀλλ εὐδαιμονῶν παρεπρεῦν οὐκ ἠδυνήθη. V. Κατασίψαι· καταισχυνῦσαι. Gl. ms. γ.

89. Κόρῳ] ὑπὸ τῆς πλείστης τιμῆς Gl. V. διὰ τὸν πόρον μεγάλως ἴλαδε, λίθῳ πωλαίσας. Ἄλλως. πόρῳ, τῇ ὕβρει καὶ τῇ ἀλαζονίᾳ. ὑγιῶς δὲ τῇ τροπῇ τοῦ ὅλου ἐχρήσατο, τῷ κατασίψαι τὸν πόρον ἐφερμόσας. διὰ γὰρ τοῦ πόρου, φησὶ, πρωσίληφε τὴν ἄσην, ἀδυνατίσας κατασχεῖν τὴν εὐδαιμονίαν. "τίκτει τοι πόρος ἄτας." ἤτοι δὲ πόρῳ, τῇ πλησμονῇ τῆς τροφῆς. V.

90. Ἅτερ ὑπέροπλον] ὑπέροπλός ἐστιν ἰσχὺς ἡ πιπόνα τὰ ὄντα. ἐνταῦθα δὲ ὑπέροπλον λέγει βλάβην μεταφορικῶς, τὴν ὑπερβολικὴν καὶ ἁμήχανον. Ἱστορία. Ἄλλοι ἄλλως περὶ τῆς τοῦ Ταντάλου πολάσεως φασίν. οἱ μὲν γὰρ ἐπικεῖσθαι αὐτῷ τὸ Σίπυλον λέγουσι. Ζεὺς γὰρ ἀποστέλλας Ἑρμῆν πρὸς αὐτὸν, ἵνα τὸν πύνα λάδῃ, ὃν Πανδάρεως ὁ Μιλήσιος, φύλακα κατασάντα τοῦ ἱεροῦ τῆς Κρήτης, παρὰ Διὸς κυλο-

φὼς, ἤγαγεν αὐτῷ ἵνα φυλάσσῃ. ἰλθόντος οὖν Ἑρμοῦ πρὸς αὐτὸν καὶ μὴ λαβόντος τὸν κύνα· ἔφασκε γὰρ μὴ ἴχνη· ἐργισθεὶς ὁ Ζεὺς ἐπέθηκεν αὐτῷ τὸ Σίσυφον. οἱ δὲ λίγουσι, διὰ τὸ ἐξιστῆν αὐτὸν τὰ θεῖα μυστήρια τοῖς ἀνθρώποις, ἐν ᾅδου κολάζεσθαι, μέσον ἑστῶτα λίμνης μέχρι τοῦ πώγωνος· ἧς ὑπόντι πιεῖν ἤθελε, τὸ ὕδωρ ἐξίστατο. μαρτυρεῖ δὲ καὶ Ὅμηρος λέγων· (Odyss. xi. 582. sq.)

" Ἐσαὖτ' ἐν λίμνῃ· ἡ δὲ πρόσ[ι]σταλαξε
" γαπλήν·
" Στεῦτο δὲ διψάων, πίεῖν δ' οὐκ εἶχεν
" ἱλίσθαι."

ἐπὶ δὲ ἐν τῇ λίμνῃ καὶ λίθον ὑπὲρ κεφαλῆς εἶχεν αἰωρούμενον. Εὐριπίδης δὲ λέγει· (Orest. 5. sqq.) μέσον ἄέρος αὐτὸν τὸν Τάνταλον δορᾶτας κρέμασθαι, καὶ λίθον ὑπὲρ τῆς αὐτοῦ κεφαλῆς αἰωρεῖσθαι. ἀσφαλίστερος δὲ πάντων Ὅμηρος. καὶ μαρτυρεῖ ἡ παροιμία· Ταντάλου δίψα. δίον δὲ εἰπεῖν, ἔχει δὲ τοῦτο βίον ἀτάλαμον, λέγω δή, τὸ ὑπὲρ κεφαλῆς λίθον πιεῖσθαι φυγεῖν καὶ μὴ δύνασθαι, ὁ δὲ τοῦτον εἶπε, πρὸς τὸν βίον. Τὸ δὲ ἰμαντοδόμος χθὼν, ἡ πρὸς τὸ βίον συναπτέον, ἡ πρὸς τὸ πένης. R.

91. Τάν οἱ πωτνὴ] τὴν ἄπνην, φησὶν, ὑπερικρέμασεν αὐτῷ. ἅπαν δὲ εἶπε τὸν λίθον, ὃς ἦν ἄπη. διὸ δὴ παρείληφε τὴν ἀντωνυμίαν. τὸ γὰρ οἱ ἰσοδυναμεῖ τῷ αὐτῷ. Ἄλλως. δι' ἥντινα αἰτίαν ὁ Ζεὺς ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ ἄπνη, ἤγουν λίθον, ἀπέρτησεν. ὥστε τῇ προσδοκίᾳ τοῦ κατακίστειν τὸν λίθον ἐφ' ἑαυτὸν, τιμωρεῖσθαι· ὅντινα ἱκετηρευμένον λίθον ἐπιθυμῶν ἀπὸ τῆς αὐτοῦ κεφαλῆς ἀπώσασθαι καὶ μὴ δυνάμενος, ὑβρεσύνης ἀλῶναι, ἀντὶ τοῦ, ἵν' μένοις ἴσιν. Ἄλλως. ἱκετερίμασαι αὐτῷ λίθος. Εἶτα τοῦτο μινυνῶν καὶ κατὰ τὴν ψυχὴν ἔχων, ὡς ἱκετεύων ὁ λίθος διαφθεῖραι αὐτὸν, τῆς ὑφρεσύνης ἁλῶναι, προσδοκῶν ἀεὶ τὴν κεφαλὴν αὐτοῦ βλαβήσεσθαι. V.

92. Καρτερὸν Gl. γ. μίγισον.

93. Ἀτάλαμον] δεινὸν, πρὸς ὃν οὐκ ἔστι παραμυθήσασθαι· περὶ οὗ οὐδεὶς δύναται αὐτῷ κατὰ χεῖρα ἐπαγαγεῖν βοηθείαν. V. ἔχει δὲ βίον τοῦτον τὸν ὑπὸ τῷ λίθῳ ἀτάλαμον, ἤγουν ἀμήχανον, πρὸς ὃν οὐκ ἔστι τι μηχανήσασθαι. R.

96. Ἐμπεδόμοχθον] διηνεκῶς μοχθητὸν, ἀσφαλισμένον τῷ μόχθῳ καὶ τῇ λύπῃ. V. τουτέστιν, ἰσχυρὰν κάκωσιν ἔχοντα, πόνον τέτρατον, μετὰ τριῶν ἄλλων, ἤγουν τοῦ πυνῆν, τοῦ διψῆν, τοῦ ἰσάνα· διότι κλίψας τὸ νίκταρ καὶ τὴν ἀμβροσίαν τῶν θεῶν, ἠλικιώταις καὶ συμπότοις ἴδωκεν, δι' ὧν ἀθάνατον αὐτοὶ τοῦτον ἐποίησαν· εἰ δ' ἀνήρ τις ἐλπίζει θεὸν λήσειν πράττων τι, ἀπόλυγχάνει τῇ περίσσῃ λογισμῷ. R.

97. Μετὰ τριῶν] περὶ τῆς τοῦ Ταντάλου κολάσεως ἕτεροι ἑτέρως λέγουσιν. ὁ μὲν γὰρ αὐτὸν φασιν ὑποκεῖσθαι Σιπύλῳ τῷ Λυδίας ὄρει, αἰτίαν τινὰ προσθέντες, ὡς Πανδάρεως ὁ Μιλήσιος ἀπεκλίψας τὸν κύνα τῆς Κρήτης, ὃν ὁ Ζεὺς φύλακα τοῦ ἱεροῦ παρίστησι, παρέθετο αὐτὸν τῷ Ταντάλῳ· τὸν δὲ Δία ἀποστῆλαι Ἑρμῆν πυρούμενον τοῦ ὑποδεξαμένου· τὸν δὲ μᾶλλον ψευδόμενον ἐπιορκῆσαι, ὡς οὐκ ὄντος παρ' αὐτῷ τοῦ κυνός. καὶ οὕτω τὸν Δία ἐπιθεῖναι κατ' αὐτοῦ Σίπυλον τὸ ὄρος, ὅπερ ἔδαφος τὸν λίθον. οἱ δὲ, ὧν ἐστι καὶ Εὐριπίδης, ὡς ἀπόλαστον ἴσχυς γλῶσσαν, αἰσχίστου νόσου. (Orest. 10.) Ὅμηρος δὲ αὐτὸν ἑστῶτα ὑποτίθησι τιμωρεῖσθαι· (Odyss. xi. 582. sq.)

" Ἐσαὖτ' ἐν λίμνῃ, ἡ δὲ πρόσ[ι]σταλαξε γα-
" πλήν·
" Στεῦτο δὲ διψάων, πίεῖν δ' οὐκ εἶχεν
" ἱλίσθαι."

καὶ τὰ ἑξῆς· πλὴν εἰ μὴ κατὰ Ἀρίσταρχον νόθα εἰσὶ τὰ ἑπτὰ ταῦτα. Ἀλκαῖος δὲ καὶ Ἀλκμὰν, λίθον φασὶν ἱσταμορεῖσθαι τῷ Ταντάλῳ. ὁ δὲ Ἀλκμὰν· " ὅπως ἀνὴρ δ' " ἐν ἀσμίνεσσιν ἀλιτυρὸς, ἦε' ἐπὶ θάκου " κατὰ πίτρας, ὀρέων μὲν ὕπαι, δονίαν δί." Ἐοικὲν δὲ καὶ ὁ Ἀρχίλοχος· (Brunck. Anal. tom. i. p. 47.) " μοῦ' ὁ Ταντάλου " λίθος τῆσδ' ὑπὲρ νέσα κρεμάσθη." Ἔοικε δὲ ἀκούουσι τὸν πίτρον ἐπὶ τοῦ ἥλιου. τὸν γὰρ Τάνταλον φυσιολόγον γινόμενον καὶ μύθου ἀποφαίνεται τὸν ἥλιον, ἐπὶ τούτῳ δίκας ὑποσχεῖν, ὅτι καὶ ἱσταμορεῖσθαι αὐτοῦ τὸν ἥλιον, ὑφ' οὗ διαμαυοῦσθαι καὶ κατακτήσεσιν. περὶ δὲ τοῦ ἡλίου οἱ Φυσικοὶ φασιν, ὡς λίθος καλεῖται ὁ ἥλιος· καὶ Ἀναξαγόρου δὲ γινόμενον τὸν Εὐριπίδην μαθητὴν πίτρον εἰρηκέναι τὸν ἥλιον, διὰ τὸν περειμένον· (Orest. 4. 38.)

Ὁ γὰρ μακάριος, νοὺν ἐπιδίζω τύχας,
Διὸς πιφυκὼς, ὡς λέγουσι, Ταντάλου,
Κορυφῆς ὑπερτέλλοντα διαμένον πίτρον
Ἄίρι ποτᾶται, καὶ τίνυ ταύτην δίκην.

καὶ πάλιν δὲ ἄλλων, βᾶλον λέγοντα, οὕτως· (Orest. 980. 88.)

Μόλοιμι τὰν οὐρανοῦ μέσον καὶ χθονὸς
Τιταμίναν αἰωρήμασι
Πίτραν ἀλύσεσι χρυσέαις, φερομέναν
Δίνῃσι, βᾶλον ἐξ Ὀλύμπου,
Ἵν' ἐν Φρήνεσιν ἀναζεύσσω
Γίροντι πατρὶ Ταντάλῳ.

Ἄλλως. Μετὰ τριῶν τέταρτον, ἤ ὅτι ὁ ᾅδου μετὰ τριῶν τέταρτος κολάζεται, Σισύφου, Τιτυοῦ, Ἰξίονος· ἢ ὅτι μετὰ τριῶν, τοῦ πυνῆν, διψῆν, ἰσάνα, τέταρτον πόνον τοῦτον ἔχει, τὸ, τῷ λίθῳ κολάζεσθαι· ἢ ὅτι μετὰ τρίτον, κατὰ ἶσα. ἰσὶ δὲ περὶ σῶμα, περὶ ψυχὴν, περὶ τὰ ἐκτός. ἢ μετὰ τρί-

σον κολάζεται, οἷς μιτίδωκε τοῦ νίπτερος καὶ ἐξεῖπε τὰ μυστήρια τῶν Θεῶν. ὁ οὖν Εὐριπίδης φησὶν, ἀκόλαστον ἔσχε γλῶσσαν. ἢ ὅτι τριῶν ὄντων περὶ τούτου βασάνων, δι' ὧν ἀπώλετο, βρόχου, κωπίου, βαράθρου, οὗτος μιτὰ τὸ ἀποθανεῖν καὶ διελθεῖν τὰ τρία διὰ τοῦ θανάτου, καὶ ἐν ᾅδου κρίνεται. Ἔνιοι δὲ, ὅτι τρία λίγονται κοινῶς καὶ τὰ περὶ θάνατον συνεργοῦντα, ξίφος, ἀγχόνη, κρημνός. Σοφοκλῆς·

Λύσω γὰρ, εἰ καὶ τῶν τριῶν ἓν εἴσομαι.

Τέταρτον οὖν τοῦτον μιτὰ τῶν τριῶν ὁ Τάνταλος τῶν εἰς τὸν θάνατον συνεργούντων παροτίληφι πόνον τὸν τοῦ ὑπερκειμένου λίθου. ἢ ὅτι τεσσάρων μορίων οὐσῶν κατὰ τῆς ἀνθρωπίνης φύσιως· ἢ ὅτι τριῶν μερίδων οὐσῶν κατὰ τοὺς ποιητάς· καὶ τοῖς μὲν ἰδδαίμοσι μίαν ὑπισθαι ἀγαθὴν, δύο δὲ κακὰς, τοῖς δὲ δυσδαίμοσι τὰς τρεῖς φαύλας· ἵθεν ᾗ τρὶς κακοδαίμονας καὶ τρισαθλίους ἐν τῷ βίῳ τινὰς λίγεσθαι· ἵν' ἢ οὖν ὁ νοῦς οὕτως· ὅτι δὲ ὁ Τάνταλος καὶ μιτὰ τὰς τρεῖς ταύτας δυσχρίας, ἃς ὑπέμη κατὰ τὸν ἀνθρώπινον βίον, ἐξ ἀνθρώπων γιγονὼς καὶ τετάρτην ὑφίσαται. καὶ ὅτι ἡ τωμόνη γνώμη ἀσφαλὴς ἐστι, μαρτυρεῖ ἡμῖν καὶ ὁ Πίνδαρος ἐν ἰσθίοις λόγων· " οἶσθα " πρωτίρων, ὅτι ἐν παῤ ἰσθλὸν ῥήματα " σύνδυο δαίρεται βρετοῖς ἀθάνατον" ἐν Πυθιονίκαις (iii. 144. ss.). V.

Μιτὰ τριῶν] τοῦ πιεῖν, δυῆν, ἰσάναι. Φασὶ δὲ καὶ ἕτερος τὸ μιτὰ τριῶν, ἤγουν μιτὰ Ἰξίονος, Σισύφου, καὶ Τιτυοῦ. καὶ οὗτοι γὰρ ἐν ᾅδου κολάζονται· Ἰξίων μὲν, ἐν τροχῷ πτερυθρέμενος διὰ τὸ ἐρᾶσθαι τῆς Ἥρας καὶ πρὸς νυφίλην παρεικάσθαι σαν προσδραμεῖν καὶ μιγῆναι, ὅθεν καὶ ὁ ἱπποκένταυρος γίγονε· Σίσυφος δὲ, πίτρον μέγιστον εἰς ἀνάντη τόπον βίᾳ κομίζων, καὶ ὁπότι εἰς ἄκρον ἵλθοι τοῦ τόπου, ἀπολισθαίνοντα τὸν λίθον αὖθις ἀνάγων, καὶ τοῦτο πάσχων διὰ τὴν ἀπάτην, ἣν ἠπάτησι τὸν Πλούτωνα· ὁπότι γὰρ θνήσκειν ἤμελλε παρήγγειλε τῇ γυναικὶ, μὴ θάψαι αὐτόν· τῆς δὲ οὕτω πιστοπυίας, κατιλθὼν αὐτὸς κατηγόρει πρὸς Πλούτωνα, ὡς ἀμελησάσης αὐτοῦ, αὐτὸν αἰτῆσαι, ἀπελθεῖν καὶ πολάσαι αὐτήν· ἐπεὶ δ' ἀνῆλθι, μὴ βουλόμενος αὖθις εἰς ᾅδου παραγενίσθαι, ὑφ' Ἑρμοῦ κατεχθεὶς ἅπαν, οὕτω νικόλατται. Τιτυοῦ δὲ, ὡς κατὰ Θεῶν μανίντος, ὄφεις τὰ σπλάγχνα ὑπείου κειμένου κατεσθίουσιν, ἀναπαυζόμενα ἀεὶ, κατὰ τὸ Προμηθέως ἦπαρ. R.

99. Ἀλίπεσσι] ἁμίλεξιν Gl. γ.

105. Προῆκαν] προέπεμψαν, μετέστρεψαν Gl. β.

Ibid. δαιμονίως τὴν ἰσορίαν μετεκειρίσαντο, καί φησιν, ὅτι διὰ τὴν ἀσέβειαν τοῦ Ταντάλου οἱ Θεοὶ πάλιν ἐξ οὐρανοῦ τὸν Πέλοπα ἀπέστειλαν εἰς ἀνθρώπους, αὐτάρκη εἶναι ἡγούμενοι ταύτην τῷ Πέλοπι τιμωρίαν. Καὶ ὅτι πρὸς τοῦτο ὁ λόγος ἐξαρτᾶται, πρὸς τὸ ἐπὶ τῶν ἀνθρώπων ἐπίθετον, τῆς δυστυχίας τὸ ἄπρακτον ἐμφανίζων.---Ἄλλως. Τοὔνεκα, ἀντὶ τοῦ ἕνεκα, ὅτ' ἴσον εἶναι τῷ, διὸ δὴ ἀνήρπασε μὲν ὑπὸ Ποσειδῶνος· τῷ δὲ Τάνταλον κλέψαι ταῦτα, τούτου χάριν ἐξέβαλον τὸν υἱὸν εἰς τὸ τῶν Θνητῶν γένος· ἡ γὰρ μιτὰ ἀντὶ τῆς εἰς· τουτέστι διὰ τοῦτο τὸν Πέλοπα πάλιν οἱ Θεοὶ ἐξ οὐρανοῦ μετέστησαν εἰς ἀνθρώπους, Ταντάλου δυσσεβήσαντος. πάλιν, εἰς τοὐπίσω, εἰς τὸ ἐξαρχῆς πάλιν ἀνθρώπων παλαίτερον (γένος). V. διὰ τοῦτο ἐκανίσρεψαν τὸν υἱὸν αὐτοῦ οἱ Θεοὶ ἐκ τὸ γένος αὖθις τῶν ἀνθρώπων, τὸ ἐπ' ὀλίγον ἐν τῇ ζωῇ διατρεῖν. ὅτι δὲ πρὸς θαλερὸν ἀναδρομὴν σώματος τρεχώσεις αὐτὸν σκέπτωσαι ἐκοίνων αὐτῷ δηλονότι μέλαν γένειον, γάμου ἀνατελήσας κατὰ νοῦν, ἐζήτησεν, πρωτιθυμήνην τῷ βουλομένῳ λέγω, σχιθέμεν, ἤγουν δι' ἰσχὺν (ἤγουν σχεῖν G.) λαβεῖν, τὴν ἀγαθὸν κλέος ἔχουσαν Ἱπποδάμειαν, παρὰ τοῦ πατρὸς αὐτῆς τοῦ Οἰνομάου, τοῦ βασιλεύοντος ἐν τῇ Πίσῃ. R.

107. Ταχύπτομεν] ἐπ' ὀλίγον ζῶν. Gl. β.

109. Εὐάνθεμον] τὸ τῆς ἀκμῆς ἀνθηρὸν λέγει. ὁ δὲ λόγος οὕτως· πρὸς τὸν ἀνθηρὸν ἰλθόντι αὐτῷ ἡλικίαν, ὅτι καὶ αἱ τοίχεις αὐτοῦ ἔτιφον τὸ γένειον, ἀντὶ τοῦ, ὅτι ἀνδρώθης καὶ τίλειος γέγονεν.---Ἄλλως. ὅτι αἱ τρίχις αὐτοῦ τὸ γένειον ἐτιφάνουν μελαίνουσαι, ἤ ἐστι, ὅτι ἤρχιτο γενειᾶν ὁ Πέλοψ. μέλαν δὲ τὸ μελανθησόμενον ὑπὸ τῆς λάχνης. V.

110. Νιν γένειον] ὅλον καὶ μέρος. τὸ μέν νιν, ὅλον· τὸ δὲ γένειον, μέρος· ὥστιρ ἔστι καὶ τόδ' " Πεῶν σι ἵπος φύγεν ἴρπος "ἰδόντων" (Hom. Iliad. δ'. 450.). Ἔριφον δὲ, ἀντὶ τοῦ ἐριφάνουν. ὥσπιρ γὰρ ὁ τίφανος κύπλῳ τῆς πίφαλῆς ἐστι, οὕτω καὶ αἱ τοῦ πώγωνος τρίχις κύπλῳ εἰσίν. R.

111. Ἑτοῖμον] ἑτοῖ πᾶσι παρέμενον. ἄθλος γὰρ ἦν τῷ νικῶντι. ἢ ὃν αὐτὸς ἑαυτῷ ἡτοίμασεν· ἢ τὸν ὑπὸ τῶν μιρῶν αὐτῷ ἡτοιμασμένον· ἢ τὸν [illegible] μένοις κινδυνεύειν ἐκκείμενον. ἀντιφρόντισε δὲ εἶπεν, ἐπεὶ ἠθέλησε γῆμαι τὴν Οἰνομάου Ἱπποδάμειαν. εἴπομεν δ', αὐτὸν προσκαλίσθαι τὸν Ποσειδῶνα, ἵνα ὡς ἱππεὺν, ἢ ὡς τῆς ἱππικῆς προεισῶντα καὶ δυνατῶς ἔχοντα τίχνη πρὸς τὸ ἄθλον συμβαλίσθαι. V.

112. Πισάτα παρὰ πατρὸς] τοῦ Οἰνομάου τῆς Πίσης βασιλεύοντος. V.

113. Εὔδοξον Ἱπποδάμειαν] ἤτοι τὴν

συνιτὴν, ἢ τὴν ἰδδεξον, ἀπὸ τοῦ ιὺ δεξάζειν. V.

114. Ἔγγὺς (Sic Schol. pro Ἄγχι) δ' ἰλθὼν] ἀντὶ τοῦ τι τὸ δὶ παρίλαβεν. V. πλησίον δ' ἰλθὼν τῆς λιυκῆς θαλάσσης, μονος ἰν νυκτι, ἰκαλιι τὸν Ποσιδῶνα τὸν βαρύκτυπον, τὸν τῇ καλῇ τριαίνῃ χρεῶμενον. Ἱστορία. Οἰνόμαος, ὁ πατὴρ Ἱπποδαμείας, ἱρεὺς αὐτῆς διὰ τὴν τοῦ κάλλους ὑπιρβολὴν καὶ οὐ θέλων ἰκδοῦναι ταύτην εἰς γυναῖκα τινὶ, προυκαλεῖτο πάντας εἰς ἅμιλλαν δρόμου, τοὺς θέλοντας αὐτὴν ἐγγυήσασθαι, θαρῥῶν τῷ αὐτοῦ ἅρματι, ταχυτάτῳ ὄντι, καὶ μηδένα οἰόμενος ὑπιρβαλλίσθαι ἂν αὐτὸν δυνηθῆναι. οὕτω δι ἐποίει τὴν ἅμιλλαν· τῷ μὲν μνηστῆρι ἰδίδου τὴν Ἱπποδάμειαν ἐν τῷ αὐτοῦ ἅρματι φέρων, καὶ προηγεῖσθαι τοῦ δρόμου, αὐτὸς δὲ ἐπεσθεν ἐὼν καὶ τῇ χειρὶ φέρων ἔγχος, ὑπάτι ἐμιλλε τὸν μνηστῆρα παριλθεῖν, ἐβαλλέ τι τῷ ἔγχει καὶ ἀνῄρει. Τρεῖς οὖν πρὸς τοῖς δέκα ὁλωλεκὼς, ἠτιμάθη ὑπὸ Πέλοπος. ὁ γὰρ ἡνίοχος αὐτοῦ τοῦ Οἰνομάου, Μυρτίλος, ἰφθάρη χρήμασιν ὑπὸ τοῦ Πέλοπος, ἵνα περὶ τὰς χαυνίδας τοῦ ἅρματος παρουσγύνῃ τι, καὶ τὸν Οἰνόμαον ἐνεπιθεῖν ἀτιμηθῆναι παρασκευάσῃ· οὗ γενομένου, Πέλοψ Ἱπποδάμειαν ἔσχε. τῶν δὲ ἀνηρημένων τὰ ὀνόματα ἐστὶ ταῦτα· Μέρμνος, Ἱστάθοος, Πέλοψ ὁ Θοούντιος, Ἀπαρὲυς, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τριτόρμενος, Ἀλκάθους ὁ Παρθάονος, Ἀριτόμαχος, Κρόκαλος· ὧν ταῖς κίφαις λαῖς ἅμιλλε ναὸν ἀνηγερῶν τῷ Ἄρει. R.

115. Τὸ πολιῆς ἁλὸς, ἢ ἀντὶ τοῦ γηραιᾶς νέει, διὰ τὸ εἶναι προγενέστερον τὸ ὕδωρ τῶν ἄλλων ῥευμάτων· ὡς ἴφαμεν· ἢ ἀντὶ τοῦ λιυκῆς· λιυκαίνεται γὰρ τῇ τῶν κυμάτων περιφορᾷ καὶ διπάσει. Ὀρφνη, ἡ νὺξ βαυτόνως· ἐρφνὴ δὶ ῥῦξ, ἀντὶ τοῦ σκοτιὴ, ἐκτιθιτικῶς, ἐξήνεται. R.

116. Ἄκμων] ἰφώνι, προσιπαλεῖτο, τουτέστιν, ἤυξατο τῷ Ποσειδῶνι ὁ Πέλοψ. βαρύκτυπον δὲ εἶπι τὸν Ποσειδῶνα ἀπὸ τοῦ κτύπου τῆς θαλάσσης. V. Βαρύκτυπος, ὁ βαρεῖς κτύπους ἐργαζόμενος. βαρὺ ἐπὶ ἤχου, ᾧ ἐναντίον τὸ κοῦφον. λέγεται τὸ βαρὺ καὶ ἐπὶ φωνῆς, καὶ ἔχει ἐναντίον τὸ ὀξύ. ἐνταῦθα ἐπὶ φωνῆς λέγεται τὸ βαρὺ, ἐν τῇ συνθήκῃ τοῦ βαρυκτύπου. κτύπος δέ ἐστιν ὁ ἀπὸ συγκρούσεως ἦχος. R.

118. Σχιδὸν] οὐ χρονικῶς τὸ σχιδὸν, ἀλλὰ τοπικῶς, πρὸς, τὴν φωνὴν ἀκούσας τοῦ Πέλοπος. V. Τὸ σχεδον ὅστις ἑρμηνία ἐστὶ τοῦ πὰρ ποσὶ. τὸ γὰρ παρὰ ποσὶ εἶναι, πλησίον ἐστὶ εἶναι. Ὁ δὲ εὐθίως παρὰ τοῖς ποσὶν αὐτοῦ ἐφάνη· τοῦτο δὲ εἶπεν ὁ Πέλοψ· ἄγε, ὦ Πόσειδον, ἐὰν πάντα σι ἐις χάριν σου ὦσιν, ἦγουν ἐκχαρισμένα, ἀρισὰ, δὸς τὰ προσφιλῆ δῶρα τῆς Ἀφροδίτης· τοῦτο δὶ ἴσως ὡς ἐρώμενος αὐτοῦ λέγει· κατάσχες, ἀνιέργησον ποίησον τὸ ἅρμα τὸ Οἰνομάου τὸ σιδηροῦν, ᾧ τοὺς μνηστῆρας συμπαιδίζων ἀνῄρει. ἐμὲ δὲ ἐπὶ ταχυτάτου ἅρματος παράστησον εἰς τὸν Ἥλιον· τῇ νίκῃ δὲ ἕπεσθαι, τουτέστι, μετ' ἐμοῦ δὶ ποίησον τὴν νίκην· ἐπὶ τρεῖς καὶ δέκα ἄνδρας ἀποκτείνας ὁ Οἰνόμαος ἐρώντας, εἰς τὸ ἐπὶ παράτιμον τὸν τῆς θυγατρὸς αὐτοῦ γάμου. R.

119. Τῷ μὲν εἶναι] ὁ μὲν ἀντὶ τοῦ μήν. οὐ γὰρ ἀνταποδίδοται πρὸς αὐτὸν, ὁ μὲν εἶναι, ὁ δὲ ἤκουσι· φίλια δὲ δῶρα Κυπρίας, τὰ προσφιλῆ δῶρα τῆς Ἀφροδίτης, εἰ εἰς χάριν τινὰ γίνεται, ἀντὶ τοῦ, εἰ χάρις ἐρασοῦ πρὸς ἐράμενον. ἢ Κυπρίας, τοῦ γάμου. ἴν' ᾖ· εἶπι σοὶ χάρις ἐπὶ τοῦ ἐμοὶ γᾶμαι, σύμπραξον ἡμῖν.—Ἄλλως. εἰ σοὶ πεχαρισμένον ἐστὶ (τὸ) τῆς Ἱπποδαμείας, καὶ εἰ μὴ μέλλως ἐπιτεύξεσθαι τῷ ἔρωτι τῷ πρὸς τὸν Ἱπποδάμειαν. ταύτην γὰρ φίλια δῶρα τῆς Ἀφροδίτης εἶπεν. ὁ νοῦς· εἰ τὰ τῆς Ἀφροδίτης δῶρα ἐρατά σοι καὶ εἰς χάριν γίνεται, ἄγε τὸ τοῦ Οἰνομάου δόρυ πίσσον. V.

122. Πίδασον] κατάσχες, ἐμπλησον τὸ τοῦ Οἰνομάου δόρυ. δόρυ γὰρ μετοχικῶς λέγεται, ἰδίοις προηγουμένους τοὺς μνηστῆρας καὶ συμπαιδίζων ἀνῄρει, ὅσπερ καὶ Ἀπολλώνιος μαρτυρεῖ· (Argonaut. i. 752. ed. Brunck.)

Ἐν δὲ δόρυ δίφρου πιτοιήατο δαιδάλοιντι.
Καὶ τὸν μὲν προπάροιθι Πέλοψ Ὑπποδάμειαν
Ἠνία, σὺν δὲ οἱ ἕσπιτο παρθενικάτης Ἱπποδάμεια.
Τὸν δὲ μεταδρομάδην ἐπὶ Μυρτίλος ἅλατο ἴσσους.
Σὺν τῷ δ' Οἰνόμαος πρότερος δόρυ χερὶ μεμαρπὼς
Ἄξονος ἐν πλήμνῃσι παραπλαδὸν ἀξιομένου
Πίσσῃ, ἰσεσύμενος Πελοπήϊα πάντα δαΐξαι. V.

126. Κράτει δὲ πίλασσον] τῇ νίκῃ δὲ πίλασσον· ἵνα κρατήσω αὐτοῦ. V.

127. Ἑπτὰ τρεῖς καὶ δέκα] καὶ ἐν Θρήνοις τὸν αὐτὸν ἀριθμὸν τῶν ὑπὸ τοῦ Οἰνομάου ἀναιρεθέντων μνηστήρων· (Schneid. p. 25.) "Πέφνε δὲ τρεῖς καὶ δέκα ἄνδρας· "τεσσάρτῳ δ' αὐτὸς πιλάθη." V.

Τρεῖς τι (Sic Sch.) καὶ δέκα ἄνδρας ἑλάσας] οἱ ἀναιρεθέντες οὗτοί εἰσι· Μέρμνος, Ἱστάθοος, Πέλοψ ὁ Θοούντιος, Ἀπαρεὺς, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τριτόρμενος, Ἀλκάθους ὁ Παρθάονος, Ἀριτόμαχος, Κρόκαλος· τούτῳ τῷ ἀριθμῷ τῶν ἀπολωλότων μνηστήρων καὶ Ἡσίοδος καὶ Ἐπιμενίδης συμφωνοῦσι· τε-

νὴς δὲ οὕτω φασὶν ἰδ· Μίρμηκα, Ἰφιστέρνον, Αἰολοστία, Πιέρεντα, Ἀπαρῆα, Ἰστερμίδοντα, Ἀλκάθοον, Εὐρύαλον, Εὐρύμαχον, Κρόπαλον, Ἀκρόκομον, Σθένιλον, Ἀντιθεύργον, Λάσιον, Χάλκωνα. Τινὲς δὲ τὰς δίκα τρεῖς, οὕτως· Μίρμηκα, Ἰφιστέθεον, Πίλοπα τὸν Ὀσούντιον, Εὐρύμαχον, Εὐρύχολον, Ἰστερμίδοντα, Λάσιον, Χάλκωνα, Αἴολον, Τριπόρωνα, Ἀκαρῆα, Ἀλκάθοον, Ἀριστόμαχον. Ἄλλοι δὲ ἓξ εἶναι λέγουσι· Τριπόρωνα, Ἀριστόμαχον, Κυριάντην, Αἴολον, Πελάγοντα, Κρόνιον. V.

128. Οἱ μνησῆρας γράφοντες, ἐπ ἴσασι τὰ περὶ μίτρων. χρὴ τοίνυν ἱερῶντας γράφειν. ἵν' εἰκῶν ᾖ τὸ κᾶλον τῇ τροφῇ. R. Ἀναβάλλεται· μακρύνει Gl. V.

129. Ὁ μίγας δὲ κίνδυνος] ὁ περὶ τῆς ψυχῆς. Οἷον· οὐδεὶς ἀναλκὴς ὑπομένει περὶ τῆς ψυχῆς κινδυνεύειν, ἀλλὰ τὸ τοιοῦτον ἀνδρὸς ἄλκιμον, ὅμοιον τῷ παρ' Ὁμήρῳ· (Iliad. μ'. 246. s.)

σοὶ δ' οὐδὲν δίος ἴφ' ἀπολίσθαι.

Οὐ γάρ τοι πραδίη μινιδήιος, οὐδὲ μαχίμη. Ἄλλως. τὰ δὲ ἰσκινδυνα πραγμάτων, οὐ δεῖται ἀτόλμων καὶ ἀθλίων ἀνδρώπων. ἢ οὕτω· τὸν ἀνδρεῖον μίγας κίνδυνος καταλαμβάνει. V. Ἀντὶ τοῦ, τὸ πρᾶγμα, ἐφ' ᾧ μίγας ἴσι κίνδυνος, οὐ δίχεται ἄνδρα οὐ γονταῖον τὴν ψυχὴν, τουτέστι δειλόν. ἐκεῖνοι γὰρ, οἷς ἴσιν ἀνάγκη ἀποθανεῖν ὑποδήσονται, διατί ἂν τις ἐν ἀφανίᾳ καθήμενος ἀκλεὶς γῆρας ματαίως ἵψοι, τουτέστι, τῷ χρόνῳ πιπαίνων, ἑαυτὸ ἀφίλκυστο *, πάντων τῶν καλῶν ἀμέτοχος ὤν. ἀλλ' ἐμοὶ μὲν οὗτος ὁ ἀγὼν ὑποκείμενος ἔχει, εἰς τὸ ἀγωνίσασθαί με αὐτόν· σὺ δ' ἀπόδυσαι πράξιος δίδου προσφιλῆ. R.

131. Θανεῖν δ' οἷσιν ἀνάγκα] ἐν δὲ τοῖς ἀνθρώποις ἐξανάγκης τὸ θανεῖν. διατί δή τις ἔδοξεν τὸ γῆρας, ἐν ἀφανείᾳ καὶ ἀδοξίᾳ καθιζόμενος, τῆκει δ' καταπαλίσκει, πάντων τῶν καλῶν ἀμέτοχος ὑπάρχων. Ἄλλως. οἷς ἀποθανεῖν ἀνάγκη, τί καὶ τις καθιζόμενος, ὑπὸ τοῦ ἀνωνύμου γήρους ἴψοι· ε. τὸ δὲ, ἐν σκότῳ καθήμενος, ἀντὶ τοῦ, ἀκινησίᾳ καὶ ἀπλεΐᾳ καθιστός. Ἄλλως. εἰ δεῖ ἀποθανεῖν τὸν ἄνθρωπον, ἄξιον αὐτὸν γενέσθαι, ἢ ἀγενῶς βιώσαντα, τελευτᾶν. ἴψαι δὲ, ἀντὶ τοῦ ἴψωσε· οὐ γὰρ ἴψοι τις τὸ γῆρας, ἀλλ' ἴψισαι ὑπ' αὐτοῦ. ἀνώνυμον δὲ, τὸ ἐν ἀπραξίᾳ καὶ ἀπλείᾳ ὑπάρχον. V.

132. Τί κέ τις] τὸ τις, ἀορίστως λεγόμενον, πληθυντικοῦ δύναμιν ἔχει. διὸ πρὸς πληθυντικὸν ἀποδίδοται νῦν. R. Ἀνώνυμον· ἄδοξον Gl. a.

134. Ἀλλ' ἐμοὶ μὲν] ἐμοὶ μὲν ὑπὲρ τοῦ γάμου κινδυνεῦσαι πρέπεται, σοὶ δὲ τῇ γνώμῃ τὸ πείρας ἐπισθῆναι.---Ἄλλως. ἐάν τι συμπράσσῃς, ὦ Πόσειδον, ἐάν τι μὴ, ἐγὼ ὑπομενῶ τοῦτον τὸν ἆθλον τοῦ γάμου. V.

136. Πρᾶξιν φίλαι] ἀντὶ τοῦ, ἀπόδυσιν πράξιος προσφιλῆ. πρᾶξις γὰρ ἡ ἐνέργεια, καὶ τὸ ἀποτελούμενον ἀπὸ τῆς ἐνεργείας. R.

137. Ὡς ἴνισιν] ἀντὶ τοῦ, ἴσιν. R. Οὐδ' ἀπράντοις] ἀντὶ τοῦ, οὐδὲ ἀπράντων ἐπῶν, οὐδὲ ἀτελειώτων ἐφήψατο λόγου. παρίσχει γὰρ αὐτῷ ἃ ἐβούλετο. ἐνίκησε γὰρ καὶ ἅλασε τὴν Ἱπποδάμειαν πρὸς γάμον. V. Δίον ἀπράντων ἐπῶν ἐπῶν· ὁ δὲ πλαγιάσας, ἀπράντοις ἔπεσιν εἶπε, πρὸς τὸ ἐπί, οὐδὲ λόγων ἐφήψατο ἀδυνάτων τελεσθῆναι. R.

139. Τὸν μὲν ἀγάλλων] τοῦτον μὲν οὖν, φησι, τὸν Πίλοπα κοσμῶν καὶ αὔξων, ἴδωκέ, φησιν, αὐτῷ τὸ τι χρυσοῦν ἅρμα καὶ τοὺς ταχεῖς ἵππους. ἀγάλλων, κοσμῶν, ὡς πάνυ, ἀπὸ Διὸς, πεπεισμένος περὶ τῆς νίκης. V. Τὸν μὲν σεμνὸν ὁ Ζεὺς ἴδωκε δίφρον, ἅρμα χρυσοῦν, καὶ ἵππους ὑποστέρους, ἀντὶτοῦ ταχυτάτους· οὐ γὰρ περιττοὶ ἦσαν. Ἰσέον, ὅτι τὸ μὲν ἅρμα Πέλοπι πρῶτος ἴδωκεν, ἐκ Ποσειδῶνος λαβών· τὸν δὲ κίλητα, Βελλεροφόντης, διὰ τὴν πρὸς τὸν Πήγασον ἀνάδεσιν. R.

141. Ἀπάμαντας] ἀκαμάτους, ἤγουν, οὐ κοπιῶντας· ἴλατ δὲ, ἀντὶ τοῦ παθεῖλε τὴν ἰσχὺν τοῦ Οἰνομάου, περιφερεικῶς, ἀντὶ τοῦ, τὸν Οἰνόμαον, ἴλατ, ἤγουν ἴλασε καὶ τὴν παρθένον τὴν Ἱπποδάμειαν σύντυνον. ἴστατ δὲ, ἀντὶ τοῦ, ἐνίστησιν υἱοὺς ἐξ, λαῶν ἡγεμόνας, ἀνδραγαθίᾳς ἐν φρονοῦδι ὄντας· ἀντιστρόφως, ἀντὶ τοῦ, οἷς ἀνδραγαθίαι ἦσαν ἐν φρονοῦδι. νῦν δὲ ἤνωται ἐν περιφανείᾳσι † αἱμακουρίαις, ἤγουν χοαῖς δ' αἱμάτων· ἃς συνήθως ἐστίλουν τοῖς ἀποθανοῦσι. πεσὼν, ἀντὶ τοῦ ταφείς, παρὰ τῷ ῥεύματι τοῦ Ἀλφειοῦ, τύμβον ἔχων περιπολλῖσθαι δυνάμενον, διὰ τὸ μὴ πλησιάζειν τινὶ παρὰ βωμῷ, ἵνα πλεῖστοι ξένοι ἀθροιζόμενοι ἡγανίζοντο. Τὸ ἵλατ οὐ πρὸς τὸ παρθένον κατὰ κοινοῦ εἶπεν, ἀλλ' ἰσταῦθα μὲν, ἀντὶ τοῦ, ἵλασεν, ἱκέτις. πρὸς δὲ τὸ βίαν, ἀντὶ τοῦ ἐκράτησε καὶ ἐνίκησε. R.

144 Ἄ (Sic Schol.) τίνι λαγίνας ἔξ] ἥτις Ἱπποδάμεια ἔστησε λαγίνας ἓξ, ἤγουν ἡγεμόνας τῶν λαῶν ἡγουμένους. λέγει δὲ Ἀτρέα, Θυέστην, Πιτθέα, Ἀλκάθοον, Πλει-

* Obscurus sensus. Cod. Gott. ἰφίλκυστο, ut cum ἀκλεὶς γῆρας jungatur: sibi arcessit senium inglorium.

† Etiam sic Cod. Gott. Debet esse vel περιφανίσιν vel περιφάνειαις.

σθένην, Χρύσιππον. Ἄλλως. Ἀστεὶς, Θυέστης, Ἀλκάθους, Ἴπποκλέμης, Πιτθεὺς (ἢ) Δίας, ἢ Χρύσιππος ἐξ Ἀξιόχης νύμφης, καὶ Πλεισθένης ἐξ ἄλλης. Τινὲς δὲ οὕτως· Ἀστέρια, Θυέστην, Ἵππαλκμον, Πλεισθένην, Πιτθέα, Πίλοπα τὸν νεώτερον. V.

146. Νῦν δ' ἐν αἱμακουρείαις] Βοιωτικὴ ἡ Φωνή. Βοιωτοὶ γὰρ αἱμακουρείας, τὰ τῶν νικηρῶν ἀναγίσματα λέγουσιν. ὁ δὲ νοῦς· ἐπεὶ δὲ τοῦ παρόντος ὁ Πίλοψ ἀναγισμοῖς καὶ θυσίαις τιλευτήσας τιμᾶται, παρὰ τοῖς τοῦ Ἀλφιοῦ βώμασι, περίσημον ἴχων μνῆμα, παρὰ τῷ πολιέϊνῳ βωμῷ. περιφρασικῶς οὖν, ἀσίθαντι. V. Κατ' ἰνιαυτὸν πάντες οἱ ἐν τῇ Πιλοποννήσῳ ἵφηλοι ἐν τῷ τοῦ Πίλοπος τάφῳ, ταῖς μαχίαις ξαινόμενοι, ὅσπερ τινα σπονδὴν, τὸ αὐτῶν αἷμα τούτῳ προσίχων. τοῦτο δ' ἐ..ιον διεκνύτις τὴν τοῦ Ἥρως δύναμιν, καὶ νομίζοντις μηδὲν ἄλλο πρὸς αὐτὸν εἶναι δίκαιον ἢ τοῦτο τιλεῖσθαι. Βοιωτῶν φωνὴ τὸ, αἱμακουρείαις. οὗτοι γὰρ αἱμακουρείας τὰ τῶν νικηρῶν ἀναγίσματα λέγουσιν. R.

149. Τύμβου ἀμφίτολος] τινὲς φασι, μὴ μνῆμα, ἀλλ' ἱερὸν τοῦ Πίλοπος· καὶ πρὸ τοῦ Διὸς αὐτῷ τοὺς Ἡλείους θύειν, τοῦ Ἡρακλέους πρῶτου κατὰ τιμὴν τοῦτο ποιησηπότος. ἀμφίτολον δέ τινες, τὸν περιστολούμενον, διὰ τὸ ἐν μέσῃ εἶναι τῇ πόλει. οἱ γὰρ εἰκισταὶ ἐν μέσαις ταῖς πόλεσιν ἐθάπτοντο ἐξ ἔθους. Ἄλλως. ἀμφίτολον, περιστολούμενον, ὡς τῶν ἱκετευόντων διὰ τὸ ἄγαν τῆς κατασκευῆς ἐπιτρεπεῖς, κύκλῳ περιιόντων, καὶ θιωμένων. Ἔνιοι δὲ, ὅτι οἱ δρομεῖς εἰς τὸν τάφον τοῦ Πίλοπος ἔκαμπτον. V. Τινὲς φασὶ, μὴ μνῆμα, ἀλλ' ἱερεῖον εἶναι Πίλοπος, καὶ πρὸ τοῦ τοὺς ἀγωνιζομένους θύειν, τοῦ Ἡρακλέους πρῶτου κατὰ τιμὴν οὕτω ποιησηπότος. ἀμφίτολον δὲ λέγει, ἢ τὸν περιστολούμενον διὰ τὸ ἐν μέσῃ εἶναι τῇ πόλει· ἐνταῦθα γὰρ οἱ εἰκισταὶ ἐθάπτοντο· ἢ τὸν περιστολούμενον ὑπὸ τῶν ἀγωνιστῶν. φασὶ γὰρ, ὡς ἐν μέσῳ τοῦ γαδίου ἦν. R.

150. Πολυξεινοτάτην] Ἔνιοι μὲν ὧν ἐνόησαν, ὅτι πολύξενόν φησι τὸν βωμὸν, τὸν παρὰ τῷ τάφῳ τοῦ Πίλοπος, διὰ τὸ πλῆθος τῶν εἰς τὴν Ὀλυμπίαν γιλλομένων ἀγωνιστῶν τι καὶ θιατῶν. καὶ φασι τὸν ἰσῶτα παρὰ τῷ Πίλοπος βωμῷ, Πίλοπα εἶναι, ἵνα αὐτῷ τὰ ἀναγίσματα γίνηται. Ἔνιοι δὲ οὕτως, ὅτι Ἴαμος, Ἀπόλλωνος παῖς, παρὰ τοῦ πατρὸς τὴν μαντικὴν λαζὼν, περὶ τῆς ἱερωσύνης ἔλεγε τοῖς ἱρωτῶσι. διὰ γοῦν τὸ πλείστους ξένους τῆς μαντικῆς ἕνεκεν ἀφικνεῖσθαι, πολυξεινώτατον εἶπε τὸν βωμόν. Καὶ τοῦτον βωμὸν Διὸς καὶ Πίλοπος λέγουσιν οἱ ταύτην τὴν ἐξήγησιν ἐκδεξάμενοι, ἐπεὶ πολλοὶ ξένοι εἰσρέουσιν εἰς τὸν Ὀλυμπιακὸν ἀγῶνα. βωμὸς γὰρ ἐν Πίσῃ ἐφ' ὃν θύουσι πάντες οἱ ξένοι. V.

152. Τηλόθι δίδορπεν] ὁ νοῦς· τὸ δὲ τῆς Ὀλυμπίας πλέος, ἔνωθεν ἀπὸ τῆς τοῦ Πίλοπος οἰκήσεως ἐρᾶται. ὡς ἐκείνου τὸ τέλειον τῷ Ὀλυμπιακῷ ἀγῶνι περιθέντος. Ἄλλως. τὸ τηλόθι χρονικῶς ἀπαρέμφατον τὸ δὲ δίδορπεν, ἀντὶ παθητικοῦ, τοῦ δέρνεται, ἵνα ᾖ, ἐρᾶται, ἀπανταχῆ βλίσμασι καὶ ἀκύποδι ὁ Ὀλυμπιακὸς ἀγών. Ἰδίως δὲ τὸ, δίδορπεν, ἐξενήνοχεν ἀντὶ παθητικοῦ τοῦ βλίσμασι, ὅτι μακρόθεν ἐρᾶται τὸ πλέος καὶ εἰς δεῖξιν πίστεως. Ἄλλως. τηλόθι δίδορπεν, ἀντὶ τοῦ, πανταχῆ βλίσμασι καὶ βασὶ ταῖς ὁ Ὀλυμπιακὸς ἀγών· τὸ γὰρ δίδορπεν, ἀντὶ παθητικοῦ τοῦ βλίσμασι. V. τὸ δὲ πλέος τῶν Ὀλυμπιάδων δίδορπεν, ἀντὶ τοῦ βλίσμασι, περιφανὲς ἐστι, ἐπ μακροῦ, ὡ τοῖς δρόμοις, οἷς ἔδραμεν ὁ Πίλοψ, ἐρίζων τῷ Οἰνομάῳ, ὅπου ταχυτὰς ποδῶν ἀμιλλῶνται, καὶ ἀκμαὶ ἰσχύος γυναῖκα καὶ ἀνδρικὰ ἐργαζόμεναι. τοῦτο γὰρ τὸ θρασύστομα. ὁ δὲ νικῶν, ἐν τούτῳ διλονότι τῷ ἀγῶνι, περὶ τὸν ἐστίλωσεν αὐτοῦ βίον ἴχὼ ὑδίαν, ἄγουν ἠρεμίαν γλυκεῖαν ἔνεκα βραβείων ἀγώνος, τουτέστιν, ἀσυχάζει μετὰ γλυκύτητος, οὐ ζητῶν βραβῖα ἑτέρου ἀγῶνος, ἅτε δὴ τῶν μεγίστων τετυχηκώς· διὸ δὴ τὸ ἀγαθὸν, τὸ κατὰ τὴν περιῤῥῶσαν ἀμέραν, ἄγουν τὸ ἑπτὰς, πράτιστον ἔχοντα, ἀντὶ τοῦ δεκὰ πασῶν ἀνθρώπων. R.

154. Ταχυτὰς ποδῶν] πρῶτον γὰρ ἐρίσθη δρόμου τὸ ἄσκημα· καὶ ἡ πρώτη θέσις τῶν Ὀλυμπίων, δρόμου ἦν τὸ σχῆμα· ταχυτὰς ποδῶν ἐρίζουσαι ἀκμαὶ σ' ἰσχύος· ἀπὸ κοινοῦ τὸ ἐρίζουσιν· ἵνα πρὸς ἀλλήλας ἐρίζουσι καὶ φιλονικοῦσιν αἱ τῶν ἀκμαίων ἰσχύες, αἳ γυναίους μοίρας τοὺς πόνους χωροῦσι. τὸ δὲ ἀπόλαυσον· αἱ ἀκμαὶ, αἱ ἰσχύες. ἀντὶ τοῦ, ἢ [illegible] ἡ δρόμος, ἢ πάλαι, ἢ παγκράτια, ἢ πυγμαὶ---τῶν γὰρ ἰσχὺς τὸ, Θρασύστομοι ἀκμαὶ ἰσχύος. V.

157. Ὁ νικῶν δὲ] ἔξωθεν ἐξαπορίσας τὸν Ὀλυμπιακὸν ἀγῶνα. ὁ γοῦν τοῦτον νικῶν, ἰδίαν καὶ ἥδιστον λοιπὸν ἴχει βίον, ὡς τοῦ τιλείου τῶν ἀγωνισμάτων ἐν τῷ Ὀλυμπιακῷ ὄντος ἀγῶνι, καὶ τοῦ νικήσαντος; ἴχοντος τὸ τέλειον τῆς δόξης. Ἄλλως. ὁ νικῶν δὲ, τὸν λοιπὸν αὐτοῦ βίον διάγει ἐν τῇ γῇ, μέλι βιοῦσα, ἀντὶ τοῦ, ἡδέως ἀνάπαυσιν.---Ἄλλως. ἀμφίτολον, πότερον ὁ νικῶν τὰ Ὀλύμπια, εἰς τὸν μετὰ ταῦτα χρόνον ἐν ἰδίᾳ ἐστὶ ἵνπα τῶν ἄθλων, οἷον, ἵνπα τοῦ νικῆσαι τὰ Ὀλύμπια· πολλάκις μένοντι εἴωθε δ' ἑτέρας συμφορὰς λοιπῦσθαι· ἢ ὕστως· ὁ νικήσας τὰ Ὀλύμπια ἵνπα τῶν ἄλλων ἄθλων ἐν ἰδίᾳ ἐστί· οὐκέτι γὰρ φιλοδοξεῖ, οὐδὲ ἐπιθυμεῖ νικῆσαι ἕτερον ἀγῶνα. Ἄλλως. ὁ νικῶν ἐν ἰδίᾳ δὲ ἄγει,

θάμενος ταῖς νίκαις. V. Εὐδίαν. ἡσυχίαν, τουτέστι, βίλτιστος παρὰ πάντων νομίζεται. Εὐδίαν δὲ εἶπεν ἐκ μεταφορᾶς τῶν ἐν θαλάσσῃ χειμαζομένων καὶ πεπαυμένων τοῦ κλύδωνος. R.

159. Τὸ δ' αὖ παράμερον ἐσλὸν] οἱ ἄνθρωποι τῶν ἔμπροσθεν πεπραγμένων ἀγαθῶν οὐκ ἐπιθυμοῦσι μνημονεύειν, ἀλλὰ παρ' ἡμέραν ἢ καλὸν ἢ καλῶν σπουδάζουσιν. ἱκάνω οὖν, φησι, τῶν ἀνθρώπων τὸ παρ' ἡμέραν γινόμενον κρίνεσθαι μᾶλλον εἶναι. Ἄλλως. τὸ δὲ ἐσθλὸν παραγινομένου ἀγαθὸν παρ' ἐκείνην τὴν ἡμέραν, τὴν ἐνεστῶσαν, ἐν ᾗ τις ἐνίκησεν, ὕπατον δοκεῖ καὶ μάγιστον ἀγαθὸν τῷ τετυχηκότι. ἢ οὕτω· τὸ δὲ παρ' ἡμέραν γινόμενον. τὰ γὰρ ἐνεστῶτα τῶν μελλόντων προκρίνεται. Ἄλλως. τὸ δὲ καθ' ἡμέραν καὶ ἀδιαλείπτως παρὰ τοῖς ἀνθρώποις ἀγαθὸν, τοῦτο ἴζεχον καὶ ὑπὲρ ἄνθρωπον γίνεται ἀγαθόν. ἢ οὕτω· τὸ δὲ περὶ τὴν τοῦ σφάνου ἡμέραν ἀγαθὸν, ὕπατον γίνεται παντὶ ἀνθρώπῳ· ἡ δὲ ἡμέρα, καθ' ἣν τις σφάται, τιμιωτάτη. Ἄλλως. ἐάν τις πρότερον εὐτυχὴ ἐν τῷ ἄλλῳ βίῳ, καὶ πάλιν εὐτυχήσας νικήσῃ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἐν ᾗ ἐνίκησεν, ἐπιλέλησται τῶν προτέρων εὐτυχημάτων. Ἄλλως. τὸ γὰρ κατὰ προαίρεσιν συμβαῖνον ἀγαθὸν, ὕπατον καὶ μάγιστον γίνεται παντὶ ἀνθρώπῳ. ὥσπερ καὶ ὁ Ἴέρων ἐσθυμήσας νίκης, ἐνίκησε, καὶ ἐγένετο αὐτῷ τοῦτο τὸ παρ' ἡμέραν ἀγαθὸν, κατὰ προαίρεσιν τελεσθὲν, ὕπατον καὶ μάγιστον. V. Τὸ δ' ἐσλὸν τοῦτο λέγω, ὅτι εἴ τις τὸν τῆς ζωῆς αὐτοῦ χρόνον καθ' ἑκάστην ἡμέραν παρὰ πάντων τιμᾶται, οὐκ ἔστι τούτου μεῖζον οὐδέν[*]. R.

162. Ἐμὶ δὶ χρὴ] ἐμὶ δὶ πρέπει Αἰολίδι μολπᾷ καὶ ὕμνον ὑφάνασαι ἐκείνον τὸν ἐξ Ὀλυμπίας ἐν νόμῳ ἁπτῖδι νικήσαντα κατὰ νόμους. νενομισμένον γὰρ ἦν μὴ μόνον τοὺς οἰκείους ποσὶν ἀγωνίζεσθαι πυζῇ, ἀλλὰ καὶ ἁπαικῶς· λέγω δὴ, ἐν κίλητι καὶ δίφρῳ καὶ στρεφῷ. λέγει δὲ διὰ τὸν Ἴέρωνα. τὸ δὲ Αἰολίδι μολπᾷ, ἀντὶ τοῦ ποικίλῃ· ποικίλοι γὰρ οἱ ἐκ λύρας ὕμνοι· ἢ Θηβαία· οἱ γὰρ Αἰολεῖς ᾤκησαν ποτὶ Θήβας· ἢ διότι καὶ ὁ Πίνδαρος ἐξ Αἰολέων κατήγετο, ὡς φασί τινες. Ἰ. Ἐμὶ δὲ πρέπει ἐγκωμιάσαι ἐκεῖνον, ὃν ὑπεθέμην δηλονότι, τουτέστι τὸν Ἴέρωνα, κατὰ τὸν νόμον τὸν ἁρμόζοντα τοῖς ἁπαικοῖς, διὰ μολπῆς, ἤγουν φόῆς Αἰολίδος, ἤγουν Θηβαϊκῆς ἢ Πινδαρικῆς· πιστεῦσαι δὲ μηδένα ἄλλον φίλον ἀπὸ τῶν νῦν κατὰ τὰ ἀμφότερα, καὶ καλῶν ἔμπροσθεν καὶ κατὰ τὴν ἰσχὺν ἐπικρατέστερον, κοσμήσειν γραφαῖς ὕμνων πλυτείς, τουτέστι, μυτιώρῃ φωνῇ ᾠδαμίναις καὶ ἐξαπονομίαις. Ibid.

164. Αἰοληΐδι μολπᾷ] ἤγουν ποικίλῃ· ποικίλα γὰρ τὰ λυρικά· ἢ Θηβαίᾳ. οἱ γὰρ Αἰολεῖς ᾤκησαν τὰς Θήβας. τινὲς δὲ φασίν, ὅτι ἀνωθὲν Αἰολεὺς τὸ γένος ὁ Πίνδαρος. οἱ δὲ, ὅτι Αἰολίῳ ῥυθμῷ διὰ τῆς μουσικῆς χρῆται τῶν ποιημάτων. V.

165. Πίσσιθα δὲ ξίνον ἁμοῦ, τὸν Ἴέρωνα, ἁμαριέχοντα ᾧ δύο τῶν καλῶν. Ἴ ἴσιν, ἀγαθὸν καὶ δυνάμενον, ὃ βούλεται, συντελεῖν. ἵνα γὰρ τὸ ἴσιρον ἠκολούθησεν, οὐ τὰ δύο. Ἄλλως. πιστεύσας δὲ καὶ πίστισμα ἀκριβῶς, μηδένα μὴ ἴστι φίλον τῶν νῦν ἀνθρώπων ἐγκωμιάσαι τοῖς ὕμνοις, ἀμφότερα ἔχοντα, καὶ ἱστάμενα τὰ κατὰ ψυχὴν. καὶ σώματος ἰσχὺν τούτου ἀνδρειότερον· ἅπερ τὰ δύο τῷ Ἴέρωνι πάρεισιν. Ἔνιοι δὲ κατὰ τοῦ Πινδάρου αὐτὸ ἀκούουσιν, ὅπερ καὶ μᾶλλον, διὰ τὰ ἐξῆς ἐπαγόμενα· ἵν' ᾖ τὸ ἐγκώμιον ἐπ' αὐτῷ κινῶν ὁ Πίνδαρος, καὶ ὁ νοῦς τοιοῦτος· πιστεύω δὲ μηδένα ἄλλον ποιητὴν ἐπιτήμονά τε εἶναι καὶ ἀνδρεῖον, καὶ οὕτω δύνασθαι τοὺς φίλους ἐγκωμιάζειν, ὥσπερ ἐμαυτόν. V.

Τοῦτο καὶ ἐπὶ τοῦ Πινδάρου ὑπὲρ ἑαυτοῦ λέγοντος νοοῦσι, καὶ ἐπὶ τοῦ Ἴέρωνος. καὶ ἐπὶ μὲν τοῦ Ἴέρωνος οὕτω· πίστιδα δὲ καὶ θαῤῥῶ μή τινα ἄλλον ξίνον καὶ φίλον ἐμὸν δαιδαλωσόμενι καὶ κοσμῆσαι ἐμὲ ἐν κλυταῖς καὶ ἐνδέξοις πτυχαῖς, καὶ περιβολαῖς ἑπαίνων, ἴδριν τι καὶ ἐπιστήμονα καλῶν καὶ ἀγαθῶν καὶ δὴ καὶ κυριώτερον καὶ κρίστονα τῶν νῦν ἀνθρώπων κατὰ δύναμιν σώματός τε καὶ πλούτου, ἀμφότερα· τουτέστιν ἰλαίζω, ὡς οὐδένα ἄλλον ὕμνησε, ἐμπειρίαν τε ἀγαθῶν ἔχοντα καὶ κρίστονα τῶν νῦν ἀνθρώπων κατὰ δύναμιν. ἐπὶ δὲ τοῦ Πινδάρου οὕτω· πίστιδα δὲ μή τινα ξίνον δαιδαλωσόμενι καὶ κοσμεῖν ἐν κλυταῖς ψυχαῖς ἑπαίνων, ἴδριν τι καὶ ἐπισήμονα καλῶν, ἢ κυριώτερον καὶ κρίστονα τῶν νῦν ἀνθρώπων, κατὰ τὴν τοῦ λόγου δύναμιν, ἀμφότερα· τουτέστιν, ἰλαίζω, ὡς οὐδεὶς τῶν ἀνθρώπων ἐπίσασαι οὕτως ἐγκωμιάζειν τοὺς φίλους, ὥσπερ ἐγὼ, καλλίστους ἐγκωμίων τύπους ἰδὼς, καὶ κατὰ τὴν τοῦ λόγου δύναμιν πάντας ὑπερίσχων. ἴσι δὲ τὸ, καλῶν ἴδρι, καὶ τὸ, δύναμιν κυριώτερον, ἰσοδυναμοῦντα πρὸς τὰ ἀμφότερα. διὸ

[*] Vide annon grammatici nos omnes in transversa rapuerint, ut verba τὸ δ' αὖ παράμερον ἐσθλὸν ὕπατον ἔχεται παντὶ βροτῷ ad superiora retraheremus. Nam transitus ad sequentia per hæc est factus a poeta. *Enimvero semper eventus lætus præsentis diei maxime afficere solet hominum animos; itaque me fas est celebrare victorem Hieronem.* ἐμὶ δὶ pro ἐμὶ οὖν, ut sæpe.

καὶ μετ' ἐκεῖνα τοῦτο λέγω κατὰ τὴν σύνταξιν, εἰ καὶ περηγεῖται κατὰ τὴν φράσιν. ἀγνοοῦντες δέ τινες ὄντα ἔξωθεν λαμβάνουσι. R.

167. Ἴδριν] ἵμερον Gl. β. γ. ἱστορήμονα Gl. α.

169. Δαιδαλωσίμιν] κοσμήσιν ψυχαῖς, ταῖς ποιήσεσιν· ἐπεὶ διαιρεῖται εἰς τροφὰς καὶ ἀντιτροφὰς καὶ ἰσῳδάς. Ἄλλως. ὕμνων ψυχαῖς, τῷ ὕμνῳ κατὰ περίφρασιν. οἰκείως δὲ περὶ τὸ δαιδαλωσίμιν, καὶ τὸ ποικίλλειν, ἅσπερ ἐπὶ κατασκευάσματος τὸ ψυχαῖς ἐπήγαγεν. V.

171. Θεὸς ἐπίστροπος] ὁ μὲν φροντιστὴς τῆς σῆς εὐδαιμονίας, ὦ Ἴερον, ἀδιάπτωτόν σε τὴν εὐδαιμονίαν φυλάττει. εἰ δὲ πάλιν ἐπὶ τοῦ Πινδάρου· ἐπίστροπος ὁ Θεὸς τῷ ἐμῷ τρόπῳ· καὶ λέγει τὴν Μοῦσαν. Θεὸς ἐπόστατος καὶ διοικητὴς πᾶσιν μήδεται μερίμναις, κῆδος ἔχων τοῦτο, εἰς τοῦτο στυβάζων, τὸ, σὺ φρονεῖφι. Ἄλλως. Θεὸς ἐπίτροπός σου ὤν, ἔχει τι καὶ φυλάσσει τοῦτο ταῖς σαῖς μερίμναις, ἵμερόν τι εἶναι, καὶ τῶν καλῶν θεατήριον. μήδεται δέ, ἐργάζεται σε νικητήν. V.

Θεὸς] ἦτοι ὁ Ἑρμῆς, ὢν καὶ ὑπάρχων ἐπίτροπος τῆς ἐμῆς τέχνης, μήδεται καὶ βουλεύεται τὰ ὑπὲρ ἐμοῦ, ἵν' ταῖς καὶ ἰδίαις μερίμναις, ἔχων τοῦτο τὸ βουλεύεσθαι, κῆδος καὶ φροντίδα. Καὶ πάλιν· ὁ ὢν καὶ ὑπάρχων ἐπίτροπος σὸς Θεός, ἵν' ταῖς καὶ ἰδίαις μερίμναις, μήδεται καὶ βουλεύεται τὰ ὑπὲρ σοῦ. R.

174. Εἰ δὲ μὴ ταχὺ λίποι] εἰ δὲ μὴ ταχέως με ἐπιλίποι ἡ Μοῦσα· καὶ φανερώτερον τὸν λόγον ἐφ' ἑαυτοῦ τίθησιν ὁ Πίνδαρος. οὐκ ἦν γὰρ περσῆκον περὶ τοῦ ἐξαμαυροῦντος λέγειν, ἐὰν μή σε ἐπιλίποι ἡ εὐδαιμονία, ἀλλὰ μεταφυτέρῳ ἐστὶ καὶ τοῦτο λαμβάνειν ἐπὶ τῷ Πινδάρου· ἐὰν οὖν, φησί, μή με ἐπιλίποι ἡ Μοῦσα, δυνήσομαί σοι καὶ αὖθις στεφθέντα νικήσαντι γλυκύτερον καὶ ἡδύτερον ὕμνον γεράψαι, καὶ ἐγκωμιάσαι σε, βοηθὸν τῶν ἐμαυτοῦ ποιημάτων εὑρίσκων τὴν σὴν νίκην· σοῦ γὰρ νικήσαντος, ἔσαι μοι πρόφασις ᾠδῆς, ἀφ' ἧς με δεῖ ἐγκωμιάσαι. Ἄλλως. εἰ δὲ μὴ ταχύ. Ἔνιοι οὕτως συνέθηκαν τὸν λόγον· ἐὰν μή με ὁ βίος ταχέως ἐπιλίπῃ, ἀντὶ τοῦ, ἐὰν μὴ τελευτήσω, ἀλλὰ ζῶ, σὺν τῷ ταχεῖ στεφέντα παραγινομένῃ εἰς τὸν ἐνδόξιλον Κρόνιον, τουτέστι τὸν Ὀλυμπίαν, ἐπαίζω γλυκυτέραν σε καὶ ἡδίω τῆς νῦν ᾄσας ᾠδήν· ἐδὼν καὶ προφάσεων τῶν λόγων μου τὴν σὴν εὐρίσκων νίκην. τὸ δὲ, σὺν ἅρματι παραγινομένῃ, οἱονεὶ στεφέντα νικήσαντος ἐν τῇ Ὀλυμπίᾳ, καὶ ἐμοῦ ἐπὶ τοιαύτῃ νίκῃ γεράφοντός σου τὸν ὕμνον. Ἄλλως. εἰ μὴ ταχὺ λίποι ὁ αἰών, ὦ Ἴερον, καὶ ἅρματί σε νικήσαντα ἐπαίζω ὀμνήσειν. δύναται δὲ καὶ οὕτως ἀκούεσθαι· εἰ δὲ μὴ λίποι ὁ ἐπίστροπός σου δαίμων, ἔπαιρμαι ἐπίκουρον εὑρὼν ἔνδον λόγων, ποιήσειν ἐγκώμιον βοηθὸν σοῦ τῇ δόξῃ. V. Εἰ δὲ μὴ ταχὺ καὶ ταχέως λίποι, ἐμὲ μὲν ὁ Ἑρμῆς, σὲ δὲ ὁ θεὸς φροντιστὴς Θεός, ἤγουν, εἰ μὴ ταχέως τοῦ βίου ἐπέλθωμεν, ἔλπομαι καὶ ἐπαίζω ἔτι καὶ εἰς τὸ ἑξῆς, ἐλθὼν παρὰ τὸν εὐδαίμονα καὶ τὸν φανερὸν Κρόνιον λόφον, ἤτοι παρὰ τὴν Ὀλυμπίαν, κλείξειν καὶ ὑμνήσειν σε σὺν ἅρματι θοῷ, εὑρὼν ἔνδον καὶ μετοχείρησιν λόγων γλυκυτέραν τῆς νῦν ἐπικούρου καὶ βοηθόν. οὐ γὰρ ἐάσει τὴν νίκην ὑπὸ λήθης ἀφανισθῆναι. κρεῖττον δέ ἐστιν ὑπὲρ τοῦ Ἴερωνος μᾶλλον ταῦτα λέγεσθαι. R. Θεὸς ἐπίστροπος. ὁ Θεός, ὦ Ἴερον, ἐπίστροπος ὤν, ἤγουν τὴν φροντίδα ἀναδιδυγμένος τῶν σῶν μερμνῶν, τουτέστι τῶν περί σε, ἃς ἐγὼ δηλονότι φροντίζω περὶ σε, βουλεύεται ἔχων ταύτην τὴν φροντίδα. εἰ δὲ μὴ ταχέως λίποι, ἤτοι ἐν ἐπαίζω δοξάσειν σε σὺν ἅρματι ταχεῖ, δι' οὗ σὺ δηλονότι νικήσεις, ἀπελθὼν διὰ τῶν ἐγκωμίων παρὰ τὸν Κρόνιον λόφον, τὸν εὐδαίμονα, ἤγουν, τὸν μετέωρον καὶ καλῶς ἔχοντα τοῦ ἡλίου κατὰ τὰ πρὸς ἑσπέραν, καὶ τὰ περὶ τὴν δύλην ὥραν, εὑρὼν βοηθὸν, ὕδον λόγων γλυκυτέραν. Ibid. (ex paraphrasi.)

179. Ἐμοὶ μὲν οὖν] ἐμοὶ μὲν οὖν δυνάμει ἡ Μοῦσα ἰσχυρόταται μίλη τρέφει τῶν λόγων, ὥστε βάλλειν καιρίως τοὺς ὕμνους τοὺς νικηφόρους. Ἄλλως. ἐγὼ μὲν ἐπὶ μουσικῇ πέπαυμαι. τὸ ἐμὸν βίλος ὑπὸ μουσικῆς (Μούσης) τρέφεται· σὺ δὲ ἐν τῷ πλουτεῖν μίγας εἶ· τὸ δὲ Κρόνιον, ἀκροτέρου τῆς Πίσης· περὶ γὰρ τὸν Κρόνιον λόφον ἄγεται τὰ Ὀλύμπια. τὸ δὲ τρέφει, [illegible] τοῦ ἀληθῆ αὖξει. V. Ἐμοὶ μὲν οὖν [illegible] βίλος, ἀντὶ τοῦ λόγου, τρέφει, [illegible] δίκτυα, φυλάττει, καρτερώτατον κατὰ τὴν ἰσχύν· ἐπ' ἄλλοις δὲ πράγμασίν ἐστον ἄλλοι μεγάλοι· τὸ δὲ μίγισον τῶν ἄλλων μίγιδος ἐπὶ ταῖς βασιλεῦσιν ἐστὶν ὑπέρθεσις, τὸν ἔχοντα αὐτοῦ αὔξησιν. Μὴ ἀπόζλιστι πέρσιον, ἤγουν περσιστέρω, τὴν βασιλείαν δηλονότι ἔχων. εἶδε εἴη σέ τι ταύτην τὴν ἐγκαμιάνην ζωὴν διέρχεσθαι ὑψοῦ, τουτέστιν ἐπὶ μετεώρου σχήματος, καὶ κράτος ἅπαντων ἔχοντος, καὶ ἐμὲ τοιάδε, ἀντὶ τοῦ τοιάδε, ὁμιλεῖν τοῖς νικηφόροις, προφαινῆ ὄντα κατὰ σοφίαν παντοχοῦ, κατὰ τὰς Ἕλληνας. R.

180. Ἄλλαισι δ' ἄλλοι] σὺ μέγας ἐπ ταύτης τῆς προφάσεως αὐτοῦ τὸν Ἴερωνα· ἢ ἐπ' ἄλλοις δὲ πράγμασιν ἐστὸν ἄλλοι μεγάλοι. V. (Mutila hæc.)

181. Τὸ δ' ἔσχατον] τὸ τιλευταῖον καὶ τὸ πλῆρες, οὕτως εὖν ἐστι ὑπερβολὴν τοῖς ἀνθρώποις εὑρεῖν, κορυφοῦται καὶ ὑψοῦται,

καὶ ἴφι τοῖς βασιλεῦσιν· ἢ, τὸ δὲ μίγιστον τῶν ἄλλων μίγιθος ἰστὶ τοῖς βασιλεῦσιν ὄχει ηὐξημένην τὴν ἴξοχον αὐτῷ αὔξησιν. V. Τὸ ἰξοχώτατον, ἤγουν, τὸ τῆς δυνάμιος καὶ εὐδαιμονίας ἀκρότατον οἱ βασιλεῖς ἔχουσιν. R.

182. Μηκίστι πάσταινι] μηκίστι περίβλεπτε καὶ ζήτει τῆς οὔσης εὐδαιμονίας ἐν σοὶ μείζονα· ἔχεις γὰρ τὸ τέλειον· μηκίστι περιφανῆ ζήτει σούτων, ὧν ἔχεις, βασιλεὺς γενόμενος. V.

184. Εἴη σί τι τοῦτον] ὁ νοῦς· εἴη δέ σε μὲν τοῦτον τὸν χρόνον, ὃν ζῶμεν, ἐν ὕψει καὶ εὐδαιμονίᾳ διαζῆν, ἡμὶ δὲ τοσαῦτα τοῖς νικηφόροις προσδιαλέγεσθαι τοῖς ἰγνωμίοις, προφανῆ καὶ ἐπίσημον ὄντα διὰ τὴν σοφίαν, ἐν τοῖς Ἕλλησιν. Ἄλλως. ἀλλ' εἴη σι τοῦτον τὸν χρόνον, ὃν ζῶμεν, μὴ ἀποζαλεῖν τὴν βασιλείαν, ἡμὶ δὲ ἐπινιμέσαι γράφειν, καὶ ὑμνῆν τοὺς κρατοῦντας. V.

185. Ὑψοῦ] τὸ μὲν ὑψοῦ τὴν εὐδαιμονίαν ηὔξατο· τὸ δὲ πατεῖν τὸ ζῆν πάλιν ηὔξατο. V.

186. Τοσσάδι νικαφόροις] ἀντὶ τοῦ, τοσοῦτο νικηφόροις ὁμιλεῖν, οἷος εἶ σύ. Χαίρω δὲ γράφων τοιάδι, καὶ ἴσαι τοιαῦται, οἷα ἐσί σου. V.

187. Πρόφαντον] (sic Schol.) φανερὸν καὶ ἔξοχον ἐν τῇ σοφίᾳ πανταχῇ κατὰ τοὺς Ἕλληνας ὄντα. V.

Σοφίᾳ πρόφαντον] οὐχ ὁμολογουμένως τοῦτο λέγει παυχώμενος, ἀλλ' εὐχεται τοῦτο δοκεῖν· καὶ ἔχει τὴν δύναμιν πρὸς τὸ, τοσάδι. δέον γὰρ οὕτως εἰπεῖν· ἡμὶ δὲ εἴη τοσοῦτον ὁμιλεῖν τοῖς νικηφόροις, τοιούτους τοὺς ὑπὲρ αὐτοῦ ὕμνους ποιεῖν, ὡς εἶναι πρόφαντον καὶ ὑπέρτατον πανταχοῦ εἰς τοὺς Ἕλληνας ἐν τῇ σοφίᾳ. πρὸς μετοχὴν τὸν λόγον ἔτρεψι, καὶ ἀντὶ τοῦ εἶναι, ὄντα εἶπεν. R.

Carmen II.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δευτέρου τῶν Ὀλυμπίων εἴδους.

ΤΟΥ διυτέρου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιδ'. Τὸ ά πηριοδικὸν, ἤγουν ἐκ δύο ἰάμβων, καὶ δύο τροχαίων· πηριοδικὸν δὲ λέγεται, διότι πηριοδεύει τὸ μέτρον, ὡς γίνεσθαι τὸ ἀπ' ἀρχῆς ὅμοιον τῷ ἀπὸ τέλους· ⏑ - ⏑ - - ⏑ - ⏑. Τὸ β' Ἰωνικὸν δίμετρον καταληκτικὸν, ἀπὸ τροχαϊκῆς συζυγίας ἀρχόμενον, οἰκείας τῷ Ἰωνικῷ· ὁ δὲ πρῶτος πους διαλύεται εἰς τρίβραχυ χορεῖον· πολλάκις δὲ καὶ ὁ δεύτερος ⏑ ⏑ ⏑ - ⏑ - - ⏑. Τὸ γ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, παραδιδοῦσι δὲ οἱ Ῥυθμικοὶ, ὅτι ἐν τῷ ἀντισπαστικῷ ὁ πρῶτος πους τοῦ ἀντισπάστου πρώτου εἰς πόδας τέσσαρας τοὺς δισυλλάβους μεταλλάσσεται, ὡς καὶ ἐνταῦθα. ὅρα γάρ· ἡ διυτέρα συζυγία ἰαμβικὴ ἐστι οἰκεία τῷ ἀντισπάστῳ· ⏑ ⏑ ⏑ ⏑ - ⏑ -. Τὸ δ' χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἀπὸ ἰαμβικῆς συζυγίας. ἤτοι τοῦ πρώτου σπονδείου - - ⏑ ⏑ - ⏑ ⏑. Τὸ ε ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ δεύτερος χορεῖος· ⏑ - ⏑ ⏑ ⏑ - -. Τὸ ϛ' ἀντίσπαστος καὶ συλλαβὴ, δηλονότι μονόμετρον ὑπερκατάληκτον· ⏑ - ⏑ -. Τὸ ζ. Ἰωνικὸν ἀπ' ἐλάσσονος, ἐκ τροχαϊκῆς συζυγίας, τῷ Ἰωνικῷ ἀρχομένῳ δίμετρον καταληκτικόν· ⏑ - ⏑ ⏑ ⏑ -. Τὸ η, Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· - - ⏑ ⏑ - ⏑ -. Τὸ θ' παιωνικὸν δίμετρον καταληκτικὸν, πλὴν ὁ ά τέταρτος παίων, ὁ δεύτερος πρῶτος παίων, λειπούσης καὶ τῆς βραχείας· ⏑ ⏑ ⏑ - ⏑ (immo ⏑ ⏑ ⏑ - - ⏑ -). Τὸ ι· ἀντισπαστικὸν δίμετρον καταληκτικόν· ἄρχεται δὲ ὁ δεύτερος ἀντίσπαστος ἀπὸ πυρρίχιου· ⏑ - - ⏑ ⏑ ⏑ -. Τὸ ιά ὅμοιον τῷ ἕκτῳ τῆς στροφῆς, ἤγουν ἀντίσπαστος καὶ συλλαβή· ⏑ - - ⏑ -. Τὸ ιβ', ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον· ⏑ - - ⏑ - -. Τὸ ιγ' ἰαμβικὸν ἐφθημιμερές· ὁ δὲ τρίτος πους τρισύλλαβος· - - ⏑ - ⏑ ⏑ -. Τὸ ιδ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ⏑ - ⏑ - ⏑ ⏑.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς πάλαι ἐκτός. Τὸ ἀ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰαμβικῆς συζυγίας, εἰκαίας τῷ μέτρῳ· - - υ- -υ υ- υ-. Τὸ β' δίμετρον ὑπερκατάληκτον, ἐπιχοριαμβικὸν, οὐ χοριαμβικὸν καθαρόν· ἔχει ἐπιμιξίαν πρὸς τροχαϊκὴν συζυγίαν τὴν πρώτην, ἀναιτίαν τῷ χοριάμβῳ· - υ - υ - υ υ - -. Τὸ γ' ἀντιστασικὸν δίμετρον βραχυκατάληκτον· ἄρχεται δὲ τὸ δεύτερον μέτρον ἀπὸ σπονδείου, κατὰ τὴν φύσιν τοῦ ἀντιστάσου, ἀλλασσομένου κατὰ τὸν πρῶτον δισύλλαβον πόδα· υ - - υ - -. Τὸ δ', παιωνικὸν δίμετρον ἀκατάληκτον· ὁ ἀ τίταρτος παίων, καὶ ὁ δεύτερος συνιστυγμένα ἔχει τὰ δύο βραχέα εἰς ἓν μακρόν· υ υ υ - υ -. Τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ δεύτερον χορεῖον ἔχει· υ - υ υ υ - - υ -. Τὸ ς' ἰαμβικὸν ἐπίμικτον πρὸς τροχαϊκὰς συζυγίας· ὃ ἱλίγιστο πιριοδικόν. ἀνοίκειοι γὰρ οἱ πόδες· - - υ - - υ - - υ υ υ - -. Τὸ ζ' ἰωνικὸν δίμετρον ἀκατάληκτον. Ἰωνικὸν δὲ καὶ οὐκ Ἰωνικὸν λίγιται, ὅτι ἰαμίγνυται ἰαμβικὴ συζυγία ἀνοικεία τοῖς Ἰωνικοῖς· - - υ υ υ - υ -. Τὸ η' ἰαμβικὸν μικτὸν ἀπὸ τροχαϊκῆς συζυγίας, τρίμετρον καταληκτικόν· - υ - - υ - υ - -.

Θήρωνι Ἀκραγαντίνῳ] Γίγραπται Θήρωνι Ἀκραγαντίνῳ ἅρματι νικήσαντι τὴν ἑβδομηκοστὴν ἰδιόμην Ὀλυμπιάδα. Ἦν δὲ ὁ Θήρων ἀνίκαθεν ἀπὸ Οἰδίποδος. ἐκήδευσε δὲ Γέλωνι τῷ τυράννῳ, ἐπιδοὺς αὐτῷ τὴν θυγατέρα Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτιον προσωνομάσθη νόμισμα *. καὶ αὐτὸς δὲ ὁ Θήρων τὴν Πολυζήλου τοῦ ἀδελφοῦ Ἱέρωνος ἔγημε θυγατέρα, καθά φησι Τίμαιος. ἦν δὲ ὁ Θήρων υἱὸς Αἰνησιδάμου. V.

(* Diodor. xi. 26.)

1. Ἀναξιφόρμιγγες ὕμνοι] οἱ τῆς φόρμιγγος ἀνάσσοντες. πρῶτον γὰρ τὰ ἄσματα συνεῖθεντο, εἶθ' οὕτω πρὸς αὐτὰ καὶ ἡ λύρα ἁρμόζεται. ἢ οὕτως· ὦ ὕμνοι οἱ ὑπὸ τῆς φόρμιγγος ἀνασσόμενοι. πρῶτον γὰρ ἤκουον, εἶτα ἐπῇδον. καὶ τούτου μάρτυς Ὅμηρος. (Odyss. i. 155.) "Ἦτοι ὃ φορμίζων ἀνιεράλιτο καλὸν ἀείδειν *." ἐμφανίζει δὲ τὸν μουσόληπτον· ὡς ἐπιζητῶν γάρ, τίνα ὀφείλει ὑμνῆσαι, εἶτα καθ' ἑαυτὸν δοκιμάζων. Ἄλλως. Ἀναξιφόρμιγγες· τὴν αἰτίαν δηλοῖ, ὅτι ἦν. ὁ νοῦς· ᾠδὰς δὲ δεῖ ἐπαινεῖν· Δία, ὅτι τούτου ἱερὸν ὁ τόπος· Ὀλυμπιάδα δ' ἔφησιν Ἡρακλῆς· διὸ ἁρματίσιον αὐτὸν ὡς ἥρωα· ἄνθρωπον δὲ Θήρωνα. συσταὶ δὲ ὁ Πίνδαρος, ὅτι δεῖ καὶ ἐπὶ νικῶν ὑμνεῖν Διόν, ἥρωα, ἄνδρα. V.

Ἄλλως· Ἀναξιφόρμιγγες, ἤγουν ἄναπτες τῆς φόρμιγγος· ὑποφεγγὸς γὰρ ἡ φόρμιγξ τῶν ὕμνων, καὶ πρὸς αὐτοὺς αὐτὰ ἁρμόζεται. καὶ τοῦτο μὲν ἐνίοτε δηλοῖ ἀεί, καὶ οὐδέποτε πάθος· ὡς τὸ, ἀλιξίπνοος, καὶ παυσίπονος, καὶ πλαξίππους, καὶ ἀλιξιάρη πας' Ἡσιόδῳ (Opp. et D. v. 464.) R.

2. Τίνα Διόν] Διὸν βουλόμενος καὶ ἥρωα καὶ ἄνθρωπον ὑμνῆσαι, ἵν' εὐπορίαν σχῇ πρὸς τὸ φανερὸν τὴν ἑαυτοῦ κατασκευάσαι γνώμην, ἐν ἐρωτήσει σχηματίζει τὸν λόγον· ποιεῖται δὲ τὴν ἐρώτησιν πρὸς τὴν ἑαυτῶ Μοῦσαν, τὴν συντιθεῖσαν τοὺς ὕμνους. τοὺς ὕμνους γὰρ τίθησιν ἀντὶ τῆς δυνάμεως τῆς συνθετικῆς αὐτούς. εἶτα οὐ γυμνὰ ἐπάγει τὰ ὀνόματα τῶν ὑμνητεομένων, ἀλλὰ μεθ' ὧν αἰτιῶν, δι' ἃς αὐτοὺς ὑμνεῖν βούλεται, ἵνα καὶ τὸ προσῆκον ἀποδιδοῖτο τοῖς ἐγκωμιαζομένοις. φησὶ γάρ· ὦ ὕμνοι, ἄναπτες τῆς φόρμιγγος, τίνα Διὸν μέλλομεν ὑμνήσειν, τίνα ἥρωα, τίνα δὲ ἄνθρωπον; ἡ Πίσα μὲν δή ἐστι τοῦ Διὸς ἱερὰ, ὅτι ὑμνητέον ἐστὶ Διὸν φὼν Δία· τὴν Ὀλυμπιάδα δὲ, ἤγουν τὸν ἀγῶνα τὸν ἐν Πίσῃ ὁ Ἡρακλῆς ἔστησι, τουτέστι συγκροτεῖσθαι ἐποίησεν, ἀπροθύτως πολλῶν, ἀντὶ τοῦ, ἐξαίρετον ἀνάθημα ὁ παρέσχεν ὁ πόλεμος, ὃς ἐπολεμήθη δηλονότι αὐτῷ πρὸς Λύγιλαν, ἐπεὶ οὐκ ἰδίδου αὐτῷ τὸν συμπεφωνημένον τῆς ἐξαιρέσεως τῆς κόπρου τῶν θρεμμάτων αὐτοῦ μισθόν. πρέπον δὲ οὖν δηλονότι καὶ ἥρωα ὑμνεῖν τὸν Ἡρακλέα. R.

3. Κελαδήσομεν] δεξάσομεν καὶ τιμήσομεν Gl. ms. γ.

4. Ἦτοι Πίσα μὲν Διός] Gl. ms. γ. Διὰ τοῦτο κελαδήσομεν τὸν Δία, Διὸν ὄντα. β. ὅς ἐστι Διός.

Ibid. ἡ μὲν Πίσα, τοῦ Διός ἐστιν ἱερόν· δεῖ ἡμᾶς ὑμνεῖν τὸν Διὸν διὰ. τὸν δὲ Ὀλυμπιακὸν ἀγῶνα ἔστησεν Ἡρακλῆς. ἦν γὰρ κατά τινας παραμεληθείς. V.

5. Ὀλυμπιάδα δ' ἔστησεν Ἡρακλῆς] Ἱστορία ὅτως· Ἡρακλῆς τὰ Ὀλύμπια ἔστησεν Ἡρακλῆς, γενηθεὶς τῶν μισθῶν, οὓς ὑπέσχετο αὐτῷ δώσειν Αὐγείας, ὁ τῆς Ἤλιδος βασιλεύς, διὰ τὴν τῆς κόπρου ἐκφόρησιν, ἐργάσασθαι παρ' αὐτοῦ μετὰ τὸ τετελειωκέναι τοὺς δώδεκα ἆθλους· καὶ πολέμου συνάψας, καὶ τοῦτον ἀνελὼν, καὶ τὴν πόλιν Ἦλιν λαμβάνει καὶ ἐν τῶν σκύλων θανάτῳ ἔστησεν εἰς τιμὴν τοῦ Διός. R.

* Hactenus eadem in Sch. rec. repetuntur, nisi quod ibi: ἡ, ὦ ὕμνοι—εἶτα τὰ ἄσματα ἐπῇδον, ὡς φησιν Ὅμηρος.—

Ibid. Gl. ms. γ. Διὰ τοῦτο κιλαδήσομεν τὸν Ἡρακλέα, ἥρωα ὄντα.

7. Ἀκρόθινα πολίμου] πρὸς Αὐγίαν πολιμήσας τῆς Ἠλίδος τύραννον καὶ νικήσας, ἐκ τῆς λαφυραγωγίας τὰς ἀπαρχὰς τῶν λαφύρων προσαγαγὼν ἔκτισε τὸν ἀγῶνα. V.

Ἀκρόθινα. Gl. ms. γ. Εἰς χαρίσματα.

8. Θήρωνα δὲ] τοῦτον οὖν τὸν Θήρωνα, τιθρίππῳ νικήσαντα, ὑμνήσωμεν. ὁ δὲ νοῦς αὐτῷ· σιμῳύνεται μὲν ὁ Ὀλυμπιακὸς ἀγὼν τῷ Διΐ καὶ τῷ πατεδείλληνότι τὴν ἀρχὴν Ἡρακλεῖ· οὐδὲν δὲ ἧττον καὶ τρίτον σιμῳύνεται Θήρωνι νικηκότι. V.

Τὸν Θήρωνα δὲ ἐνδείκνυται μέλεσιν ὑμνεῖν· τοῦτο γὰρ τὸ, γιγωνητέον ὅτι ἔνικα στεφανίας, ἀντὶ τοῦ, ἀγῶνος δὲ ἅρματος νικηφόρου δίκαιον ξένον, τουτέστι δίκαιον ὄντα κατὰ τὴν φιλίαν τῶν ξένων· ἔρεισμα, ἄγων, στήριγμα, ἀσφάλεια τῆς Ἀκράγαντος, καὶ ὑπάλιῶν πατέρων ἐξαίρετον υἱόν· ἀπὸ τοῦ Κάδμου γὰρ κατήγετο. R.

10. Γιγωνητέον] Gl. ms. γ. Ἀξιόν ἐστιν ὑμνῆσαι διὰ φωνῆς λαμπρᾶς ὄντα ἄνδρα καὶ νικηφόρον.

12. Ἔρεισμ' Ἀκράγαντος] τειχισμα ὄντα τῆς Ἀκράγαντος. καὶ Ὁμηρος (Iliad. η'. 211.) "Ἔρκος Ἀχαιῶν." Ἀκράγας δὲ πόλις καὶ ποταμὸς Σικελίας. V. Ἔρεισμα. Gl. ms. α. ἰδραίωμα.

13. Εὐωνύμων] Gl. ms. γ. ἐνδόξων. Πατέρων] προγόνων. πάνυ δὲ ὑπερβαλλόντως ἐπαίρει τὸ ἐγκάμιον· καὶ ἐνδόξων προγόνων, ἐπεὶ ὁ Θήρων ἀπὸ Κάδμου εἶχε τὸ γένος, κατ' ἐπίστασιν αὐτὸν ἄνδρα λέγων. V.

14. Ἄωτον. Gl. ms. α. ἀσάνθισμα.

Ὀρθόπολιν] Gl ms. α. ἰθύνοντα τὴν πόλιν. Ibid. τὸν τῇ ἰσονόου δικαιοσύνῃ ὀρθοῦντα καὶ σώζοντα τὰς πόλεις, ὡς ἰρυσίπολιν καὶ σωζόπολιν· ἐνταῦθα καὶ διὰ τὸ ἐνοικῆσαι τὴν Ἀκράγαντα, ὁμώνυμον οὖσαν τῷ ὁμωνύμῳ πολεμῷ Ἀκράγαντι. V.

Ὀρθόπολιν, τουτέστι συνιστᾶν καὶ ἀνορθοῦν τὰς πόλεις ἐπιτήδειον. Ἰκεσίῳ. Φασὶν Αἶμονα, τὸν Κάδμου ἔκγονον, ἀποκτείναντά τινα ἐμφύλιον, ἐκ Θηβῶν Ἀθήναζε παραγιγνῆσθαι, τοὺς δὲ ἀπὸ τούτου πάλιν ἐξ Ἀθηνῶν μεταναστάντας Ῥόδον σὺν Ἀργείοις οἰκῆσαι. καὶ μετὰ ταῦτα φάσιως αὐτοῖς ἐνταυθοῖ γινομένης, εἰς Σικελίαν ἐλθόντας, Ἀκράγαντα κτίσαι, πολλὰ καμόντας περὶ τὴν κτίσιν, διὰ τὸ ὑπὸ τῶν ἐπιχωρίων πολιόρκεσθαι. ἔρχοντες δὲ τῶν (ἐπ') ἀκροπόλῃ στιλαμένων Ἀντίφημος καὶ Ἔνεσιμος ἦσαν, ὧν μετὰ [εἰκοστὴν] ἐβδόμην γενεὰν Θήρων οὗτος γίγονεν. ἱερὸν δὲ οἴκημα πολλαμοῦ λέγει τὴν Σικελίαν, ἐπειδὴ ἐντὸς αὐτῆς ποταμὸς Ἀκράγας, ὁμώνυμος τῇ πόλει, ἡ Γέλλας ὁμώνυμος τῇ ἐπὶ πόλει Γέλλᾳ ῥέει. ἱερὸν δὲ, ἢ τὸ μέγα, ἢ τὸ ἔχον ἱερὰ, ἢ ὅτι ἡ ἐν Σικελίᾳ Ἀκράγας Περσεφόνῃ ἐδόθη παιζὰ Διὸς εἰς ἀνακαλυπτήρια. R.

15. Καμόντες] Gl. ms. γ. κοπιάσαντες.

Καμόντες οἳ πολλὰ] ὁ λόγος καθαρὸς, ἐπεὶ περὶ τῶν προγόνων τοῦ Θήρωνος, οἳ πρῶτον μὲν ἦλθον εἰς Γέλλαν, κἀκεῖθεν εἰς Ἀκράγαντα· οὐ γὰρ λέγει ὁ Πίνδαρος, ὅτι καμόντες τὴν Ἀκράγαντα ἔκτισαν, ἀλλ' ὅτι καθόλου καμόντες πολλὰ τοῦ Θήρωνος οἱ πρόγονοι ἔσχον τὴν Ἀκράγαντα. Οἱ πατέρες, φησὶ, τοῦ Θήρωνος· Ῥόδιοι γὰρ ἦσαν ἄνωθεν, καὶ φασιν ἐμφύλιον ἀποφύγοντες μιαιφονίαν (εἰς) τὴν Σικελίαν, καὶ αὐτόθι περί τινας βαρβάρους πολεμήσαντες ἔκτισαν τὴν πόλιν. V.

Οἵτινες, οἱ πατέρες αὐτοῦ δηλονότι, πολλὰ μετὰ τὴν ψυχὴν καμόντες, ἦγουν πολλὰ λυπηθέντες, πολλὰ ἀγωνιάσαντες πρότερον ἐν ταῖς ἀπὸ Ῥόδου εἰς Ἀκράγαντα μετοικήσεσιν, ἱερὸν ἔσχον οἴκημα ποταμῷ, ἤγουν τὴν Ἀκράγαντα, ἢν παρὰ τὸν ποταμὸν ἱδρύσαντο, τῷ Ἀκράγαντι· ἱερὸν δὲ, διὰ τὸ εἶναι αὐτόθι νέων τῆς Ἀθηνᾶς, ἢ ὅτι εἰς ἀνακαλυπτήρια ὑπὸ τοῦ Διὸς ἐδόθη τῇ Περσεφόνῃ. τῶν ἐν τῇ Σικελίᾳ τι ἦσαν ὀφθαλμὸς, ἀντὶ τοῦ, οἱ περιφανέστατοι καὶ ἡγεμονικώτατοι. βίος τε ἐπηκολούθει εὐτυχὴς, πλοῦτόν τε καὶ ἀπαγωγὸν δύναμιν ἐπαγόν, ἀρεταῖς γενεσίαις, ἦγουν οἰκείαις τῷ γένει αὐτῶν. R.

16. Ἱερὸν ἔσχον οἴκημα] ἱερὸν δὲ εἶπεν οἴκημα, τὴν Ἀκράγαντα, διὰ τὸ Ἀθηνᾶς αὐτόθι νέων εἶναι περιττῶς ἁγιτευόμενον, ἢ διὰ τὸ τὴν Ἀκράγαντα τῇ Περσεφόνῃ εἰς τὰ ἀνακαλυπτήρια ὑπὸ Διὸς δοθῆναι. ὅτι δὲ περὶ Ἀκράγαντός ἐστι τῷ Πινδάρῳ ὁ λόγος, σαφῶς ἐκ τῶν περὶ τοῦ πλούτου τοῦ Θήρωνος. διείρων γάρ φησιν· (v. 164. ss.)

" Ἐπί σοι Ἀκράγαντι τανύσαις
" Αὐδάσομαι ἐνέρεσιν
" Λόγον ἀλαθεῖ νόῳ,
" Τεκεῖν μή τιν' ἑκατόν
" Γ' ἱππίων πόλιν
" Φίλαις μᾶλλον
" Εὐεργέταν πρασίαις, ἀφθονέστερον χεῖ-
" ρα Θήρωνος."

Ἱκτόσδρατος δὲ ἱστορεῖ, αὐτὸν πλούτῳ διαπρεπέστατον γενέσθαι. ἀλλ' οἵ γε πρόγονοι τῶν Ἀκραγαντίνων, Γελῷοι, οὐχ οὕτως ἐπιφανεῖς ἦσαν, ἀλλὰ καὶ πᾶν τοὐναντίον μόγις καὶ ταπεινῶς διίζοντες, ἐπὶ φυλακῇ τῆς πόλεως μισθαρνοῦντες. Ἕνιοι δέ φασιν, ὅτι οἱ τοῦ Θήρωνος πρόγονοι, οὐδόλως εἰς τὴν Γέλλαν κατῆραν, ἀλλ' εὐθὺς εἰς τὴν Ἀκράγαντα ἀπὸ Ῥόδου ὡς καὶ Πίνδαρος λέγει· (Schneid. Fragm. p. 93.) "Ἀν δὲ Ῥόδον κατῴκισθεν,

" ἴνθ' ἀφορμᾶσθέντες ὑψηλὰν πτέλιν ἀμφι-
" νέμονται, πλεῖστα μὲν δῶρ' ἀθανάτοισιν
" ἀνέχοντες. ἵστιτο δ' ἀτρύτου πλώοντι
" νίφος." V.

16. Ἀρίστεχος τὴν πόλιν οἴκημα ποταμοῦ προσηγορεύσθαι φησὶ, διὰ τὸ ὁμώνυμον εἶναι τῷ ποταμῷ Ἀκράγαντι. τὴν γὰρ ὀνομασίαν ἡ πόλις ἀπὸ τοῦ ποταμοῦ ἴσχυν. Ἀρτίμων δὲ, ὁ ἀπὸ Περγάμου, τὴν Γίλλαν οἴεται διῖν ἐκούειν. καὶ γὰρ ταύτην ὁμώνυμον εἶναι Γίλλα τῷ ποταμῷ, τοὺς δὲ Ἀκραγαντίνους Γελώων εἶναι ἀποίκους· ὥστι τῶν πατέρων ἄωτον ἐν Γίλλᾳ ἐπὶ τῶν τοῦ Θήρωνος προγόνων συντετάχθαι. πεφαλαιώδει δὲ χρῆται τῷ· τὸ δὲ καμόντες, ἔρη, προσήκειν μᾶλλον ἀκούειν ὑπὲρ τῶν τὴν Γίλλαν ἐκτικότων, ἀλλ' οὐ τὴν Ἀκράγαντα. οἱ μὲν γὰρ ἀπὸ τοῦ ῥέοντος συνηκίσθησαν, οἱ δὲ χαλεπῶς καὶ μόλις. Ἀντίφημος γάρ ὁ Ῥόδιος καὶ Ἔντιμος ὁ Κρὴς, οἵτινες εἰς Γίλλαν φείλαντες ἀποικίαν, πρῶτον μὲν περὶ τὴν συναγωγὴν ἐκαμον οὐ μετρίως, συναθροίζοντες τοὺς ἐκ Πελοποννήσου καὶ Ῥόδου καὶ Κρήτης εἰς τὸ περὶ τὸν διάπλουν, εἶτα περὶ τὸν οἰκισμὸν, καὶ πάλιν διαγωνισαμένοι πρὸς τοὺς Σικανούς. Μενεκράτης δὲ φησι, λεκτέον τὸν Ἀρτίμονα. μὴ γὰρ καμεῖν τοὺς περὶ Ἀντίφημον περὶ τὴν ἀποικίαν, ἀλλὰ μᾶλλον κατὰ εὐστάτειαν πολλὴν αὐτοῖς πάντα συμβεβηκέναι. περί τινων οὖν λέγει, καμόντες οἳ πολλά; περὶ τῶν Θήρωνος προγόνων. Τούτους γὰρ Θηβαίους ἀνέκαθεν ἀπὸ Κάδμου εἶναι. Κάδμου γὰρ Πολύδωρος· τοῦ Λίμων· τοῦτον δὲ ἐν κυνηγεσίῳ ἐμφύλιόν τινα ἀποκτείναντα Ἀθήναζε ἀποσπᾶσαι· τοὺς δὲ ἀπὸ τούτου πάλιν ἐξ Ἀθηνῶν ἀποστάντας σὺν τοῖς Ἀργείοις Ῥόδον κατοικῆσαι, καὶ μετὰ ταῦτα ἐλθεῖν εἰς Ἀκράγαντα, καὶ μέχρι Θήρωνος [ἔτεσι] ἐπτὰ γενιὰς συναριθμεῖσθαι. ἴσως οὖν πρὸς ταῦτα ἀφορῶν ὁ Πίνδαρος φησί· " Καμόντες
" οἳ πολλὰ θυμῷ, Ἱερὸν ἔσχον οἴκημα Πο-
" ταμοῦ." Οἴκημα δὲ ποταμοῦ τὴν πόλιν εἶπε, διὰ τὴν ὁμωνυμίαν. λείπει δὲ ἡ ἐπὶ, ἵνα ᾖ, τὸ ἐπὶ τοῦ ποταμοῦ οἴκημα ἔσχον, τὴν πόλιν. V.

17. Σικελίας σ' ἔσαν ὀφθαλμὸς] οἱονεὶ τὸ ἐξαίρετον καὶ λαμπρότερον ἦσαν τῆς Σικελίας. ἀξιολογώτερόν γὰρ ἐν σώμασι ὁ ὀφθαλμός· ἴν' εἴπῃ· περίβλεπτοι ἦσαν. V. Ὀφθαλμὸς] Gl. ms. γ. Φῶς καὶ δόξα. α. Ἀσφαλὴς φυλακή.

18. Αἰὼν] Gl. ms γ. Ζωή.

Αἰών σ' ἔφιτεν] ἐπηκολούθησε δὲ τὴν εὐδαιμονίαν ἐπαίμοσιν ταῖς γνησίοις αὐτῶν ἀρισταῖς. ἢ οὕτως· εὔμοιρος βίος ἐπακολούθησιν αὐτοῖς ἐκ πεπρωμένης τινὸς, ὡς καὶ παρ' Ὁμήρῳ· (Iliad. γ'. 182.) " Μοιρη-
" γενὲς, ὀλβιόδαιμον." Γνησίοις δὲ, ἰδίοις γνήσια γὰρ τὰ ἴδια τοῖς μαθήμασι, καὶ τὰ ἐκ καμάτων, καὶ οὐκ ἐξ ἐπισάκτων. ἢ γνησίοις ἀρίστοις, ταῖς ἐκ γένους συγγενομέναις αὐτῷ. V.

19. Μέρσιμος. Gl. ms. α. δυστυχής*.

20. Χάριν] εὐφροσύνην Gl. ms. α.

22. Ἀλλ' ὦ Κρόνιε παῖ] ὁ νοῦς· ὦ Ζεῦ, τὸν οὐρανὸν κοσμῶν. καὶ τὸ, ὑσθεὶς τούτοις τοῖς ὕμνοις, αὔξησον ἵνα, καὶ ἐπαινέσαι ἀξιωθεὶς αὐτοὺς τὴν πατρῴαν γῆν διεφύλαξεν.

Ἀλλ' ὦ Ζεῦ ἐν τῷ Κρονίῳ λόφῳ τιμώμενε, παῖ τῆς Ῥέας, ὁ διοικῶν τὸ Πᾶφος τῷ οὐρανοῦ, περιφερειακῶς ἄγων τὸν οὐρανὸν, καὶ τὴν κορυφὴν τῶν ἄθλων, τουτέστι, καὶ τὰ ἐξαίρετα ἆθλα τὰ ἐν Ὀλυμπίᾳ διδόμενα, καὶ τὸ ῥεῦμα τοῦ Ἀλφειοῦ, ἄγουν τὸν Ἀλφειὸν, περιφερεῖς τοῖς παρεδοῦσιν ὕμνοις, εὐφρων, ἀντὶ τοῦ ἀσμένως, ἐπαινέσαι ἐπαινετὰς ἀξίωσον τὴν πατρικὴν αὐτῶν ἄρουραν, ἀντὶ τοῦ τὴν γῆν, χάριν τοῦ ἐπιλοίου σου γένους αὐτῶν. (29) τὸ δὲ τέλος τῶν πεπραγμένων ἐν δίκῃ τι καὶ παρὰ δίκαν, ἄγουν δικαίως καὶ ἀδίκως, τυτέσιν ἐν παντὶ τρόπῳ, ἀσοίητον, ἄγουν μὴ γεγενημένον, οὐδὲ ὁ χρόνος, ὁ πάντων πατὴρ, δύναιτο ἂν ποιῆσαι. λήθη δὲ τοῦ πεπραγμένου γένοιτ' ἂν σὺν τύχῃ εὐτυχεῖ. ὑπὸ γὰρ τέρψεως ἀγαθῶν βλάβη δαιμονίοις ὑπάρχει, ἀντὶ τοῦ ἀποκρύπτεται, ἐκπίπτει τῆς μνήμης. παλίγκοτος γινομένη δηλονότι, ἄγουν εἰς τοὐπίσω τὴν ἐπιμονὴν τῆς λύπης τοῦ παθεῖν τρέπουσα. R.

23. Νίμων] οἰκῶν. καὶ Ὅμηρος· (Iliad β'. 449.) οἵ τ' ἀμφ' Ἄρμ' ἐνέμοντο, ἀντὶ τοῦ ᾤκουν. V. Διοικῶν, κυβερνῶν Gl. mss. α. β.

26. Ἰαν θεὶς] Gl. mss. α. γ. εὐφραν θείς.

27. Εὔφρων] καλῶς διανοούμενος, οἰόμενος ὤν, ἵνα καὶ ἐπαινέσαι τὴν πατρῴαν γῆν αὔξησον, τῷ λαῷ γένοι. λέγει δὲ αὐτῷ τῷ Θήρωνι. Ἦτι, ἵνα τῇ προσούσῃ εὐδαιμονίᾳ ἔτι καὶ τοῦτο ὁ Ζεὺς παράσχῃ. V.

28. Κόμισον] αὔξησον. εὐχεται τοὺς ἀπογόνους Θήρωνος ἄρχειν τῶν Ἀκραγαντίνων. V.

29. Λαοῖς γένοι] τῷ περὶ Θήρωνα καὶ Μνασιράτην, ἀδελφούς. συγγενεῖς δὲ οὗτοι Ἱέρωνος, τοῦ Αἰτναίων βασιλέως. V.

Πεπραγμένων] Gl. ms. γ. συμβεβοτων

* Sed debet esse εὐτυχὴς, licet in utramque partem accipiatur epitheton μέρσιμος. Ed. Oxon.

ἔργων, ἢ τὰς παλαισθείσας ἐξ ὑπάτησαν καὶ ἐν τῇ Ῥόδῳ καὶ ἐν τῇ Σικελίᾳ.

29. ὁ Θήρων θυγατέρα ἑαυτοῦ ἐξέδωκε πρὸς γάμον Πολυζήλῳ, τῷ ἀδελφῷ Ἱέρωνος, ἐκ τιμοθείας ὑπὸ Ἱέρωνος πολιμήσαι τοὺς πρώτους Σικελιώτας βαρεῖαρες, ἵνα σὺν τὸν πόλεμον χωρὶς τῆς τοῦ Ἱέρωνος γνώμης, καὶ διὰ τοῦτο ἐν ὑφορᾶσει ἦν. Θρασυδαίου δὲ, τοῦ Θήρωνος υἱοῦ πείσαντος τὸν Πολύζηλον ἐπιθέσθαι τῷ Ἱέρωνι, ὑπισχνουμένου αὐτοῦ τοῖς πράγμασι συναντιλήψεσθαι, γνοὺς ὁ Ἱέρων, ἔφευγεν αἰρήσειν τὴν Ἀκράγαντα, καὶ Θήρωνα καὶ Θρασυδαῖον. μελλόντων δὲ τῶν φίλων, ἵνα μὴ ψε Σιμωνίδης ὁ λυρικὸς πρὸς αὐτὸν συμβουλεύων, ἐκταράξαι μᾶλλον βουλόμενος τῷ μηνύειν τὴν μέλλουσαν αὐτῶν πρόδοσίαν εἶναι καὶ τοὺς προδιδόντας. ὁ δὲ ἐυλαβηθεὶς ἐξεχώρησε τῶν πραγμάτων τῷ Ἱέρωνι, ὕστερον δὲ ἀσφάλειαν ἀπ' αὐτοῦ τὴν συρακοῦσαν, καὶ διελύθησαν τῆς ἔχθρας, ὡς καὶ παιδίαν τινὰ πρὸς ἀλλήλους ποιήσασθαι, ἀδελφὴν Θήρωνος Ἱέρωνος λαβόντος γυναῖκα· ἔθυν ὁ Πίνδαρος παρακίμψασθαι παραινῶ τὰ προγεγινημένα. Ἄλλως. ζητεῖται, διὰ ἣν αἰτίαν ἐυξάμενος τῷ Θήρωνι τὰ κάλλιστα, κατάπαυσιν τῶν πραχθέντων δεινῶν αἰτεῖται τὸν Δία. Καὶ ὁ μὲν Ἀρίσταρχός φησι, διὰ τὸ κιμμηκίνας τοὺς τοῦ Θήρωνος πατέρας κατὰ τὴν Ῥόδον, τῶν πραγμάτων ἐπισταζομένων, καὶ οὕτω τὴν μετοικίαν εἰς τὴν Σικελίαν ἐπιλαμβάνων· ὁ δὲ Δίδυμος τὸ ἀκριβέστερον τῆς ἱστορίας ἐκτίθεται, μάρτυρα Τίμαιον, τὸν συντάξαντα τὰ περὶ τῆς Σικελίας, προφερόμενος. ἡ δὲ ἱστορία οὕτως ἔχει· Θήρων, ὁ τῶν Ἀκραγαντίνων βασιλεὺς, Γέλωνι τῷ Ἱέρωνος ἀδελφῷ ἐπιπεδώσας γάμῳ συνάπτει τὴν αὐτοῦ θυγατέρα Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτιον νόμισμα ἐν Σικελίᾳ. σοῦ δὲ Γέλωνος τελευτᾷν τὸν βίον μέλλοντος, Πολύζηλος ἀδελφὸς τὴν τροπηγίαν καὶ τὴν γαμετὴν τοῦ ἀδελφοῦ διαδέχεται, κατὰ τὰς Γέλωνος προστάξεις. ὅτε τὸ Θήρωνος εἰς Γέλωνα πῆδος, εἰς τὸν Πολύζηλον μετατίθεσθαι. λαμπρᾷ δὲ καὶ περιβλέπτῳ τυγχάνοντι κατὰ τὴν Σικελίαν Ἱέρων φθονήσας, ὁ ἀδελφὸς, καὶ πρόφασιν σκηψάμενος τὸν πρὸς Συβαρίτας πόλεμον, ἀπελαύνει τῆς πατρίδος ἀλλὰ καὶ τοῦτον κατώρθωσε τὸν πόλεμον ὁ Πολύζηλος. ὁ δὲ, μὴ φέρων, γυμνότερον αὐτοῦ κατηγορεῖν ἐπειρᾶτο πατρισμοῦ· καὶ οὕτω τὸν Θήρωνα, ὑπεραγανακτήσαντα θυγατρὸς ἅμα καὶ γαμβροῦ, συμβῆναι πρὸς Ἱέρωνα πόλεμον πρὸς Γέλᾳ, τῷ Σικελιωτικῷ ποταμῷ, ὃ Καλλίμαχος (Fragm. t. i. p. 557. Ern.) μέμνηται· "οἱ δὲ Γέλᾳ ποταμῷ ἐπισι-" μένον ἄστυ." μή γι μὴν εἰς βλάβην, μηδὲ εἰς τέλος προχωρῆσαι τὸν πόλεμον. φασὶ γὰρ τότε Σιμωνίδην τὸν λυρικὸν παρεστυχόντα διαλῦσαι τοῖς βασιλεῦσι τὴν ἔχθραν. τούτους εἰπεῖν τοῖς φθάσασιν εὐχεσθαι τῷ Διΐ φησι τὸν Πίνδαρον ὁ Δίδυμος, ὅτι λοιπὸν αὐτοῖς ἱερηναῖοι εἶναι τὸν βίον, ἡ οὖν διάνοια αὕτη· σὺ μὲν, ὦ Ζεῦ, παράσχοις πάντα τὰ κάλλιστα, καὶ πρὸς τῇ εὐσεβεῖ εὐδαιμονίᾳ πλείονα δοίης ἀγαθά. εἴ δέ τι ἐν τοῖς φθάσασι χρόνοις συμβέβηκεν ἄστοτον, εἴτε δικαίως, εἴτε μὴ, τοῦτον οὐκ εἴδον σὲ ἔστι, οὔτε αὐτῷ τῷ χρόνῳ, ὅστε μὴ γεγενημένον ποιῆσαι· τὸ γὰρ γενόμενον ἀγένητον ποιῆσαι ἀδύνατον. ἴσως δὲ λάθη ἄν τις γένοιτο τῶν πολλῶν, ἀγαθῆς μοίρας δια- διξαμένης. V.

30. Ἐν δίκῃ τι καὶ παρὰ δίκαν] Gl. ms. γ. καὶ μετὰ δικαιοσύνης καὶ ἔξω δι- καιοσύνης.

31. Ἀνοίητον] Gl. ms. γ. ἀνυπέρβατον. Οὐδ' ἂν χρόνος] τῶν πεπραγμένων ἔρ- γων τὸ τέλος ἀσοίητον καὶ ἀγένητον θέμεν οὐδ' ἂν ὁ πάντων πανσθ' χρόνος δύναιτο, ἀλλὰ ἀδύνατον. καὶ Ὅμηρος· (Iliad. ί, 249. sq.)

" Οὐδέ τι μῆχαρ
" Ῥιχθέντος κακοῦ ἐστ' ἄκος εὑρεῖν." V.

34. Λάθα δὲ πότμου] τῶν δὲ κακῶν γί- νοιτο ἂν λάθη, διαδιξαμένης εὐδαιμονίας. ἢ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι οἱ περὶ Θήρωνα τὸ ἀνέκαθεν δεδυσχήκασιν, ἀλλ' εἰς λάθην αὐτῶν ἐξέπεσεν ἡ δυσχέρεια διὰ τὴν ἐπεισυμ- βᾶσαν εὐτυχίαν. V.

35. Χαρμάτων] Gl. ms. β. τέρψεων. Ἐσθλῶν γὰρ ὑπὸ χαρμάτων] ὑπὸ γὰρ τῆς χαρᾶς τῶν γιγνηπίνων ἀγαθῶν τὸ κακὸν ἀφαιρεῖται. καὶ τὸ πολύχαιτον καὶ ἄστοτον δαμάσθη καὶ ἀναιρεῖται ὑφ' ἡδονῆς ἔπεται, μάλιστα ὅλεου ἐπιγινομένου ὑψηλᾶ ἐπὶ θείας μοίρας. V.

36. Πῆμα θνάσαι] τὸ δὲ τραχὺ πῆμα νικᾶται ὑπὸ τῆς ἀγαθῆς χαρᾶς, καὶ ἀφα- νίζεται ὁπόταν εἰς ὄλος τὴν εὐδαιμονίαν ἀναφέρῃ ἡ μοῖρα, καὶ ὅταν τὴν εὐδαιμονίαν εἰς ὕψος ἄγῃ. V.

37. Ὅταν θεοῦ μοῖρα] ἤγουν εὐτυχία, τουτέστιν, ὅταν θεὸς πῆμαν μεγάλην εὐ- δαιμονίαν ἐνέκᾳ, ἤγαν εἰς παράτασιν χρό- νου μακρόν. ἐπειδὴ τὸ γένος πλήθός ἐστι, διὰ τοῦτο εἶπε τὸ, σφίσιν. ἔστι οὖν τὸ μὲν κόμισον, πρὸς τὸ, λοιπῷ γίνει, τὸ δὲ πα- τρίαν, πρὸς τὸ, σφίσιν· ἵν' ᾖ, τὴν πατρικὴν αὐτοῖς γῆν. τῷ λοιπῷ δὲ γίνει νέοι, ἤτοι ἀπὸ γένους τοῦ Θήρωνος, ἢ τῷ Θήρωνι καὶ τοῖς περὶ αὐτὸν, ἃ καὶ πρώτιστον. δίον δὲ εἰκότως εὐφρονα πρὸς τὸ ἄρουραν, εὐφρων ἐστὶ, πρὸς τὸ κέ- ρσιμον. λέγει δὲ ὅτι, εἰ καὶ οἱ πατέρες τῶν Θήρωνος πολίμοις καὶ φόνοις ἐχρήσαντο, ἀλλ' εἰρηναίαν τὴν ζωὴν Θήρωνι καὶ τοῖς περὶ αὐτὸν ποίησον. Ἰσορία. Ὁ Θήρων

οὗτος, Ἀκραγαντίνων βασιλεύων, Γέλωνι τῷ Ἱέρωνος ἀδελφῷ ἐπιπηδεύσας γάμῳ συνάπτει τὴν αὐτοῦ θυγατέρα, Δημαρέτην. τοῦ δὲ Γέλωνος τελευτήσαντος Πολύζηλος ὁ ἀδελφὸς αὐτοῦ τὴν βασιλείαν καὶ τὴν γαμετὴν αὐτοῦ διαδέχεται. λαμπρᾷ δὲ ὅτι αὐτῷ κατὰ τὴν Σικελίαν Ἱέρων ὁ ἀδελφὸς φθονήσας καὶ πρεσβεισάμενος τὸν πρὸς Συβαρίτας πόλεμον, ἐξάγει τοῦτον τῆς νήσου. κατορθωκότος δὲ καὶ τοῦτον τὸν πόλεμον Πολυζήλου, ὁ Ἱέρων οὐκ ἔχων, ὅ τι καὶ γένοιτο, πρὸς αὐτὸν ἐπιειρᾶτο τυραννίζειν. Θάρων οὖν, ὑπεραγαπήσας θυγατρὸς ἅμα καὶ γαμβροῦ, συμβάλλει πρὸς Ἱέρωνα ἠβούλετο πόλεμον, ὃν Σιμωνίδης ὁ Λυρικὸς καταπαύει διαλλάξας, ὡς καὶ πηδίλιον πρὸς ἀλλήλους ποιήσασθαι, Ἱέρωνος λαβόντος τὴν τοῦ Θήρωνος ἀδελφήν. φασὶ δέ τινες, τὸ ἐπιφαγμένον ἀντὶ τοῦ συμβάντων τοῖς προγόνοις καμάτων. ἄνω γὰρ εἶσι· Καμόντες οἱ πολλὰ θυμῷ. τὸ θεοῦ ἢ πρὸς τὸ ἧλιον, οὕτω· τὸν ἥλιον τοῦ θεοῦ ὄντα τὴν παρὰ θεῶν ἀνθρώποις εὐδαιμονίαν ἢ πρὸς τὸ μοῖρα, οἱ γὰρ θεοὶ τοῖς ἀνθρώποις τὴν μοῖραν ἐκτίμπτουσιν. Ὁμηρικὸς ζῆλος τὸ εὐθρόνοις. ἐκεῖνος γὰρ ταῖς ἐπιθέτοις κοσμεῖ τὰς γυναῖκας, ἤγουν Δυσπάλινος Ἥρα, καὶ Γλαυκῶπις Ἀθήνα, καὶ Ἀργυρόπεζα Θέτις. R.

39. Ἔστεσι δὲ λόγος] εἰκειόσασα πρὸς τὴν γνώμην ἑαυτοῦ καὶ τὸ παράδειγμα ἐκφέρει. μᾶλλον δὲ λαμβάνει, ὅτι τοὺς πρεδυστυχήσαντας εὐδαιμονία διαδέχεται, ὅσπερ καὶ τὰς Κάδμου θυγατέρας. ὁ αὐτὸς γὰρ λόγος καὶ ἐπ' αὐτῶν ἀρμόσει. αὗται γὰρ τὸ μὲν πρότερον εἰς τοσαύτην δυστυχιῶν ὑπερβολὴν ἐλήλυθεσαν, ὥστε καὶ τραγικαῖς ὑποθέσεσι χορηγίαν παρασχεῖν· ἀλλ' ἐφάμιλλος καὶ εὐδαιμονία τὰς πόρας διαδέχετο. τούτων δὲ μίμηται, ἵνα ὁ Θήρων εἰς Λάϊον ἀνάγει τὸ γένος. Ἄλλως. Ἔστεσι δὲ λόγος· οὗτος ὁ λόγος ἀπολουθεῖ καὶ ταῖς τοῦ Κάδμου κόραις, μεγάλων γὰρ παιδῶν τυχοῦσαι, φαλιν ἐκ μεγάλης μεγάλων ἀγαθῶν ἐκπεπτώκασιν. εὖ δὲ τῶν Κάδμου θυγατέρων τὸ παράδειγμα φέρει. ἄνω-θεν γὰρ Θηβαῖος ὁ Θήρων. V.

Ἀκολουθεῖ δὲ οὗτος ὁ λόγος, ἤτοι ἁρμόζει, ταῖς θυγατράσι τοῦ Κάδμου, ταῖς τῶν ἐνδέκα τάξει βρυμίναις, αἵτινες ἴσασιν συμφορὰς μεγάλας. Τὸ πίνθος δὲ τὸ μίγα ἀφανίσθη τῆς μνήμης ὑπὸ τῶν ἀγαθῶν τῶν ἐπικρατησίων. ζῇ μὲν ἡ Σεμέλη ἡ ἐφιστολὴ τιταμένας ἔχουσα τὰς τρίχας, ἐν τοῖς θείοις τοῖς τὸν Ὄλυμπον οἰκοῦσι, φουσθεῖσα, ἐν τῇ μετὰ τῶν θεῶν διατριβῇ, ἀποθανοῦσα τῷ βρόμῳ τοῦ πεμπτοῦ, ἀντὶ τοῦ πεμπτῷ. φιλεῖ δὲ αὐτὸν ἡ Ἀθηνᾶ ἀεί, διὰ τὸ τὸν πατέρα αὐτῆς τὸν Κάδμον ἱδρύσασθαι αὐτῇ ἄγαλμα ἐν Ὄγκαις, κώμῃ τῆς Βοιωτίας, ὅθεν Ὀγκαία Ἀθηνᾶ λέγεται, ὡς Κυλλήνιος Ἑρμῆς. καὶ ὁ Ζεὺς, ὁ πατὴρ πάντων, φιλεῖ αὐτὸν κατὰ πολύ. φιλεῖ δὲ αὐτὸν καὶ ὁ παῖς αὐτῆς ὁ πυρσοφόρος, ἤγουν ὁ Διόνυσος, ᾧ ἴσως ὁ πυρσὸς ἀφιερωμένος. λέγουσι δὲ τιτάχθαι, ἤγουν πεπυρῶσθαι, καὶ τῇ Ἰνοῖ τῇ ἀδελφῇ αὐτοῦ κατὰ πάντα τὸν χρόνον, διατρέβειν ἀφθαστον ἐν τῇ θαλάσσῃ σὺν ταῖς θυγατράσι τοῦ Νηρέως ταῖς Θαλασσίαις. R.

Εὐθρόνοις] τοῦτο πρὸς τὴν διαδεξαμένην εὐτυχίαν ἀκουτέον. V.

40. Ἔνθεν αἱ μεγάλα] Ἰνὼ, Σεμέλη, Αὐτονόη, Ἀγαυή· ἴσως καὶ αὗται πεπόθεσαι ἐν ἀρχῇ, ὕστερον ἔτυχον τῆς ἐν θεοῖς τιμῆς. Πίστει δὲ, κατασίστου· τὸ δὲ βαρὺ πίνθος πίστει καὶ ἀφανίζεται τῶν πρωτοτόκων διαδεξαμένων ἀγαθῶν. V.

44. Ζώει μὲν ἐν Ὀλυμπίοις] ἡτοιμάσατο πρὸς τὴν τῆς εὐτυχίας ὑπερβολὴν, ὅτι δοκήσει μὲν, εἰθήπειν ἡ Σεμέλη τῷ βρόμῳ τοῦ πυρὸς τοῦ πεμπτοῦ, ζῇ δὲ νῦν συναπτρέβουσα τοῖς θεραπόσιν θεοῖς. V.

Ἰσορία. ἡ τῆς Σεμέλης ἱστορία δήλη, ὅτι ἐγκυμονοῦσα Διόνυσον, Ἥρας ὑποβαλλᾶς εἰσοῦσα τῷ Διΐ, μετὰ πεμπτοῦ ἐλθεῖν πρὸς αὐτὴν, πατεπαύθη, καὶ πρὸς οὐρανὸν ἀνῆλθε, Διὸς ἐμβαψαμένου τῷ μηρῷ τὸν Διόνυσον, ἔχοις ἂν ὁ πρωτότοκος ἔλθῃ παιρός. λέγεται δὲ φιλεῖσθαι αὐτὴν ὑπὸ τῆς Ἀθηνᾶς, ἢ ὅτι εἰς οὐρανὸν ἀνῆλθεν, ἢ ὅτι Θηβαία ἐστίν. ἐν Θήβαις ἱερὸν Ἀθηνᾶς, Ὀγκαίας καλουμένης Φωκίκων γλώττῃ. R.

46. Ταυρόθυρα] Gl. ms. γ. ταυροθρόν.

48. Παλλὰς αἰεὶ] διὰ τὸ παρ' αὐτῆς ἱερημένα Gl. ms. γ.

Φιλεῖ δέ μιν Παλλὰς αἰεὶ] τοῦτο οἱ μὲν ἁπλῶς, διὰ τὸν ἐν θεοῖς διατρεβῶν, λέγουσιν· οἱ δὲ, ὅτι ὡς ἰσχυρία θεᾶς. ἄγαλμα γὰρ αὐτῆς ὁ Κάδμος ἱδρύσατο ἐν Ὄγκαις, κώμῃ τῆς Βοιωτίας. Ὀγκαία οὖν ἡ Ἀθηνᾶ τιμᾶται. V.

Φιλέοντι δὲ μαῖσαι *.] οἱ μὲν διὰ τὸ παρ' αὐτῆς ταῖς πομπαῖς ἱερημένα, οἱ δὲ διὰ τὸν Ἑλικῶνα, ὄς ἐστι τῆς Βοιωτίας. αὗται οὖν ἰσχύουσι. Ἄλλως. ἔστι πλεονασμὸς τὸ κῶλον πρὸς τὴν ἀντίστροφον· Θεὸν καὶ ἁμαῖς οὐ γεγράφαμεν ἐν τῷ πεμπτῳ· πᾶσαι γὰρ εἰσιν ἐμοῦ κῶλον, αὕτη δὲ μόνη δυσαίνει ὑρίσκεσθαι ἔχουσα. V.

Δημητρίου τοῦ Τριπλινίου. πλεονασὸν ἦν ἐνταῦθα τὸ κῶλον τό· Φιλέοντι δὲ μοῖσαι. τῶν γὰρ ἄλλων στροφῶν καὶ ἀντιστροφῶν ἀνὰ ιδ' ἐχουσῶν κῶλα, αὕτη μόνη

* Hic enim versus in multis codd. et edd. adjicitur.

πιτυπαίδευτα εἶχεν, ὅτιμ ἦν ἄτοκος. οὐ γὰρ ἐν ἱστέροις τοιοῦτό τι εὕρηται. διὸ ἐξελάθη παρ' ἡμοῦ, ὡς καὶ ἐν τοῖς βιβλίοις τῶν ἄλλων πολλῶν πολλὰ πεπτωκότα ὄντα. οἶμαι δὲ, ὡς οὐδεὶς ἡμᾶς μέμψαιτο τοιαῦτα πεπονηκότας, ἀλλ' ἐννοήσας, ὡς οὕτω ταῦτα βέλτιόν ἐστιν ἔχειν, θαυμάσειεν ἂν μᾶλλον τῆς σοφίας. R.

51. Λέγουσι δ' ἐν καὶ Θαλάσσῃ] φασὶ δὲ καὶ τὴν Ἰνὼ Κάδμου θυγατέρα, μετὰ τῶν θυγατέρων τῶν Νηρέως, ἐν τῇ Θαλάσσῃ διὰ παντὸς τοῦ χρόνου ἀφθαρτον οὖσαν διάγειν καὶ τιτάχθαι. αὕτη δὲ ἡ Λευκοθέα, Νηρηὶς γενομένη· οὕτω γὰρ, ἤγουν Λευκοθέα, καλεῖται. ἡ γὰρ Ἰνὼ, μεταξὺ Βοιωτίας καὶ Ἀττικῆς φυγοῦσα, ἦλθεν εἰς τὸν Ἰσθμὸν, καὶ ἐκεῖθεν ἅλλασο εἰς τὴν Θάλασσαν. μαρτυρεῖ δὲ καὶ Ὅμηρος· (Odyss. ε. 333. sq.)

" Τὸν δ' εἶδεν Κάδμου θυγάτηρ, καλλίσφυρος Ἰνὼ,
" Λευκοθέη, ἣ πρὶν μὲν ἦν βροτὸς αὐδήεσσα,
" Νῦν δ' ἅλὸς ἐν πελάγεσσι θεῶν ἐξέμορε τιμῆς. V.

55. Ἥσοι βροτῶν] ἀντὶ τοῦ δὴ, ἵνα ᾖ ἡ ἀρχὴ τοῦ λόγου οὕτω· τῶν δὴ βροτῶν οὐκ ἔστιν οὐδὲν πεπρωμένον πέρας θανάτου· τοῖς ἀνθρώποις γὰρ ἔδηλον, ὅτι συμβήσεται ὁ θάνατος. Ἄλλως. τοῖς ἀνθρώποις τὸ τέλος τοῦ θανάτου κατ' οὐδὲν σαφὲς ἐστιν. ἢ οὕτω. τοῖς ἀνθρώποις τὸ τέλος τοῦ βίου καθ' οὐδὲν σαφὲς ἐστιν, οὐδὲ προδατὴν τὴν ἐπιοῦσαν ἴζουσιν ἡμέραν, ἴσασι. V.

56. Πέρας οὔ τι πέπρωται] οὐδὲ τοῦτο διαπεπρωμένον ἐστὶν οὐδὲ ἀναφισβήτησιμον καὶ ἑηπαδὲ, ποίαν ἡμέραν εἰρηναίαν καὶ ἀγαθὴν διάξομεν. παῖδα δὲ ἡλίου, τὴν ἡμέραν, ἐπεὶ ὁ ἥλιος τὴν ἡμέραν γεννᾷ ἀνατέλλων. V.

Κέπρωται] πεφανέρωται. ἤγουν οὐδεὶς οἶδεν, εἰ χρηστὸν, ἢ πονηρότερον τὸ τῆς ζωῆς αὐτοῦ πέρας ἐκβήσεται, ἀλλ' οἱ μὲν, πρὶν εὐτυχοῦντες, ἐγγὺς θανάτου διδυστυχήπασιν, οἱ δὲ πονηρότερον. Ἄλλως. ὅτιος τὸ τέλος τοῦ θανάτου τῶν ἀνθρώπων, ἤγουν ὁ ὁ θάνατος ἐφάγει, οὐδαμῶς ἐστι διαπεπρωμένον, τουτέστι γνώριμον, ὁποῖον ἔσται δηλονότι· ἤγουν, ὁ θάνατος τοῖς ἀνθρώποις ἄδηλός ἐστι καὶ ἄγνωστος· οὐδὲ ὁπότε ἀύσομεν ἡμέραν ἡσυχίας, ἤγουν ἀναπαύσιος μετέχουσαν, παῖδα ἡλίου λέγω, τὴν ἀγαθὴν μὴ ὀπτὸ παπαῖ τινος καταπονουμένη, πέπρωται δηλονότι. ἡμέραν δὲ ἡσυχίας τὸν θάνατον λέγει, ἐπεὶ ἐν αὐτῷ θανόντες ἡσυχάζομεν· παῖδα δὲ ἡλίου τὴν ἡμέραν καλεῖ, ἐπεὶ ὁ ἥλιος ἀνατέλλων τὴν ἡμέραν καλεῖ, ἐπεὶ ὁ ἥλιος ἀνατέλλων τὴν ἡμέραν γεννᾷ. R.

58. Οὐδ' ἀεύχιμον] ἄσυχον, ἀπράγμονα, εὐτυχῆ· οὐδέποτε ἐν εὐτυχίᾳ ἰσόμοιρα ἀθορύβως καὶ ἀταράχως ἐν τῷ τοῦ ζῆν χρόνῳ· οὐδέποτε διατελέσομεν ἡμέραν ἥσυχον· ἡμέρα δὲ ἡσύχιος, ἐπεὶ τοῦ θανάτου, ἐπεὶ ἐν αὐτῷ θανόντες ἡσυχάζομεν. V.

60. Ἀτειρεῖ σὺν ἀγαθῇ] ἀβλαβεῖ, ἀκακοπαθήτῳ. ἀνημερεύτῳ· ὁπότε σὺν τῇ ἀβλαβεῖ ἀγαθῇ τελευτήσομεν. V. Ἀδαμάστῳ Gl. ms. a.

61. Τελευτάσομεν] Gl. ms. a. τεθνήξομεν. γ. διαζεύξομεν.

62. Ῥοαὶ δ' ἄλλοι] μύρμαξ δὲ ἀλλαῖα ἡ ἀθροῖα, μετ' εὐθυμιῶν ἡ μετὰ μάχων, εἰς τοὺς ἀνθρώπους ἀνέρχεται. Φίλει δὲ εἰπεῖν, ὅτι οὐχ οἷόν τέ ἐστι, ἀνθρώπους ὄντας, ἀεὶ ἐν εὐθυμίᾳ διάγειν, ἀλλὰ πάντως καὶ ἀνθρώποις ἐνεγκάνειν ἀνάγκη. Ἄλλως. Ῥεύματα, μεταβολαὶ, αἱ τῆς τύχης φοραὶ ἄλλοι εἰς ἄλλους ἀνθρώπους μεταβαίνουσιν, ἢ εὐθυμίαν ἢ πόνον παρέχουσαι. V.

Ῥεύματα δὲ τύχης ἄλλοτε ἄλλα εἰς τοὺς ἀνθρώπους ἴζησαν, ἀντὶ τοῦ ἴρχονται, καὶ μετὰ τέρψεων καὶ λυπῶν. R.

65. Οὕτω δὲ μοῖρ' ἔ τι. ἴως τοῦ, ἄλλῳ χρόνῳ] ἐνταῦθα ἡ ἀνταπόδοσις τῆς διανοίας καὶ ἧς ἐξέθετο γνώμης· οὕτω δὲ καὶ τὸν αὐτὸν τρόπον τὰ ῥεύματα τῆς τύχης ἄλλοτε ἄλλως φέρεται ἐπί τι καλῶν καὶ κακῶν, καὶ οὐκ ἔστιν ἐπίμονα. ἅ τε διέκνυσθαι ἐκ τοῦ κατὰ Θέρσιτα γίνεσθαι τοῦτον μὲν γὰρ εὐθρονα καὶ καλλίστην γένεσιν ὑπεδύετο ἀπὸ πρεσβυτέρων, ἐκ τοῦ, τοὺς Διὸς ἀνωφελεῖναι αὐτοῦ τὴν εὐδαιμονίαν· ἐπάγει δὲ τι καὶ πῆμα, ἐναντιώτατον τῷ ἀγαθῷ, ἔστι ἔστι. ἐφ' οὗ πήματος ἔστι διδάσκεσθαι κακοὺς διατιθὲν καὶ τὸ λαΐου γένος, ὃν δὴ συμβέβηκεν ὑπὸ τοῦ ἰδίου παιδὸς φονευθῆναι Οἰδίποδος, ἐν ᾧ πειρατυχόντα κατὰ τὴν Φωκίδα, καὶ ἐπὶ πάρας ἀγαγεῖν τὸ πρότερον αὐτῷ χρησμοδοτηθέν· Μὴ σπεῖρε παίδων ἄλοκα βαιμόνων βίᾳ. ἐ δὲ Θέρσιτον τὴν συγγένειαν ἔχει πρὸς τὸ γένος τὸ τοῦ Οἰδίποδος, καὶ διὰ τοῦτο οἰκείως τοῖς περὶ αὐτὸν ἐχρήσατο λόγοις. πῶς δὲ συγγενὴς ἐστι, ἐρούμεν ἔξῆς. ἐμφυτεύεται δὲ καὶ οὗτος· οὕτω δὲ ἔστι πατρῷον· ἐν τρόπον κατὰ τῶν προγόνων τῶν περὶ τὸν Θέρσιτα· κατέχει τὸν εὔθρονα πόσμον ἡ τύχη, καθάπερ τὸ πατρῷον κατέσχε, τουτέστι τῶν Καδμίδων. V.

Οὕτω δὲ ἡ μοῖρα καὶ ἡ τύχη, ἤτις ἔχει καὶ συνέχει τὸν εὔθρονα καὶ εὐφρενικὸν πόσμον τὸν πατρῷον καὶ τὴν εὐδαιμονίαν τούτοι, ἤτοι τῶν προγόνων των φησι, ἄλλοτε καὶ εὐδαιμονίᾳ διέπουσα καὶ διατίμησιν· ἐπ γὰρ Διὸς τὰ ἀγαθὰ τοῖς ἀνθρώποις παραγίνεται· ἄγει καὶ ἐπί τι πῆμα παλιντράπελον ἐν ἄλλῳ χρόνῳ· λέγω δὲ τὸ τῶ Οἰδίποδος. λέγει δὲ, ὅτι ἡ μοῖρα, ἡ φύσιν ἔχουσα μεταβάλλειν ἅπαντα, τὸν Ἀπόλλω ἐκ Διὸς ἐπιλαθῶσαν τοῖς σοῖς προγόνοις εὐ-

δαιμονίαν ἀπὸ δυστυχίαν μετέβαλεν. Ἔχει δὲ λόγον τὸ πατρῷον καὶ πρὸς τὸ πῆμα συνάψαι, ἤγουν, πρὸς πατρικὸν ἄγει πῆμα, διὰ τὸ τοῦ Οἰδίποδος πάθος, ὃ καὶ ἐπάγει. Οὕτω δὲ ἡ μοῖρα, ἥτις συνέχει τὴν πατρῴαν τύχην τούτων ἰδίαν σὺν ὅλῳ, ἤγουν ἰδιαιμονίᾳ, ὑπὸ Διὸς ἁρμηνίνη, ἄλλῳ χρόνῳ, ἀντὶ τοῦ, κατά τινα χρόνον, καὶ ἐπί τινα βλάβην ἄγει παλιντράπελον, ἤγουν, ἐπὶ τὸ ἐναντίον τετραμμένην, ἐξ ἐκείνου τοῦ χρόνου, ἀφ' οὗ ἔκτεινε τὸν Λάϊον ὁ υἱὸς αὐτοῦ, ὁ ἐκ μοίρας δαίμονος τετραμμένος ἀκουσιεὺν αὐτὸν, συναντήσας, τὸν παλαιὸν δὲ χρησμὸν, τὸν χρησθέντα ἐν τῇ Πυθῶνι, τελεσθῆναι ἐποίησεν. R.

66. Ἔχει] Gl. ms. γ. φυλάσσει.

67. Θιέρτῳ] Gl. ms. γ. Σιμωνίδῃ.

68. Ἐπί τι καὶ πῆμ' ἄγει] ἐπάγει δὲ ἡ μοῖρα καὶ κακόν τι ἐναντίον, ἐτέρῳ χρόνῳ· ἴσν δ' ἴσως ὅτι καὶ παλαῶν πίεραν ἡ μοῖρα δίδωσιν. εἶτ' ἐκ παραδείγματος· τοιγαροῦν καὶ τὸ γένος Λαΐου τάδε ἔπαθεν. Θιέρτῳ δὲ, ὑπὸ Διεῦ ὀρθυμίνῳ, ἀσφαλεῖ. Παλιντράπελον δὲ, ἀντιτραμμένον. ἡ δὲ ὅλη διάνοια οὕτως ἔχει· ἡ ἀπὸ τοῦ γένους μοῖρα (ἐπὶ) τὸν περὶ τὸν Θήρωνα εὔφρονα πότμον καὶ ὅλβιον, ὃν ὁ Διὸς ὀρίνει καὶ δίδωσιν, ἐπάγει τι καὶ ἀντιτραμμένον πῆμα ἐν ἄλλῳ χρόνῳ. V.

70. Μόριμος υἱὸς] ἤτοι ὁ κατὰ μοῖραν αὐτῷ γινόμενος, ἢ ὁ μόρον ἐπενεγκών. ὁ δὲ χρησμὸς ὁ δοθεὶς Λαΐῳ δηλοῖ. V.

71. Ἐν δὲ Πυθῶνι χρησθὲν] τοῦτο δὲ χρησθὲν πάλαι, φησὶ, τὸ δὲ μαντεῖον τὸ δοθὲν τῷ Λαΐῳ κατὰ τὸν Πυθῶνα παρ' Ἀπόλλωνος, τοῦτον πατροκτονήσας, εἰς πίρας ἤγαγεν ὁ Οἰδίπους. V.

73. Ἰδοῖσα δ' ἀξιῖ' Ἐριννὺς] ἤτοι ἀξίως βλέπουσα ἢ ἀξίως τιμωρουμένη, ἰσχύσειν, ὅτι ἀλληλοφονίαν γενέσθαι τοῦ γένους αὐτοῦ. Ἐτεοκλῆς γὰρ καὶ Πολυνείκης ἀλλήλους ἀνεῖλεν. τοῦτο δὲ ἀξίως διαβαμένη ἡ Ἐρινὺς, τὸ γεγονὸς ὑπὸ Οἰδίποδος, ἀνεῖλεν αὐτοῦ τὸ γένος, καὶ δι' ἀλλήλων χωρῆσαι ἐποίησε. λέγει δὲ Ἐτεοκλέα καὶ Πολυνείκην. V.

Ἰδοῦσα γὰρ ἀξίως ἡ Ἔρφρος τῶν ἀδικουμένων Διὸς φονευθῆναι ἐποίησε τὸ γένος, ἤγουν, τοὺς υἱοὺς αὐτοῦ, τοῦ Οἰδίποδος δηλονότι, τοὺς ἀρηΐους, τουτέστι, τοὺς πολεμικοὺς καὶ γενναίους, ἢ τοὺς ἀπὸ τοῦ Ἄρεος καταγομένους, δι' ἀλληλοφονίας· περὶ οὗτος δὲ τοῦ Πολυνείκους, ἤγουν φονευθέντος, ὑπελείφθη ὁ Θέρσανδρος ὁ υἱὸς αὐτοῦ, τιμώμενος ἐν ἀγῶσι νίκης ἁρμόζουσι, καὶ ἐν μάχαις πολέμου, βλάσημα τῶν Ἀδραστίδων, ἀντὶ τοῦ, τῆς Ἀδραστίδος, τουτέστι τῆς θυγατρὸς τοῦ Ἀδράστου, βοηθὸν τῶν δόμων, οὕτως γὰρ ἐν τῇ Διομήδει ἐκστρατεύσας ταῖς Θήβαις, ἐξεδίκησε τὸν τοῦ πατρὸς αὐτοῦ φόνον. Θεν, ἤγουν ἀπὸ τοῦ Θερσάνδρου, ἴσχυσεν ἀρχὴν τοῦ στέμματος, τουτέστι τοῦ γένους, οἱ περὶ τὸν Θήρωνα δηλονότι. R.

74. Πίφνει] Gloss. mss. α. γ. ἰφόνευσεν. β. τιθήνας ἐποίησεν.

75. Ἀρηΐου] πολεμικὸν, ἤγουν τὸν ἐξ Ἄρεος καταγόμενον. ἐξ Ἀφροδίτης γὰρ καὶ Ἄρεος Ἁρμονία ἡ πρωμήτωρ αὐτῶν. R.

76. Λείφθη δὲ Θέρσανδρος] τὸ ἐξεπελείφθη δὲ τοῦ Πολυνείκους μετέντος Θέρσανδρος, Ἀνδρότιμος, Ἄλαστος. ὃ δὲ Θέρσανδρος ἐν Μυσίᾳ τρωθεὶς ὑπὸ Τηλέφου τέλευτᾷ. Ἄλλως. ἐλείφθη δὲ λοιπὸς ὁ υἱὸς Πολυνείκους ἀναιρεθέντος, Θέρσανδρος, ὅστις αὐτῷ ἐξ Ἀργείας, τῆς Ἀδράστου θυγατρὸς, γέγονεν. V.

77. Ἐριτόντι] Gl. ms. γ. ἀποθανόντι.

78. Νίκης ἀέθλοις] ἐν τοῖς ἀπονέμουσι ἀγωνίσμασι, καὶ πρέπουσι νίκαις· λέγει δὲ τοῖς δι' ἀγώνος· ἐν μάχαις τι καὶ ἐν πολέμοις ὁ τίμιος καὶ γενναῖος συγχάνων. V.

80. Ἀδραστίδαν] ἐνταῦθα ἀντὶ ἐνικοῦ πληθυντικὸν ἐξήνεγκεν· ἴσι γὰρ Ἀδραστίδος· ἐκ μιᾶς γὰρ τῆς Ἀδράστου θυγατρὸς Ἀργείας γέγονε. τὸ δὲ Ἀδραστίδαν οὐ περισπαστέον. ἴσι γὰρ βηλυκὸν, καὶ ἔχει τὴν εὐθεῖαν, Ἀδραστὶς Ἀδραστίδων. τὸ γὰρ ἀρσενικὸν περισπᾶται, οἱ Ἀδραστίδαι, τῶν Ἀδραστιδῶν. V.

81. Θάλες] Gl. ms. γ. τὸ γένημα, ἢ πλάδες.

Θάλες ἀρωγὸν δόμοις] τὸ βλάστημα τοῦ Ἀδράστου γένους· ἀπὸ γὰρ Θερσάνδρου καὶ Κάδμου οἱ περίγονοι τοῦ Θήρωνος. ἵνα Θέρσανδρος καὶ Διομήδης, οἱ ἐκγονοι, ἐκστρατεύσαντες ταῖς Θήβαις, τὸν προαναιρεθέντων πατέρων ἐξεδίκησαν τὸν φόνον. V.

Δόμοις] τοῖς πατρικοῖς, ἤτοι ταῖς Θήβαις. ὕστερον γὰρ μετὰ Διομήδους ἐκστρατεύσας, αὐτὰς παρεσκήσατο, ἐκδικήσας τὸν αὐτοῦ πατέρα· ἢ ἀρωγὸν δόμοις, ἤτοι τῆς αὐτοῦ βασιλείας ὑπέρμαχον. R.

82. Ὅθεν στέμματος ἔχοντι] ἀφ' οὗ γένους τοῦ Θερσάνδρου ἔχουσι τὴν ῥίζαν οἱ περὶ Θήρωνα. τὸ δὲ γένος Λαΐου καὶ Οἰδίποδος ὁ Θήρων οὕτω κατάγει· Λαΐου Οἰδίπους· τούτου Πολυνείκης· οὗ Θέρσανδρος· οὗ Τισαμενός· οὗ Αὐτεσίων· οὗ Θήρας· οὗ Σάμος. οὗτος ἴσχυν υἱοὺς δύο, Τηλέμαχον καὶ Κλύτιον· ὧν ὁ μὲν Κλύτιος ἔμεινεν ἐν Θήρᾳ τῇ νήσῳ, ὁ δὲ Τηλέμαχος κατῴκει ἐν χώρᾳ, ἣν συλλέξας δύναμιν, ἔρχεται εἰς Σικελίαν, καὶ κρατεῖ τῶν τόπων ἐξ οὗ Χαλκιστεύς· οὗ Λιπαρίδαμος· οὗ Θήρων. V.

Ὅθεν, ἤγουν ἀπὸ τοῦ Θερσάνδρου, οὕτως· ἐκ Λαΐου, Οἰδίπους· Οἰδίποδος, Ἐτεοκλῆς καὶ Πολυνείκης· Πολυνείκους, Θέρσανδρος· οὗ Τισαμενός· οὗ Αὐτεσίων· οὗ Θήρας· οὗ

Ἄδμος. οὗτος ἴσχυν υἱοὺς δύο, Τηλίμαχον καὶ Κλύτιον· ὧν ὁ μὲν Κλύτιος ἅμιππον ἐν Θήρᾳ τῇ νήσῳ· ὁ δὲ Τηλίμαχος πατρόκλει ἐν χώρᾳ· ὃν συλλίξας δύναμιν ἔρχεται εἰς Σικελίαν, καὶ κρατεῖ τῶν τόπων· ἐξ οὗ Χαλκιονεύς· ὅ Ἐμμενίδης. οὗ Αἰνησίδαμος, ὁ τοῦ Θήρωνος πατήρ. R.

83. Πρέπει τὸν Αἰνησιδάμου υἱὸν τὸν Θήρωνα, τυγχάνειν ἐγκωμιαστικῶν τι μελῶν ἢ λυρῶν· ἀντὶ τοῦ, καὶ λυρικῶν μελῶν. κατὰ μὲν γὰρ τὴν Ὀλυμπίαν αὐτὸς βραβεῖον ἐδίξατο· ἐν τῇ Πυθῶνι δὲ ἢ ἐν τῇ Ἰσθμοῦ κοινῶν ἵππων χάριτις εἰς τὸν ἀδελφὸν αὐτοῦ, τὸν ἐν τῷ αὐτῷ πλήρωμα, ἀνθη ἤγαγον, ἀντὶ τοῦ τὰ ἐξαίρετα, τὰς νίκας τῶν δυοκαίδεκα δρόμων τῶν ἁρμάτων. δωδεκάκις γὰρ περιῆρχετο τὸν δρόμον τὰ τέλεια ἅρματα. Τὸ δὲ τυχεῖν τινὰ ἀγωνίας, ἀντὶ τοῦ, νίκης ἐν ἀγῶνι περιόμενον, τουτέστι, ζητοῦντα τυχεῖν αὐτῆς, παραλύει, ἀντὶ τοῦ, ἀπολύει, ἐλευθεροῖ τῶν ἀλγεινῶν· εὔφρον τὸ ἡδύ· δύσφρον τὸ ἐναντίον, ἤγουν τὸ ἀλγεινόν. ὁ δὲ πλοῦτος ὁ περικειμένος ἀρεταῖς, τουτέστιν, ὁ τῶν ἀρετῶν πλοῦτος διδάσκει τὸ ἴγκαιρον τῶν καὶ τῶν, ἀορίστως ἀντὶ τοῦ πάντων, ἤτοι τῶν ἀγαθῶν καὶ λυπηρῶν, διάνοιαν διδοὺς βαθεῖαν, ἤγουν συνετὴν, ἀγρυπνίαν, τουτέστιν ἀγρυπνίαν τῶν καλῶν, ἅτις ὢν δηλονότι διάδηλος, φῶς ἀνθρώπῳ ἀληθινόν. τοῦτο λέγει, ὅτι αἱ τῷ Ξενοκράτει κατορθωθεῖσαι νίκαι διὰ τιτρώρων εἰς τε τὰ Πύθια καὶ τὰ Ἰσθμια, καὶ τοῦ Θήρωνός εἰσιν· ἢ ὅτι τοὺς ἵππους κοινοὺς ἐκέκτητο, μεθ' ὧν μόνος Ξενοκράτους ἀπελθὼν ἐνίκησεν, ἢ ὅτι τῶν Ξενοκράτους στεφάνων καὶ Θήρων μετέσχε. εἰ γὰρ τὰ τῶν φίλων κοινὰ, πόσῳ γε δὴ μᾶλλον τὰ τῶν ἀδελφῶν; R.

87. Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς] ἀντὶ τοῦ, ἐν Ὀλυμπίᾳ ἐνίκησεν. ἔσχε δὲ καὶ κοινὰς πρὸς τὸν ἀδελφὸν Ξενοκράτην νίκας, ἐν Ἰσθμῷ καὶ Πυθοῖ· ἐξ ἑνὸς γὰρ εἶχον πρὸς ἱπποτροφίαν διάθεσιν καὶ ἀπὸ κοινῶν χρημάτων, ἀμφότεροι καὶ παῖς νίκαις ἐνεγεάφοντο. καὶ οἱ μὲν βούλονται ἀκούειν οὕτως· οἱ κοινοὶ αὐτῶν ἵπποι νικήσαντες ἀμφοτέρους παρισχήκασι κοινὴν καὶ τὴν δόξαν· οἱ δὲ, ὅτι ἐν τοῖς κοινοῖς ἵπποις ἀμφότεροι, ἴδιος ἰδίᾳ ἐν αὐτοῖς τοῖς ἵπποις, ἐνίκησε τέθριππον, ὁ καὶ μᾶλλον. V.

89. Ὁμόκλαρον ἐς ἀδελφιὸν] ἤτοι διὰ τὴν συγγένειάν φησιν, ἢ ὡς ὁμοῦ ἱπποτροφούντων αὐτῶν καὶ ἀγωνιζομένων, καὶ ὁμοῦ νικησάντων Ἰσθμια τεθρίππῳ. φησὶν οὖν, ὅτι ἐν Ἰσθμῷ αἱ χάριτες τῆς νίκης, τῆς ἐν τῷ τεθρίππῳ, κοινὰ ἤγαγον αὐτοῖς τὰ ἄνθη τῶν στεφάνων· ἀπὸ σελίνων γὰρ τὸ στέμμα. ἢ οὕτως· αἱ δὲ χάριτες αἱ ἐν Πυθῶνι καὶ Ἰσθμῷ τὰ ἄνθη τῶν τεθρίππων εἰς αὐτὸν καὶ τὸν ἀδελφὸν ἤνεγκαν. V.

91. Ἄνθια] Gl. ms. β. τὰς ἀρετάς.

93. Τὸ δὲ τυχεῖν, περιόμενον] τὸ δὲ ἐπιτυχεῖν καὶ νικῆσαι, ἀποπερώμενον ἀγῶνος, τῶν δυσπόλων φρενῖδων, τῶν ἐπὶ τῇ νίκῃ ἀπολύει. V.

Τὸ δὲ περιόμενον ἀγωνίας, ἤτοι ἀγωνιζόμενον, κατορθῶσαι τὸν ἀγῶνα καὶ νικῆσαι (τοῦτο γὰρ ἴσι τὸ τυχεῖν) παραλύει καὶ ἐκβάλλει τὸν νικήσαντα τῶν δυσφρόνων, ἤτ ι τῶν περὶν περσόντων αὐτῷ ἀλγεινῶν ἢ δυτυχιῶν. ἡ γὰρ τῆς νίκης λαμπρότης λήθην τῶν ἡμπροσθεν τίθησι. εἰκότως δὲ δύσφρονα τὰ ἀλγεινὰ λέγει, ἢ τὴν δυτυχίαν. ἡ τι γὰρ δυτυχία καὶ ἡ λύπη καὶ τὸν συνεστῶτον τοῦ λιλογισμένου κατάγει. Τοῦτο δὲ λέγει εἰς τὸν αὐτὸν σκοπὸν, εἰς ὃν ἡμπροσθεν ἔλεγε· τῶν δὲ περιεχομένων ἐν δίκῃ ἢ τὰ ἐξῆς· ὁ πλούτῳ κεκοσμημένος καὶ ἀρεταῖς κατάκοσμος οὕτε ὑπὸ τῆς ἐπιλαθούσης αὐτῷ εὐτυχίας ἐπαίρεται, οὔτε ὑπὸ δυσχερίας χαυνοῦται. διὸ δεῖ τῷ πλουτοῦντι καὶ ἀρετῆς. εἰ μέλλει καλῆς τὸν ἄπαντα αἰῶνα διάξειν. φησὶ δὲ καὶ Καλλίμαχος· (Hymn. in Jov. 95. sq.)

"Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσσεται ἄνδρας
" ἀίξειν,
"Οὔτ' ἀρετὴ ἀφίνεα· δίδου δ' ἀρετήν τε καὶ
" ὄλβον."

Καὶ Σαπφώ· (Wolf. Fragm. Sapph. p. 67.)" Ὁ πλοῦτος ἄνευ ἀρετῆς οὐκ ἀγαθὸς
" σύνοικος. ἡ δ' ἐξ ἀμφοτέρων πρᾶσις εὐδαιμο-
" νίας ἔχει τὸ ἄκρον. " Τοῦτο περσεῖναι τῷ
" Θήρωνι μαρτυρεῖ." R.

94. Πειρώμενον] Ms. gl. γ. δοκιμάζοντα.

96. Ὁ μὲν πλοῦτος] ὁ νοῦς· ὁ δὲ πλοῦτος οὐ μόνος ὢν καθ' ἑαυτὸν, ἀλλὰ καὶ ἀρετῇ κεκοσμημένος, καιρίως τῶν τε ἰδίων ἀγαθῶν καὶ τῆς ἀρετῆς ἀπολαύει, συνετὴν ἔχων τὴν φροντίδα πρὸς τὸ ἀγορεύειν τὰ καλά. Τούτων γὰρ τὸ ἴστιρον καθ' ἑαυτὸ οὐχ ἡδύ. ὡς καὶ Καλλίμαχος· (l. l.)

" Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσσεται ἄνδρας
" ἀίξειν,"
" Οὔτ' ἀρετὴ ἀφίνεια· δίδου δ' ἀρετήν τε
" καὶ ὄλβον."

Καὶ ἡ Σαπφώ· " Πλοῦτος ἄνευ ἀρετῆς, οὐκ " ἀσινὴς πάρεικος." ἡ δὲ πρᾶσις εὐδαιμονίας ἔχει τὸ ἄκρον. " τοῦτο περσεῖναι τῷ Θήρωνι " μαρτυρεῖ." V.

Φέρει τῶν τι καὶ τῶν] τῶν αὐτοῦ καλῶν καὶ τῆς ἀρετῆς· ἢ τῶν ἐπὶ τῇ ἀθλήσει παμάτων ἐκείνων φησὶ, καὶ τούτων τῶν καλῶν. V. Gl. ms. γ. τῶν φανερῶν καὶ ἀφανῶν πραγμάτων. Gl. ms. α. φέρει· περσεῖνει.

99. Βαθεῖαν] Gl. ms. γ. φρονίμην.

100. Μέρμναν] Gl. ms. α. σκῆψιν. γ. γνῶσιν.

101. Ἀτὴρ ἀρίζηλος] ὁ μετὰ ἀρετῆς πλοῦτος ὡς ἀτὴρ ἴσιν ἔκδηλος, ἀληθινὸν φῶς τοῖς ἀνθρώποις. V. Ἀρίζηλος Gl. ms. γ. φανερός. Tum ex α. β. γ. allertur: δηλονότι ἀτὴρ ὢν διάδηλος, ἀληθινὸν φῶς ἀνθρώπῳ.

102. Εἰ δέ μιν ἴσχει] εἰ δέ τις, τοῦτον ἴσχων τὸν πλοῦτον, ὁρᾷ καὶ πρὸς τὸ μέλλον, ὅτι τῶν ἀδίκων τιλιυτησάντων τιμωρίαι καὶ κρίσις παρὰ τοῖς ἀποχωμένοις πᾶσιν ἴσται, οὐκ ἂν αὐτῷ εἰς ἀδικίαν ἐχρήσατο. V.

Εἰ γὰρ ἴσχει τις αὐτὸν, ἡγοῦν τὸν τῆς ἀρετῆς πλοῦτον, οἶδε τὸ μέλλον, ὅτι τῶν θανόντων μὲν αἱ φρένες αἱ ἀπάλαμνοι, τουτέστιν αἱ ἀδιόρθωτοι, αἱ ἀπαιδαγώγητοι, πρὸς ἃς οὐκ ἔστι μηχανήσασθαί τι, ἐνθάδε, αὐτίκα, ἀντὶ τοῦ τάχιστα, τιμωρίας ἔσεσαι, ἀντὶ τοῦ ὑπέχουσι· τὰ δὲ ἁμαρτήματα τὰ ἐν ταύτῃ τῇ ἡγεμονίᾳ τοῦ Διὸς, ἡγοῦν τὰ ἐν τῷ κόσμῳ, ὑποκάτω τῆς γῆς κολάζει τις, ἡγοῦν ὁ Πλούτων, ἀπόφασιν δοὺς ἀνάγκης ἰχθρᾶς, τοῖς κολαζομένοις δηλονότι. R.

104. Ὅτι θανόντων μὲν, ἴσως, ἰχθρῇ λόγον φράσας ἀνάγκα, ἐγκρίνει τὴν παλιγγενεσίαν. λέγει οὖν· εἴ τις οἶδε τὸ μέλλον, ὅτι οἱ μὲν ἐν τῷ ζῆν ἁμαρτάνοντες ἐν ᾅδου κολάζονται, οἱ δὲ ἐν ᾅδου, ἐν τῷ ἡμετέρῳ βίῳ, ἐν τῇ τοῦ Διὸς ἀρχῇ· ταύτην γὰρ εἶπε τὸν ὑποκείμενον τῷ οὐρανῷ τόπον. καὶ ἐάν τις ἐν ταῖς τρισὶν ἀναβιώσεσιν, ἃς ὑφίσταται, ἀναμάρτητος εἰς τὰς τρεῖς ἐκατέρωθεν μίνῃ, τοῦτόν φησιν εἰς τὰς τῶν μακάρων νήσους πορεύεσθαι. τὸ δὲ μετὰ τῆς παλιγγενεσίας ἀρχαιότερόν ἐστι. παραδίδοται γάρ ἔτι ἀνέκαθεν. ὡς Ὅμηρός φησιν (Odyss. σ'. 78.)

"Νῦν μὲν μήτ' εἶπε, βουγάϊε, μήτι γένοιο."

πρῶτος δὲ δοκεῖ τοῦτο τῷ δόγματι χρῆσθαι Πυθαγόρας. τῷ δὲ ἀπάλαμνοι φρένες συναπτέον τὸ, ἐνθάδε· ὅτι τῶν ἐνταῦθα ἀδίκων ἀπάλαμνοι φρένες αὐτίκα καὶ ἐνθάδε τιλιυτησάντων τιμωρίας καὶ ποινὰς ἐκτὶ δεδώκασιν V.

Τὸ ἐνθάδε πρὸς τὸ ἀπάλαμνοι συναπτέον, τὸ δὲ αὐτίκα πρὸς τὸ ἔτισαν, οὕτως· αἱ ἀπάλαμνοι καὶ βίαιαι φρένες τῶν θανόντων, ἤγουν οἱ συνοφάνται. καὶ οἱ πονηροὶ καὶ βίαιοι ἐν τῷ βίῳ, ἀποθανόντες ποινὰς ὧν ἥμαρτον ἔτισαν καὶ ἀπέδωκαν αὐτίκα ἐν ᾅδου. R.

105. Ἀπάλαμνοι] Gl. ms. γ. ἀπαίδευτοι.

106. Διὸς ἀρχᾷ] Διὸς ἀρχὴν φησι τὴν ζωὴν καὶ τὴν ἄνω διαγωγήν· φησὶν οὖν, ὅτι τὰ ἐν τοῖς ζῶσιν ἁμαρτήματα κατὰ γῆς δικάζει τίς· λέγει δὲ, τὸν Πλούτωνα τιμωρεῖσθαι αὐτούς· λείπει τὸ, διδοὺς, τῇ ἰχθρᾷ ἀνάγκῃ εἰπὼν τὸν λόγον τῆς τιμωρίας· ἰχθρᾷ δὲ τοῖς πονηροῖς. V.

Διὸς ἀρχὴ ὁ οὐρανὸς καὶ ὁ κόσμος, Ποσειδῶνος θάλασσα καὶ πάντα τὰ ὕδατα, Πλούτωνος τὰ ὑπὸ γῆν καὶ ὁ Τάρταρος. R.

107. Κατὰ γᾶς] ὑπὸ γῆν, τουτέστι καθ' ᾅδου. ὑφίσταται δὲ ἐν ᾅδου τινὰ Ἀνάγκην ὀνόματι, καὶ ταύτῃ παραδίδοσθαι τοὺς ἀσεβεῖς. V.

Ἀνάγκην λέγει τὴν ἀπόφασιν. σύναπτε δὲ τὸ ἰχθρὰ ἀνάγκα πρὸς τὸ, δικάζει, τοῦ, λόγον φράσας, διὰ μέσου. Οὗτος· δικάζει τις τῇ ἰχθρᾷ καὶ ἀποτόμῳ ἀνάγκῃ· φησὶ τὸν λόγον, καὶ τὴν τῆς καταδίκης ἀπόφασιν. εἰπόντος δὲ ὅτι τὸ ἰχθρᾷ ᾗ τὸ ἀνάγκῃ· τὸ μὲν ἀνάγκῃ, διότι ἀπαραίτητόν ἐστι τὸ ἐκεῖ διπεραγμένον· τὸ δὲ ἰχθρᾷ, διότι οὐδεὶς ἐκεῖ φίλος, ἀλλ' ἕκαστος ἐκ τῶν ἔργων διαμένεται καὶ κατακρίνεται. οἱ δὲ ἰσθλοὶ καὶ ἀγαθοὶ ἰχθροὶ εἰσὶ ᾗ πάντοτε ἥλιον ἐσίσης ἐν ἡμέραις ᾗ νυξὶ, τουτέστιν, ὅσον καιρὸν ἡμεῖς ἔχομεν ἡμέραν καὶ ὅσον νύκτα, ἐκεῖνοι ἀεὶ ἰλλαμπόμενοι τέρπονται βίον ἀπονίστερον τῶν ἐν τῷ βίῳ. R.

109. Ἴσον δὲ νύκτεσσιν] οἱ δὲ ἀγαθοὶ ἐσίσης ἐν ταῖς νυξὶν, ἐσίσης δὲ ἐν ταῖς ἡμέραις ἥλιον ἔχοντες, ἤγουν ἀεὶ ἐν φωτὶ ὄντες, ἀπονίστερον, ἀντὶ τοῦ ἄπονον, ἀπαθέστερον ζωὴν νέμονται, τουτέστι διάγουσιν, οὐ χθόνα ταράσσοντες διὰ τῆς ἰσχύος τῶν χειρῶν, ἤγουν οὐ γεωργοῦντες, οὐδὲ τὸ τῆς θαλάσσης ὕδωρ ταράσσοντες, ἤγουν οὐδὲ ναυτιλίᾳ χρώμενοι διὰ ματαίαν τροφὴν, ἣν πάμπονον ἐν τῇ παρούσῃ ζωῇ οἱ ἄνθρωποι, ἵνα βίον περίσωσιν· ἀλλὰ παρὰ μὲν τοῖς τιμίοις ἀπὸ τῶν θεῶν, ἤγουν τοῖς ἐν ᾅδου, τῷ Πλούτωνι δηλονότι καὶ τῇ Περσεφόνῃ, ἄλυπον βίον διάγουσιν ἐκεῖνοι, αἵτινες ἔχαιρον εὐσεβείαις, τουτέστι τρόποις εὐσεβέσι καὶ δικαίοις· οἱ δὲ, ἤγουν οἱ τῆς ἐναντίας μερίδος, οἱ κακοὶ δηλονότι καὶ ἀπαιδαγώγητοι ἔχοντες γνώμας, πόνον ἐκχέοντι, τουτέστι ὑφίστανται (ἀπὸ μεταφορᾶς τῶν ὑγκμάτων) ἀπροσδιόρατον, ἤγουν μίσγαν καὶ οὐ προσελίσσεσθαι δυνάμενον, μεταφορικῶς ἀντὶ τοῦ ἀνύσιμον. R.

110. Ἴσα δ' ἐν ἡμέρῃς] ἴσον ἡμῖν αὐτοῖς χρόνον ἐπιβάλλει ὁ ἥλιος καὶ τοῖς ἐν ᾅδου δικαίοις· οὐκ ἐπὶ τῶν ἀδίκων δὲ ὁ λόγος, ἀλλ' ἐπὶ τῶν δικαίων. φησὶν οὖν, ὅτι τὸν ἥλιον ἔχουσι τοῦτον, καθ' ὃν ἐπιβάλλει αὐτοῖς χρόνον, ἀπονίστερον διάγοντες. V.

Ἄλλιον] Gl. ms. γ. φῶς ἄδυτον.

111. Ἀπονίστερον] ἄθλιον καὶ ἄλυπον Gl. ms. γ.

113. Οὐ χθόνα ταράσσοντες] οὔτε γεωργοῦντες, οὔτε πλέοντες, διὰ τὸ εἶναι αὐτοὺς εἶναι τὰ τῆς δικαίης. V.

114. Ἀλαῇ χειρῶν] τῇ παρεῷ τῇ ἐπὶ

τῆς χειρός· τινὲς δὲ ἀπούσασιν ἀλληγορικῶς· οὔτε πολιμοῦντες κατὰ γῆν, οὔτε ἀλλήλοις στόλους ἐπάγοντες κατὰ θάλασσαν· οὔτε ναυμαχοῦσι. V. ἐν χειρὸς ἀκμῇ. G.

116. Κυνὰν παρὰ δίαυταν] διὰ τὴν κυνὴν ᾗ ἄπορον δίαυταν· λέγει δὲ τὴν φυσίαν· οὐδὲ γὰρ περὶ τῆς αἰτίας τῆς φυσίας. οὕτινες οὖν, φησι, ἔχαιρον τοῖς δικαίοις, ἀπόνους καὶ ἀζασανίστους καὶ ἀδαπρυτὶ διάγουσιν. V. Δίον εἰστῖν κυνῶς καὶ ματαίως (ματαίως γὰρ οἱ ἄνθρωποι περὶ τὸ ζῆν σπεύδουσιν, ἴσως καὶ τὸ ζῆν μάταιον) κυνὰν εἶπε πρὸς τὸ δίαυταν. V.

122. Ὀκχίοντι] ὄκχος γὰρ τὸ ὄχημα, ὡς ἐν ἄλλοις οὗτος· (Olymp. vi. 40.)

"Ὄφρα κιλεύθῳ τ' ἐν καθαρᾷ
" βάσομεν ὄκχον." R.

Mss. β. γ. Schol. ὄκχος λέγεται τὸ μετέωρον τοῦ ὀχήματος, ἄγουν βόες, ἵπποι, ἡμίονοι, οἵτινες ὑφίστανται τὸ ὄχημα, ἅπερ * ἄδινον ἡ ἀδικία λέγεται, καὶ τὸ μετέωρον τῆς ἀδικίας.

123. Ὅσοι δ' ἰσόλμησαν ἰκ τρὶς] ὅσοι δὲ τρίτον ὑπέμειναν, ἐπατέρῳ τόπῳ μείναντες, ἤ τι τῷ ὑπὸ γῆν καὶ ὑπὸ χθόνα, ἐπαίσχυνθαι τῶν ἀδίκων ἔργων ἢ δικαία πράξαντες, ἐφάλησαν τὴν ὁδὸν ἣν ἔταξεν ὁ Ζεύς, ἣν μακάρων νῆσον ὀνομάζουσιν· ἣν δὴ Κρόνου Τύρσιν προσηγόρευσαν. Ἄλλως. ὅσοι δὲ ἐπατέρωσαν μέχρι τριῶν ἐμψυχώσιων εἰς ἑκάτερα τὰ μέρη, εἴς τι τὸν ἐν ᾅδου μετὰ θάνατον εἶς τι τὰ τῆς ζωῆς χρόνου, δίκαιοι γενέσθαι, δικαίως, καὶ τὴν ψυχὴν σῴαν φυλάξαι, οὗτοι ἐφάλησαν, εἰς ἣν ἔταξεν ὁ Ζεύς, ἤ ἐστι, εἰς τὰς μακάρων νήσους, ἔνθα Κρόνος ἔχει· τὴν ἰκεῖ κατοίκησιν· ἐν αἷς νήσοις, πλησίον οὔσαις τοῦ Ὠκιανοῦ, αἱ πολῖται καὶ ἡδεῖαι αὖραι πίπτουσι πνέουσαι, καὶ τὰ ἐν αὐταῖς ἄνθη, ὡς χρυσὸς φίλβει, τὰ μὲν ὄντα ἐκ τῆς γῆς, τὰ δὲ ἐκ τῆς τῶν ὑδάτων ἀτμῴδίας τρεφόμενα, οἱονεὶ ῥόδα, ὑάκινθος, ἴα· ταῦτα γὰρ ὕδατι τρέφεται. ἐξ ὧν ἀνθίων οἱ δικαιοι ταῖς ἑαυτῶν χερσὶν ὅρμους πλέκουσι καὶ στεφάνους. ἐνδέχνυται δὲ τὸ ὑπερβάλλον τῆς τέρψιως. τὴν δὲ τῆς μετεμψυχώσιως γνώμην Πυθαγόρας πρῶτος εἰσηγήσατο, ᾧ νῦν ὁ Πίνδαρος ἀκολουθεῖ. V.

Ibid. Ἔνιοι φασὶ, τῆς κατὰ Πυθαγόραν παλιγγενεσίας μνημονεύειν. οὗτος γὰρ τὰς ψυχὰς εἰς ἕτερα σώματα εἰσδυούσας φησὶν ἀναπεύσθαι." Ἄλλως. Τῷ τῆς μετεμψυχώσιως δόγματι ᾧ Πίνδαρος κέχρηται, ἀρχὴν ἐξ Ὁμήρου ἔχων. λέγει γὰρ ἐκεῖνος· (vid. supra) " Μάν' εἶπε, βουγάϊε, μήτε γένεο." ὁ Πυθαγόρας ἐκδεξάμενος πλατύτερον εἰς μέσον ἐξήνεγκεν. ὅτι δὲ καὶ Πλάτων τῶν τοῦτο πιστευόντων ἦν, μαρτυρεῖ Φαίδων. (Plat. Phæd. 30.) "Ο δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅσοι δὲ τῶν ἀνθρώπων ἐτόλμησαν καὶ ἠθέλησαν ἔχειν τὴν ψυχὴν ἄπο καὶ μακρὰν τῶν ἀδίκων πάμπαν καὶ παντελῶς, μείναντες ἐς τρὶς καὶ ἐκ τρίτου ἐκατέρωθι, ἦγουν ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ, ἔτειλαν καὶ ἐπορεύθησαν Διὸς ὁδὸν, ἦγουν, ἣν αὐτοῖς ὁ Ζεὺς ἔταξε, παρὰ τὴν τύρσιν καὶ τὴν πόλιν τοῦ Κρόνου, ἦγουν ἐν ταῖς τῶν μακάρων νήσοις. ἐγίνετο δὲ ἡ ἐκ τρίτου διαγωγὴ καὶ ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ, εἰς δόκιμον ἀφιξίς· αἱ δὲ τῶν μακάρων νῆσοι ἐν τῷ ὠκιανῷ εἰσίν· ὥς φησιν "Ομηρος· (Odyss. δ'. 568) " 'Ωκιανὸς ἀνίησι (παρεψυχὴν) " ἀναψύχειν ἀνθρώπους." R. (Sic et G.)

"Οσοι δ' ἰσόλμησαν] ὅσοι δὲ ἰσόλμησαν, τουτέστι, ὑπέμειναν μέχρι τρίτης μετεμψυχώσιως ἐν ἑκατέροις τοῖς μέρεσιν, ἤγουν ἐνταῦθα καὶ ἐν τῷ ᾅδῃ μείναντες, ἀπέχειν τὴν ψυχὴν, τουτέστι κέχωρισμένην ἔχειν τῶν ἀδικιῶν, ἔτειλαν, ἀντὶ τοῦ ἐξείλαντο, ἦγουν ἐπορεύθησαν τὴν τοῦ Διὸς ὁδὸν, ἣν ὁ Ζεὺς ὡρίσατο αὐτοῖς πορεύει, λέγω παρὰ τὴν πόλιν, ἔνθα ὁ Κρόνος ἔχει τὴν οἴκησιν, ἔνθα τὰς νήσους τῶν μακάρων αἱ τοῦ ὠκιανοῦ αὖραι περιπνέουσιν, ἀντὶ τοῦ, ἔνθα αἱ τῶν μακάρων εἰσὶ νῆσοι, ὑπὸ τῶν αὐρῶν τοῦ ὠκιανοῦ περιπνεόμεναι. R.

124. Μείναντες] Gl. ms. γ. βασάσαντες.

125. Ἀπὸ—ἔχειν] Gl. ms. γ. ἀποχωρίζειν.

126. "Ετειλαν.] ἐτιλίωσαν· περὶ τὴν Κρόνου βασιλείαν ἐτελείωσαν, ἦνυσαν, ἐπορεύθησαν· Διὸς δὲ ὁδὸν, ἣν ἔταξε τοῖς δικαίοις, τὴν τοῦ Διὸς διδευγμένην αὐτοῖς, ἢ τὴν ὑπὸ τοῦ Διὸς νομοθετηθεῖσαν. λέγει δὲ πρὸς τοῦ Διὸς πρίνεσθαι φαῦτον· τὸν γὰρ ἑκατέρωθεν μείναντα ἀναμάρτητον εἰς τὰς τῶν μακάρων νήσους πίμπεσθαι. V.

128. Μακάρων] Gl. ms. γ. ἁγίων.

129. Νᾶσον] Gl. ms. γ. τὸ Ἠλύσιον πεδίον.

130. Αὔρᾳ.] Gl. mss. α. β. γ. αἱ πνοαί.

"Ανθιμα δὲ χρυσοῦ φλέγει] ἔνθη δὲ χρυσοῦ λαμπρότατα λάμπει, τὰ μὲν, ἀπὸ τῆς γῆς, ἀπ' ἀγλαΐας, ἀντὶ τοῦ ἰσθαλῶν, δένδρων· ἄλλα δὲ τρέφει τὸ ὕδωρ. ἐφ' οἷς ἀναπλέκουσι ταῖς χερσὶ τοὺς περιτραχηλίους κόσμους καὶ στεφάνους, κατὰ τὰς πρίσεις τὰς δικαίας τοῦ Ῥαδαμάνθυος, ὃν ὁ πατὴρ πάντων, ὁ Κρόνος, ἔχει παρακαθήμενον ἑαυτῷ ἕτοιμον, τουτέστιν ἀχώριστον, ὁ ἀνὴρ τῆς Ῥέας τῆς ἐχούσης θρόνου ὑψηλότατου φάντων. R.

132. Τὰ μὲν χερσίθιν] διέτειλεν ἀπὸ

* Quæ sequuntur, etiam invenluntur in ms. Bodl.

τῶν δίνδρων τὰ κατὰ γῆν βλαστήματα, τουτέστι, τὰ χρείαν ἔχοντα ἀρδεύεσθαι. V.

135. Ὄρμοισι τῶν χίραι] ὄρμους. ἀντὶ τῆς αἰτιατικῆς τῇ δοτικῇ ἐχρήσατο. ὄρμοις οὖν λέγει τοῖς ἁλύγμασιν, οἷς τὰς κεφαλὰς στέφανοῦνται καὶ τὰς χεῖρας· ὄρμοισι, τοῖς ἁλύγμασιν, οἷς τὰς χεῖρας στέφανοῦνται καὶ τὰς κεφαλάς· ἢ τῶν ἀνθῶν ταῖς χερσὶν ὄρμους ἀναπλέκουσι καὶ στέφανους. V.

Ὄρμοισι τῶν] τοῦτο. οὕτω λέγει, τῶν καὶ, ἀφ' ὧν, ἀναπλέκουσι τὰς χεῖρας ἐν ὄρμοις καὶ ἐν στεφάνοις, ἑαυτῶν κεφαλὰς δηλονότι. καὶ ἔστιν ὅμοιον τῷ παρ' Εὐριπίδῃ· (Orest. 1086 sq.)

" Μήθ' αἱμά μου δίξαιτο παρσίμον πέδον
" Μὴ λαμπρὸς αἰθήρ· "

τὸ σπεῦμά μου δηλονότι. R.

137. Βουλαῖς ἐν ἐρεθείσιν] ὡς τοῦ Ῥαδαμάνθυος τοῦτο τοῖς δικαίοις παρεχομένου· ὑφίσταται γὰρ αὐτὸν τῶν μακάρων ἔρχοντα νήσων· ἢ ὡς τούτων μεταλαζόντων φύσεως δαιμονίας, οἵτινες ἐρθοὶ κατὰ βουλὴν καὶ δίκην τὸν τρόπον ἔχοντες, ὡς καὶ ὁ Ῥαδάμανθυς· ἢ συγχωρεῖντος τοῦ Ῥαδαμάνθυος· οὗτος γὰρ δικαιοπραγεῖ τοῖς ἐν ᾅδου· ἢ οὕτω· βουλαῖς ἐν ἐρεθείσι Ῥαδάμανθυος. ὁ γὰρ Ῥαδάμανθυς διακοσμεῖ τοῖς κάτω, ὑπηρετῶν τῷ Κρόνῳ. V.

138. Ὃν πατὴρ ἔχει Κρόνος] ἕτοιμον, τὸν δίκαιον τοῦ κληθῆναι ἐλθόντα, ὅντινα Ῥαδάμανθυν ὁ πατὴρ πάντων Κρόνος ὁ τῆς γῆς παῖς, ὁ ἀνὴρ τῆς τὸν ὕπατον ἐχούσης θρόνον Ῥέας, ἕτοιμον καὶ ἀχώριστον ἔχει πάρεδρον. V.

Ὅντινα Ῥαδάμανθυν ἔχει πάρεδρον καὶ συγκάθεδρον, ἕτοιμον καὶ πρόχειρον καὶ αὐτόκλητον, ὁ πατὴρ πάντων, Κρόνος, ὁ πρέσβις καὶ ὁ ἀνὴρ τῆς Ῥέας, τῆς ἐχούσης θρόνον ὑπέρτατον καὶ ἕδρας πάντων. R.

139. Πάρεδρον] Gl. ms. γ. πλησίον αὐτοῦ καθήμενον.

142. Πηλεύς τε καὶ Κάδμος] συγκαταλέγονται δὲ ἐν τούτοις δικαίοις ὅτι Κάδμος καὶ ὁ Πηλεύς. V.

Ὁ Πηλεύς τε καὶ ὁ Κάδμος ἐν τούτοις, τοῖς τῶν μακάρων νήσους λαχοῦσιν, οἰκεῖν δηλονότι, συγκαταλέγονται. καὶ τὸν Ἀχιλλέα ἤνεγκεν, ἀντὶ τοῦ πεμφθῆναι ἐποίησεν; ἡ μήτηρ αὐτοῦ ἡ Θέτις, ἵνα διὰ διάφορον ἔπεισε τὴν ψυχὴν τοῦ Διός· ὃς, ἤγουν ὁ Ἀχιλλεύς, ἔσφηλεν, ἀντὶ τοῦ κατέγραψε, τὸν Ἕκτορα, τὸν ἀκλινῆ κίονα τῆς Τροίας, τὸν ἄμαχον, τουτέστι, τὸν ἀνυπόστατον ἐν ταῖς μάχαις· καὶ τὸν Κύκνον, τὸν τοῦ Ποσειδῶνος δηλονότι, τῷ θανάτῳ παρέσχεν, ἤγουν ἐθανάτωσε· καὶ τὸν παῖδα τῆς Ἡμέρας τὸν Μέμνονα, τὸν ἀπὸ Αἰθιοπίας. εἰκότως εἶπε τὸν Ἕκτορα κίονα, ἐπεῖνος γὰρ ἦν ἵερισμα τῆς Τροίας, οὗ πεσόντος ἐπὶ σαθροῦ τὸ Ἴλιον ἐράπη. R.

Ἐν τοῖσιν ἀλίγονται] ἀριθμοῦνται, συγκαταλέγονται ἐν τοῖς ἰδιοτίσι, τοῖς κατοικοῦσι τὰς τῶν μακάρων νήσους. καὶ τὸν Ἀχιλλέα δὲ ἡ μήτηρ στεφηφόρα αὐτόθι ἤγαγεν, ἐπειδὴ τοῦ Διὸς τὴν ψυχὴν ἔπεισεν ἐπιείσας. V.

144. Λισταῖς] Gl. ms. γ. παρακλήσεσιν.

146. Ἄμαχον] Gl. ms. α. δύσμαχον, ἀκαταγώνιστον. γ. ἀκαταπόνητον.

Ἄμαχον, ἀσφαλῆ κίονα] μεταφορικῶς εἶπεν· ἀσφαλῆς δὲ λέγεται ὁ ἰσχυρὸς καὶ μὴ ῥᾳδίως συντριβόμενος. ἄσειστον καὶ ἀμετακίνητον. καὶ ἔστι κατὰ μετάθεσιν τοῦ σ εἰς τὸ φ καὶ ἀποβολὴν τοῦ λ. ἔστι γὰρ ἀσφελῆ, οἷον ἄσειστον, ἀσφαλῆ. V.

147. Κύκνον τε θανάτῳ πόρε] παραδίδωσι, τὸν Ποσειδῶνος καὶ Σαμανδροδίκης· οἱ δὲ Ἀρπάλης. Κύκνοι δὲ δύο, ὁ μὲν Ἄρεως ὁ δὲ Ποσειδῶνος· καὶ τὸν μὲν Ἄρεως παῖδα τὰ περὶ Θεσσαλίαν διαθέντα Ἡρακλῆς ἀπέκτεινε· τὸν δὲ Ποσειδῶνος Ἀχιλλεὺς τραυματισάμενον, καὶ συμμαχοῦντα τοῖς Τρωσίν. V.

Ἱστορία. Δύο Κύκνοι ἐγένοντο, ὁ μὲν Ἄρεως υἱός, ὃν Θετταλίᾳ τοὺς παριόντας λοχῶν καὶ ἀποκτείνων, καὶ βωμὸν ἐκ τῶν κεφαλῶν ναὸν ἀνεγεῖραι τῷ πατρὶ, ὃν Ἡρακλῆς ἀπέκτεινεν· ὁ δὲ Ποσειδῶνος, ναῦς ἔχων καὶ συμμαχῶν τοῖς Τρωσὶν, ἐτάμνετο ἐν σινῷ τῆς ἐκεῖ θαλάσσης, καὶ οὐκ ἐῶν τοὺς Ἕλληνας ἀποβῆναι· ὃν Ἀχιλλεὺς ἀπέκτεινεν. R.

148. Λεῦς τε παῖδ' Αἰθίοπα] τὸν Μέμνονα, τὸν Τιθωνοῦ τοῦ Λαομέδοντος καὶ Ἠμέρας. Ταῦτα δέ λέγουσιν οἱ τὰ μετ' Ὅμηρον γράψαντες οὕτω· Τιθωνῷ γίνονται ἐξ Ἠμέρας παῖδες δύο· Μέμνων καὶ Ἡμαθίων. καὶ Μέμνων μὲν ἀνῃρέθη ὑπ' Ἀχιλλέως, Ἡμαθίων δὲ ὑπὸ Ἡρακλέος, κατὰ τὸν ἀπέλασιν τῶν Γηρυόνου βοῶν. ἰμυθισαίλο δὲ αὐτοὺς Ἠμέρας υἱοὺς παῖδας, διὰ τὸ, Αἰθίοπας ὄντας, λευκοὺς καὶ ὡραίους εἶναι. R.

149. Πολλά μοι ὑπ' ἀξόνιος] πολλὰ βέλη ταχέα ὑποκάτω τοῦ ἀξονίου μου ἐστὶν, ἔνδον τῆς βιλοθήκης, φωνᾶεντα, ἤγουν φωνὴν ἀφιέναι δυνάμενα συνετοῖσιν, παρὰ τοῖς φρονίμοις, ἀντὶ τοῦ· πολλὰ νοήματα ἐξία ἐν τῇ ψυχῇ μου ἐστὶ ζῶντα παρὰ τοῖς φρονίμοις, ὡς ἐπίσταν δὲ ἑρμηνίων ἔχει χρείαν· φωνέοντα, τὰ φωνὴν ἀφιέναι δυνάμενα. φωνέοντα δὲ γράμματα, τὰ φωνεῖσθαι μόνον δυνάμενα, παρ'

ἰναντιώτατα τῶν συμφώνων, ἃ σὺν τοῖς φωνήεσιν ἀεὶ ἐκφωνεῖται, καὶ οὐδέποτε μόνα. R.

150. Ὠκέα βέλη] τροπικὸς ὁ λόγος· βέλη δὲ τοὺς λόγους εἶπεν διὰ τὸ ἐξὺ καὶ καίριον τῶν ἐγκωμίων· φαρέτρης δὲ, τῆς διανοίας. τὸ δὲ ὑπ' ἀγκῶνος, ὡς πρὸς τὸ φαρέτρας ἀκουστέον. οὕτω καὶ ὁ βουκόλος (Theocritus Id. 17, 30.) " ὑπωλένιόν τι " φαρέτραν" λέγει. V.

152. Φωνᾶντα] Gl. ms. γ. συμφωνοῦντα.

153. Ἑρμηνέων χατίζει] εἰς δὲ τὸ ποιηθὲν καὶ εἰς τοὺς πολλοὺς καὶ χυδαιοτέρους ἐρχόμενοι ἑρμηνέως χρῄζουσιν· ἤτοι περὶ τῶν ποιημάτων ἑαυτοῦ διαλέγεται. οἶδε γὰρ, ὅτι πολλῇ ἰσορίᾳ κέχρηται καὶ σχήμασιν ἐξηλλαγμένοις, καὶ φράσει ποικίλῃ. ἴχει γὰρ ὑπερβατὰ πολλά. τὰ ποιήματα οὖν, φησὶ, τὰ ἐμὰ ἑρμηνέων χρῄζει, οἷον, οὐδὲν ἐστι, ἃ μὴ χρῄζει ἑρμηνέων. αὐτὸς γὰρ οὐ δύναται διὰ τὸ πλῆθος ἐξιστῶν πάντα. ὅμοιον δέ ἐστι τῷ (Homer. Iliad. β. 488.)

" Πληθύν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ'
" ὀνομήνω*." V.

154. Σοφὸς ὁ πολλὰ εἰδὼς] ὁ λόγος γνωμικός· καὶ σοφός ἐστιν ὁ πολλὰ ἱστάμενος ἐκ φύσεως, ὁ φύσιν πρός τι ἔχων. τῶν γὰρ μαθητῶν, οἱ ἐκ φύσεως ἱκανοὶ, βελτίους· ἐκεῖθεν καὶ πρεσβυτέρα τῶν μαθημάτων ὁ φύσις· οἱ δὲ ἀπὸ μαθήσεως βουλόμενοι ἥκειν, καὶ ἐκ πολλῶν συνίεντες, ὃν τρόπον καὶ οἱ πικράκται κόρακες καὶ μάστιν φλυαροῦντες, ἀτιλῆ καὶ πτερύττα καὶ ἀσύντα φθέγγονται, πρὸς τὸν συντὸν καὶ θεῖον ὄρνιν τοῦ Διὸς, τὸν ἀετὸν, ἀντιβοῶντες. ἀποστέλλεται δὲ πρὸς τὸν Βακχυλίδην. γέγονε γὰρ αὐτῷ ἀνταγωνιστὴς τρόπον τινὰ καὶ εἰς τὰ αὐτὰ καθῆκεν ἑαυτόν. V.

155. Φυᾷ] ἀντὶ τοῦ φύσει, τουτέστιν ἀπὸ φύσεως. φυὴ ἡ ἀναδρομὴ τοῦ σώματος. ἐνταῦθα δὲ φυᾷ, ἀντὶ τοῦ φύσει. οἱ μαθόντες δὲ, ἀντὶ τοῦ, οἱ ἀπὸ μαθήσεως δὲ εἰδότες καὶ οὐκ ἀπὸ φύσεως, πρὸς τὸν ἔχοντα δηλονότι τὴν ἰσχὺν ἀπὸ φύσεως ὥσπερ κόρακες, λάζρως γαρύουσιν, ἀντὶ τοῦ πράζουσιν, ἀπείραντα. παγγλωσσίᾳ, τουτέστι, συγκεχυμέναις φωναῖς, πρὸς τὸν θεῖον ὄρνιθα τοῦ Διὸς, ἤγουν τὸν ἀετόν. R.

Φυᾷ, ἤγουν ἐκ φύσεως καὶ οὐκ ἀπὸ μαθήσεως ὄντα. τοιοῦτος δὲ ἐγὼ, πάντα σχήμασι καταποικίλλων τὰ ποιήματα, καὶ φράσει ποικίλῃ, καὶ πολλοῖς ἄλλοις, ἃ οἶκεθεν καὶ οὐκ ἀπὸ μαθήσεως ἐξεῦρον καὶ ἐμηχανησάμην. οἱ δὲ μαθόντες γαρύεσθον καὶ βοῶσιν ἄπραντα καὶ ἀτιλείωτα, λάζρως καὶ σφοδρῶς ἐν παγγλωσσίᾳ καὶ πολυλογίᾳ, ὥσπερ κόρακες πρὸς τὸν θεῖον ὄρνιθα τοῦ Διὸς, ἤγουν ἐμέ. τουτέστιν, οἱ μὲν ἄλλοι ποιηταὶ (λέγει δὲ διὰ τὸν Βακχυλίδην, οὗτος γὰρ ἀντήριζεν αὐτῷ) πιεστολόγοι εἰσὶν ἐν τοῖς αὐτῶν ποιήμασι, καὶ ἄπραντα λέγουσιν· ἐγὼ δὲ τὸ πρεσβῆον πανταχοῦ τηρῶ, καὶ οὐκ ἐκφέρομαι τοῦ εἰκότος. ὅτι ἐκεῖνοι μὲν, τοιοῦτοι ὄντες, κόρακές εἰσιν ὡς πρὸς ἐμὲ, ἐγὼ δὲ αἰετός· ὅσῳ γὰρ αἰετὸς κόρακος κρείττων, τοσοῦτον ἐγὼ τούτων βελτίων. Item R.

156. Λάζρει] Gl. ms. γ. τόματι ἀνηγμένῳ βοῶσιν ἀτιλείωτα.

158. Ἄπραντα γαρύεσθον] οἱ φύσει χρέμενοι, λαμπροί· οἱ δὲ μαθόντες ἄπραντα γαρύειν, ἤγουν ἀσεσυὶς εἰσὶ τῶν καθ' αὑτοὺς ὅ τι δήποτε μαθόντων ἢ ἱστησαμένων. τὸ δὲ γαρύεσθον, κακῶς. οὐδὲ γὰρ ἐπὶ δυϊκοῦ βούλεται ἡ λέξις, οὐδὲ ὑπὲρ δύο κοράκων, ἀλλ' ὑπὲρ πολλῶν· ὥσπερ κόρακες φιλοπτοῦσι πρὸς αὐτὸν, οἱ διδακτοὶ πρὸς τοὺς φύσει αὐτοδιδάκτους. αἰνίττεται δὲ εἰς Σιμωνίδην. V.

160. Ἔπιχε] Gl. mss. β. γ. Ἔντεινε.

Ἔπιχε νῦν] μυθίλλων ἑαυτὸν, φησὶν, ἐπὶ τὸν σκοπὸν ἔτεινε τὸ τόξον. Ἔπιχε νῦν σκοπῷ· ἀπίστρεψε τὸν λόγον πρὸς ἑαυτὸν, καὶ φησὶν, ὅτι, ἐπάνελθε εἰς τὸν ἐξ ἀρχῆς σου σκοπὸν, καὶ τὴν σπουδὴν, τὴν περὶ τοὺς Θήρωνας ἐπαίνους. δι' ἄλου δὲ τὴν τοῦ τόξου ἐφύλαξε τροπήν. τὸ δὲ, τίνα βάλλομεν, τίνα ἔχομεν θαυμάσαι ἐκ τῆς ἰδίας διανοίας. Τίνα βάλλομεν, δηλονότι σκοπὸν τὸν νικηφόρον. μή πως δὲ βίλλομεν ἀκούειν σκοπὸν, τὸν Ἀπράγαντα· καὶ γὰρ ἐπιφέρει· ἐπὶ τοι Ἀπράγαντι τανύσαις· ἐκ τούτου σημαίνει τὸν εὔκαιρον καὶ εὔστοχον λόγον. V.

Ἀντὶ τοῦ, ἐπίχων ἥδη ἔντεινε, ὦ θυμὲ, κατὰ τοῦ σκοποῦ τὸ τόξον, ἀντὶ τοῦ, χαλιναγωγῶν τὸν λόγον ἀπὸ τῶν ἴξων τοῦ καιροῦ ἐπὶ τὴν προκειμένην ὑπόθεσιν ἀπότεινε. R.

Ἄγε, εἰπὲ, ὦ θυμὲ, ἤγουν ὦ ψυχὴ, τίνα βάλλομεν, ἤγουν τοξεύομεν, εἴσους πίπτοντες ἐνδέξους, ἀπὸ ἡμέρου καὶ φιλικῆς φρενός ; τουτέστιν, τίνα ἐγκωμιάζομεν ; ἐπὶ τὸν Ἀπράγαντα τάνυσον, ἤγουν ἵλκυσον, τὸ τόξον δηλονότι, ἀντὶ τοῦ ἐπὶ τὴν Ἀπραγάντα ἀπότεινε τὸν λόγον. Item R.

162. Ἐκ μαλθακᾶς αὖτι φρενὸς] τοῦτο εἶπε θεραπεύων τὸ σκληρὸν τοῦ λόγου. τὸ

* Alter τὸ πᾶν interpretatur *apud vulgus*: alter, *multitudinem dicendorum*. γ. Not. Quod non πᾶν, sed πὰν sit, neuter monet: vt in πανάποτμος, πανάωρος corripitur.

" ἵν' ἀφέρμαθέντες ὑψηλὰν πόλιν ἀμφι-
" νίμωνται, πλεῖστα μὲν δῶρ' ἀθανάτοισιν
" ἀνίσχοντες, ἔπιτο δ' ἀινήμονι πλούτου
" νίφος." V.

16. Ἀρίσαρχος τὴν πόλιν οἴκημα ποταμοῦ προσηγορεύσθαι φησί, διὰ τὸ ὁμώνυμον εἶναι τῷ ποταμῷ Ἀκράγαντι. τὴν γὰρ ὀνομασίαν ἡ πόλις ἀπὸ τοῦ ποταμοῦ ἔσχεν. Ἀρτίμων δέ, ὁ ἀπὸ Περγάμου, τὴν Γίλλαν οἶπαι διῖν ἀκούειν. καὶ γὰρ ταύτην ὁμώνυμον εἶναι Γίλλα τῷ ποταμῷ, τοὺς δὲ Ἀκραγαντίνους Γελώων εἶναι ἀποίκους· ὥστε τῶν πατέρων ἄμοτον ἐν Γίλλᾳ ἐπὶ τῶν τοῦ Θήρωνος προγόνων συντυχθαι. πεφαλαιώδει δὲ χρῆται τῷ λόγῳ· τὸ δὲ παμόντες, ἴρη, προσήκειν μᾶλλον ἀκούειν ὑπὲρ τῶν τὴν Γίλλαν ἐκτικότων, ἀλλ' οὐ τὴν Ἀκράγαντα. οἱ μὲν γὰρ ἀπὸ τοῦ ῥάφου συνῳκίσθησαν, οἱ δὲ χαλκιπῶς καὶ μόλις. Ἀντίφημος γάρ ὁ Ῥόδιος καὶ Ἔντιμος ὁ Κρὴς, οἵτινες εἰς Γίλλαν στέλλαντες ἀποικίαν, πρῶτον μὲν περὶ τὴν συναγωγὴν ἔκαμον οὐ μετρίως, συναθροίζοντες τοὺς ἐκ Πελοποννήσου καὶ Ῥόδου καὶ Κρήτης εἰς τὸ περὶ τὸν διάπλουν, εἶτα περὶ τὸν οἰκισμόν, καὶ πάλιν διαγωνιζαμένου πρὸς τοὺς Σικανούς. Μητρόκλης δὲ φησι, λεκτέον τὸν Ἀρίμονα. μὴ γὰρ καμεῖν τοὺς περὶ Ἀντίφημον περὶ τὴν ἀποικίαν, ἀλλὰ μᾶλλον κατὰ ἐνστάσειαν πολλὴν αὐταῖς πάντα συμβεβηκέναι. περί τινων οὖν λέγει, καμόντες οὐ πολλά; περὶ τῶν Θήρωνος προγόνων. Τούτους γὰρ Θηβαίους ἀνέκαθεν ἀπὸ Κάδμου εἶναι. Κάδμου γὰρ Πολύδωρος· τοῦ Λίμων· τοῦτον δὲ ἐν πυνηγεσίᾳ ἐμφύλιόν τινα ἀποκτείναντα Ἀθήναζε ἀποπλεῖν· τοὺς δὲ ἀπὸ τούτου πάλιν ἐξ Ἀθηνῶν ἀποστάντας σὺν τοῖς Ἀργείοις Ῥόδον κατοικῆσαι, καὶ μετὰ ταῦτα ἐλθεῖν εἰς Ἀκράγαντα, καὶ μέχρι Θήρωνος [εἴκοσι] ἐντὰ γενεὰς συναριθμεῖσθαι. ἴσως οὖν περὶ ταῦτα ἀφορᾶν ὁ Πίνδαρος φησί· " Καμόντες
" οἱ πολλὰ θυμῷ. Ἱερὸν ἔσχον οἴκημα Πο-
" ταμοῦ." Οἴκημα δὲ ποταμοῦ τὴν πόλιν εἶπε, διὰ τὴν ὁμωνυμίαν. λείπει δὲ ἡ ἐπί, ἵνα ᾖ, τὸ ἐπὶ τοῦ ποταμοῦ οἴκημα ἔσχον, τὴν πόλιν. V.

17. Σικελίας σ' ἦσαν ἀφθαλμός] οἱονεὶ τὸ ἐξαίρετον καὶ λαμπρότερον ἦσαν τῆς Σικελίας. ἀξιολογώτερόν γάρ ἐν σώματι ὁ ὀφθαλμός· ὧν εἶπε· περίβλεπτοι ἦσαν. V. Ὀφθαλμὸς] Gl. ms. γ. Φῶς καὶ δᾶξα. α. Ἀσφαλὴς φυλακή.

18. Αἰὼν] Gl. ms γ. Ζωή.

Αἰών σ' ἴφικτο] ἐπηκολούθησε δὲ τὴν εὐδαιμονίαν ἐπισήμων ταῖς γνησίαις αὐτῶν ἀρεταῖς. ἢ οὕτως· εὔμοιρος βίος ἐπηκολούθησεν αὐτοῖς ἐκ πατρωμίτης τινὸς, ὡς καὶ παρ' Ὁμήρῳ· (Iliad. γ'. 182.) " Μοιρη-
" γενὶς, ὀλβιόδαιμον." Γνησίαις δὲ, ἰδίαις, γνήσια γὰρ τὰ ἴδια τοκήματα, καὶ τὰ ἐκ παμάτων, καὶ οὐκ ἐξ ἐπισάκτων. ἢ γνησίαις ἀρεταῖς, ταῖς ἐκ γένους συγγιγνομέναις αὐτῷ. V.

19. Μόρσιμος. Gl. ms. α. δυσυχής*.

20. Χάρις] εὐφροσύνην Gl. ms. α.

22. Ἀλλ' ὦ Κρόνιε παῖ] ὁ νοῦς· ὦ Ζεῦ, τὸν οὐρανὸν κοσμῶν. καὶ τὸ, ἡσθείς τούτοις τοῖς ὕμνοις, αὔξησον ἵστ, καὶ ἐπισπλίσω ἀβλαβῆ αὐτοῖς τὴν πατρῴαν γῆν διαφύλαξον.

Ἀλλ' ὦ Ζεῦ ἐν τῷ Κρονίῳ λόφῳ τιμώμενε, παῖ τῆς Ῥέας, ὁ διοικῶν τὸ ἴδαφος τοῦ οὐρανοῦ, περιφερτικῶς ἄγων τὸν οὐρανὸν, καὶ τὴν περυφὴν τῶν ἄθλων, τουτέστι, καὶ τὰ ἐξαίρετα ἄθλα τὰ ἐν Ὀλυμπίᾳ διδόμενα, καὶ τὸ ῥεῦμα τοῦ Ἀλφειοῦ, ἄγουν τὸν Ἀλφειὸν, περιβλεπτοῖς τοῖς παροῦσιν ὕμνοις, εὔφρων, ἀντὶ τοῦ ἀκμίνοις, ἐπισπλίσω ἐπιμελείας ἀξίωσον τὴν πατρικὴν αὐτῶν ἄρουραν, ἀντὶ τοῦ τὴν γῆν, χάριτι τοῦ ἐπιλοίπου γένους αὐτῶν. (γθ) τὸ δὲ τέλος τῶν πεπραγμένων ἐν δίκῃ τι καὶ παρὰ δίκαν, ἄγουν δικαίως καὶ ἀδίκως, τυτίχειν ἐν παντὶ τρόπῳ, ἀσοίητον, ἄγουν μὴ γεγενημένον, οὐδὲ ὁ χρόνος, ὁ πάντων πατὴρ, δύναιτο ἂν ποιῆσαι. λάθη δὲ τοῦ πεπραγμένου γένοιτ' ἂν σὺν τύχῃ εὐτυχεῖ. ὑπὸ γὰρ τέρψεως ἀγαθῶν βλάβη δεμασθεῖσα θνήσκει, ἀντὶ τοῦ ἀποκρύπτεται, ἐκπίπτει τῆς μνήμης. παλίγκοτος γινομένη δηλονότι, ἄγουν εἰς τοὐπίσω τὴν ἐπιμονὴν τῆς λύσης τοῦ κακοῦ τρέπουσα. R.

23. Νίμων] οἰκῶν. καὶ Ὅμηρος· (Iliad β'. 449.) οἳ τ' ἀμφ' Ἄρμ' ἐνέμοντο, ἀντὶ τοῦ ᾤκουν. V. Διακῶν, κυδιόντων Gl. mss. α. β.

26. Ἰαπυθὶς] Gl. mss. α. γ. εὐφροσυθείς.

27. Εὔφρων] καλῶς διανοούμενος, εὐμενὴς ὤν, ἵστ καὶ ἐπισπλίσω τὴν πατρῴαν γῆν αὔξησον, τῷ λαπτῷ γένει. λέγει δὲ αὐτῷ τῷ Θήρωνι. ἤτι, ἵνα τῇ προσούσῃ εὐδαιμονίᾳ ἵστ καὶ τοῦτο ὁ Ζεὺς παρασχῇ. V.

28. Κάμοντ] αὔξησον. εὔχεται τοὺς ἀπογόνους Θήρωνος ἄρχειν τῶν Ἀκραγαντίνων. V.

29. Λαπτῷ γένει] τῷ περὶ Θήρωνα καὶ Μιτοπράκτην, ἀδελφούς. συγγενεῖς δὲ οὗτοι Ἱέρωνος, τοῦ Αἰτναίων βασιλέως. V.

Πεπραγμένων] Gl. ms. γ. συμβάντων

* Sed debet esse εὐτυχὴς, licet in utramque partem accipiatur epitheton μόρσιμος. Ed. Oxon.

ἔργων, ἃ τὰς καποσαθείας ἐξ ὑπίσησαν καὶ ἐν τῇ Ῥόδῃ καὶ ἐν τῇ Σικελίᾳ.

29. ὁ Θήρων θυγατέρα ἑαυτοῦ ἐξίδωκε πρὸς γάμον Πολυζήλῳ, τῷ ἀδελφῷ Ἱέρωνος, ὃς τιμηθεὶς ὑπὸ Ἱέρωνος πολιμήσας τοὺς περιοίκους Σικελιώτας βαρεῖαρος, ἔπαυσι τὸν πόλιμον χωρὶς τῆς τοῦ Ἱέρωνος γνώμης, καὶ διὰ τοῦτο ἐν ὑφοράσει ἦν. Θρασυδαίου δὲ, τοῦ Θήρωνος υἱοῦ πισάντος τὸν Πολύζηλον ἐπιθίσθαι τῷ Ἱέρωνι, ὑπισχνουμένου αὐτοῦ τοῖς πράγμασι συναντιλήψισθαι, γνοὺς ὁ Ἱέρων, ἔκρινεν αἱρήσιν τὴν Ἀκράγαντα, καὶ Θήρωνα καὶ Θρασυδαῖον. μιλλόντων δὲ τῶν φίλων, ἵπιμψι Σιμωνίδης ὁ λυρικὸς πρὸς αὐτὸν συμβουλεύων, ἐκπαράξαι μᾶλλον βουλόμενος τῷ μηνύσι τὴν μέλλουσαν αὐτῶν προδοσίαν εἶναι καὶ τοὺς προδιδόντας. ὁ δὲ ἐυλαβηθεὶς ἐξεχώρησε τῶν πραγμάτων τῷ Ἱέρωνι, ὕστερον δὲ ἀφίλαβεν ἀφ' αὐτοῦ τὴν συναυλίδα, καὶ διελύθησαν τῆς ἔχθρας, ὡς καὶ κηδίαν τινὰ πρὸς ἀλλήλους ποιήσασθαι, ἀδελφὴν Θήρωνος Ἱέρωνος λαβόντος γυναῖκα· ἦσαν ὁ Πίνδαρος παρακίμψασθαι παραινῖ τὰ προγεγιναμένα. Ἄλλος. ζητεῖται, δι' ἣν αἰτίαν ἐυξάμενος τῷ Θήρωνι τὰ κάλλιστα, κατάπαυσιν τῶν πραχθέντων δεινῶν αἰτεῖται τὸν Δία. Καὶ ὁ μὲν Ἀρίσταρχός φησι, διὰ τὸ κιμπλίναι τοὺς τοῦ Θήρωνος πατέρας κατὰ τὴν Ῥόδον, τῶν πραγμάτων ταπιεζομένων, καὶ οὕτω τὴν μετοικίαν εἰς τὴν Σικελίαν στιλαμένων· ὁ δὲ Δίδυμος τὸ ἀκριβέστερον τῆς ἱστορίας ἐκτίθεται, μάρτυρα Τίμαιον, τὸν συντάξαντα τὰ περὶ τῆς Σικελίας, προφερόμενος. ἡ δὲ ἱστορία οὕτως ἔχει· Θήρων, ὁ τῶν Ἀκραγαντίνων βασιλεὺς, Γέλωνι τῷ Ἱέρωνος ἀδελφῷ ἐπιπηδύσας γάμῳ συνάπτει τὴν αὐτοῦ θυγατέρα Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτιον νόμισμα ἐν Σικελίᾳ. ποῦ δὲ Γέλωνος στιλιτεῦσαι τὸν βίον μέλλοντος, Πολύζηλος ἀδελφὸς τὴν τραπηγίαν καὶ τὴν γαμετὴν τοῦ ἀδελφοῦ διαδέχεται, κατὰ τὰς Γέλωνος προσάξεις. ὕστερ τὸ Θήρωνος εἰς Γέλωνα πᾶθος, εἰς τὸν Πολύζηλον μεταπιθέσθαι. λαμπρῷ δὲ καὶ περιβλέπτῳ συγχάνοντι κατὰ τὴν Σικελίαν Ἱέρωνι φθονήσας, ὁ ἀδελφὸς, καὶ προφάσιν σκηψάμενος τὸν πρὸς Συβαρίτας πόλιμον, ἀπελαύνει τῆς πατρίδος ἀλλὰ καὶ τοῦτον κατώρθωσε τὸν πόλιμον ὁ Πολύζηλος. ὁ δὲ, μὴ φέρων, γυμνότερον αὐτοῦ κατηγορεῖν ἐπειρᾶτο νεωτερισμοῦ· καὶ οὕτω τὸν Θήρωνα, ὑπεραγανακτήσαντα θυγατρὸς ἅμα καὶ γαμβροῦ, συρρῆξαι πρὸς Ἱέρωνα πόλιμον περὶ Γέλλᾳ, τῷ Σικελιωτικῷ ποταμῷ, ἃ Καλλίμαχος (Fragm. t. i. p. 557. Ern.) μέμνηται· "οἱ δὲ Γέλᾳ ποταμῷ ἐπικεί-" μενον ἄστυ." μή γι μὴν εἰς βλάβην, μηδὲ εἰς τέλος περοχαρῆσαι τὸν πόλιμον. φασὶ γὰρ τότε Σιμωνίδην τὸν λυρικὸν περιστυχόντα διαλῦσαι τοῖς βασιλεῦσι τὴν ἔχθραν. τούτους οἰκεῖον τοῖς φθάσασιν εὐχισθαι τῷ Διΐ φησι τὸν Πίνδαρον ὁ Δίδυμος, ὅτι λοιπὸν αὐτοῖς ἱερηναῖον εἶναι τὸν βίον, ἡ οὖν διάνοια αὕτη· σὺ μὲν, ὦ Ζεῦ, παράσχοις πάντα τὰ κάλλιστα, καὶ πρὸς τῇ εὐεργ ἰυδαιμονίᾳ πλείονα δοίης ἀγαθά. εἰ δέ σι ἐν τοῖς φθάσασι χρόνοις συμβέβηκεν ἄτοπον, εἴτε δικαίως, εἴτε μὴ, τούτῳ οὐχ οἷόν σέ ἐστιν, οὔτε αὐτῷ τῷ χρόνῳ, ὅστε μὴ γιγεπημένον ποιῆσαι· τὸ γὰρ γενόμενον ἀγένητον ποιῆσαι ἀδύνατον. ἴσως δὲ λάθη ἔν τις γένοιτο τῶν καλῶν, ἀγαθῆς μοίρας διαδεξαμένης. V.

30. Ἐν δίκῃ σι καὶ παρὰ δίκαν] Gl. ms. γ. καὶ μετὰ δικαιοσύνης καὶ ἔξω δικαιοσύνης.

31. Ἀτοίητον] Gl. ms. γ. ἀπιήρατον.

Οὐδ' ἂν χρόνος] τῶν πεπραγμένων ἔργων τὸ τέλος ἀτείητον καὶ ἀγένητον ἀπέφηνε· οὐδ' ἂν ὁ πάντων πατὴρ χρόνος δύναιτο, ἀλλὰ ἀδύνατον. καὶ "Ὁμηρος· (Iliad. ί, 249. sq.)

" Οὐδέ τι μῆχαρ
" Ῥηϊδίοιτος κακῶ οὔτ' ἄπος οὐρεῖν." V.

34. Λάθα δὲ πότμῳ] τῶν δὲ κακῶν γένοιτο ἂν λάθη, διαδεξαμένης εὐδαιμονίας. ἃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι οἱ περὶ Θήρωνα τὰ ἀνήκεστα δεδυστυχήκασιν, ἀλλ' εἰς λήθην αὐτῶν ἐξίστησι ἡ δυτυχία διὰ τὴν ἐπισυμβᾶσαν εὐτυχίαν. V.

35. Χαρμάτων] Gl. ms. β. τέρψεων.

Ἐσθλῶν γὰρ ὑπὸ χαρμάτων] ὑπὸ γὰρ τῆς χαρᾶς τῶν γιγεπημένων ἀγαθῶν τὸ κακὸν ἀφανίζεται. καὶ τὸ παλίγκλαυτον καὶ ἄτοπον δαμασθὲν καὶ ἀναιρεθὲν ὑφ' ἡδονῆς ἔπεται, μάλιστα ὅλεθρον ἐπιγινομένου ὑψηλῆ ἐπὶ ἴσης μοίρας. V.

36. Πῆμα θνάσκει] τὸ δὲ τραχὺ πῆμα νικᾶται ὑπὸ τῆς ἀγαθῆς χαρᾶς, καὶ ἀφανίζεται ὑπόταν εἰς ὕψος τὴν εὐδαιμονίαν ἀναφίρῃ ἡ μοῖρα, καὶ ὅταν τὴν εὐδαιμονίαν εἰς ὕψος ἄγῃ. V.

37. Ὅταν Διὸς μοῖρα] ἤγουν εὐτυχία, τουτέστιν, ὅταν Διὸς πίμπῃ μεγάλην εὐδαιμονίαν ἐνικᾶς, ἤγουν εἰς παράτασιν χρόνου μακρόν. ἐπιδὴ τὸ γένος πλησθὲς ἐστι, διὰ τοῦτο εἶπε τὸ, σφίσιν. ἔστιν οὖν τὸ μὲν πόμισον, πρὸς τὸ, λοιπῷ γένει, τὸ δὲ πατρίαν, πρὸς τὸ, σφίσιν· ἴν' ᾖ, τὴν πατρικὴν αὐτοῖς γῆν. τῷ λοιπῷ δὲ γένει νόει, ἅστε ἀπὸ γένης τοῦ Θήρωνος, ἢ τῷ Θήρωνι καὶ τοῖς περὶ αὐτὸν, ὃ καὶ κρεῖττον. δίον δὲ εἰπεῖν εὐφρόνα πρὸς τὸ ἄρουραν, εὔφρον εἶπε, πρὸς τὸ πόμισον. λέγει δὲ ὅτι, εἰ καὶ οἱ πατέρες τοῦ Θήρωνος πολίμοις καὶ στάσεσιν ἐχρήσαντο, ἀλλ' ἱερηναίαν τὴν ζωὴν Θήρωνι καὶ τοῖς περὶ αὐτὸν ποίησον. Ἱστορία. Ὁ Θήρων

οὗτος, Ἀκραγαντίνων βασιλεύων, Γέλωνι τῷ Ἱέρωνος ἀδελφῷ ἐπικηδεύσας γάμῳ συνέστει τὴν αὐτοῦ θυγατέρα, Δημαρέτην. τῷ δὲ Γέλωνος τελευτήσαντος Πολύζηλος ὁ ἀδελφὸς αὐτοῦ τὴν βασιλείαν καὶ τὴν γαμετὴν αὐτοῦ διαδέχεται. λαμπρῷ δὲ ὄντι αὐτῷ κατὰ τὴν Σικελίαν Ἱέρων ὁ ἀδελφὸς φθονήσας καὶ προφασισάμενος τὸν πρὸς Συβαρίτας πόλεμον, ἐξάγει σὺν αὐτὸν τῆς νήσου. κατωρθωκότος δὲ καὶ τοῦτον τὸν πόλεμον Πολυζήλου, ὁ Ἱέρων οὐκ ἴσχων, ὅ τι καὶ γένοιτο, πρὸς αὐτὸν ἐπιρᾶτο νεωτερίζειν. Θήρων οὖν, ὑπεραναπτήσας θυγατρὸς ἅμα καὶ γαμβροῦ, συμβάλλει πρὸς Ἱέρωνα ἠξούλιτο πόλιμον, ὃν Σιμωνίδης ὁ Λυρικὸς κατακαύει διαλλάξας, ὡς καὶ πηδῆσαι πρὸς ἀλλήλους ποιήσασθαι, Ἱέρωνος λαβόντος τὴν τοῦ Θήρωνος ἀδελφήν. φασὶ δέ τινες, τὸ πεπραγμένον ἀντὶ τοῦ συμβάντων τοῖς προγόνοις καμάτων. ἄνω γὰρ εἶπε· Καμόντες οἳ πολλὰ θυμῷ. τὸ Διοῦ ἢ πρὸς τὸ ἄλσος, οὕτω· τὸν ἄλσον τοῦ Διοῦ ἦσαν τὴν πηρὰ θεῶν ἀνθρώπως εὐδαιμονίαν· ἢ πρὸς τὸ μοῖρα, οἱ γὰρ Διοὶ τοῖς ἀνθρώποις τὴν μοῖραν ἐπαίμπουσιν. Ὁμηρικὸς ζῆλος τὸ εὐθρόνους. ἐπεὶ γὰρ τοῖς ἐπιθέτοις πεσμεῖ τὰς γυναῖκας, ἤγουν Λευκώλενος Ἥρα, καὶ Γλαυκῶπις Ἀθάνα, καὶ Ἀργυρόπεζα Θέτις. R.

39. Ἔστιται δὲ λόγος] εἰκειόσασα πρὸς τὴν γνώμην ἑαυτοῦ καὶ τὸ παράδειγμα ἐκφέρει. μᾶλλον δὲ λαμβάνει, ὅτι τοὺς προδυσχήσαντας εὐδαιμονία διαδέχεται, ὅστις καὶ τὰς Κάδμου θυγατέρας. ὁ αὐτὸς γὰρ λόγος καὶ ἐπ' αὐτῶν ἁρμόσει. αὗται γὰρ τὸ μὲν πρότερον εἰς τοσαύτην δυστυχιῶν ὑπερβολὴν ἐλαύνουσιν, ὅστι καὶ τραγικαῖς ὑποθέσεσι χορηγίαν παρασχεῖν· ἀλλ' ἰφάμιλλος καὶ εὐδαιμονία τὰς πόρας διαδέχεται. τούτων δὲ μέμνηται, ἐπεὶ ὁ Θήρων εἰς Λαΐου ἀνάγει τὸ γένος. Ἄλλως. Ἔστιται δὲ λόγος· οὗτος ὁ λόγος ἀπολοῦται καὶ ταῖς τοῦ Κάδμου πόρπαις, μιγάλων γὰρ κακῶν τυχοῦσαι, πάλιν ἐκ μεταβολῆς μεγάλων ἀγαθῶν ἐπιτυγχάνουσιν. εὖ δὲ τῶν Κάδμου θυγατέρων τὸ παράδειγμα φέρει. ἄνωθεν γὰρ Θηβαῖος ὁ Θήρων. V.

Ἀπολοῦται δὲ οὗτος ὁ λόγος, ἤτοι ἁρμόζει, ταῖς θυγατράσι τοῦ Κάδμου, ταῖς νῦν ἐνδέξῃ τάξει ἱδρυμέναις, αἵτινες ἔπαθον συμφορὰς μεγάλας. Τὸ πίνθος δὲ τὸ μίγα ἀφανίσθη τῆς μνήμης ὑπὸ τῶν ἀγαθῶν τῶν ἐπιπρατιτέρων. ζῇ μὲν ἡ Σιμέλη ἡ ἐπιπολὺ τεταμένας ἴχουσα τὰς τρίχας, ἐν τοῖς Διοῖς τοῖς τὸν Ὄλυμπον οἰκοῦσι, τουτέστιν, ἐν τῇ μετὰ τῶν Διῶν διατριβῇ, ἀποθανοῦσα τῷ βρόμῳ τοῦ πυρανοῦ, ἀντὶ τοῦ πυρανῷ. φιλεῖ δὲ αὐτὴν ἡ Ἀθηνᾶ ἀεί, διὰ τὸ τὸν πατέρα αὐτῆς τὸν Κάδμον ἱδρύσασθαι αὐτῇ ἄγαλμα ἐν Ὄγκαις, κώμῃ τῆς Βοιωτίας, ὅθεν Ὀγκαία Ἀθηνᾶ λέγεται, ὡς Κυλλήνιος Ἑρμῆς. καὶ ὁ Ζεὺς, ὁ πατὴρ πάντων, φιλεῖ αὐτὸν κατὰ πολύ. φιλεῖ δὲ αὐτὸν καὶ ὁ παῖς αὐτῆς ὁ πισσοφόρος, ἤγουν ὁ Διόνυσος, ᾧ ἐστιν ὁ πισσὸς ἀφιερωμένος. λέγουσι δὲ τετάχθαι, ἤγουν πεπυρῶσθαι, καὶ τῇ Ἰνοῖ τῇ ἀδελφῇ αὐτῆς κατὰ πάντα τὸν χρόνον, διατρῖβον ἀφθαρτον ἐν τῇ Θαλάσσῃ σὺν ταῖς θυγατράσιν τοῦ Νηρέως ταῖς Θαλασσίαις. R.

Εὐθρόνους] τοῦτο πρὸς τὴν διαδεξαμένην εὐτυχίαν ἀκουτέον. V.

40. Ἔπαθον αἰ μεγάλα] Ἰνὼ, Σεμέλη, Αὐτονόη, Ἀγαυή· ἐπεὶ καὶ αὗται πεπόνθασιν ἐν ἀρχῇ, ὕστερον ἴσχυον τῆς ἐκ Διὸς τιμῆς. Πιστεῖ δὲ, κατατίστει· τὸ δὲ βαρὺ πίνθος πιστεῖ καὶ ἀφανίζεται τῶν πρωτέρων διαδεξαμένων ἀγαθῶν. V.

44. Ζώει μὲν ἐν Ὀλυμπίοις] ἠτιμώσατο πρὸς τὴν τῆς εὐτυχίας ὑπερβολὴν, ὅτι δοκήσει μὲν, φέρηται ἡ Σεμέλη τῷ βρόμῳ τοῦ πυρὸς τοῦ πυρανίου, ζῇ δὲ νῦν συναστερίζουσα τοῖς ἀθανάτοις Διοῖς. V.

Ἱστορία. ἡ τῆς Σεμέλης ἱστορία δήλη, ὅτι ἐγκυμονοῦσα Διόνυσον, Ἥρας ὑποβαλλεῖ εἰσούσα τῷ Διΐ, μετὰ πυρανοῦ ἐλθὼν πρὸς αὐτὴν, κατεπαίθη, καὶ πρὸς οὐρανὸν ἀπῆλθε, Διὸς ἐβράψαμένου τῷ μηρῷ τὸν Διόνυσον, ἄχρις ὅτου ὁ προσήκων ἔλθῃ καιρός. λέγεται δὲ φιλεῖσθαι αὐτὴν ὑπὸ τῆς Ἀθηνᾶς, ἢ ὅτι εἰς οὐρανοὺς ἀπῆλθεν, ἢ ὅτι Θηβαία ἦν. ἐν Θήβαις ἱερὸν Ἀθηνᾶς, Ὄγκας καλουμένης Φοινίκων γλώσσῃ. R.

46. Ταυϊδωρα] Gl. ms. γ. μαιδόθρα.

48. Παλλὰς αἰεὶ] διὰ τὰ περὶ αὐτῆς εἰρημένα Gl. ms. γ.

Φιλεῖ δέ μιν Παλλὰς αἰεὶ] τοῦτο οἱ μὲν ἁπλῶς, διὰ τὴν ἐν Διοῖς διατριβὴν, λέγουσιν· οἱ δὲ, ὅτι ὡς ἐπιχώρια θεός. ἄγαλμα γὰρ αὐτῆς ὁ Κάδμος ἱδρύσατο ἐν Ὄγκαις, κώμῃ τῆς Βοιωτίας. Ὀγκαία οὖν ἡ Ἀθηνᾶ τιμᾶται. V.

Φιλέοντι δὲ μοῖσαι *.] οἱ μὲν διὰ τὰ περὶ αὐτῆς τοῖς ποιηταῖς εἰρημένα, οἱ δὲ διὰ τὸν Ἑλικῶνα, ὃς ἐστι τῆς Βοιωτίας. αὗται οὖν ἐπιχώριοι. Ἄλλως. ἴσως περισσὸν τὸ κῶλον πρὸς τὴν ἀντίστροφον· ἴσως καὶ ἁμαῖς οὐ γεγράφαμεν ἐν τῷ πεμπτῷ· πᾶσαι γάρ εἰσιν αἱ ἐμοῦ κῶλον, αὕτη δὲ μόνη διανοίᾳ εὑρίσκεται ἔχουσα. V.

Δημητρίου τοῦ Τριπλινίου. περισσὸν ἦν ἐνταῦθα τὸ κῶλον τὸ· Φιλέοντι δὲ μοῖσαι. τῶν γὰρ ἄλλων τροφῶν καὶ ἀντιστροφῶν ἀνὰ δ' ἐχουσῶν κῶλα, αὕτη μόνη

* Hic enim versus in multis codd. et edd. adjicitur.

πιστεύειν ἴσχυε, ὅτι μὴ ἦν ἄπιστον. οὐ γὰρ ἐν ἱστορίαις τοιοῦτό τι εὕρηται. διὸ ἐξελάθη μᾶς ἐμοῦ, ὡς καὶ ἐν τοῖς βιβλίοις τῶν ἄλλων πολιτῶν πολλὰ περιττὰ ὄντα. οἶμαι δέ, ὡς οὐδεὶς ἡμᾶς μέμψαιτο τοιαῦτα πιστοποιήσας, ἀλλ' ἐπαινέσας, ὡς οὕτω ταῦτα βέλτιόν ἐστιν ἔχειν, θαυμάσειεν ἂν μᾶλιστα τῆς σπουδῆς. R.

51. Λέγοντι δ' ἐν καὶ θαλάσσῃ] φασὶ δὲ καὶ τὴν Ἰνὼ Κάδμου θυγατέρα, μετὰ τῶν θυγατέρων τῇ Νηρέως, ἐν τῇ θαλάσσῃ δεῦρο πλεούσῃ τοῦ χρόνου ἀφθαρτον οὖσαν διάγειν καὶ τιτάχθαι. αὕτη δὲ ἡ Λευκοθέα, Νηρηὶς γενομένη· οὕτω γὰρ, ἤγουν Λευκοθέα, καλεῖται. ἡ γὰρ Ἰνὼ, μιγεῖσα Βοιωτίᾳ καὶ Ἀθηναίᾳ φυγοῦσα, ἦλθεν εἰς τὸν Ἰσθμὸν, καὶ ἐκεῖθεν ἤλλατο εἰς τὴν θάλασσαν. μαρτυρεῖ δὲ καὶ Ὅμηρος· (Odyss. ε. 333. sq.)

" Τὸν δ' εἶδεν Κάδμου θυγάτηρ, καλλίσφυρος Ἰνὼ,
" Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα,
" Νῦν δ' ἁλὸς ἐν πελάγεσσι θεῶν ἐξέμμορε τιμῆς." V.

55. Ἥτοι βροτῶν] ἀντὶ τοῦ δὴ, ἵνα ᾖ ἡ ἀρχὴ τοῦ λόγου οὕτω· τῶν δὴ βροτῶν οὐκ ἔστιν οὐδὲν περιμένον πέρας θανάτου· τοῖς ἀνθρώποις γὰρ ἄδηλον, πότε συμβήσεται ὁ θάνατος. Ἄλλως. τοῖς ἀνθρώποις τὸ τέλος τοῦ θανάτου κατ' οὐδὲν σαφὲς ἐστιν. ἢ οὕτω. τοῖς ἀνθρώποις τὸ τέλος τοῦ βίου κατ' οὐδὲν σαφὲς ἐστιν, οὐδὲ πεφασμένην τὴν ἑκατοῦσαν ἔχουσιν ἡμέραν, ἴσασι. V.

56. Πέρας οὔ τι κέκριται] οὐδὲ τοῦτο διακεκριμένον ἐστὶν οὐδὲ ἀναμφισβήτησιμον καὶ ἔκπυρος, ποίαν ἡμέραν εἱρηναίαν καὶ ἀγαθὴν διάξομεν. παῖδα δὲ ἡλίου, τὴν ἡμέραν, ἐπεὶ ὁ ἥλιος τὴν ἡμέραν γεννᾷ ἀνατέλλων. V.

Κέκριται] πεφανέρωται. ἤγουν οὐδεὶς οἶδεν, εἰ χρηστὸν, ἢ τοὐναντίον τὸ τῆς ζωῆς αὐτοῦ πέρας ἐσέλθῃ, ἀλλ' οἱ μὲν, πρὶν εὐτυχοῦντες, ἐγγὺς θανάτου διδυστυχήπασιν, οἱ δὲ τοὐναντίον. Ἄλλως. ὄντως τὸ τέλος τοῦ θανάτου τῶν ἀνθρώπων, ἤγουν ὁ θάνατος ἠφάγι, οὐδαμῶς ἐστι διακεκριμένον, τοιοῦτοι γνώριμον, ὁποῖον ἔχει δηλονότι· ἤγουν, ὁ θάνατος τοῖς ἀνθρώποις ἄδηλός ἐστι καὶ ἄγνωτος· οὐδὲ ὁπότε ἀνύσαμεν ἡμέραν ἡσυχίας, ἤγουν ἀναπαύσεως μετέχουσαν, παῖδα ἡλίου λέγω, τὸν ἀγαθὸν μὴ ὅτι καλῶ τινος καταπονουμένῳ, κέκριται δηλονότι. ἡμέραν δὲ ἡσυχίας τὸν θάνατον λέγω, ἐπεὶ ἐν αὐτῷ θανόντες ἡσυχάζομεν· παῖδα δὲ ἡλίου τὴν ἡμέραν καλεῖ, ἐπεὶ ὁ ἥλιος ἀνατέλλων τὴν ἡμέραν καλεῖ, ἐπεὶ ὁ ἥλιος ἀνατέλλων τὴν ἡμέραν γεννᾷ. R.

58. Οὐδ' ἀσύχιμον] ἥσυχον, ἀπράγμονα, εὐτυχῆ· οὐδέποτε ἐν εὐτυχίᾳ ἐσόμεθα ἀθορύβως καὶ ἀταράχως ἐν τῷ τοῦ ζῆν χρόνῳ· οὐδέποτε διατελέσομεν ἡμέραν ἥσυχον· ἡμέρα δὲ ἡσύχιος, ἡ τοῦ θανάτου, ἐπεὶ ἐν αὐτῇ θανόντες ἡσυχάζομεν. V.

60. Ἀτειρεῖ σὺν ἀγαθῷ] ἀδλαβεῖ, ἀκατασκεύῃτῳ· ἀνιμπεδίῃτῳ· ἐπάτει σὺν τῷ ἀδλαβεῖ ἀγαθῷ τελευτήσομεν. V. Ἀδαμάτῳ Gl. ms. a.

61. Τελευτήσομεν] Gl. ms. a. τελεῖσθαι. γ. διακλείσομεν.

62. Ῥοαὶ δ' ἄλλοι] ἄλλαι] ῥεύμασι δὲ ἀλλοῖα ἢ ἀλλοῖα, μετ' εὐθυμιῶν ἢ μετὰ μόχθων, εἰς τοὺς ἀνθρώπους ἀνίσχεσι. θέλει δὲ εἰπεῖν, ὅτι οὐχ οἷόν τέ ἐστιν, ἀνθρώπους ὄντας, ἀεὶ ἐν εὐθυμίᾳ διάγειν, ἀλλὰ πάντως καὶ ἀνάγκαις ἐνευχάνειν ἀνάγκη. Ἄλλως. Ῥεύματα, μεταβολαὶ, αἱ τῆς τύχης φοραὶ ἄλλοτε εἰς ἄλλους ἀνθρώπους μεταβαίνουσιν, ἢ εὐθυμίαν ἢ πόνον παρέχουσαι. V.

Ῥεύματα δὲ τύχης ἄλλοτε ἄλλα εἰς τοὺς ἀνθρώπους ἴσασιν, ἀντὶ τοῦ ἔρχονται, καὶ μετὰ τέρψεων καὶ λυπῶν. R.

65. Οὕτω δὴ μοῖρ' ἔ τι. ἴως τοῦ, ἄλλῳ χρόνῳ] ἐνταῦθα ἡ ἀνταπόδοσις τῆς διανοίας καὶ ἧς ἐξέθετο γνώμης· οὕτω δὴ καὶ τὸν αὐτὸν τρόπον τὰ ῥεύματα τῆς τύχης ἄλλοτε ἄλλως φέρεται ἐπί τε πολλῶν καὶ παντὸς, καὶ οὐκ ἔστιν ἑστῶτα. ὃς τι δείκνυσθαι ἐκ τοῦ κατὰ Θήρωνα γένους· τούτου μὲν γὰρ εὐθρονα καὶ καλλίστη γένεσιν ὑπεδείξεν ἀπὸ προγόνων, ἐκ τοῦ, τοὺς Διοὺς ἀνορθῶσαι αὐτοῦ τὴν εὐδαιμονίαν· ἐπάγει δέ τι καὶ πῆμα, ἐναντιώτατον τῷ ἀγαθῷ, ἔχειν ἔτι. ἐφ' οὗ πήματος ἔσεσθαι διαπεπρῶσθαι καὶ τὸ Λαΐου γένος, ὃν δὴ συμβῆναι ὑπὸ τοῦ ἰδίου παιδὸς φονευθῆναι Οἰδίποδος, ἐν ᾧ περιτυχόντα κατὰ τὴν Φωκίδα, καὶ ἐπὶ πέρας ἀγαγεῖν τὸ προφητευθὲν αὐτῷ χρησμοδοτηθέν· Μὴ σπεῖρε παίδων ἄλοκα δαμέντων βίᾳ. ὁ δὲ Θήρων τὴν συγγένειαν ἔχει πρὸς τὸ γένος τὸ τοῦ Οἰδίποδος, καὶ διὰ τοῦτο εἰκότως τοῖς περὶ αὐτὸν ἐχρήσατο λόγοις. ὡσὰς δὲ συγγενὴς ἐστιν, ἐροῦμεν ἔμπης. ἐρμηνεύεται δὲ καὶ οὕτως· οὕτω δὴ ἔστι πατρῷον· ὃν τρόπον κατὰ τῶν προγόνων τῶν περὶ τὸν Θήρωνα· κατέχει τὸν εὐθρονα πόνημα ἡ τύχη, καθάπερ τὸ πατρῷον κατέσχε, τουτέστι τῶν Καδμίδων. V.

Οὕτω δὴ ἡ μοῖρα καὶ ἡ τύχη, ἥτις ἔχει καὶ συνέχει τὸν εὐθρονα καὶ εὐφρανθέντα πόνημα τὸν πατρῷον καὶ τὴν εὐδαιμονίαν τοῦδε, ἤτοι τῶν προγόνων τοῦ γένους, ἄλλῳ καὶ εὐδαιμονίᾳ διόρθωσε καὶ διοικήσατο· ἐν γὰρ Διὸν τὸ ἀγαθὸν τοῖς ἀνθρώποις παραγίνεται· ἄγει καὶ ἐπί τι πῆμα παλιντροπίζεται ἐν ἄλλῳ χρόνῳ· λέγω δὲ τὸ τῶ Οἰδίποδος. λέγει δὲ, ὅτι ἡ μοῖρα, ἡ φύσιν ἔχουσα μεταβάλλειν ἅπαντα, τὴν τῶν Διῶν ἐπιλθοῦσαν τοῖς σοῖς προγόνοις εὐ-

δαιμονίαν ἐπὶ δυστυχίαν μετέβαλεν. ἔχει δὲ λόγον τὸ πατρώιον καὶ πρὸς τὸ πῆμα συνάψαι, ἤγουν, πρὸς πατρικὸν ἄγει πῆμα, διὰ τὸ σὺν Οἰδίποδος πάθος, ὃ καὶ ἐπάγει. Οὕτω δὲ ἡ μοῖρα, ἥτις συνέζευξε τὴν πατρῴαν τύχην τούτων ἰδίαν σὺν ἄλλοις, ἤγουν ἐδαιμονίᾳ, ὑπὸ Διὸς ὠρεμμένη, ἄλλῳ χρόνῳ, ἀντὶ τοῦ, κατά τινα χρόνον, καὶ ἐπί τινα βλάβην ἄγει παλιντράπελον, ἤγουν, ἐπὶ τὸ ἐναντίον τετραμμένην, ἐξ ἐκείνου τοῦ χρόνου, ἀφ' οὗ ἔκτεινε τὸν Λάϊον ὁ υἱὸς αὐτοῦ, ὁ ἐκ μοίρας δαίμονος συναγμένος ἀποκτενεῖν αὐτὸν, συναντήσας, τὸν παλαιὸν δὲ χρησμὸν, τὸν χρησθέντα ἐν τῇ Πυθῶνι, τελεσθῆναι ἐποίησεν. R.

66. Ἔχει] Gl. ms. γ. φυλάσσει.

67. Θείρτῳ] Gl. ms. γ. ὄνομα τῷ.

68. Ἐπί τι καὶ πῆμ' ἄγει] ἐπάγει δὲ ἡ μοῖρα καὶ κακόν τι ἐναντίον, ἐτέρῳ χρόνῳ· ἴν' ᾖ· ἔγει ὅτι καὶ κακῶν πεῖραν ἡ μοῖρα δίδωσιν. εἶτ' ἐκ παραδείγματος· τοιγαροῦν καὶ τὸ γένος Λαΐου τάδε ἔπαθεν. Θείρτῳ δὲ, ὑπὸ Διοῦ ὀρθουμένῳ, ἀσφαλῶς. Παλιντράπελον δὲ, ἀντιτετραμμένον. ἡ δὲ ὅλη διάνοια οὕτως ἔχει· ἡ ἀπὸ τοῦ γένους μοῖρα (ἐστὶ) τὸν περὶ τὸν Θήρωνα εὔφρονα πότμον καὶ ὄλβιον, ὃν ὁ Διὸς ὀρίνει καὶ δίδωσιν, ἐπάγει τι καὶ ἀντιτετραμμένον πῆμα ἐν ἄλλῳ χρόνῳ. V.

70. Μόριμος υἱὸς] ἤτοι ὁ κατὰ μοῖραν αὐτῷ γινόμενος, ἢ ὁ μόρον ἐπιφορικόν. ὁ δὲ χρησμὸς ὁ δοθεὶς Λαΐῳ δηλοῖ. V.

71. Ἐν δὲ Πυθῶνι χρησθὲν] τοῦτο δὲ χρησθὲν πάλαι, φησὶ, τὸ δὲ μαντεῖον τὸ δοθὲν τῷ Λαΐῳ κατὰ τὸν Πυθῶνα παρ' Ἀπόλλωνος, τοῦτον πατροκτονήσας, εἰς πεῖρας ἤγαγεν ὁ Οἰδίπους. V.

73. Ἰδοῖσα δ' ἐξεῖ' Ἐρινὺς] ἤτοι ἐξίους βλέπουσα ἢ ἐξίους τιμωρουμένη, ἰσύγνησεν, ὥστε ἀλληλοφονίαν γενέσθαι τοῦ γένους αὐτοῦ. Ἐτεοκλῆς γὰρ καὶ Πολυνείκης ἀλλήλους ἀπέκτειναν. τοῦτο δὲ ἐξίους διαταμένη ἡ Ἐρινὺς, τὸ γιγνόμενον ὑπὸ Οἰδίποδος, ἀνεῖλεν αὐτοῦ τὸ γένος, καὶ δι' ἀλλήλων χωρῆσαι ἐποίησε. λέγει δὲ Ἐτεοκλέα καὶ Πολυνείκην. V.

Ἰδοῦσα γὰρ ἐξίους ἡ Ἔρφρος τῶν ἀδικουμένων Διὸς φονεῦσθαι ἐποίησε τὸ γένος, ἤγουν, τοὺς υἱοὺς αὐτοῦ, τοῦ Οἰδίποδος δηλονότι, τοὺς ἀρνίους, τουτέστι, τοὺς πολεμικοὺς καὶ γενναίους, ἢ τοὺς ἀπὸ τοῦ Ἄρεος καταγομένους, δι' ἀλληλοφονίας· πιστώσας δὲ τοῦ Πολυνείκους, ἤγουν φονευθέντος, ὑπελείφθη ὁ Θέρσανδρος ὁ υἱὸς αὐτοῦ, τιμώμενος ἐν ἀγῶσι νίκης ἁρμόζουσι, καὶ ἐν μάχαις πολέμου, βλάσημα τῶν Ἀδραστίδων, ἀντὶ τοῦ, τῆς Ἀδραστίδος, τουτέστι τῆς θυγατρὸς τοῦ Ἀδράστου, βοηθὸν τῶν δόμων, οὗτος γὰρ ζῶν τῷ Διομήδει ἐπιστρατεύσας ταῖς Θήβαις, ἐξεδίκησε τὸν τοῦ πατρὸς αὐτοῦ φόνον. Θὲν, ἤγουν ἀπὸ τοῦ Θερσάνδρου. ἔχουσι ἀρχὴν τοῦ στίχου, τουτέστι τοῦ γένους, οἱ περὶ τὸν Θήρωνα δηλονότι. R.

74. Πίφτει] Gloss. mss. α. γ. ἰρόπουσιν. β. πιθανὸν ἐποίησεν.

75. Ἀρηΐων] πολεμικῶν, ἤγουν τὸν ἐξ Ἄρεος καταγόμενον. ἐξ Ἀφροδίτης γὰρ καὶ Ἄρεος Ἁρμονία ἡ πρωτότοκος αὐτῶν. R.

76. Λείφθη δὲ Θέρσανδρος] τὸ ἔξης· λείφθη δὲ τοῦ Πολυνείκους πεσόντος Θέρσανδρος, Ἀνδρότιμος, Ἄλαστος. ὃ δὲ Θέρσανδρος ἐν Μυσίᾳ τραυσθεὶς ὑπὸ Τηλέφου τέλευτᾷ. Ἄλλως. ἐλείφθη δὲ λοιπὸν ὁ υἱὸς Πολυνείκους ἀναιρεθέντος, Θέρσανδρος, ὅστις αὐτῷ ἐξ Ἀργείας, τῆς Ἀδράστου θυγατρὸς, γέγονεν. V.

77. Ἐριτόντι] Gl. ms. γ. ἀποθανόντι.

78. Νίκεις ἀέθλοις] ἐν τοῖς ἀκινδύνοις ἀγωνίσμασι, καὶ περίσσευσι νίκας· λέγει δὲ τοῖς δι' ἀγώνος· ἐν μάχαις τε καὶ ἐν πολέμοις ὁ τίμιος καὶ γενναῖος τυγχάνων. V.

80. Ἀδραστίδαν] ἐνταῦθα ἀντὶ ἐνικοῦ πληθυντικὸν ἐξήνεγκεν· ἔστι γὰρ Ἀδραστίδος· ἐκ μιᾶς γὰρ τῆς Ἀδράστου θυγατρὸς Ἀργείας γέγονε. τὸ δὲ Ἀδραστίδαν οὐ περισπαστέον. ἔστι γὰρ πληθυντὸν, καὶ ἔχει τὴν εὐθεῖαν, Ἀδραστῖς Ἀδραστίδων. τὸ γὰρ ἀρσενικὸν περισπᾶται, οἱ Ἀδραστίδαι, τῶν Ἀδραστιδῶν. V.

81. Θάλος] Gl. ms. γ. τὸ γίνημα, ἢ πλάδος.

Θάλος ἀρωγὸν δόμοις] τὸ βλάστημα τοῦ Ἀδράστου γένους· ἀπὸ γὰρ Θερσάνδρου καὶ Κάδμου οἱ περίοντες τοῦ Θήρωνος. ἐπεὶ Θέρσανδρος καὶ Διομήδης, οἱ ἐπίγονοι, ἐπιστρατεύσαντες ταῖς Θήβαις, τὸν πρεσβυτέρων πατέρων ἐξεδίκησαν τὸν φόνον. V.

Δόμοις] τοῖς πατρικοῖς, ἤτοι ταῖς Θήβαις. ὕστερον γὰρ μετὰ Διομήδους ἐπιστρατεύσας, αὐτὰς παρεισήσατο, ἐκδικήσας τὸν αὐτοῦ πατέρα· ἢ ἀρωγὸν δόμοις, ἤτοι τῆς αὐτοῦ βασιλείας ὑπέρμαχον. R.

82. Ὅθεν σπέρματος ἔχουσι] ἀφ' οὗ γένους τοῦ Θερσάνδρου ἔχουσι τὴν ῥίζαν οἱ περὶ Θήρωνα. τὸ δὲ γένος Λαΐου καὶ Οἰδίποδος ὁ Θήρων οὕτω κατάγω· Λαΐου Οἰδίπους· τούτου Πολυνείκης· οὗ Θέρσανδρος· οὗ Τισαμενός· οὗ Αὐτησίων· οὗ Θήρας· οὗ Σάμος. οὗτος ἴσχυε υἱοὺς δύο, Τηλέμαχον καὶ Κλύτιον· ὧν ὁ μὲν Κλύτιος ἔμεινε ἐν Θήρᾳ τῇ νήσῳ, ὁ δὲ Τηλέμαχος κατῴκει ἐν χώρᾳ, ὅθεν συλλέξας δύναμιν, ἦλθε εἰς Σικελίαν, καὶ κρατεῖ τῶν τόπων ἐξ οὗ Χαλκιστεύς· οὗ Αἰνησίδαμος· οὗ Θήρων. V.

Ὅθεν, ἤγουν ἀπὸ τοῦ Θερσάνδρου, οὗτος· ἐκ Λαΐου, Οἰδίπους· Οἰδίποδος, Ἐτεοκλῆς καὶ Πολυνείκης· Πολυνείκους, Θέρσανδρος· οὗ Τισαμενός· οὗ Αὐτησίων· οὗ Θήρας· οὗ

Σάμος. οὗτος ἴσχυι υἱοὺς δύο, Τηλέμαχον καὶ Κλύτιον· ὧν ὁ μὲν Κλύτιος ἤμυνεν ἐν Θήρᾳ τῇ νήσῳ· ὁ δὲ Τηλέμαχος κατῴκησε ἐν χώρᾳ· ἣν συλλίξας δύναμιν ἔρχεται εἰς Σικελίαν, καὶ κρατεῖ τῶν τόπων· ἐξ οὗ Χαλκιδεῖς· ᾗ Ἐμμενίδης. οὗ Λίνησίδαμος, ὁ τοῦ Θήρωνος πατήρ. R.

83. Πρίστι τὸν Λίνησιδάμου υἱὸν τὸν Θήρωνα, τυγχάνειν ἐγκωμιαστικῶν τι μελῶν ᾗ λυρῶν· ἀντὶ τοῦ, καὶ λυρικῶν μελῶν. κατὰ μὲν γὰρ τὴν Ὀλυμπίαν αὐτὸς βραβεῖον ἐδίξατο· ἐν τῇ Πυθῶνι δὲ ᾗ τῇ Ἰσθμοῖ κοινῶν ἵππων χάριτις εἰς τὸν ἀδελφὸν αὐτοῦ, τὸν ἐν τῷ αὐτῷ κλῆρῳ ὄντα, ἀνθ' ἡγεμόνος, ἀντὶ τοῦ τὰ ἐξαίρετα, τὰς νίκας τῶν δυοκαίδεκα δρόμων τῶν ἁρμάτων. δωδεκάκις γὰρ περιῆρχετο τὸν δρόμον τὰ τέλεια ἅρματα. Τὸ δὲ τυχεῖν τινὰ ἀγωνίας, ἀντὶ τοῦ, νίκης ἐν ἀγῶνι περιόντινον, τουτέστι, ζητοῦντα τυχεῖν αὐτῆς, παραλύει, ἀντὶ τοῦ, ἀπολύει, ἐλευθεροῖ τῶν ἀλγεινῶν· εὔθρονον τὸ ἡδύ· δύσθρονον τὸ ἐναντίον, ἤγουν τὸ ἀλγεινόν. ὁ δὲ πλοῦτος ὁ περικεκιλημένος ἀρεταῖς, τουτέστιν, ὁ τῶν ἀρετῶν πλοῦτος διδάσκει τὸ ἥγκαιρον τῶν καὶ τῶν, ἀορίστως ἀντὶ τοῦ πάντων, ἤτοι τῶν ἀγαθῶν καὶ λυπηρῶν, διάνοιαν διδοὺς βαθεῖαν, ἤγουν συνετὴν, ἀγρευτῆρα, τουτέστιν ἀγρεύλημὴν τῶν καλῶν, ἀστὴρ ὢν δηλονότι διάδηλος, φῶς ἀνθρώπῳ ἀληθινόν. τοῦτο λέγει, ὅτι αἱ τῷ Ξενοκράτει κατορθωθεῖσαι νίκαι διὰ τιτρώρων εἴς τι τὰ Πύθια καὶ τὰ Ἰσθμια, καὶ τοῦ Θήρωνός εἰσιν· ἢ ὅτι τοὺς ἵππους κοινοὺς ἐκέκτηντο, μεθ' ὧν μόνος Ξενοκράτης ἀπελθὼν ἐνίκησεν, ἢ ὅτι τῶν Ξενοκράτους φιφάνων καὶ Θήρων μετέσχεν. εἰ γὰρ τὰ τῶν φίλων κοινὰ, πόσῳ γε δὴ μᾶλλον τὰ τῶν ἀδελφῶν; R.

87. Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς] ἀντὶ τοῦ, ἐν Ὀλυμπίᾳ ἐνίκησεν. ἔσχι δὲ καὶ κοινὰς πρὸς τὸν ἀδελφὸν Ξενοκράτην νίκας, ἐν Ἰσθμῷ καὶ Πυθοῖ· ἐξ ἑνὸς γὰρ οἴκου πρὸς ἱπποτροφίαν διδόντις καὶ ἀπὸ κοινῶν χρημάτων, ἀμφότεροι καὶ ταῖς νίκαις ἐνιγεράφοντο. καὶ οἱ μὲν βούλονται ἀκούειν οὕτως· οἱ κοινοὶ αὐτῶν ἵπποι νικήσαντες ἀμφοτέρους παρεσχήκασι κοινὴν καὶ τὴν δόξαν· οἱ δὲ, ὅτι ἐν τοῖς κοινοῖς ἵπποις ἀμφότεροι, ἕκαστος ἰδίᾳ ἐν αὐτοῖς τοῖς ἵπποις, ἐνίκησε τίθριππον, ὃ καὶ μᾶλλον. V.

89. Ὁμόκλαρον ἐς ἀδελφιὸν] ἤτοι διὰ τὴν συγγένειάν φησιν, ἢ ὡς ὁμοῦ ἱπποτροφούντων αὐτῶν καὶ ἀγωνιζομένων, καὶ ὁμοῦ νικησάντων Ἰσθμια τιθρίππῳ. φησὶν οὖν, ὅτι ἐν Ἰσθμῷ αἱ χάριτες τῆς νίκης, τῆς ἐν τῷ τιθρίππῳ, κοινὰ ἡγαγον αὐτοῖς τὰ ἄνθη τῶν φιφάνων· ἀπὸ σιλίνων γὰρ τὸ στέμμα. ἢ οὕτως· αἱ δὲ χάριτες αἱ ἐν Πυθῶνι καὶ Ἰσθμῷ τὰ ἄνθη τῶν τιθρίππων εἰς αὐτὸν καὶ τὸν ἀδελφὸν ἤνεγκαν. V.

91. Ἄνθια] Gl. ms. β. τὰς ἀριστάς.

93. Τὸ δὲ τυχεῖν, περιόντινον] τὸ δὲ ἐπιτυχεῖν καὶ νικῆσαι, ἀποπερισσόντινον ἀγῶνος, τῶν δυσκόλων φρενῖδων, τῶν ἐπὶ τῇ νίκῃ ἀπολύει. V.

Τὸ δὲ περιόντινον ἀγωνίας, ἤτοι ἀγωνιζόμενον, κατορθῶσαι τὸν ἀγῶνα καὶ νικῆσαι (τοῦτο γάρ ἐστι τὸ τυχεῖν) παραλύει καὶ ἐκβάλλει τὸν νικήσαντα τῶν δυσφόρων, ἤτοι τῶν περὶν περισσόντων αὐτῷ ἀλγεινῶν ἢ δυσχερῶν. ἡ γὰρ τῆς νίκης λαμπρότης λήθην τῶν ἐμπροσθεν τίθησι. εὐπόνως δὲ δύσφορα τὰ ἀλγεινὰ λέγει, ἢ τὴν δυσχέρειαν. ἢ τι γὰρ δυσχέρεια καὶ ἡ λύπη καὶ τὸν συνεστῶτα τοῦ λελογισμένου κατάγει. Τοῦτο δὲ λέγει εἰς τὸν αὐτὸν σκοπὸν, εἰς ὃν ἔμπροσθεν ἔλεγε· τῶν δὲ πεφραγμένων ἐν δίκῃ ᾗ τὰ ἐξῆς· ὁ πλοῦτος κεκοσμημένος καὶ ἀρεταῖς κατάκοσμος οὗτι ὑπὸ τῆς ἐπιλθούσης αὐτῷ εὐτυχίας ἐκπαίρεται, οὔτε ὑπὸ δυσχερίας χαυνοῦται. διὸ δεῖ τῷ πλουτοῦντι καὶ ἀρετῆς. εἰ μέλλει καλῶς τὸν ἅπαντα αἰῶνα διάξειν. φησὶ δὲ καὶ Καλλίμαχος· (Hymn. in Jov. 95. sq.)

"Οὔτ' ἀρείῃς ἄτερ ἕλκος ἐπίσεται ἄνδρας
" ἀίξαν,
Οὔτ' ἀρετὴ ἀφίνοιο δίδου δ' ἀρείῃ τι καὶ
" ἕλκος."

Καὶ Σαπφώ· (Wolf. Fragm. Sapph. p. 67.)" Ὁ πλοῦτος ἄνευ ἀρείης οὐκ ἀγαθὸς
" σύνοικος. ἡ δ' ἐξ ἀμφοῖν πρᾶσις εὐδαιμο-
" νίας ἔχει τὸ ἄκρον. " Τοῦτο προσεῖναι τῷ
" Θήρωνι μαρτυρεῖ." R.

94. Πειρώμενον] Ms. gl. γ. δοκιμάζοντα.

96. Ὁ μὲν πλοῦτος] ὁ νοῦς· ὁ δὲ πλοῦτος οὐ μόνος ὢν καθ' ἑαυτὸν, ἀλλὰ καὶ ἀρετῇ κεκοσμημένος, καιρίως τῶν τι ἐαυτοῦ ἀγαθῶν καὶ τῆς ἀρετῆς ἀπολαύει, συνετὴν ἔχων τὴν φροντίδα πρὸς τὸ ἀγορεύειν τὰ καλά. Τούτων γὰρ τὸ ἕτερον καθ' ἑαυτὸ οὐχ ἡδύ. ὡς καὶ Καλλίμαχος· (l. l.)

" Οὔτ' ἀρετῆς ἄτερ ἕλκος ἐπίσεται ἄνδρας
" ἀίξειν,"
" Οὔτ' ἀρετὴ ἀφίνοιο· δίδου δ' ἀρετήν τι
" καὶ ἕλκος."

Καὶ ἡ Σαπφώ· " Πλοῦτος ἄνευ ἀρείης, οὐκ
" ἀσινὴς πάροικος." ἡ δὲ πρᾶσις εὐδαιμονίας ἔχει τὸ ἄκρον. " τοῦτο προσεῖναι τῷ Θήρωνι
" μαρτυρεῖ." V.

Φέρει τῶν τι καὶ τῶν] τῶν αὐτοῦ καλῶν καὶ τῆς ἀρετῆς· ἢ τῶν ἐπὶ τῇ ἀθλήσει καμάτων ἐκείνων φησὶ, καὶ τούτων τῶν καλῶν. V. Gl. ms. γ. τῶν φανερῶν καὶ ἀφανῶν πραγμάτων. Gl. ms. α. φέρει· προστίνει.

99. Βαθεῖαν] Gl. ms. γ. φρονίμην.

100. Μέριμναν] Gl. mg. α. σκῆψιν. γ. γνῶσιν.

101. Ἀστὴρ ἀρίζηλος] ὁ μετὰ ἀριστῆς πλοῦτος ὡς ἀστὴρ ἰσιν ἔκδηλος, ἀληθινὸν φῶς τοῖς ἀνθρώποις. V. Ἀρίζηλος Gl. ms. γ. φαεινός. Tum ex α. β. γ. affertur: δηλονότι ἀστὴρ ὢν διάδηλος, ἀληθινὸν φῶς ἀνθρώπῳ.

102. Εἰ δέ μιν ἔχει] εἰ δέ τις, τοῦτον ἔχων τὸν πλοῦτον, ὁρᾷ καὶ πρὸς τὸ μέλλον, ὅτι τῶν ἀδίκων τιλιυτησάντων τιμωρίαι καὶ κρίσις παρὰ τοῖς ἀποχωμένοις πᾶσιν ἰσιν, οὐκ ἂν αὐτῷ εἰς ἀδικίαν ἐχρήσατο. V.

Εἰ γὰρ ἔχει τις αὐτὸν, ἡγοῦν τὸν τῆς ἀρετῆς πλοῦτον, οἶδε τὸ μέλλον, ὅτι τῶν θανόντων μὲν αἱ ψυχαὶ αἱ ἀπάλαμνοι, τουτέστιν αἱ ἀδιορθωτοι, αἱ ἀπαιδαγώγητοι, πρὸς ἃς οὐκ ἔστι μηχανήσασθαί τι, ἰνθάδε, αὐτίκα, ἀντὶ τοῦ τάχιστα, τιμωρίας ἔστισαν, ἀντὶ τοῦ ὑπέχουσι· τὰ δὲ ἁμαρτήματα τὰ ἐν ταύτῃ τῇ ἡγεμονίᾳ τοῦ Διός, ἡγοῦν τὰ ἐν τῷ κόσμῳ, ὑποκάτω τῆς γῆς κολάζει τις, ἡγοῦν ὁ Πλούτων, ἀπόφασιν δοὺς ἀνάγκης ἐχθρᾶς, τοῖς κολαζομένοις δηλονότι. R.

104. Ὅτι θανόντων μὲν, ἴσως, ἐχθρῷ λόγον φράσας ἀνάγκᾳ, ἐγκρίνει τὴν παλιγγενεσίαν. λέγει οὖν· εἴ τις οἶδε τὸ μέλλον, ὅτι οἱ μὲν ἐν τῷ ζῆν ἁμαρτάνοντες ἐν ᾅδου κολάζονται, οἱ δὲ ἐν ᾅδου, ἐν τῷ ἡμετέρῳ βίῳ, ἐν τῇ τοῦ Διὸς ἀρχῇ· ταύτην γὰρ εἶπε τὸν ὑποκείμενον τῷ οὐρανῷ τόπον. καὶ ἐάν τις ἐν ταῖς τρισὶν ἀναβιώσεσιν, ἃς ὑφίσαται, ἀναμάρτητος εἰς τὰς τρεῖς ἑκατέρωθεν μίνῃ, τοῦτόν φησιν εἰς τὰς τῶν μακάρων νήσους πορεύεσθαι. τὸ δὲ περὶ τῆς παλιγγενεσίας ἀρχαιότερόν ἐστι. παραδίδοται γὰρ ἔτι ἀνέκαθεν. ὡς Ὁμηρός φησιν (Odyss. δ'. 78.)

"Νῦν μὲν μήσ' εἶπης, βουγάϊε, μήτε τι γείνευ."

πρῶτος δὲ δοκεῖ τούτῳ τῷ δόγματι χρῆσθαι Πυθαγόρας. τῷ δὲ ἀπάλαμνοι φρένες συναπτέον τὸ, ἰνθάδε· ὅτι τῶν ἐνταῦθα ἀδίκων ἀπάλαμνοι φρένες αὐτίκα καὶ ἐνθάδε τιλιυτησάντων τιμωρίας καὶ ποινὰς ἐπὶ δεδώκασιν V.

Τὸ ἰνθάδε πρὸς τὸ ἀπάλαμνοι συναπτέον, τὸ δὲ αὐτίκα πρὸς τὸ ἔτισαν, οὕτως· αἱ ἀπάλαμνοι καὶ βίαιοι φρένες τῶν θανόντων, ἤγουν οἱ συνοφάνται. καὶ οἱ ποινηροὶ καὶ βίαιοι ἐν τῷ βίῳ, ἀποθανόντες ποινὰς ὧν ἥμαρτον ἔτισαν καὶ ἀπέδωκαν αὐτίκα ἐν ᾅδου. R.

105. Ἀπάλαμνοι] Gl. ms. γ. ἀπαίδευτοι.

106. Διὸς ἀρχᾷ] Διὸς ἀρχὴν φησι τὴν ζωὴν καὶ τὴν ἄνω διαγωγήν· φησὶν οὖν, ὅτι τὰ ἐν τοῖς ζῶσιν ἁμαρτήματα κατὰ γῆς δικάζει τις· λέγει δὲ, τὸν Πλούτωνα τιμωρεῖσθαι αὐτούς· λείπει τὸ, διδοὺς, τῇ ἐχθρᾷ ἀνάγκῃ εἰπὼν τὸν λόγον τῆς τιμωρίας· ἐχθρᾷ δὲ τοῖς ποινηροῖς. V.

Διὸς ἀρχὴ ὁ οὐρανὸς καὶ ὁ κόσμος, Ποσειδῶνος θάλασσα καὶ πάντα τὰ ὕδατα, Πλούτωνος τὰ ὑπὸ γῆν καὶ ὁ Τάρταρος. R.

107. Κατὰ γᾶς] ὑπὸ γῆν, τουτέστι καθ' ᾅδου. ὑφίσαται δὲ ἐν ᾅδου τινὰ Ἀνάγκην ὀνόματι, καὶ ταύτῃ παραδίδοσθαι τοὺς ἀσεβεῖς. V.

Ἀνάγκην λέγει τὴν ἀπόφασιν. σύναπτε δὲ τὸ ἐχθρᾷ ἀνάγκα πρὸς τὸ, δικάζει, τοῦ, λόγον φράσας, διὰ μέσου. Οὗτος· δικάζει τις τῇ ἐχθρᾷ καὶ ἀποτόμῳ ἀνάγκῃ· φησὶ τὸν λόγον, καὶ τὴν τῆς καταδίκης ἀπόφασιν. εἰπόντως δὲ εἶπε τὸ ἐχθρᾷ ᾗ τὸ ἀνάγκᾳ· τὸ μὲν ἀνάγκᾳ, διότι ἀπαραίτητόν ἐστι τὸ εἶναι δικαστήριον· τὸ δὲ ἐχθρᾷ, διότι οὐδεὶς ἔστι φίλος, ἀλλ' ἕκαστος ἐκ τῶν ἔργων μισεῖται καὶ καταγρίσκεται. οἱ δὲ ἰσθλοὶ καὶ ἀγαθοὶ ἐχθρὴ αἰεὶ ᾗ πάντοτε ἥλιον ἐπίσης ἐν ἡμέραις ᾗ νυξὶ, τουτέστιν, ὅσον καιρὸν ἡμεῖς ἔχομεν ἡμέραν καὶ ὅσον νύκτα, ἐκεῖνοι ἀεὶ ἐλλαμπόμενοι ἡμέραν βίον ἀπονέστερον τῶν ἐν τῷ βίῳ. R.

109. Ἴσον δὲ νύκτεσσιν] οἱ δὲ ἀγαθοὶ ἐπίσης ἐν ταῖς νυξὶν, ἐφίσης δὲ ἐν ταῖς ἡμέραις ἥλιον ἔχοντες, ἤγουν ἀεὶ ἐν φωτὶ ὄντες, ἀπονέστερον, ἀντὶ τοῦ ἄπονον, ἀπονίαν ζωὴν νέμοντα, τουτέστι διάγουσιν, οὐ χθόνα ταράσσοντες διὰ τῆς ἰσχύος τῶν χειρῶν, ἤγουν οὐ γεωργοῦντες, οὐδὲ τὸ τῆς θαλάσσης ὕδωρ ταράσσοντες, ἤγουν οὐδὲ ναυτιλίᾳ χρώμενοι διὰ ματαίαν τροφὴν, οἳ κέκτηνται ἐν τῇ παρούσῃ ζωῇ οἱ ἄνθρωποι, ἵνα βίον περίσωσιν· ἀλλὰ παρὰ μὲν τοῖς τιμίοις ἀπὸ τῶν θεῶν, ἤγουν τοῖς ἐν ᾅδου, τῷ Πλούτωνι δηλονότι καὶ τῇ Περσεφόνῃ, ἄλυπον βίον διάγουσιν ἐκεῖνοι, αἵτινες ἔχαιρον εὐσεβείαις, τουτέστι τρόποις εὐσεβέσι καὶ δικαίοις· οἱ δὲ, ἤγουν οἱ τῆς ἑτέρας μερίδος, οἱ κακοὶ δηλονότι καὶ ἀπαιδαγώγητους ἔχοντες γνώμας, πόνον ἐκχέοντι, τουτέστιν ὑφίστανται (ἀπὸ μεταφορᾶς τῶν ἐχημάτων) ἀκροσόφατον, ἤγουν μίγμα καὶ οὐ προσελίκτισθαι δυνάμενον, μεταφορικῶς ἀντὶ τοῦ ἀνόπτευτον. R.

110. Ἴσα δ' ἐν ἀμέρῃσι] Ἴσον ἡμῖν αὐτοῖς χρόνον ἐπιβάλλει ὁ ἥλιος καὶ τοῖς ἐν ᾅδου δικαίοις· οὐκ ἐπὶ τῶν ἀδίκων δὲ ὁ λόγος, ἀλλ' ἐπὶ τῶν δικαίων. φησὶν οὖν, ὅτι τὸν ἥλιον ἔχουσι τοῦτον, καθ' ὃν ἐπιβάλλει αὐτοῖς χρόνον, ἀπονέστερον διάγοντες. V.

Ἅλιον] Gl. ms. γ. φῶς ἄδυτον.

111. Ἀπονέστερον] ἀθλιώτερον καὶ ἄλυπον Gl. ms. γ.

113. Οὐ χθόνα ταράσσοντες] οὔτε γεωργοῦντες, οὔτε πλέοντες, διὰ τὸ κινᾶ αὐτοῖς εἶναι τὰ τῆς διαίτης. V.

114. Ἀλαῇ χειρῶν] τῷ καρπῷ τῷ ἐπὶ

τῆς χειρός· τινὲς δὲ ἀκούουσιν ἀλληγορικῶς· οὔτε πολεμοῦντες κατὰ γῆν, οὔτε ἀλλήλοις τόλους ἐπάγοντες κατὰ θάλασσαν· οὔτε ναυμαχοῦσι. V. ἐν χειρὸς ἁμᾷ. G.

116. Κινὰν παρὰ δίκαν] διὰ τὴν κενὴν ᾗ ἄπορον δίκαν· λέγει δὲ τὴν ψευδῆ· οὐδὲ γὰρ περὶ τῆς οὐσίας τῆς ψυχῆς. οἰκτίνες οὖν, φησιν, ἔχαιρον τοῖς δικαίοις, ἀκόνας καὶ ἀξασανίσους καὶ ἀδαμαντὶ διάγουσιν. V. Δίον εἰκτὶν κενὸς καὶ ματαίους (ματαίους γὰρ οἱ ἄνθρωποι περὶ τὸ ζῆν σπεύδουσιν, ἐπεὶ καὶ τὸ ζῆν μάταιον) κενὰν εἶπε τρὶς τὸ δίκαν. V.

122. Ὀκχίοντι] ὄκχος γὰρ τὸ ὄχημα, ὡς ἐν ἄλλοις οὗτος· (Olymp. vi. 40.)

"Ὄφρα κιλεύθῳ σ' ἐν καθαρᾷ
" βάσομεν ὄκχον." R.

Mss. β. γ. Schol. ὄκχος λέγεται τὸ μετέχον τοῦ ὀχήματος, ἤγουν βάος, ἵππος, ἡμίονος, οἵτινες ὑφίστανται τὸ ὄχημα, ὅστις * ἄδικον ὁ ἀδικία λέγεται, καὶ τὸ μετέχον τῆς ἀδικίας.

123. Ὅσοι δ' ἐτόλμασαν ἓξ τρὶς] ὅσοι δὲ τρίτον ὑπέμειναν, ἑκατέρῳ τόκῳ μείναντες, ἢ τι τῷ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν, ἅπτεσθαι τῶν ἀδίκων ἔργων ἢ δικαία πράσσειν, ἐφάλησαν ἣν ἕδον ἕταξιν ὁ Ζάγρεύς, ἣν μακάρων νῆσον ὀνομάζουσιν· ἣν δὲ Κρόνου Τύρσιν προσαγορεύσαν. Ἄλλως. ὅσοι δὲ ἐπαρτέρησαν μέχρι τριῶν ἐμψυχώσεων εἰς ἐπάτερα τὰ μέρη, εἴς τε τὸν ἐν ᾅδου μετὰ θάνατον εἴς τε τὸν τῆς ζωῆς χρόνον, δίκαιοι γενέσθαι, δικαίως, καὶ τὴν ψυχὴν ὁσίαν φυλάξαι, οὗτοι ἐφάλησαν, εἰς ἣν ἕταξιν ὁ Ζεὺς, ἔ ἐστι, εἰς τὰς μακάρων νήσους, ἵνα Κρόνος ἔχει· τὴν ἐπεῖ κατοικησιν· ἐν αἷς νήσοις, πλησίον οὔσαις τοῦ Ὠκιανοῦ, αἱ πολεῖται καὶ ἡδεῖαι αὖραι τέρπουσι πνέουσαι, καὶ τὰ ἐν αὐταῖς ἄνθη, ὡς χρυσοῦς στέλλει, τὰ μὲν ὄντα ἐκ τῆς γῆς, τὰ δὲ ἐκ τῆς τῶν ὑδάτων ἀπορρόιας τριφόμενα, οἱονεὶ ῥόδα, ὑάκινθος, ἴα· ταῦτα γὰρ ὕδατι τρέφεται. ἐξ ὧν ἀνθῶν οἱ δίκαιοι ταῖς ἑαυτῶν χερσὶν ὅρμους πλέκουσι καὶ στεφάνους. ἐνδείκνυται δὲ τὸ ὑπερβάλλον τῆς σίρψιος. τὴν δὲ τῆς μετεμψυχώσεως γνώμην Πυθαγόρας πρῶτος εἰσηγήσατο, ᾧ νῦν ὁ Πίνδαρος ἀπολουθεῖ. V.

Ibid. Ἔνιοι φασὶ, τῆς κατὰ Πυθαγόραν παλιγγενεσίας μνημονεύειν. οὗτος γὰρ τὰς ψυχὰς εἰς ἕτερα σώμα[τα εἰσδυούσας φησὶν ἀναπεύσεσθαι." Ἄλλως. Τῷ τῆς μετεμψυχώσεως δόγματι ᾧ Πίνδαρος κέχρηται, ἀρχὴν ἐξ Ὁμήρου ἔχων. λέγει γὰρ ἐκεῖνος· (vid. supra) " Μήτ' εἶπης, βουγάϊε, μήτε γένοιο." ὁ Πυθαγόρας ἐκδεξάμενος πλατύτερον εἰς μέσον ἐξήνεγκεν. ὅτι δὲ καὶ Πλάτων τῶν τοῦτο περιεύντων ἦν, μαρτυρεῖ Φαίδων. (Plat. Phæd. 30.) Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅσοι δὲ τῶν ἀνθρώπων ἐτόλμησαν καὶ ἠθέλησαν ἔχειν τὴν ψυχὴν ἄπο καὶ μαρὰν τῶν ἀδίκων πάμπαν καὶ παντελῶς, μείναντες ἐς τρὶς καὶ ἐκ τρίτου ἐκατέρωθι, ἦγουν ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ, ἔτειλαν καὶ ἐπορεύθησαν Διὸς ὁδὸν, ἦγουν, ἣν αὐτοῖς ὁ Ζεὺς ἔταξε, παρὰ τὴν τύρσιν καὶ τὴν πόλιν τοῦ Κρόνου, ἦγουν ἐν ταῖς τῶν μακάρων νήσοις. ἐγίνετο δὲ ἡ ἐκ τρίτου διαγωγὴ καὶ ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ, εἰς δόκιμον ἀκρίδες· αἱ δὲ τῶν μακάρων νῆσοι ἐν τῷ ὠκιανῷ εἰσίν· ὥς φησιν Ὅμηρος· (Odyss. δ'. 568) " Ὠκιανὸς ἀνίησι (παραψυχὴν) " ἀναψύχειν ἀνθρώπους." R. (Sic et G.)

Ὅσοι δ' ἐτόλμησαν] ὅσοι δὲ ἐτόλμησαν, τουτέστι, ὑπέμειναν μέχρι τρίτης μετεμψυχώσεως ἐν ἑκατέροις τοῖς μέρεσιν, ἤγουν ἐνταῦθα καὶ ἐν τῷ ᾅδῃ μείναντες, ἀσχέτην τὴν ψυχὴν, τουτέστι κεχωρισμένην ἔχειν τῶν σωμάτων, ἐτειλαν, ἀντὶ τοῦ ἐφειλαντο, ἦγουν ἐπορεύθησαν τὴν τοῦ Διὸς ὁδὸν, ἣν ὁ Ζεὺς δηλονότι αὐτοῖς ἔφρασε, λέγω παρὰ τὴν πόλιν, ἔνθα ὁ Κρόνος ἔχει τὴν οἴκησιν, ἔνθα τὰς νήσους τῶν μακάρων αἱ τοῦ ὠκεανοῦ αὖραι περιπνέουσιν, ἀντὶ τοῦ, ἔνθα αἱ τῶν μακάρων εἰσὶ νῆσοι, ὑπὸ τῶν αὐρῶν τοῦ ὠκεανοῦ περιπνεόμεναι. R.

124. Μείναντες] Gl. ms. γ. βασάσαντες.

125. Ἀπὸ—ἔχειν] Gl. ms. γ. ἀποχωρίζειν.

126. Ἔτειλαν.] ἐτειλίσαν· περὶ τὴν Κρόνου βασιλείαν ἐτειλίσαν, ἤνυσαν, ἐπορεύθησαν· Διὸς δὲ ὁδὸν, ἣν ἔταξε τοῖς δικαίοις, τὴν τοῦ Διὸς διδυγμένην αὐτοῖς, ἣ τὴν ὑπὸ τοῦ Διὸς νομοθέτησιν. λέγει δὲ πρὸς τοῦ Διὸς κρίνεσθαι τοῦτον· τὸν γὰρ ἑκατέρωθεν μείναντα ἀναμάρτητον εἰς τὰς τῶν μακάρων νήσους πέμπεσθαι. V.

128. Μακάρων] Gl. ms. γ. ἁγίων.

129. Νᾶσον] Gl. ms. γ. τὸ Ἠλύσιον πεδίον.

130. Αὔραι] Gl. mss. α. β. γ. αἱ πνοαί.

Ἄνθεμα δὲ χρυσοῦ φλέγει] ἄνθη δὲ χρυσοῦ λαμπρότατα λάμπει, τὰ μὲν, ἀπὸ τῆς γῆς, ἀπ' ἀγλαΐας, ἀντὶ τοῦ εὐθαλῶς, δένδρων· ἄλλα δὲ τρέφει τὸ ὕδωρ. ἀφ' ὧν ἀναπλέκουσι ταῖς χερσὶ τοὺς περιστεφανικλίους κόσμους καὶ στεφάνους, κατὰ τὰς περίσεις τὰς δικαίας τοῦ Ῥαδαμάνθυος, ὃν ὁ πατὴρ πάντων, ὁ Κρόνος, ἔχει παρακαθήμενον ἑαυτῷ ἕτοιμον, τουτέστιν ἀχώριστον, ὁ ἀνὴρ τῆς Ῥέας τῆς ἰσχύσης θρόνου ὑψηλότατον πάντων. R.

132. Τὰ μὲν χερσίθεν] διέτειλεν ἀπὸ

* Quæ sequuntur, etiam invenluntur in ms. Bodl.

τῶν δένδρων τὰ κατὰ γῆν βλαστήματα, τουτέστι, τὰ χρείαν ἔχοντα ἀρδεύεσθαι. V.

135. Ὄρμοισι τῶν χίρας] ὄρμους. ἀντὶ τῆς αἰτιατικῆς τῇ δοτικῇ ἐχρήσατο. ὄρμοις οὖν λίγει τοῖς ἁλίγμασιν, οἷς τὰς κεφαλὰς στεφανοῦνται καὶ τὰς χεῖρας· ὄρμοισι, τοῖς ἑνέρμασιν, οἷς τὰς χεῖρας στεφανοῦνται καὶ τὰς κεφαλάς· ἢ τῶν ἀνδῶν ταῖς χερσὶν ὅρμους ἀναπλέκουσι καὶ στεφάνους. V.

Ὄρμοισι τῶν] τοῦτο. οὕτω λέγει, τῶν καὶ, ἀφ' ὧν, ἀναπλέκουσι τὰς χεῖρας ἐν ὅρμοις καὶ ἐν στεφάνοις, ἑαυτῶν κεφαλὰς δηλονότι. καὶ ἔστιν ὅμοιον τῷ παρ' Εὐριπίδῃ· (Orest. 1086 sq.)

" Μήθ' αἷμά μου δίξαιτο παρσίμον πέδον
" Μὴ λαμπρὸς αἰθήρ· "

τὸ πνεῦμά μου δηλονότι. R.

137. Βουλαῖς ἐν ἐρεθαῖσιν] ὡς τοῦ Ῥαδαμάνθυος τοῦτο τοῖς δικαίοις παριχομένου· ὀφίσκεται γὰρ αὐτὸν τῶν μακάρων ἔρχοντα νήσων· ἢ ὡς τούτων μεταλαβόντων φύσεως δαιμονίας, οἵτινες ἐρεθοὶ κατὰ βουλὴν καὶ δίκην τὸν τρόπον ἔχοντες, ὡς καὶ ὁ Ῥαδάμανθυς· ἢ συγχωρεῦντος τοῦ Ῥαδαμάνθυος· οὗτος γὰρ δικαιοπραγεῖ τοῖς ἐν ᾅδου· ἢ οὕτω· βουλαῖς ἐν ἐρεθαῖσι Ῥαδάμανθυος. ὁ γὰρ Ῥαδάμανθυς διακονεῖ τοῖς κάτω, ὑπηρετῶν τῷ Κρόνῳ. V.

138. Ὅν πατὴρ ἔχει Κρόνος] ἕτοιμον, τὸν δίχα τοῦ κληθῆναι ἰλθόντα, ὅντινα Ῥαδάμανθυν ὁ πατὴρ πάντων Κρόνος ὁ τῆς γῆς παῖς, ὁ ἀνὴρ τῆς τὸν ὕπατον ἰχούσης θρόνον Ῥέας, ἕτοιμον καὶ ἀχώριστον ἔχει πάρεδρον. V.

Ὅντινα Ῥαδάμανθυν ἔχει πάρεδρον καὶ συγκάθεδρον, ἕτοιμον καὶ περίχειρα καὶ αὐτόκλητον, ὁ πατὴρ πάντων, Κρόνος, ὁ πάσις καὶ ὁ ἀνὴρ τῆς Ῥέας, τῆς ἰχούσης θρόνον ὑπέρτατον καὶ ἴδιον πάντων. R.

139. Πάρεδρον] Gl. ms. γ. πλησίον αὐτοῦ καθήμενον.

142. Πηλεύς τε καὶ Κάδμος] συγκαταλέγονται δὲ ἐν τούτοις δικαίοις ὅτι Κάδμος καὶ ὁ Πηλεύς. V.

Ὁ Πηλεύς τε καὶ ὁ Κάδμος ἐν τούτοις, τοῖς τῶν μακάρων νήσους λαχοῦσιν, οἵπερ δηλονότι, συγκαταλέγονται. καὶ τὸν Ἀχιλλέα ἤνεγκεν, ἀντὶ τοῦ περιφθῆναι ἐποίησεν, ἡ μήτηρ αὐτοῦ ἡ Θέτις, ἐπεὶ διὰ δεήσεων ἔπεισε τὴν ψυχὴν τοῦ Διός· ὃς, ἄγουν ὁ Ἀχιλλεύς, ἔσφηλεν, ἀντὶ τοῦ κατέσφηλε, τὸν Ἕκτορα, τὸν ἀκλινῆ πίονα τῆς Τροίας, τὸν ἄμαχον, τουτέστι, τὸν ἀνυπόστατον ἐν ταῖς μάχαις· καὶ τὸν Κύκνον, τὸν τοῦ Ποσειδῶνος δηλονότι, τῷ θανάτῳ περίσχιν, ἤγουν ἐθανάτωσε· καὶ τὸν παῖδα τῆς Ἡμίρας τὸν Μίμνονα, τὸν ἀπὸ Αἰθιοπίας. εἰκότως εἶπε τὸν Ἕκτορα πίονα, ἰκεῖνος γὰρ ἦν ἔρεισμα τῆς Τροίας, οὗ πεσόντος ἐπὶ σαθροῦ τὸ Ἴλιον εἰσῆκεν. R.

Ἐν τοῖσιν ἁλίγονται] ἀριθμοῦνται, συγκαταλέγονται ἐν τοῖς εὐσεβέσι, τοῖς κατανοοῦσι τὰς τῶν μακάρων νήσους. καὶ τὸν Ἀχιλλέα δὲ ἡ μήτηρ στηθαίαν αὐτὸν ἤγαγεν, ἐπειδὴ τοῦ Διὸς τὴν ψυχὴν ἔπεισεν ἐκεσίαις. V.

144, Λιταῖς] Gl. ms. γ. παραπλήσιον.

146. Ἄμαχον] Gl. ms. α. δύσμαχον, ἀκαταγώνιστον. γ. ἀκατασόητον.

Ἄμαχον, ἀχράδα πίονα] μεταφορικῶς εἴρηται· ἀχραδὴς δὲ λέγεται ὁ ἰσχνὸς καὶ μὴ ῥᾳδίως συντριφόμενος. ἄχρηστον καὶ ἀμετακίνητον. καὶ ἔστι κατὰ μετάθεσιν τοῦ σ εἰς τὸ α καὶ ἀποβολὴν τοῦ λ. ἔστι γὰρ ἀχρειζλῆ, οἷον ἄχρηστον, ἀχραζῆ. V.

147. Κύκνον τε θανάτῳ πόρε] παραδίδωσι, τὸν Ποσειδῶνος καὶ Σαμανδρεδίκης· οἱ δὲ Ἀρπάλης. Κύκνοι δὲ δύο, ὁ μὲν Ἄρεως ὁ δὲ Ποσειδῶνος· καὶ τὸν μὲν Ἄρεως παππῶν τὰ περὶ Θεσσαλίαν διαθέντα Ἡρακλῆς ἀπέκτεινε· τὸν δὲ Ποσειδῶνος Ἀχιλλεὺς στρατευσάμενον, καὶ συμμαχοῦντα τοῖς Τρωσίν. V.

Ἰσορία. Δύο Κύκνοι ἐγένοντο, ὁ μὲν Ἄρεως υἱὸς, ἐν Θετταλίᾳ τοὺς παριόντας λοχῶν καὶ ἀποκτείνων, καὶ βουλόμενος ταῖς κεφαλαῖς ναὸν ἐνιγεῖραι τῷ πατρὶ, ὃν Ἡρακλῆς ἀπέκτεινεν· ὁ δὲ Ποσειδῶνος, ναὸς ἔχων καὶ συμμαχῶν τοῖς Τρωσὶν, ἰσάμενος ἐν σινῷ τῆς ἰκεὶ θαλάσσης, καὶ οὐκ ἐῶν τοὺς Ἕλληνας ἀποβῆναι· ὃν Ἀχιλλεὺς ἀπέκτεινεν. R.

148. Ἀοῦς τε παῖδ' Αἰθίοπα] τὸν Μέμνονα, τὸν Τιθωνοῦ καὶ Λαομέδοντος καὶ Ἡμέρας. Ταῦτα δέ λέγουσιν οἱ τὰ μετ' Ὅμηρον γράψαντες οὕτω· Τιθωνῷ γίνονται ἐξ Ἡμέρας παῖδες δύο· Μέμνων καὶ Ἡμαθίων. καὶ Μέμνων μὲν ἀνῃρέθη ὑπ' Ἀχιλλέως, Ἡμαθίων δὲ ὑπὸ Ἡρακλέους, κατὰ τὴν ἀπέλασιν τῶν Γηρυόνου βοῶν. V.

Τιθωνοῦ καὶ Ἡμέρας δύο παῖδες γίνονται, Μέμνων καὶ Ἡμαθίων, ὧν ὁ μὲν ἀνῃρέθη ὑπ' Ἀχιλλέως, Ἡμαθίων δὲ ὑφ' Ἡρακλέους, κατὰ τὴν ἀπέλασίαν τῶν Γηρυόνου βοῶν. ἐμυθεύσαντο δὲ αὐτοὺς Ἡμέρας υἱοὺς παῖδας, διὰ τὸ, Αἰθίοπας ὄντας, λευκοὺς καὶ ὡραίους εἶναι. R.

149. Πολλά μου ὑπ' ἀβλῆτες] πολλὰ βίλη ταχέα ὑποκάτω τοῦ ἀβλῆτός μου εἰσὶν, ἴνδον τῆς βιλοθήκης, φωνάεντα, ἤγουν φωνὴν ἀφιέναι δυνάμενα συνετοῖσιν, παρὰ τοῖς φρονίμοις, ἀντὶ τοῦ· πολλὰ νοήματα ἐξίεσιν ἐν τῇ ψυχῇ μου εἰσὶ ζῶντα παρὰ τοῖς φρονίμοις, ὡς ἐπίσαν δὲ ἑρμηνίων ἔχει χρείαν· φωνήεντα, τὰ φωνὴν ἀφιέναι δυνάμενα. φωνήεντα δὲ γράμματα, τὰ φωνεῖσθαι μόνα δυνάμενα, καθ'

ἐναντιότητα τῶν συμφώνων, ἃ σὺν τοῖς φωνήεσιν ἀεὶ ἐκφωνεῖται, καὶ οὐδέποτε μόνα. R.

150. Ὠκεῖα βίλη] τροφικὸς ὁ λόγος· βίλη δὲ τοὺς λόγους εἶρηκε διὰ τὸ ἑξῆς καὶ καίριον τῶν ἐγκωμίων· φαρέτρης δὲ, τῆς διανοίας. τὸ δὲ ὑπ' ἀγκῶνος, ὡς πρὸς τὸ φαρέτρας ἀπουσίαν. οὕτω καὶ ὁ βουκόλος (Theocritus Id. 17, 30.) " ὑπωλένιόν τι " φαρέτραν" λέγει. V.

152. Φωνᾶντα] Gl. ms. γ. συμφωνοῦντα.

153. Ἑρμηνέων χατίζει] εἰς δὲ τὸ κοινὸν καὶ εἰς τοὺς πολλοὺς καὶ χυδαιοτέρους ἐρχόμενοι ἑρμηνείας χρήζουσιν· ἤτοι περὶ τῶν ποιημάτων ἑαυτοῦ διαλέγεται. οἶδε γὰρ, ὅτι πολλῇ ἰσορίᾳ κέχρηται καὶ σχήμασιν ἐξηλλαγμένοις, καὶ φράσει ποικίλῃ. ἔχει γὰρ ὑπερβατὰ πολλά. τὰ ποιήματα οὖν, φησὶ, τὰ ἐμὰ ἑρμηνέων χρῄζει, οἷον, οὐδὲν ἴσιν, ἅ μὴ χρῄζει ἑρμηνέων. αὐτὸς γὰρ οὐ δύναται διὰ τὸ πλῆθος ἐξευρεῖν πάντα. ὅμοιος δέ ἐσι τῷ (Homer. Iliad. β. 488.)

" Πληθύν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' " ὀνομήνω*." V.

154. Σοφὸς ὁ πολλὰ εἰδὼς] ὁ λόγος γνωμικός· καὶ σοφὸς ἐσιν ὁ πολλὰ ἱσορήμενος ἐκ φύσεως, ὁ φύσιν πρός τι ἔχων. τῶν γὰρ μανθανόντων, οἱ ἐκ φύσεως ἥμπτιροι, βελτίους· ἐπειδὴ καὶ πρεσβυτέρα τῶν μαθημάτων ἡ φύσις· οἱ δὲ ἀπὸ μαθήσεως βουλόμενοι ἥκειν, καὶ ἐκ πολλῶν συνίεντες, ὃν τρόπον καὶ οἱ πεπράκται πόρακες καὶ μάτην φλυαροῦντες, ἀτιλῇ καὶ πτερύττα καὶ ἀσύντα φθέγγονται, πρὸς τὸν συνετὸν καὶ θεῖον ὄρνιν τοῦ Διός, τὸν αἰετὸν, ἀντιζοῶντες. ἀκοντίσεται δὲ πρὸς τὸν Βακχυλίδην. γέγονε γὰρ αὐτῷ ἀνταγωνιστὴς τρόπον τινὰ καὶ εἰς τὰ αὐτὰ παθεῖν ἑαυτόν. V.

155. Φυᾷ] ἀντὶ τοῦ φύσει, τουτέστιν ἀπὸ φύσεως. φυὴ ἡ ἀναδρομὴ τοῦ σώματος. ἐνταῦθα δὲ φυᾷ, ἀντὶ τοῦ φύσει. οἱ μαθόντες δὲ, ἀντὶ τοῦ, οἱ ἀπὸ μαθήσεως δὲ εἰδότες καὶ οὐκ ἀπὸ φύσεως, πρὸς τὸν ἔχοντα δηλονότι τὴν ἰσχὺν ἀπὸ φύσεως ὥσπερ πόρακες, λάθρως γαρύουσιν, ἀντὶ τῦ πράζουσιν, ἀτέραντα. παγγλωσσίᾳ, τουτέστι, συγκεχυμέναις φωναῖς, πρὸς τὸν θεῖον ὄρνιθα τοῦ Διὸς, ἤγουν τὸν αἰετόν. R.

Φυᾷ, ἤγουν ἐκ φύσεως καὶ οὐκ ἀπὸ μαθήσεως ὄντα. τοιοῦτος δὲ ἐγὼ, πάντα σχήμασι καταποικίλλων τὰ ποιήματα, καὶ φράσει ποικίλῃ, καὶ πολλοῖς ἄλλοις, ἃ οἶδεν καὶ οὐκ ἀπὸ μαθήσεως ἐξεύρηκα καὶ ἐμηχανησάμην. οἱ δὲ μαθόντες γαρύετον καὶ βοῶσιν ἄτεραντα καὶ ἀτελέσματα, λάθρα καὶ σφοδρὰ ἐν παγγλωσσίᾳ καὶ πολυλογίᾳ, ὥσπερ πόρακες πρὸς τον θεῖον ὄρνιθα τοῦ Διὸς, ἤγουν ἐμέ. τουτέστιν, οἱ μὲν ἄλλοι ποιηταὶ (λέγει δὲ διὰ τὸν Βακχυλίδην, οὗτος γὰρ ἀντήριζεν αὐτῷ) περιττολόγοι εἰσὶν ἐν τοῖς αὐτῶν ποιήμασι, καὶ ἄτερατα λέγουσιν· ἐγὼ δὲ τὸ προσῆκον πανταχοῦ τηρῶ, καὶ οὐκ ἐκφέρομαι τῷ εἰκότος. ὥστε ἐκεῖνοι μὲν, τοιοῦτοι ὄντες, πόρακές εἰσιν ὡς πρὸς ἐμὲ, ἐγὼ δὲ αἰετός· ὅσῳ γὰρ αἰτὸς πόρακος κρείττων, τοσοῦτον ἐγὼ τούτων βελτίων. Item R.

156. Λάθρα] Gl. ms. γ. τόματι ἀνιαγμένῳ βοῶσιν ἀτελίωτα.

158. Ἄτερατα γαρύετον] οἱ φύσει χρώμενοι, λαμπροί· οἱ δὲ μαθόντες ἄτερατα γαρύουσιν, ἤγουν εἰσὶ τῶν καθ' αὐτοὺς ὅ τι δήποτε μαθόντων ἢ ἐπισαμένων. τὸ δὲ γαρύετον, κακῶς. οὐδὲ γὰρ ἐπὶ δυϊκοῦ βούλεται ἡ λέξις, οὐδὲ ὑπὲρ δύο περάκων, ἀλλ' ὑπὲρ πολλῶν· ὥσπερ πόρακες φιλοπυκοῦσι πρὸς ἀετὸν, οἱ διδακτοὶ πρὸς τοὺς φύσει αὐτοδιδάκτους. αἰνίσσεται δὲ εἰς Σιμωνίδην. V.

160. Ἔσχι] Gl. mss. β. γ. Ἔνεστιν.

Ἔσχι νῦν] μυθίλλων ἑαυτὸν, φησὶν, ἐπὶ τὸν σκοπὸν ἔτεινα τὸ τόξον. ἔσχι νῦν σκοπῷ· ἀπέρισψι τὸν λόγον πρὸς ἐαυτὸν, καὶ φησὶν, ὅτι, ἐπάνελθε εἰς τὸν ἐξ ἀρχῆς σου σκοπὸν, καὶ τὴν σπουδὴν, τὴν περὶ τοὺς Θήρωνος ἐπαίνους. δι' ὅλου δὲ τὴν τοῦ τόξου ἐφύλαξε τροπήν. τὸ δὲ, τίνα βάλλομεν, τίνα ἔχομεν θαυμάσαι ἐν τῇς ἰδίας διανοίας. Τίνα βάλλομεν, δηλονότι σκοπὸν τὸν νικηφόρον. μή πως δὲ βίλημον ἀκούειν σκοπὸν, τὴν Ἀκράγαντα· καὶ γὰρ ἐπιφέρει· ἐπί τοι Ἀκράγαντι τανύσαις· ἐκ τούτου σημαίνει τὸν ἴδιον καιρὸν καὶ εὔτροχον λόγον. V.

Ἀντὶ τοῦ, ἐπίσχων ἤδη ἔντυνε, ὦ θυμὲ, κατὰ τοῦ σκοποῦ τὸ τόξον, ἀντὶ τοῦ, χαλιναγωγῶν τὸν λόγον ἀπὸ τῶν ἔξω τοῦ καιροῦ ἐπὶ τὴν προκειμένην ὑπόθεσιν ἀπότεινε. R.

Ἄγε, εἰσὶ, ὦ θυμὲ, ἤγουν ὦ ψυχὴ, τίνα βάλλομεν, ἤγουν τοξεύομεν, εἰς τοὺς πίμποντες ἐνδόξους, ἀπὸ ἡμίρου καὶ φιλικῆς φρενός ; τουτέστιν, τίνα ἐγκωμιάζομεν ; ἐπὶ τὴν Ἀκράγαντα τάνυσον, ἤγουν ἴλκυσον, τὸ τόξον δηλονότι, ἀντὶ τοῦ ἐπὶ τὴν Ἀκράγαντα ἀπότεινε τὸν λόγον. Item R.

162. Ἐκ μαλθακᾶς αὖτι φρενὸς] τοῦτο εἶπε θεραπεύων τὸ σκληρὸν τοῦ λόγου. τὸ

* Alter τὸ πᾶν interpretatur *apud vulgus*: alter, *multitudinem dicendorum*. v. Not. Quod non πᾶν, sed πᾶν sit, neuter monet: vt in πανάστοτμος, πανάωρος corripitur.

γὰρ ἀπὸ τείχου βαλεῖν, ὥς φησι, δύσφρονός ἐστι καὶ τοῦ βαλλομένου τῆς οὖν προσηνοῦς καὶ οὐ πολεμικῆς διανοίας. V.

Εἰκότως εἶπε τὸ μαλθακῶς πρὸς ἀήθειαν διατολμὴν τοῦ τείχου. τὸ μὲν γὰρ σκληρὸν ἐστιν καὶ πικρίαν ἐμποιοῦν, πρὸς οὓς πέμπει τὰ βέλη· αὕτη δὲ ὑφροσύνης αἰτία τοῖς ὑγκωμιαζομένοις καθίσταται. R.

164. Ἐπί τοι Ἀκράγαντι τανύσαις] τοῦτο ὡς ἐν συνοίᾳ γινόμενος καὶ μαθών, τίνα ὀφείλει ὑγκωμιάσαι, φησίν, ὅτι ἐπὶ τῇ Ἀκράγαντι τῇ πόλει τοῦ Θήρωνος λέγει τὸ τόξον, ὃ ἐστι τὸν λόγον, τείνειν. V.

166. Αὐδάσομαι ἐνόρκιον] λόγον ὁμνυμι ἔνορκον καὶ ἀληθίσατον· ἵνα διὰξῃ τὸ πιστὸν ἂν λέγω· περὶ γὰρ ὧν τις πίστιν, ὅρκοις διϊσχυρίζεται· τί δέ φησιν; ὄμνυμι, μή τινα πόλιν ἄλλην περὶ ὅλων ἑκατὸν ἑτῶν τοιοῦτον ἄνδρα, μηδὲ ἄλλον εἰς εὐεργεσίαν τῶν φίλων πρόχειρον, ἢ περὶ ἐπίδοσιν χρημάτων ἀφθονίστερον τοῦ Θήρωνος. V.

Αὐδάσομαι, ἀντὶ τοῦ λέγω, διαπίστωσιν μᾶλλον σὺν ὅρκῳ κατὰ ἀληθῆ διάνοιαν, μηδένα ἄλλον ἄνδρα ἐφ' ἑκατὸν ἐτῶν, ἤγουν ἐντὸς ἑκατὸν ἐνιαυτῶν, τοιοῦτον τὴν πόλιν εὐεργέτην πρὸς τοὺς φίλους φρονήσεσι, τοιούτοις διὰ τῆς ἑαυτοῦ φρονήσεως, μᾶλλον, ἀφθονίστερόν τι κατὰ τὴν χεῖρα, ἀντὶ τοῦ, κατὰ τὴν δωρεάν, τουτέστι μεγαλοδωρότερον, τοῦ Θήρωνος. R.

Αὐδάσομαι, ἤγουν λέξω ἐν ἀληθεῖ νόῳ, λόγον ἐνόρκιον καὶ μιτὰ ὅρκου, μὴ τοιοῦτον καὶ γεννῆσαι πόλιν ἑκατὸν ἐτῶν καὶ χρόνων τινὰ ἄνδρα ἐν ταῖς πρεπούσαις καὶ φρονήσεσιν εὐεργέτην τοῖς φίλοις μᾶλλον καὶ περισσότερον τοῦ Θήρωνος, καὶ ἀφθονίστερον καὶ δαψιλίστερον κατὰ τὴν χεῖρα, ἤτοι τὸ διδόναι. Εἰ μὲν τὸ, τινὰ, πρὸς τὸ, ἄνδρα, συνάψῃς, πόλιν ἑκατὸν ἐτῶν νοήσεις τὴν Ἀκράγαντα. ἐν γὰρ τῇ πεντηκοστῇ Ὀλυμπιάδι ἐκτίσθη· Θήρων δὲ ἐν τῇ ἑβδομηκοστῇ ἐνίκησεν· ἑπτὰ οὖν εἴκοσιν Ὀλυμπιάδες διὰ μέσου εἰσίν, ἡ δὲ Ὀλυμπιὰς διὰ πέντε χρόνων ἐγίγνετο, ἑκατὸν χρόνων ἀριθμὸς γίνεται. πεντάκις γὰρ εἴκοσιν, ἑκατόν. εἰ δὲ πρὸς τὸ, πόλιν, τὸ τινὰ συνάψεις, ἀορίστως εἴπεις τὸ, πόλιν. τοῦτο δὲ ποιῶν, μὴ λάβῃς πρὸ, ἢ ἴως, εἰς τὸ, ἑκατὸν ἐτῶν, ἀλλὰ χωρὶς τούτων λέγε· τινὰ πόλιν ἑκατὸν ἐτῶν. εἰ γὰρ περὶ τὸν νόμον οἱ χρόνοι, ἐν δὲ τῷ νόσμῳ αἱ πόλεις, καλῶς ἂν ἔχοι λέγειν καὶ τὰς πόλεις τῶν χρόνων. νόει δὲ τὸν λόγον, καὶ ἐπὶ μίλωνος, καὶ παρεγχημένου. Τὸ γὰρ τεῖχος οὐ μόνον μέλλοντα χρόνον δηλοῖ· μέλλων γὰρ δεύτερος τὸ τεῖχος· ἀλλὰ καὶ παρεγχημένον. τεῖχος γὰρ καὶ ἀντὶ τοῦ τεῖξαι, καὶ ἀντὶ τοῦ τεῖξαι φαμέν. R.

167. Ἀλαθεῖ νόῳ] Gl. ms. γ. Ὅσπερ ὑπολαμβάνω.

168. Τεῖχος] Gl. ms. α. γεννῆσαι.

172. Ἀφθονίστερον] Ms. γ. Τὸ ἅ ἐστιν ἐπιτατικὸν, καὶ οὐκ ἀρνητικόν.

173. Ἀλλ' αἶνον ἔβα κόρος] τὴν φδὴν ταύτην ἔγραψεν ὁ Πίνδαρος, τοῦ Θήρωνος πολεμοῦντος διὰ τὴν πρὸς Ἱέρωνα ἀπέχθειαν. κόρος δὲ, ὕβρις, μιτὰ ἀδικίας. τὸ δὲ χαριτικόν, φησι, τοῦ Θήρωνος ἐπῆλθεν πολλοὺς εἰς ὕβριν, δηλονότι αὐτοὺς προηγάγετο, ἐπεὶ οἱ προσδόντες αὐτὸν, Ἱέρωνι φίλοι ἦσαν. δύναται δὲ τοῦτο καὶ εἰς τοὺς περὶ Κάπυν τεῖνειν, οἳ ἐπιτρέψαντες αὐτῷ, μὴ ὑπομείναντες αὐτὸν οὕτως ὀρᾶν λαμπρὸν ὄντα. ἐπῆλθε οὖν τῷ Θήρωνος ἐπαίνῳ ὁ φθόνος, ὑπανστήσας οὐ κατὰ δίκην, οὐδὲ ἦν δεῖ τρόπον. Ἄλλως. Κάπυς καὶ Ἱπποκράτης Θήρωνος ἦσαν ἀνεψιοί, οὗτοι πολλὰ ὑπ' αὐτοῦ εὐεργετηθέντες, ὡς ἰώρων ηὐξημένην αὐτοῦ τὴν τυραννίδα, φθονοῦντες πόλεμον ἤραντο πρὸς αὐτόν. ὁ δὲ συμβαλὼν αὐτοῖς περὶ τὴν Ἰμέραν ἐνίκησεν. Ἔβα κόρος τὸν ἔπαινον, τὴν δόξαν, τοῦ Θήρωνος. κόρος δὲ, ὕβρις. Ἄλλως. τοῦτο, ὅστις ἀγαναπτῶν, ἐφ' οἷς ἀδίκως λελύσηται, φησὶν ὁ Πίνδαρος. καί φησιν, ὅτι, ἀλλὰ τὸν ἔπαινον τοῦ Θήρωνος ἐπῆλθε ἤδη κόρος, ἀντὶ τοῦ, ἱκανῶς ἤδη φθονηθεὶς ἐπὶ τοῖς θαύμασιν ἀξίοις. αἰνίττεται δὲ τὴν γενομένην αὐτῷ πρὸς Ἱέρωνα ἔχθραν. V.

Ἀλλὰ ἐπὶ τὸν ἔπαινον, ἀντὶ τοῦ, κατὰ τῶν ἐπαίνου ἀξίων καλῶν τοῦ Θήρωνος ἐπενήθη κόρος, ἀντὶ τοῦ, ὕβρις, ἀπ' ἀγαναστήσεως, οὐ σὺν τῷ δικαίᾳ συναλῶν, τουτέστι συμζαίνων, ἀλλ' ὑπ' ἀνδρῶν μάργων, ἤγουν μανικῶν, φθονερῶν, ζήλων, διὰ τὸ θερυζῆσαι, πρόφορα ποιῆσαι, (ἀντὶ τοῦ πρόφιον, τουτέστι πεπρυμμένον, ἔδοξεν,) τῶν ἀγαθῶν, διὰ τῶν κακῶν ἔργων· ἢ ἀφανισμὸν ποιῆσαι τοῖς καλοῖς ἔργοις τῶν ἀγαθῶν ἀνθρώπων. R.

Εἰκότως εἶπε τὸ, κόρος· ὥσπερ γὰρ ὁ κόρος, παρατροπὴν τοῦ γομάχου καὶ διαφθορὰν ἐργάζεται, ἴσε δ' ὅτι καὶ ὀργανικὴ βλάβη ἐνταῦθεν γίνεται, οὕτω καὶ ἐπὶ τὸν αἶνον τοῦ Θήρωνος, ἤτοι τὸ ἐκ τῶν μεγάλων εὐεργεσιῶν γινόμενον αὐτῷ θαῦμα, ἐπῆλθε κόρος ἢ φθόνος. Κάπυς γὰρ ὁ Ἱπποκράτης, καίτοι πολλὰ ὑπὸ Θήρωνος εὐεργετηθέντες, ὅμως ὡς ἰώρων αὐτοῦ τὴν ἀρχὴν αὐξομένην, φθονήσαντες μετέστησαν πρὸς Ἱέρωνα, καὶ πόλιμον ἐγείραντες, κατ' αὐτοῦ ἐπειρῶντο τὴν ἀρχὴν καθαιρεῖν, ἀλλ' οὐδὲν ἠδυνήθησαν, ὧν ἐβούλοντο, πρᾶξαι. Item R.

175. Ἀλλὰ μάργων] ὑπὸ γὰρ μανιωδῶν τινῶν καὶ ἀνοήτων ἐφθονήθη, αὐτὸ θορύβῳ τινὶ καὶ ματαίᾳ φλυαρίᾳ κρύψαι καὶ σβέσαι βουληθέντων, τὸ ἐκ τῶν καλλίστων αὐτοῦ ἔργων ἀγαθόν. V.

176. Λαλαγῆσαι] Gl. ms. α. λοιπῆσαι, τρῦξαι.

Τὸ λαλαγῆσαι Ϋίλων] λαλαγῆσαι λέγει τὸ ϑορυβῆσαι τῷ λόγῳ. V.

177. Κρύφου] Ἀρίσταρχος χωρὶς τοῦ ῐ γράφει· κρύφον, καὶ ἀποδίδωσι, κρύψιν· ὁ πόρος κρύψιν Ϋίλων καὶ ἀφανισμὸν Ϋιῖναι τοῖς τῶν ἰσϑλῶν κακοῖς. καὶ ἡ ἀντίστροφος δὲ οὕτως ἀκαιτεῖ. V.

178. Ἐπὶ ψάμμος] παραβολικῶς· λέγει γὰρ, ὅσπερ ἡ ψάμμος οὐκ ἂν ἀριϑμῷ περιληφϑείη, οὕτως ἀμέτρητος Θήρων ταῖς ἐφοσίαις. V.

Περιτίφινγιν] ἀντὶ τοῦ διατίφινγιν ὅσα ἐκεῖνος, ἤγουν ὁ Θήρων, χάρματα, τουΐσιν ἤδια, τέρπνὰ, χάριν ἄλλων ἐποίησι, τίς ἂν δύναιτο φράσαι, ἤγουν εἰπεῖν, διηγήσασϑαι. τὸ, ἐπὶ ψάμμος, ἁρμόζεται τῇ ἐννοίᾳ πρὸς τὸ, φίλοις ἐνεργήτην· τὸ δὲ, ἀλλ' αἰνον μίχει τοῖς ἔργοις, διὰ μέσου παρεμβατικώτερον εἴρηται. καὶ τίς ἂν φράσαι καὶ ἐξειπεῖν δύναιτο τὰ χάρματα, καὶ τὰς ἐκ τῶν ἐνεργεσιῶν χαρὰς, ὅσα ἐκεῖνος ὁ Θήρων τοῖς καλοῖς ἔδωκεν· ἐπεὶ ἡ ψάμμος τῆς ϑαλάσσης περιτίφινγε τὸν ἀριϑμὸν, ἤτοι οὐ δυνατόν ἐστιν ἀριϑμεῖσϑαι, τουτέστιν, ὅσπερ ἡ ψάμμος ἀναρίϑμητός ἐστιν, οὕτω καὶ αἱ τούτου πρὸς ἀνϑρώπους ἐνεργεσίαι. R.

180. Τίς ἂν φράσαι δύναιτο] Mss. β. γ. φασί τινες εἶπεῖν τὸν Πίνδαρον τοῦτο διὰ τὴν μάχην, τὴν πρὸς Ἴρωνα, ἵνα πολυζήλου ὄντος Πολύζηλον ἐκλεηϑέντα ὑπὸ Ἴρωνος ἀπὸ Συρακουσῶν ὑπεδέξατο ὁ Θήρων. ἐστέον δὲ καὶ τοῦτο, ὅτι Κάπυς καὶ Ἱπποκράτης ἦσαν ἀνεψιοὶ Θήρωνος· οἵτινες πολλὰ ὑπ' αὐτοῦ ἐνεργετηϑέντες ἤραντο πόλεμον πρὸς αὐτὸν, φϑονοῦντες, ὅτι ἰσόρων ἠξιοῦτο τὴν βασιλείαν αὐτοῦ· ὁ δὲ συμβαλὼν αὐτοῖς ἐνίκησε.

Carmen III.

Περὶ τῶν κῶλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τρίτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ τρίτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ϟ'. Τὸ α ἰαμβομελογικὸν, κατ[α]ληκτικὸν, ἤγουν ἀπὸ δύο πενϑημιμερῶν, πρώτου δακτυλικοῦ καὶ διυτίρου ἰαμβικοῦ (λιπούσης συλλαβῆς)· οὕτω δὲ ἐλέγετο, παρόσον τούτῳ τῷ ῥυθμῷ ἰαμβικὰ συνετίθεντο τοῖς παλαιοῖς· - υυ - υ υ - - - υ -. Τὸ β', πρωσοδιακὸν, δίμετρον, ἀκατάληκτον· λέγεται δὲ πρωσοδιακὸν, ὅτι ταῖς πρωσῳδοῖς καὶ παροξυτόνοις πρωσιγράφετο· σύγκειται δὲ ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου· - - υ υ - υ υ -. Τὸ γ' πρωσοδιακὸν τρίμετρον· εἰς γὰρ καὶ παρ' ἕνα οἱ τοιοῦτοι πῶδες κεῖνται· - - υ υ - υ υ - - - υ υ. Τὸ δ' πρωσοδιακὸν δίμετρον ὑπερκατάληκτον. διατί πλεονάζει τοῖς πρωσοδιακοῖς; διότι εἰς στιχίδια ἦν ἡ ᾠδὴ, ἐν οἷς καὶ αἱ πρόσῳδοι ἐξ ἀνάγκης ἀκόλουθοι· - - υ υ - υ υ - υ. Τὸ ε πρωσοδιακὸν τρίμετρον καταληκτικὸν. ἀπὸ τροχαϊκῆς συζυγίας, ἀντὶ τοῦ, ἀπ' ἰλάσσονος Ἰωνικοῦ, ὅπερ ἐστὶ καὶ ἀναπλώμενον· ἀπὸ γὰρ τοῦ τέλους πρὸς τὴν ἀρχὴν Ἰωνικὸν ἀπὸ μείζονος, καϑὼς ἦσαν καὶ τὰ πρότερα πρωσοδιακὰ ὀρϑά· - υ - - - υ υ - υ υ -. Τὸ ϛ' ἰαμβικὸν πενϑημιμερές· - - υ --. Τὸ ζ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον· - υ - - - υ --. Τὸ ή, ὅμοιον τῷ πρώτῳ, ἰαμβομελογικὸν, κατα[α]ληκτικὸν· - υ υ - υ υ - - - υ -. Τὸ ϑ' Στησιχόρειον, ἐκ μόνων ἰστιρίτων διυτίρων. ἡ δὲ πρώτη συζυγία καὶ τέταρτον λαμβάνει, διαλυομένου τοῦ πρώτου μακροῦ εἰς δύο βραχία· - υ - - - υ - - - υ -.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων καὶ αὐτὴ ἐννέα. Τὸ ά τροχαϊκὸν δίμετρον ἀκατάληκτον· - υ - - - υ - -. Τὸ β' δακτυλικὸν πενϑημιμερές· - υυ - υυ -. Τὸ γ' πρωσοδιακὸν τρίμετρον καταληκτικὸν ἀναπλώμενον, ἀρχόμενον ἀπὸ τροχαϊκῆς συζυγίας ἀντὶ τοῦ ἀπ' ἰλάσσονος Ἰωνικοῦ· - υ - - - υ υ - υ -. Τὸ δ', ἰαμβικὸν δίμετρον ἀκατάληκτον· - - υ - - - υ -. Τὸ ε πρωσοδιακὸν ἀνακλώμενον ἀπὸ χοριάμβου δίμετρον ἀκατάληκτον· - υ υ - υ υ - -. Τὸ ϛ', ἰαμβομελογικὸν κατ[α]ληκτικὸν, ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς· - υυ - υυ - - - υ -. Τὸ ζ', ἰαμβομελογικὸν πλῆρες, ἀκατάληκτον· - υυ - υυ - - - υ - υ. Τὸ ή δακτυλικὸν πενϑημιμερές· ἐν δὲ τῇ πρώτῳ ἐποδῷ ἡ δᾶς μακρὰ συναίρεσιν ἔπαϑε τῶν βραχίων,

ἔστιν εἰσὶ τὸ μὲν Ἰο, τοῦ δακτύλου, τὸ δὲ ἴστιορον, ἡ συλλαβή· -υυ-υυ-. Τὸ δ' Στησιχόρειον τρίμετρον ἀκατάληκτον, ἐξ ἰαμβικῶν δυπόδων· -υ---υ---υ---. (pro his G. ὁμοίως τῷ ἐνάτῳ τῆς τροφῆς.)

Εἰς Θιοξίνια.] * Οἱ Διόσκουροι κατὰ ἱστολὴν Ἡρακλέος διατιθιμένοι τὸν Ὀλυμπιακὸν ἀγῶνα, ὡς ἱστορεῖται, ὁ Ἡρακλῆς· τούτους γὰρ εἰς Θεοὺς ἀναχωρῶν Ἡρακλῆς τὴν τῶν Ὀλυμπιακῶν ἀγώνων φροντίδα καὶ ἐπιμέλειαν ἐνεχείρισεν· οὗτοι ἀφ' ἑαυτῶν ἐπινόησαν πανήγυριν, Θιοξίνια, παρὰ τὸ δοκεῖν τότε ξενίζειν τοὺς Θεούς. Θύοντος οὖν τοῦ Θήρωνος εἰς Θιοξίνια, ἐν τοσούτῳ ἠγγίλθη αὐτῷ καὶ ἱππίῳ Θεν αὐτοῦ ἵππων νίκη· καὶ εἰς τοῦτο γράφει ὁ ποιητής. ζητεῖται δὲ, διατὶ μὴ Διὶ πύξατο, ᾧ οὗτος ὁ ἀγὼν ἀνάκειται, ἢ Ἡρακλεῖ τῷ καταβόλῃ, ἀλλὰ Διοσκούροις; φαμὲν οὖν, πρῶτον, ὡς τὸ παρὸν εἰσιν αὐτοὶ οἱ διακοσμοῦντες τὸν ἀγῶνα· ἵστατα δ' τι Ζεὺς καὶ Ἡρακλῆς. Ὁ δὲ Ἀρίσταρχός φησι, παρὰ τοῖς Ἀπραγαντίνοις διὰ τιμῆς εἶναι τοὺς Διοσκούρους καὶ πατρίῳ ἴθει καὶ νῦν αὐτοὺς χρᾶσθαι. ὁ δὲ Δίδυμος ἱστορικώτερον λέγει, καί φησι, διὰ τὸ τὸν Θήρωνα ἄνωθεν Ἀργεῖον εἶναι. τιμῶνται δὲ κατὰ τὸ Ἄργος καὶ τὴν Πιλοσόννησον οἱ Διόσκουροι. V.

Ἀναχωρῶν εἰς Θεοὺς Ἡρακλῆς, τοῖς Διοσκούροις τὸν Ὀλυμπιακὸν ἀγῶνα ἐπιτρεψι στιλεῖν. οὗτοι δὲ πρὸς τούτῳ καὶ ἑτέραν ἑορτὴν ἐξεῦρον, ἣν διὰ τὸ πρὸς πάντας τοὺς Θεοὺς γίνεσθαι, Θιοξίνια ἐκάλουν, οἱονεὶ ξενίαν καὶ τράπεζαν τῶν Θεῶν. Θύοντι οὖν Θήρωνι καὶ ἑορτάζοντι τὰ Θιοξίνια ἠγγίλθη, ὡς ἐν Ὀλυμπίᾳ οἱ αὐτοῦ ἵπποι ἐνίκησαν. διὰ τοῦτο οὖν ὁ ποιητὴς εὔχεται τοῖς Διοσκούροις καὶ τῇ αὐτῶν ἀδελφῇ Ἑλένῃ, ὡς κατασήσασι πρώτοις τὴν τῶν Θιοξενίων ἑορτήν. λέγει οὖν· γεραίρων δ' τιμῶν τὴν πλειστὴν Ἀπράγαντα, ἐρθώσας καὶ ἰγιέρας δ' ἀνυψώσας ὕμνον τοῦ Θήρωνος Ὀλυμπιονίκην, καὶ ἐκ τῆς Ὀλυμπίας αὐτῷ κατασάντα, ἄωτον, ἀπάνθισμα τῶν καρπῶν τῶν ἵππων αὐτοῦ τῶν ἀπαμαντοσόδων, εὔχομαι ἀδεῖν καὶ ἀρέσκειν τοῖς υἱοῖς τοῦ Τυνδάρεω, Διοσκούροις, τοῖς φιλοξίνοις, καὶ τοῖς φιλοῦσι τοὺς ξένους, καὶ τῇ αὐτῶν ἀδελφῇ, τῇ καλλισπλοκάμῳ Ἑλένῃ. φιλοξίνους λέγει αὐτοὺς, διὰ τὸ συσῆσαι τὴν ἑορτὴν τὰ Θιοξίνια, εἰς ἣν πολλὰ ξένων ξυνέῤῥεον καὶ φιλοφρονήσεως ἠξιοῦντο. R.

8. Ὃς τὰν σὰν] ὅρις, ὁ Ψαῦμις, ἐν ταῖς μεγίσαις ἑορταῖς τῶν Θεῶν, καὶ ἐν ταῖς τῶν ἄθλων ἀμίλλαις, ταῖς πιμπταμέραις, ἤγουν, τοῖς διὰ πέντε ἡμερῶν γινομένοις Ὀλυμπίοις, αὔξων καὶ δοξάζων τὴν σὴν λαοτρόφον Καμαρίναν πόλιν, ὦ νύμφη, ἐν ἵπποις καὶ τιτρώρῳ, καὶ ἐν ἡμιόνοις καὶ ἀπήνῃ, καὶ ἐν μοναμπυκίᾳ καὶ μονοχαλίνῳ κέλητι γέραρε, ὑπὸ βουθυσίαις, θεοὺς διδύμους ἐχ τοὺς διπλοῦς ἐξ βωμοὺς τῶν δώδικα Θεῶν, οἷον Διὸς καὶ Ποσειδῶνος, Ἥρας καὶ Ἀθηνᾶς, Ἑρμοῦ καὶ Ἀπόλλωνος, Χαρίτων καὶ Διονύσου, Ἀρτέμιδος καὶ Ἀλφιοῦ, Κρόνου ἐχ Ῥέας, ὧν δώδικα μὲν ἀγάλματα Ἡρακλῆς, ὅτι τὸν Ὀλυμπιακὸν ἀγῶνα ἐτέθη, ἐποίησεν. Ἓξ δὲ βωμοὺς, ἵνα ἐν ἑκὶ βωμῷ δύο θεοὶ τιμῶνται, εἰς οὓς ὁ νικήσας ἐν Ὀλυμπίᾳ θυσίας προσῆγε μετὰ τὴν νίκην, ὥστε χάριν ἀποδιδούς. τὸ δὲ με-

γίσιαις ἱορ]αῖς Διῶι, ἡ τῇ μιγίστῃ ἑορτῇ τοῦ Διὸς, τῇ Ὀλυμπίᾳ, νοητέον· οὐκ ἔστι γὰρ μείζων ταύτης οὐδεμία ἄλλη· ἢ διὰ τοὺς δώδεκα Θεοὺς τοὺς ἰκεῖ ὄντας, ὡς εἴπομεν, τοῦτο λέγει· ἡ γὰρ τοῦ Διὸς πανήγυρις καὶ ἱκείνων ἦν, ἐτιδὴ καὶ πᾶσι τούτοις Θυσία προσήγετο παρὰ τῶν νικώντων. ἤρχετο δὲ ἡ πανήγυρις κατὰ τὴν δικάτην τοῦ μηνὸς, καὶ ἐτελεῖτο μίχρι καὶ τῆς ἱκκαιδεκάτης, ἐν ᾗ τὰ ἆθλα ἐδίδοτο.

"Ος τὰν σὰν] ὅς, ἤγουν ὁ Ψαῦμις, τὴν ἀπὸ σοῦ ὀνομασμένην πόλιν, τὴν Καμαρίναν, κατὰ μετασλασμὸν* αὐτοῦ, τὴν Καμαρίναν, τὴν ἐστιηδείαν εἰς τροφὴν λαῶν, αὖξον, ἤγουν ὑψῶν, μεγαλύνων, τοὺς ἓξ βωμοὺς, τοὺς ἐν τῇ Ἠλιδι, οὓς ὁ Ἡρακλῆς κατεσκεύασε τοὺς διδύμους (ἕκαστος γὰρ αὐτῶν δυσὶ Θεοῖς ἦν ἀφιερωμένος) ἐτίμησι κατὰ τὰς ἑορτὰς τῶν Θεῶν, ἤγουν κατὰ τὸν καιρὸν τῶν ἑορτῶν, διὰ βουθυσιῶν μιγίστων, καὶ δι' ἁμιλλῶν, ἐπὶ πέντε ἡμέρας ἁμιλληθεισῶν, ἀγώνων (ἐπὶ τοσαύτας γὰρ ἡμέρας ἐτελεῖτο ὁ Ὀλυμπιακὸς ἀγὼν) ἵππειος, ἤγουν δι' ἵππων γινομένων αὐτῷ τῶν ἁμιλλῶν, τουτέστι, δι' ἅρματος ἱππικοῦ, ἢ δι' ἡμιόνων, ἤγουν, καὶ δι' ἅρματος ἡμιόνων, καὶ διὰ μοναμαυκίας, τουτέστι, δι' ἑνὸς χαλινοῦ, ἀντὶ τοῦ, καὶ δι' ἑνὸς ἵππου, τοῦ λιγομένου κίλητος. R.

10. Βωμοὺς ἓξ] Ἡρόδωρός φησι, τὸν Ἡρακλέα ἐν Ὀλυμπίᾳ ἱδρύσασθαι δώδεκα Θεῶν ἀγάλματα, συμβώμους δὲ αὐτοὺς ποιῆσαι ἓξ βωμοὺς κατασκευάσαντα. Ἄλλως. Ὀλυμπιάσι βωμοί εἰσιν ἓξ δίδυμοι τοῖς δώδεκα Θεοῖς ἀνιδρυμένοι, ἑνὸς ἑκάστου βωμοῦ δύο Θεοῖς καθωσιωμένου. πρῶτος Διὸς καὶ Ποσειδῶνος, δεύτερος Ἥρας καὶ Ἀθηνᾶς, τρίτος Ἑρμοῦ καὶ Ἀπόλλωνος, τέταρτος Χαρίτων καὶ Διονύσου, πέμπτος Ἀρτέμιδος καὶ Ἀλφειοῦ, ἕκτος Κρόνου καὶ Ῥέας, ὥς φησιν Ἡρόδωρος. V.

14. Πεμπταμέριος ἁμίλλαις] ἐτιδὴ ἐπὶ πέντε ἡμέραις ἤγετο αὐτὰ τὰ ἀγωνίσματα, ἀπὸ ἐνδεκάτης μίχρις ἑκκαιδεκάτης· ἡνίκα οὖν ἐτελεῖτο τὰ ἆθλα τῶν πενθημέρων ἀγώνων, ἐγέραιρον τοὺς βωμούς. ἐκόσμησε δὲ τοὺς βωμοὺς νικήσας ἵπποις, τεθρίπποις, ἡμιόνοις καὶ κίλησι. V.

Ἐτιδὴ ἐπὶ πέντε ἡμέρας ἐγίνετο τὰ Ὀλύμπια, ἀπὸ ιά μίχρι ιε'. ἡνίκα γοῦν ἐτελεῖτο τὰ ἆθλα τῶν πενθημέρων ἀγώνων, ἐγέραιρε τοὺς βωμούς. ἐκόσμησε δὲ τοὺς βωμοὺς νικήσας ἵπποις, τεθρίπποις, ἡμιόνοις καὶ κίλησι. V.

Πεμπταμέριος] τοῦτο ἐπὶ πέντε ἡμέρας ἐγίνετο τὰ Ὀλύμπια, ἀπὸ ιά μίχρι ιε'. ἡνίκα γοῦν ἐτελεῖτο τὰ ἆθλα τῶν πενθημέρων ἀγώνων, ἐγέραιρε τοὺς βωμούς. Τὸ δὲ Πεμπταμέριος ποιητικὸν, διὰ τὸ ἀμιτάζληται ἔχειν τὰ ψιλὰ δασίος ἐπαγομένου. ὁ τρόπος δὲ οὗτος τῶν Ἰώνων ἐστὶ, διὰ τὸ ἀπὸ τοῦ πίμπτου συγκίσθαι, ἀλλ' οὐχ ὑπὸ τῶν κοινῶν τῶν τοιούτων συντιθεμένων. οὗτοι γὰρ πενθημέρου λέγουσιν ἀπὸ τοῦ πέντε, ἑ τριήμερον ἀπὸ τοῦ τρεῖς, ἑ ἑπταήμερον ἀπὸ τοῦ ἑπτά. ὅτι δὲ ἀπὸ τοῦ τρεῖς ἑ πέντε ἑ ἑπτὰ ταῦτα, ἀλλ' οὐκ ἀπὸ τοῦ τρία ἑ ἑπτὰ, δῆλον ἀπὸ τοῦ τετραημέρου, ἑ ἑξαημέρου ἑ ὀκταημέρου, ἐφ' οἷς ἡ συνθήκη ἐξ ἀνάγκης ἀπὸ τοῦ τέτρα ἑ ἕξ ἑ ὀκτὼ δείκνυται. Ἀμφιέ πυρίως πόσμος τις χρυσῷ ἑ λίθοις πεποικιλμένος, ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσιν, ἀφ' οὗ καὶ μιτοφορεῖν καὶ αἱ διάχρυσοι χαλκαὶ ἄμπυκες λέγονται. R.

15. Μοναμπυκίᾳ] μονοχαλίνῳ. νοητέον δὲ ἐνὶ ἵππῳ τῷ λιγομένῳ κίλητι. ἄμπυξ μὲν γὰρ πυρίως, ἀνάθημα τῆς κεφαλῆς τι, καὶ λῶρος χρυσῷ ἑ λίθοις πεποικιλμένος, ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσι. μιτοφορικῶς δὲ καὶ αἱ διάχρυσοι χαλκαὶ ἄμπυκες λέγονται, ὡς Ὅμηρος (Iliad. ε'. 358.) χρυσέμπυκας ἵππους· ἑ ἀλλαχοῦ (Iliad. χ'. 469.) Ἄμπυκα, κυρύφαλον, ἠδὲ πλινθὸν ἀναδῆσαι. V. (σ' add Gott.)

16. Τὸν δὲ κῦδος] σοὶ δὲ, ὦ νύμφη Καμαρίνα, τὴν ἐκ τῆς νίκης δόξαν ἀνέθηκεν, ἀντὶ τοῦ, σοὶ χάριν ὁμολογεῖ ἐπὶ τῇ νίκῃ. ἴσως γε μὴν καὶ τὸν αὐτοῦ πατέρα τὸν Ἄρκτωνα ἀνικήρυξεν. ἐν γὰρ τῷ ἀγῶνι οἱ κήρυκες ἀπὸ πατέρων ἀνηγορεύοντο, καὶ ἀπὸ προγόνων, καὶ πόλεων. τὴν νίκουσαν οὖν Ῥόδον ἀνηγόρευσαν, τὴν πόλιν αὐτοῦ τὴν νικητὴ ἱδρυθεῖσαν. κτίζεται μὲν γὰρ ἡ Καμαρίνα τεσσαρακοστῇ πίμπτῃ Ὀλυμπιάδι.' ἐπεκραίησάντων δὲ τῶν Συρακουσίων προθεῖται τῇ νζ' Ὀλυμπιάδι. εἶτα ἐν τῇ μέ Ὀλυμπιάδι, τῷ μεταξὺ χρόνῳ, καθ' ὃν ἐνίκησεν ὁ Ψαῦμις, ἀναπτίζεται. εἰκότως οὖν αὐτὴν νέοικον ὀνομάζει. V.

Σοὶ δὲ, τῇ Καμαρίνᾳ, δηλονότι τῇ λίμνῃ, δόξαν ἀέρων, ἀντὶ τοῦ, λαμπρὰν, οὖσαν, ἀνέθηκε νικήσας, καὶ τὸν ἑαυτοῦ πατέρα τὸν Ἄρκτωνα ἀνεκήρυξεν, ἀντὶ τοῦ, ἀναπεφωνῆσθαι ἐποίησε, καὶ τὴν καθέδραν αὐτοῦ τὴν νεωστὶ οἰκισθεῖσαν, τουτέστι, τὴν Καμαρίναν τὴν πόλιν. ἐπαναστρέψας δὲ μετὰ νίκης ἀπὸ τῶν καλῶν καὶ ἱερεάτων θεμῶν, ἀντὶ τοῦ οἶκον, τοῦ Οἰνομάου καὶ τοῦ Πίλοπος, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, ὦ Παλλὰς, ἡ συνίχουσα τὴν πόλιν, τὴν Καμαρίναν δηλονότι, ἀείδει μὲν, ἤξουν ὑμνεῖ, τὸν σὸν ναὸν, τὸν ἀγῶνα, καὶ τὸν ποταμὸν τὸν Ἅωνον, καὶ τὴν λίμνην τὴν ἐγχωρίαν, ἤγουν τὴν Καμαρίναν, καὶ τὰ σεβάσμια ῥεύματα, δι' ὧν ὁ Ἵπταρις ὁ ποταμὸς ἄρδει τὸν τρατὸν, ἀντὶ τοῦ τὸν λαὸν, τῆς Καμαρίνης, πολλᾷ τι ὁ Ἵπταρις, ἤγουν πρωτίθησί τι ἀεὶ καὶ αὔξει ταχέως, ἀντὶ τοῦ ῥᾳδίως, ὑψίγυιον ἄλσος θαλάμων φα-

* Cod. Gott. κατὰ πλεονασμὸν,—

δίων, ἀντὶ τοῦ, μετέωρον πληθὺν οἰκημάτων τηλοῦ, κατάγων τοῖς ἑαυτοῦ ῥεύμασι τὰ ὑπὸ τῶν Καμαριναίων εἰς κατασκευὴν οἰκημάτων, τιμνόμενα ξύλα, καὶ ἄγων τοῦτον τὸν δῆμον τῶν πολιτῶν, τουτέστι τῶν Καμαριναίων, ἀπὸ τῆς ἀμηχανίας, τῆς οὔσης αὐτοῖς ἴνισα τῆς καταγωγῆς τῶν ξύλων, εἰς φῶς, ἀντὶ τοῦ, εἰς μηχανήν. R.

19. Τὰν νίσιον ἵδραν] Ἱστορᾴτης ὑπὸ τοῦ τῶν Γιλάων τυράννου ἀπῳδὴθη, εἶτα ὑπὸ Γίλωνος συνῳκίσθη ἡ Καμαρίνα κατὰ τὴν μϚ' Ὀλυμπιάδα, ὥς φησι Τίμαιος. διὸ καὶ νίσιον ἵδραν εἶπε τὴν πόλιν. ἡ δὲ ἄλωσις αὐτῆς ἐγένετο κατὰ τὴν Δαρείου τοῦ Ὑστάσπου στρατίαν. Φίλιππος δὲ ἐν τῇ τρίτῃ φησὶν, ὅτι Γίλων Καμαρίναν κατέστρεψεν· Ἱστορᾴτης δὲ, πολιμῶν Συρακουσίοις καὶ πολλοὺς αἰχμαλώτους λαβὼν, ὑπὲρ τοῦ ἀποδοῦναι τούτους ἔλαβε τὴν Καμαρίναν καὶ συνῴκισεν αὐτήν. οἴδιν οὖν ὁ Πίνδαρός συνῳκισμένην τὴν Καμαρίναν. V.

Νίσιον ἵδραν] λέγει τὴν Καμαρίναν, ἐπειδὴ ἐν τῇ τεσσαρακοστῇ πέμπτῃ Ὀλυμπιάδι κτισθεῖσα, ἐν τῇ πεντηκοστῇ ἕβδόμῃ ὑπὸ Συρακουσίων, ἐπικρατησάντων τοὺς αὐτὴν ἔχοντας, κατέσκαπτο· εἶτα ἐν τῇ ὀγδοηκοστῇ δευτέρᾳ Ὀλυμπιάδι, μεταξὺ τοῦ χρόνου, καθ' ὃν Ψαῦμις ἐνίκησεν, ἀνῳκίσθη. R.

20. Ἰαὼν δ' Οἰνομάου] ἀπὸ τῆς Πίσης, περιφραστικῶς, ἀπὸ τῆς Πελοποννήσου ἐλθὼν, ὅτι καὶ ὁ Οἰνόμαος ἐν Ὀλυμπίᾳ ὤκει. ἰαὼν δὲ, ἀντὶ τοῦ, παραγινόμενος. Ἄλλως. ἰαὼν δ' Οἰνομάου ἴως τόνδε δᾶμον ἀφῶν· ὁ νοῦς· ἐλθὼν δὲ ἐκ τοῦ ἀγῶνος καὶ τῆς Πίσης νικήσας, ὑμνεῖ δὲ τὸ σὸν ἄλσος, ὦ πολιοῦχι Ἀθηνᾶ, ἀντὶ τοῦ, σὲ ὑμνεῖ, ὑμνεῖ δὲ καὶ τὸν ποταμὸν Ὄανον καλούμενον, καὶ τὴν ἐγχωρίαν λίμνην Καμαρίναν, ὑμνεῖ δὲ καὶ τοὺς ὀχετοὺς τοῦ Ἱπαπάριδος ποταμοῦ, ὅτις τοῖς μὲν ὀχετοῖς αὐτοῦ ἄρδει τὸν ἅλον ὄχλον καὶ τὸν τόπον, προσπολλᾷ δὲ καὶ προσίθησιν ἀδιαλείπτως ἄλσος μέγα καὶ τόπον πολύν τι καὶ ὑψηλὸν, ὡς δύνασθαι καὶ θαλάμους ἐξ αὐτοῦ ᾗ μεγάλας ποιῆν οἰκίας. ἄγει δὲ τὸν δῆμον αὐτῶν εἰς φῶς καὶ χαρὰν, ἐξ ἀμηχανίας καὶ ἀπορίας πάντα παρέχων. λέγεται γὰρ καὶ ναυσίπορος εἶναι καὶ πολύιχθυς. καὶ ὁ μὲν Ἀρίσταρχος βούλεται οὕτω· θαλάμων κατασκευαστὴν Ἱστορίην τῇ Καμαρίνῃ παρίσχειν. φασὶ γὰρ, ὅτι διὰ μίσης ῥίων τῆς Καμαρίνης τῇ πλημμυρίᾳ ἀνασκλάσειε γῆν, ἀφ' ἧς πλιθεύοντες οἱ Καμαριναῖοι οἰκοδομοῦσι τὰς οἰκίας· προσκλάσειε δὲ γῆν, ὡς ὁ Ἀχιλῆος ταῖς Ἐχινάσι, καὶ ὁ Νείλος τῇ Λιγύστῳ. ὁ δὲ Δίδυμος οὐ τοῦτο βούλεται. οὐ γάρ φησι τοσοῦτον πλημμυρεῖν, ὡς δύνασθαι τῇ νοτὶ κατασκευάσθιόη πόλει τοσοῦτον παρασχεῖν πηλὸν πρὸς πλινθοποιΐαν, ἀλλὰ τοῦτό φησιν, ὅτι ὁ ποταμὸς διὰ μίσης τῆς ὕλης ῥεῖ. εἶτα ποιούντων τῶν Καμαριναίων τὰ ξύλα εἰς κατασκευὴν τῶν οἰκημάτων, ἀμηχανούντων δὲ πρὸς τὴν καταγωγὴν, ὑποδέχισθαι καὶ τῷ ποθῷ ῥεύματι κατάγειν εἰς τὴν πόλιν. οὕτω καὶ τὸ ταχίως τῷ λόγῳ προσκεῖσθαί φαμεν. V.

21. Παῤ' ἰνηράτων ταθμῶν] ἱπερράτων εἶπεν. νῦν γὰρ παταχρησικώτερον φασθμῶν τῶν οἴκων. λέγει δὲ ἀπὸ τῆς Ὀλυμπίας. V.

Πίλοπος ταθμῶν] ἐνταῦθα γὰρ οὗτος Οἰνόμαον ἐνίκησε, καὶ ὕστερον τελευτήσας ἐτάφη. ἰνηράτων δὲ, ἤγουν ἱπιθυμητῶν. ἐνταῦθα γὰρ ἱπιθυμοῦσι πάντες νικῆσαι. διὸ καὶ πᾶσι καλὴν ἱπιθυμίαν ἐμβάλλουσι. R.

Εὐηρατῶν (sic ms. γ. pro ἰνηράτων)· ἱπιθυμητικῶν Gl. ms. γ.

22. Πολιάοχι Παλλὰς] Καμαριναίων Διὸς ἡ Ἀθηνᾶ καὶ διὰ πλείσης τιμῆς παρ' αὐτοῖς οὖσα ἡ Διὸς, καὶ Ἀθήναιον ἱπίσημον ἐν Καμαρίνῃ. τούτῳ δὲ εἴωθε ὁ κῶμος ἄγεσθαι ἐπὶ τῇ νίκῃ καὶ ὕμνος ᾄδεσθαι. V.

25. Ποταμόν τι Ὄανον] ποταμὸς ἐν Καμαρίνῃ Ὄανος. τοὺς δὲ ἱερεῖς ποταμοὺς ἄλση εἰώθασι λέγειν. V.

27. Ἴσταρις] ποταμὸς οὗτος ἐν Καμαρίνῃ. ἔστι δὲ αὐτοῦ τοῦ ῥεύματος τὸ μὲν τι, γλυκὺ, τὸ δὲ, ἁλμυρόν. διὸ καὶ Πίνδαρον εἰρηκέναι σεμνοὺς ὀχετοὺς ἀναστέλλοντα. V.

Ἰσορία Ἴσταρις, ποταμὸς ἐν Σικελίᾳ, πλησίον Καμαρίνης, τοσοῦτος τῷ ῥεύματι, ὡς καὶ ναυσίπορος εἶναι. ἔχει δὲ τὰς πηγὰς ἔκ τινος ὄρους ἐν Σικελίᾳ ὕδωρ πολλὰ ἔχοντος. τίμνοντες οὖν ἐνταῦθα οἱ Καμαριναῖοι ξύλα πρὸς οἰκοδομίαν, ἐμβάλλουσιν ἐν τῷ ποταμῷ· ὁ δὲ, τῷ αὐτοῦ ῥεύματι φέρει αὐτὰ πρὸς τὴν πόλιν, ὅθεν λαμβάνοντες χρῶνται. ἔχει δὲ καὶ πλείστους ἰχθῦς. διὰ γοῦν τὸ ῥεῖν αὐτὸν ἐπὶ συμφέρουσι τῆς πόλιως, σεμνοὺς τοὺς αὐτοῦ ὀχετοὺς ἐπάλσει. καὶ πολλᾷ καὶ ἐπιφέρει ταχίως ἄλσος ὑψιγυιὸν θαλάμων ᾗ οἴκων ταθηρῶν καὶ ἱδραίων· τουτέστι, κατάγει ταχίως πρὸς τὴν πόλιν, ἃ ἐν τῷ ὄρει οἱ Καμαριναῖοι τίμνουσι ξύλα, δι' ὧν ἱδραιοτέτους οἴκους ἱργάζονται. ὑψιγυίων δὲ δίον εἰπεῖν πρὸς τὸ θαλάμων, ἤτοι δυορόφων καὶ τριορόφων οἴκων, ὑψίγυιον εἶπε πρὸς τὸ ἄλσος, ἢ ὑψίγυιον ἄλσος λέγει, ἀντὶ τοῦ, ὑψηλὰ καὶ μεγάλα ξύλα. R.

28. Ἀρδει] Gl. ms. γ. ποτίζει.

29. Κολλᾷ] Gl. ms. γ. καταπειυάζει.

Κολλᾷ τι ταδίων] ἰδ' ἰσώτων, ὅτι πρὸσκόντων καὶ προσίθησι τινὰ τῇ πόλει γῆν. κολλᾷ γοῦν, ἀντὶ τοῦ, προσαναπλάσσει.

τὸ δὲ ταδίων Θαλάμων ἄλσος, ἀντὶ τοῦ, πρὸς οἰκοδομὴν ἱστιηδίων οἴκων. Ἄλλως. Ἀρίσταρχός φησιν, ἰλὺν καταφέρειν τὸν Ἴσπαριν, ὡς καὶ τὸν Νεῖλον, ἐκ δὲ τῆς ἰλύος κα[ασκευάζεσθαί φησιν ἄλση. κυρίως γὰρ ἀκούεσθαι τὰ ἄλση. οὐκ ἴσι δέ, ἀλλ' ὑψίγυια ἄλση τοὺς οἴκους φησί, παρὰ τὸ ἰσᾶναι, ὡς τὰ ἄλση. ἄλσεα δὲ Θαλάμων, τὸ πλῆθος τῶν οἴκων, τουτέστιν, αὐτὴν τὴν πόλιν, ὡσεὶ ἴλιγγι, δίνδρων ἄλσος. ταδίων δέ, οἷον ἰδραίων. ὁ οὖν Ἴσπαρις καλῶ καὶ προσίθησι περὶ τῇ πόλει τοὺς Θαλάμους, καθὸ δὲ αὐτοῦ εἰσκομίζεται τὰ πρὸς κατασκευὴν ὑποφεγόμενα, καὶ διὰ τοῦτο αἴτιος τοῦ τὰς οἰκίας κατασκευάζεσθαι. μεσόγειος γάρ ἐστιν ἡ χώρα. Ἄλλως. Θάλαμος κυρίως ἐστὶν οἶκος, ἐν ᾧ κα[καλεῖσθαι αἱ νυμφευόμεναι, ὅτι Θάλλουσαι τῇ ἡλικίᾳ συπέρχονται γάμῳ. καταχρηστικῶς δὲ νῦν ἅλας τὰς οἰκίας, Θαλάμους εἶπεν ὁ Πίνδαρος. V.

32. Ἀμηχανίας] Gl. ms. γ. ἀδυναμίας.

34. Ἀεὶ δ' ἀμφ' ἀρίστοισιν] ὁμολόγηται, ὅτι ἵνα τοῦ κτήσασθαι ἀριστῆι καὶ πόνους τὶς καὶ μεγάλας δαπάνας καταβάλλεται, καὶ πρὸς πᾶν ἔργον ἐπικίνδυνον ἀπομάχεται ἡ δαπάνη καὶ ὁ πόνος. κινδύνῳ δὲ κεκαλυμμένῳ εἶπε νῦν, ἐπειδὴ οὐ μόνον ἕδηλός ἐστι τοῖς τὰ ἑαυτῶν δαπανῶσιν ἡ ἐν Ὀλυμπίᾳ νίκη, ἀλλ' ὅτι καὶ πλείστῳ τῶν ἀγωνιζομένων ἀπίθανον ἐν τῷ ταδίῳ. τοῦτο δὲ οὐκ ἔστι πρόδηλον· οὐδὲ γὰρ πᾶσι συμβαίνει· ἀλλὰ πεπάλυνται ὁ τοιοῦτος κίνδυνος τῇ ἀδηλίᾳ, ἐνδέδυνται δέ, ὅτι οὐ μικρὸν ἐστι νικῆσαι Ὀλύμπια. V.

Ἤγουν, ὁ χρηστόν τι κατορθῶσαι θέλων, καὶ πόνῳ καὶ χρημάτων δαπάνῃ χρῆται. τὸ δὲ μάρνασθαι, ἀντὶ τοῦ ἀγωνίζεσθαι. τοῦτο δὲ λέγει ὑπὲρ τοῦ Ψαύμιδος, αἰσίαν σχόντος, πρὶν ἐστέφθαι τῇ νίκῃ, ὡς πέρα τοῦ δέοντος ἐπιστρέφου. R.

Ἀμφ' ἀρίστοις] ἀντὶ τοῦ, ἐπ' ἀριστείοις, τουτέστιν ἵνα ἀριστῶν, πόσος καὶ ἀναλώματα μάρναται, ἀντὶ τοῦ ἀμιλᾶται, ἤγουν ἐπίσης συμβάλλεται πρὸς πᾶσαν ἐργασίαν ὑπὸ κινδύνων οὖσαν κεκαλυμμένην, τουτέστιν, ὑποψίαν ἔχουσαν κινδύνου. οἱ εὖ δὲ ἔχοντες, ἤγουν οἱ εὐτυχοῦντες, τουτέστιν, οἱ νικῶντες, καὶ σοφοὶ ταῖς πολίταις ἐνομίσθησαν εἶναι. R.

35. Μάρναται] Gl. ms. γ. διαγίγνονται. Κεκαλυμμένον] Gl. ms. γ. περικυκλούμενον.

Ἔργον κινδύνῳ] τοῦτο λέγει, ἐπειδὴ τὸ τῆς νίκης τέλος οὐ μόνον ἕδηλόν ἐστιν, ἀλλὰ καὶ ἐπικίνδυνον· πολλοὶ γὰρ τῶν ἐν τοῖς ταδίοις ἀγωνιζομένων, πρὶν νίκης ἐπιλυχτὶς γεγενῆσθαι, ἀπέθανον, ἢ τὸ μίγεθος τῶν ἀγώνων οὐκ ἐπιγνόντες, ἢ ὑπὸ τῶν ἀνθαμίλλων κατενεχθέντες. διὸ καὶ ὁ Ἡσίοδος εἰπόντως τὴν πρὸς ἀρετὴν φέρουσαν ὁδὸν τραχεῖαν προσεῖπεν. (Opp. et. D. v. 289.) R.

37. Εὖ δὲ ἔχοντες] εὖ δὲ πράξαντες οἱ ἀριστῆς ἀντεισιούμενοι, ὅ ἐστιν, ἐπιλυχνόντες, οἱ νικήσαντες, καὶ σοφίας δέκησιν ἔχουσιν. Ἄλλως. οἱ ἐνάριστα ἢ ποτοῦσιν ἅμα ἢ ἀναλίσκουσιν, ἵνικα τοῦ ἀριστῆι κτήσασθαι. ἢ οὕτω· παρὰ σοί, Ψαῦμι, ἵνικα τῶν ἀριστῶν ὁ πόνος τῇ δαπάνῃ μάχεται· καὶ γὰρ δαπανᾷς καὶ παλαιστρεῖς. V.

Σοφοὶ καὶ πολίταις] οἱ γοῦν εὐδαιμονήσαντες καὶ καλῶς διάξαντες κατὰ τὸν βίον, ἔδη που καὶ σοφοὶ καὶ λόγιοι ἐδέχθη εἶναι παρὰ τοῖς πολίταις. V.

39. Σωτὴρ ὑψιπύλοις] Ἀντικῶς, ἀντὶ τοῦ, ὑψιπύλης Διός, ὅτις σωτὴρ συγχάνας, καὶ τῶν ἐν ὕψει νιφιλῶν (f. πραστῆς,) πράστιόν τι λόφον κατοικεῖ τοῦ Κρόνου. V.

Ὦ Διῦ σωτὴρ, ὑψιπύλοις, ἤγουν ὁ τὰν διατριβὴν ἄνω ἐπὶ τῶν νιφιλῶν ποιούμενος, καὶ ὁ οἰκῶν τὸν λόφον τὸν Κρόνιον, ἤγουν τὴν Πίσαν, καὶ ὁ ἐνδεχόμενος θεῶν, τῇ αὐτοῦ δηλονότι οἰκήσει, τὸν Ἀλφειὸν τὸν ποταμὸν, τὸν πλατὺν ῥέοντα, καὶ ὁ τιμῶν, ἀπὸ κοινοῦ, τὸ σκήλαιον τὸ σιδέσμιον τὸ τῆς Ἴδης, τοῦ ὄρους τοῦ ἐν τῇ Κρήτῃ, ἐκίτης ἔρχομαι σὺς ἐν Λυδίοις αὐλαῖς ἀκῶν, ἀντὶ τοῦ ὑμνῶν, αἰτήσων σε δαιδάλλειν, τουτέστι κοσμεῖν, στέφειν τὴν πόλιν, ἤγουν τὴν Καμαρίναν, ἐυπατρείαις, ἤτοι εὐδοξίαις ἀνδραγαθημάτων, πλυταῖς, τουτέστι, ἐπὶ πολὺ δεικνούσαις τῇ φήμῃ. R.

41. Τιμῶν τ' Ἀλφειὸν] τιμῶν, καταξιῶν, καὶ τὸν Ἀλφειὸν ποταμόν. ἀπὸ δὲ μέρους τὸν Ἦλιν λέγει διὰ τὸν ἀγῶνα. V.

42. Ἰδαῖόν τε σεμνὸν ἄδρον] τὸ Κρητικὸν ὄρος, ἔνθα ἀνετράφη ὁ Ζεὺς ὑπὸ τῶν Κουρήτων φρουρούμενος. ἄντρον δὲ τὸ σκήλαιον λέγει. μίμηται δὲ τῆς ἀνατροφῆς τοῦ Διὸς ὁ Καλλίμαχος ἐν ὕμνοις. (Hymn. in Jov. 6. 51.) V.

Ἰδαῖον, ἤγουν Κρητικόν. Ἴδη γὰρ ὄρος ἐν Κρήτῃ, ἔνθα Ζεὺς ἀνετράφη Κουρήτων ἠχούντων, ἵνα μὴ γνοίη Κρόνος αὐτὸν κλαίοντα. Λυδίοις αὐλοῖς λέγει, ἢ διότι τοὺς μετὰ Πέλοπος ἐκ Λυδίας ἐλθόντας αὐλητὰς πρώτους Ἕλληνες ἐμιμήσαντο, ἢ ὅτι οἱ Λῦδιοι αὐλοὶ γλυκύτεροι καὶ ποικιλώτεροι τῶν ἄλλων εἰσίν. R.

44. Ἰκίτας] Gl. ms. β. παρακαλήτωρ σοῦ. γ. παρακαλέσων.

Ἰκίτας εἶδεν] ἡ ἀνταπόδοσις τῆς ἱκετηλήσεως· ὦ Διῦ, ἱκίτης σου ἔρχομαι· ἴσ' ἧ· ἱκετεύω σε, ὦ Διῦ. V.

Λυδίοις ἀκοῦν] ἀντὶ τοῦ, βοῶν, ᾄδων αἰτήσων σε, φησὶν, ὦ Ὀλυμπιόνικε Ψαῦμι,

καὶ σὲ τοῖς ἵπποις ἱστιερεσόμενον, εὐθυμον ἔχειν γῆρας καὶ φέρειν σε ἐπὶ τιλευτὴν, υἱῶν παρεισαμένων. Ἄλλως. Λυδίας ἀκούων ἐν αὐλοῖς· βοῶν· ἢ ὅτι αἱ λιγόμεναι γλωσσίδες τῶν αὐλῶν ἐν Λυδίᾳ γίνονται, ἢ ὅτι τοὺς μετὰ Πέλοπος ἐλθόντας πρώτους αὐλητὰς οἱ Ἕλληνες ἐμιμήσαντο. γλυκὺ δὲ τὸ Λύδιον μέλος. ἔχεμεν οὖν αἰτήσων σε διὰ Λυδίου μελῳδίας, ὅτι σε ταύτην τὴν πόλιν, τὴν Καμαρίναν, ταῖς εὐφημίαις καὶ ταῖς εὐανδρίαις αὔξειν καὶ ἀγάλλειν. εὐθυμίαις (f. αὐλῳδίας) δὲ Λυδίαις, Λυδιστὶ ἁρμοσμέναις. V.

46. Εὐπορίαισι] Gl. mss. β. γ. ἀνδραγαθίαις.

48. Σί τ', Ὀλυμπιόνικε] πάλιν ἀντίστροφος τὸν λόγον πρὸς τὸν Ψαῦμιν· καί σε ἄλθοι αἰτήσων, ὦ τὰ Ὀλύμπια νικηφόρε, τοῖς ἵπποις ἱστιερεσόμενον· Ποσειδανίαισι δέ, ἱστὶ φίλιππος ὁ Διός· μίχρι τῆς τιλευτῆς σου τοῦ βίου διάγειν ἐν εὐθυμίᾳ καὶ τὸ γῆρας τοῖς παλαῖς τίρπειν. V.

Πρὸς τὸν Δία τὸν λόγον τίνων, ἀντίστροφος πρὸς τὸν Ψαῦμιν. δίον γὰρ οὗτος ἱπτιῶν αὐτῷ σι, ὦ Ζεῦ, κοσμεῖν τὴν πόλιν, καὶ τὸν Ψαῦμιν εὐθύμου γήρους ἱστυχῆ ποιῆσαι· ἱστὶ δὲ πρὸς τοῦτον ἱκπίλι τὸν ὕμνον, φέρειν σε ὕστιν, ἀντὶ τοῦ ἔχειν, γῆρας εὔθυμον. τὸ δὲ Ποσειδανίους εἶπεν, ἢ διότι Ποσειδῶν πρῶτον Πίλοπι ἅρμα ἐνεχείρισεν, ὡς πρόπον εἴρηται, ἢ τὸ Ποσειδανίους, ἀντὶ τοῦ, ταχίσι ᾧ γαύρους. τοιαύτη γὰρ ἡ τῆς θαλάττης ἀρμά. R.

Σί τ' Ὀλυμπιόνικε] σί τι, ὦ Ψαῦμι Ὀλυμπιόνικε, τὸν ἱστιερεσόμενον ἵπποις Ποσειδανίοις, ἀντὶ τοῦ, ἀρίστοις, ἔχειν γῆρας ἄλυπον μίχρι τοῦ τίλους τοῦ βίου σου, υἱῶν σοι παρεισαμένων. εἶπις δὲ ἄρδει, ἀντὶ τοῦ αὔξει, πλοῦτον ὑγίειαν, τουτέστιν ὑγιεινὸν, ὑγίειαν μιτέχοντα, ἐξαρκῶν, ἀντὶ τοῦ ἱκαρκούμινος, ἤγουν βοηθούμινος ὑπὸ χρημάτων, καὶ εὐλογίαν, τουτέστιν ἔπαινον, προσθῆς, μὴ ζητήσῃ θεὸς γενέσθαι. R.

53. Τῶν, Ψαῦμι, παρεισαμένων] παριτόντων σοι, ὦ Ψαῦμι, καὶ υἱῶν. ἴσως δὲ, ὡς πρὸς τίλιον ἄπαιδα, ἢ ὡς ἱστιθυμοῦντα ἀμφίνων παίδων, ἢ ὡς λοιπὸν παριτόντων αὐτῷ καὶ παίδων. V.

54. Τγίιντα δ' εἴ τις ἔλθοι] τὴν μιθ' ὑγίας εὐδαιμονίαν. ὁ δὲ τοῦς· ὁ δὲ τὸν πλοῦτον καὶ τὴν εὐδαιμονίαν αὔξων ἐν ἑαυτῷ, καὶ οὕτως ἱκαρκῶν τῇ περιουσίᾳ, καὶ διαιωῶν τὴν ὕπαρξιν, ὅστι καὶ εὐφημίας αὐτῷ προσγινέσθαι, οὗτος μὴ ζητείτω ἔτι καὶ θεὸς γενέσθαι. V.

Τοῦτο λίγει, ὅτι, ἐάν τις μιθ' ὑγίας ἀπολαύσι τῶν ὄντων, μηδαμόθεν ἀφαίζων ὅστις ἕτιρος, ἀλλὰ νίκας ἑαυτοῦ, ὅστις ὁ Ψαῦμις, κοσμῶν, μὴ τούτου μείζον ζητείτω. οὐκ ἐστι γὰρ κρείττων τούτης εὐδαιμονίας ἑτέρα, οὐδ' ἡ τῶν θεῶν. ἢ τὸ ὑγίινται, ἀντὶ τοῦ, δίκαιον, ἵν' ᾖ τὸ, ἱκαρκίων ποιήσωσι, τούτου μεθερμηνευτικόν. R.

55. Ἐξαρκῶν] Gl. ms. a. ἀντὶ ἱξαρκούμινος· καὶ ἐστιν ἀλλοίωσις κατὰ διάθισιν.

Carmen VI.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἕκτου τῶν Ὀλυμπίων εἴδους.

Ἡ στροφη καὶ ἀντιστροφὴ κώλων ιέ. Τὸ α ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ δὲ χρονίας, ἀμφίμακρος ἢ ἀνάκλασις. -υ -υ---υ--. Τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον. --υυ-υυ-. Τὸ γ' προσοδιακὸν τρίμετρον ἀκατάληκτον, πρῶτον χοριαμβικόν, δεύτερον Ἰωνικόν, τρίτον χορίαμβον. -υυ-υυ---υυ-. Τὸ δ' ἰγκωμιολογικόν. -υυ-υυ---υ--.' Τὸ ε Ἐπιρρισθίου, ἢ ληκύθιον. -υ---υ--. Τὸ ϛ' προσοδιακὸν δίμετρον ὑστιρακατάληκτον. --υυ-υυ--. Τὸ ζ' ἰαμβίλιγος. ἔστι δὲ καὶ τοῦτο ἀπὸ δύο πινθημιμιρῶν. τὸ δὲ ἰαμβικὸν πινθημιμερὲς πρῶτον κῶλον, καὶ ὕστιρον τὸ δακτυλικὸν, ἅ καὶ ἰλογίῳν λίγεται, ἀμετάβλητον, ἀκατάληκτον. --υ---υυ-υυ-. Τὸ η ἴαμβος τρίμιτρος. υ-υ---υ--,υ--. Τὸ θ' ὅμοιον

τῷ σ', οἱονεὶ προσῳδιακόν. - - υ υ - υ υ - - -. Τὸ ί ἰγκωμιολογικὸν, λειτούσης τῆς ἰσχάτης. - - υ υ - υ υ - - - υ - - Τὸ ιά ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. - - υ - - - υ - -.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κῶλον ιδ'. Τὸ ά ἰγκωμιολογικὸν παρὰ τὴν τελεσίλαϊαν. - υ υ - υ υ - - - υ - -. Τὸ β' προσῳδιακὸν δίμετρον ἀκατάληκτον. - - υ υ - υ υ - -. Τὸ γ' Στησιχόρειον τῷ Πινδαρικῷ ἰδιώματι. ὁ γὰρ τελεσταῖος, ἀντὶ τροχαίου, ἴαμβον ἴσχει. - υ - - - υ - - - υ υ - -. Τὸ δ' ἀναπαιστικὸν, ἤγουν δύο ἀνάπαιστοι, μονόμετρον ἀκατάληκτον. υ υ - υ υ - -. Τὸ ἑ Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. - - υ υ - - υ υ - -. Τὸ ϛ' Ἰωνικὸν μονόμετρον ὑπερκατάληκτον, ἤ ἀναπαιστικὸν δίμετρον, [ἢ μονόμετρον· ὡς Φίλεις γὰρ τοὺς ἀναπαίστους λαμβάνεις.] - - υ υ - -. Τὸ ζ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. - - υ - - - υ - -. Τὸ ή Εὐριπίδιον. - υ - - - υ - -. Τὸ θ' προσῳδιακὸν δίμε[τρον ἀκατάλη]κτον. - - υ υ - υ υ - -. Τὸ ί δακτυλικὸν πενθημιμερές. - υ υ - υ υ - -. Τὸ ιά προσῳδιακὸν δίμετρον ἀκατάληκτον. - - υ υ - υ υ - -. Τὸ ιβ' δακτυλικὸν τρίμετρον. - υ υ - υ υ - - - Τὸ ιγ' προσῳδιακὸν, ἀπὸ χοριάμβου ἀναπλώμενον. - υ υ - υ υ - - υ - - Τὸ ιδ' Στησιχόρειον. - υ - - - υ - - - υ - -.

Ἀγησίᾳ Συρακουσίῳ] Γίγραπται ἡ ᾠδὴ, ὡς μὲν ἔνιοι, Ἀγησίᾳ Συρακουσίῳ, ὡς δὲ ἔνιοι, Στυμφηλίῳ, διᾷ Σωτράτου, ἀπήνη· πατελύθη δὲ ἡ ἀπήνη, ἅς τινές φασιν, ὑγδοηκοστῇ πέμπτῃ Ὀλυμπιάδι, παρ' ἐνίους δὲ, ὑγδοηκοστῇ ἕκτῃ.

1. Χρυσίας ὑποστάσαντες] ἀλληγορεῖ ὁ ποιητὴς, ὡς ἐπὶ οἰκίας μεγαλοπρεπῶς τὸν λόγον παρεμβάσεσι κοσμεῖν τὸν ἐγκώμιον διατιθέμενος. παραβάλλει δὲ προοιμιακὸν μὲν τὸ προοίμιον, τῷ δὲ μεγάρῳ τὸν ὅλον ὕμνον, ἑαυτὸν δὲ τῷ κατασκευάζοντι. ὁ δὲ νοῦς τοιοῦτος· ὕμνον ποιήσομεν, ὅστις θαητὸν μέγαρον, χρυσίας κίονας ὑποστήσαντες τῷ προθύρῳ τοῦ Θαλάμου. ὅπερ ἐπὶ τὸ προοίμιον. καὶ ὅστις, θαύματος ἄξιον μέγαρον ἢ οἶκον κατασκευάσαντες, τὸ προθύρου ἀξιοπρεπῶς ποιοῦμεν, οὕτω καὶ τοῦ ὕμνου τὸ προοίμιον ποιήσομεν ἀξιόλογον. Ἄλλως. Χρυσίας· τιμίας νῦν κίονας ὑποθέσαντες. Θηλυκῶς δὲ νῦν προήγαγεν, ὡς καὶ Ὅμηρος· (Odyss. ά. 52. 8.)

—ἔχει δέ τι κίονας αὐτὸς
Μακρὰς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν. V.

Χρυσίας ὑποστάσαι[ς] τὸν λόγον ποιεῖται ἐκ μεταφορᾶς τῶν οἰκίας μεγαλοπρεπῶς κατασκευαζόντων. ὅστις γὰρ ἐκείνως εἰς τὸ πρόθυρα κίονας μεγάλας ὑποτίθεται, οὕτω καὶ οὗτος, ὁστισοῦν μέγαρον, κατασκευάζων τὸν ὅλον ὕμνον, χρυσίας κίονας ἐν τοῖς προθύροις, ἤτοι τῷ προοιμίῳ, ὑφίστησι. κίονας δὲ χρυσᾶς ἐντεῦθεν νόει τὸν τοῦ προοιμίου καλλίστῳ καὶ μεγαλοπρεπεστάτῳ ἀρχήν. ποιήσομεν καὶ κατασκευάσομεν τὸν ὕμνον οὗτος, ὅστις ὅτι πανηγύρει Θασίων καὶ Θαυμασὸν μέγαρον καὶ οἶκον, ὑποστήσαντες καὶ ὑποθέλλοντες τῷ ἐνταῦθι προθύρῳ τοῦ Θαλάμου χρυσίας καὶ λαμπρὰς κίονας. ὅστις ὅτι Θαυμασὸν μέγαρον πάγυμεν, εὔπιστον ποιοῦμεν τὸ πρόθυρον αὐτοῦ, λαμπρὰς κίονας ὑποστησάντες αὐτῷ· οὕτω Θαυμασὸν ὕμνον μέλλοντες συνθήσειν, λαμπρὰ πρότερον τὰ τούτου προοίμια ποιήσαντες, οὕτω συνθῶμεν αὐτόν. ἀρχομένου γὰρ ἔργου, λαμπρῷ θαλπόνει, χρὴ ποιῆσαι πρόσωπον, ἤγουν ἀρχὴν, σπλαγχνα, τουτέστι λαμπρόν. R.

Εὐτυχῆ] Gl. ms. a. ὑγιᾶ.

3. Θαητὸν] Θαυμαστὸν περὶ τὸν Θέαν. V. Schol. mss. β. γ. habent hæc: Ἰσέον, ὅτι Θάλαμος, μίταρον, μέλαθρον, διαφέρουσι. Θάλαμος μὲν λέγεται ἀπὸ τοῦ Θάλλειν τοὺς δύο νυνύμφους, ἔνθεν λέγομεν καὶ πατόν· μίταρον δὲ λέγεται τὸ θαλάσσιον, καὶ πᾶν οἴκημα ὑψηλόν, (del. ἀντὶ) ἀπὸ τοῦ μέγα αἴρεσθαι, ἤγουν ὑψοῦσθαι· μέλαθρον δὲ λέγεται ὁ οἶκος, ἐν ᾧ μαγειρεύουσιν, ἤγουν τὸ μαγειρεῖον, ἀπὸ τοῦ μιλαίνειν τὸν αἰθέρα, διὰ τοῦ καπνοῦ δηλονότι.

4. Πάξομεν] κυρίως μὲν τὸ πῆξαι ἐπὶ τῆς τῶν ξύλων ἁρμογῆς λέγεται. ὧν δὲ καταχρηστικῶς ἐπὶ τοῦ, κατασκευάσομεν. V. Κτίσομεν Gl. ms. γ.

Ἀρχομένου δ' ἔργου] ὁ δὲ ἀντὶ τοῦ γάρ· ἡ γὰρ ἀπολουθία· παντὸς γὰρ ἔργου, φησὶν, ἀρχομένου περιέλαιστον καὶ ἐξαίρετον δεῖ ποιεῖν τὸ τῆς προσόψεως, ἤτοι τὴν εἰσοδικὴν καὶ τὴν ἀρχὴν λαμπρὰν καὶ ἱστόρημον. V.

5. Εἰ δ' εἴη μὲν Ὀλυμπιονίκης] λοιπὸν περὶ τοῦ Ἀγησίου φησίν. εἰσὶ οὖν, ὃν τρόπον οὗτος, Ὀλυμπιονίκης εἴη καὶ προφήτης τοῦ κατὰ Πίσαν καὶ Ὀλυμπίαν μαντείου, καὶ συνφκηκὼς τὰς Συρακούσας, τίνα διαφύγῃ ἐν ὁ τοιοῦτος ὕμνος; οὐχὶ δὲ παντὸς ἐν τύχῃ, τῶν πολιτῶν γε δὴ τυχὸν ἀφθόνων ἐν τῷ ὁμνῆσθαι; τοῦτο δὲ προσίδηται, ἰσυδὲ οἱ πολῖται κατὰ φύσιν ἀλλήλοις φθονοῦσι. V.

Εἰ δ' εἴη μέν τις Ὀλυμπιονίκης, τῷ βαιῷ τι τοῦ Διὸς τῷ μαντικῷ τῷ ἐν τῇ Πίσῃ ταμίας, ἤγουν ἱερεὺς, συνοικιστής τι τῶν ἐνδέξων Συρακουσῶν. ταῦτα δὲ τοῦ Ἀγησίου εἰσὶ πλουσιοπτώματα. οὐκ αὐτὸς δὲ συμ-

πιστ τὰς Συρακούσας, ἀλλ' οἱ μαντῆρες αὐτοῦ, ὧν τὸ ἔργον ἦσι τῷ παιδὶ αὐτῶν τίθησιν οἰκείας. R.

7. Βωμῷ τι μαντείῳ ταμίας Διὸς ἐν Πίσῃ] παρόσον ὁ Ἀγησίας ἱερεὺς ἦν τοῦ ἐν Πίσῃ μαντικοῦ βωμοῦ, τοῦ τῷ Διὶ ἀνιερωμένου μαντείῳ δι' ἀντὶ τοῦ μαντικῷ. V.

Τοῦτο λέγει διὰ τὸν Ἀγησίαν· ἦν γὰρ καὶ Ὀλυμπιονίκης, καὶ τοῦ ἐν Ὀλυμπίᾳ βωμοῦ ἱερεύς, ἢ διακονητὴς καὶ ἱεροστολῆς, καὶ οἱ αὐτοῦ περίοικοι συνῴκισαν τὴν Συρακουσίων πόλιν. τὸ μαντεῖον δὲ λέγει, διότι ἐνταῦθα οἱ Ἰαμίδαι ἐμαντεύοντο, ὡς καὶ αὐτὸς προεῖπον ἐρεῖν. R.

8. Συνοικιστής (sic) τι] τοῦτο δὲ οὐκ ἀληθές. οὐ γὰρ οὗτος συνῴκισε τὰς Συρακούσας, ἀλλὰ πρὸς ὑγιαίνοντα λιμένα. ἀπὸ γὰρ ἐκείνου ὁ Ἀγησίας τῶν συνῳκισάντων. V.

9. Τίνα ποτ φύγοι ὕμνον] ἀντὶ τοῦ, τίνι ἂν ὕμνῳ ἀνοίκειος γένοιτο ἐκεῖνος ὁ ἀνὴρ ἐν ᾠδαῖς ἐπιθυμηταῖς ἐπικύρσας, ἤγουν ἐπιτυχὼν πολιτῶν οὐ φθονούντων. R.

13. Δαιμόνιον] Gl. ms. α. προσφυῆ. γ. εὐτυχές. Πάϑ'] Gl. ms. γ. θαμίλιον.

14. Σωτράτου υἱὸς] ὁ Ἀγησίας. ὁ δὲ νοῦς· εἰ δὲ ἐν τῷδε βεβηκὼς τῷ τρίτῳ ὁ τοῦ Σωτράτου παῖς Ἀγησίας τὰ τρία τὰ προειρημένα ἔχων, Ὀλυμπιονίκης καὶ ταμίας τοῦ Διὸς βωμοῦ καὶ συνοικιστὴς τῶν Συρακουσίων. Παδίλῳ δὲ καὶ τὰ ἑξῆς εἶπεν, ἵν' εἴπῃ, ὅτι προσήρμοστο αὐτῷ τὰ προειρημένα δαιμόνιος ᾠ ἐξαίρετος, ὡσανεὶ πίδιλον τῷ ποδί, τουτέστιν ὁ ὕμνος. V.

Γινωσκέτω δὲ ὁ υἱὸς τοῦ Σωτράτου, ὁ Ἀγησίας, τούτῳ τῷ ὑποδήματι, ἀντὶ τοῦ, τούτῳ τῷ ὕμνῳ, τουτέστι τῷ τῆς νίκης τῶν Ὀλυμπίων, καὶ τῷ τῆς ἱερατείας, καὶ τῷ τῆς συνοικίσεως τῶν Συρακουσῶν, δαιμόνιον πῶϑ' ἔχων, ἀντὶ τοῦ, δαιμονίως αὐτὸς δεδόξαν, τουτέστιν ὡς ἀπὸ μοίρας δαίμονος. R.

Ἀπίνδυτοι δ' ἀρεταί] Ἡσίοδος δὲ λέγει (Opp. et D. 287.)

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

ὁ δὲ λέγει, ὅτι αἱ ἀρεταὶ, αἱ χωρὶς πόνων καὶ κινδύνων, οὐκ εἰσὶ τίμιαι, οὔτε παρὰ τοῖς ἄλλοις ἀνθρώποις, οὔτε παρὰ τοῖς θαλαττεύουσιν ἀτελῶς, εἰ μὴ καὶ ναύμαχός τις εἴη. παραμυθεῖται δὲ αὐτὸν, ἐπιδὴ μὴ[ὰ μάχην πολλοῦ ἐνίκησε. V.

Αἱ ἀρεταὶ δὴ, αἱ χωρὶς κινδύνων, οὔτε παρ' ἀνθρώποις, οὔτ' ἐν πολέμοις, τοιοῦτόν τι ἔπος· πῶϑα, ἰδοὺ δηλονότι, τὸν ἐφάλμιον τῆς ἐμῆς τραπέζης, ἀντὶ τοῦ, τὸν περιφανέστατον καὶ ἐξαίρετον, τουτέστι, τὸν Ἀμφιάρεων, ἀμφότερον, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ, κατ' ἀμφότερα, μάντιν τε ἀγαϑὸν ὄντα, ἤγουν ἀγαϑὸν τὴν μαντικὴν, καὶ δουρὶ μάρνασϑαι, τουτέστι, ᾗ ἀγαϑὸν κατὰ τὴν ἐν πολέμῳ μάχην. R.

19. Ἐν δίκῃ] Gl. ms. γ. μετὰ δικαιοσύνης ἰδίας.

* leg. κατὰ πυρῶν—

21. Schol. Cod. β. σύναντι τὴν κατὰ μετὰ τοῦ ἵμαρψιν.

22. Ἔμαρψιν] ἦγουν καθικάλυψι σχισθεῖσα ἐν τῷ Ὡρωπῷ τῆς Βοιωτίας, ἔνθα καὶ μαντεῖον αὐτοῦ ἐστιν. δέον ἐστὶ πυρῶν πυρῶν τιλισθιεῶν ἐστίν, τιλισθέντων ἐστὶ πρὸς τὸ πυρῶν οὕτω· τιλισθέντων δὲ πυρῶν ἐστὶ πυρῶν, ἀντὶ τοῦ, πυρῶν γεγονότων ἐστὶ παύσιον. ἐστὶ δὲ παύσις λίγει, ὅταν καὶ τὰ τάγματα παντὸς τοῦ Ἀργείου (στρατεύματος) ἐστὶ ἦσαν, ὅτι οἱ ἐν ἐκείνῃ ἀποθανόντες πυρᾷ ὑπεκλάθησαν, φησαμένου τοῦ πολέμου, καὶ ὑποσπόνδους τῶν Ἀργείων τοὺς αὐτῶν πυρὸν εἰληφότων· οὕτω γὰρ ἦν ἴθος. ὅτι μὴ νόει τὸ πυρῶν περὶ τῶν στρατηγῶν. ἀμήχανον γάρ· ἐστὶ Ἄδραστος μὲν ζῶν ἐξεπεχωρήσει πρὸς Ἄργος, Ἀμφιάραος δὲ ζῶν ὑπὸ γῆς κατεπόθη, Πολυνείκης δὲ μετὰ Ἐτεοκλέους ἐντὸς Θηβῶν ἦλθη, οἱ δὲ καθόλου τῶν στρατηγῶν σίσσαρες ἦσαν. τὸ δὲ Θήβαις πρὸς τὸ τιλισθέντων συναπτέον. R.

23. Τιλισθέντων] ἐστωρισθέντων, ἤγουν καταριθμηθέντων ἴνα καὶ τὸ ἐξῆς τοῦ λόγου οὕτως ἔχῃ· καταριθμήσας γὰρ ὁ Ἄδραστος τοὺς πυρεὺς, καὶ λείποντα τὸν Ἀμφιάραον εὑρὼν, εἰπόντως ὑποφρήσας, τὸν λόγον ἀπεθέχατο. Ἄλλως. Ἐστὰ δ' ἵστατα. Ζητοῦσι, πῶς ἐστά φησι τὰς πυράς. ἀδύνατον γάρ. ἠφάνισο γὰρ ὁ Ἀμφιάραος, Ἄδραστος δὲ ζῶν εἰς Ἄργος ἀποφεύγει, Πολυνείκης δὲ ἄταφος ἔμεινε, ὡς ἱστορατεύσας τῇ πατρίδι, ὥστε, τῷ ἀληθεῖ λόγῳ, σίσσαρας εἶναι τὰς πυρκαϊὰς τῶν στρατικῶν. Ἀλλ' ἐπιλυτέον οὕτως, ὅτι τὰς πυρὰς ὁ Πίνδαρος οὐ καταριθμεῖται περὶ αὐτοὺς τοὺς στρατηγοὺς, ἀλλὰ τὰ τούτων στρατεύματα. ἐστὰ γὰρ τάξις στρατευμάτων περὶ τὰς ἐστὰ πύλας τῶν Θηβῶν μάχην συνεστήσαντο, καὶ οὕτω τῶν ἐν ἑπτὰ πύλαι στρατευσάντων φησὶ φανῆσθαι τὰς ἐστὰ πυρκαϊάς. Ἄλλως. τὸ σημεῖον χ, ὅτι ἐστὰ πυρὰς φησὶ τῶν ἐστὰ μὴ ἀποθανόντων. Ἀμφιάραος γὰρ ζωντανὸν σὺν τοῖς ἵπποις ἐν Ὡρωπῷ πόλει τῆς Βοιωτίας. V.

24. Ἀπὸ τοῦ Ταλαὸς, Ταλαΐων, ἀπὸ τούτου Ταλαϊονίδης, ὡς ἀπὸ τοῦ Ἰάσιτος, Ἰασιτίων, εἶτα ἀπὸ τούτου Ἰασιτιονίδης. R.

26. Στρατιᾶς ὀφθαλμὸν] ἤγουν τὸν ἐν πολέμῳ περίβλεπτον, ἢ τὸν προσέχοντα δυνάμενον τὰ μέλλοντα, ὡς μάντιν. καὶ δι' ἀμφότερά φησιν αὐτὸν ποθεῖν. εἰς δὲ τὸ μάντις, καὶ πολεμιστὴς, ἀπὸ κοινοῦ τὸ ἀγαθός. ἔστιν ἔμπειρον εἰπεῖν ἢ τῷ Ἀγησίᾳ, τῷ δεσπότῃ τοῦ ὕμνου· τὶ δὲ αὐτῷ πάρεστιν, ἢ καὶ τῷ Ἀμφιαράῳ; καὶ μάντις καὶ ἀνδρεῖος τὰ ἐν μάχαις. V.

27. Ὥστε ἐν τῷ Ἰέρωνος Ὀλυμπιονίκῃ ἴθαμιν τὸ, ἀμφότερα, ἐν τῷ· (I, 165.) Πίνδαρε δὲ, μάντιν ξένον, οὕτω καὶ τοῦτο, Ἀμφότερον, εἰ μὲν εὐδιτέρως τοῦτο δίχοιτό τις, παρακινδυνεύσω. οὐ γὰρ ἱκανῶς δύναται λέγεσθαι τὰ ἀμφότερα. εἰ δ' ἀρσενικῶς, κατ' αἰτιατικὴν, ἀντὶ τοῦ, ἀμφοτεροδέξιον, ἴζον τῆς γνώμης τεξεύει τῶν χρησαμένων αὐτῷ. ἐπὶ γὰρ τούτου τοῦ σημαινομένου καὶ μετὰ εὐθείας ἔστι ὅτι λέγουσιν αὐτὸ, ὡς ἐν τούτοις·

Ἀμφότερον, πολλός τε νόος, πολλός τε πάρεσσιν.

δοκεῖ δὲ ἐπιῤῥηματικῶς μᾶλλον λέγεσθαι, ἀντὶ τοῦ, κατ' ἀμφότερα. οὕτω γὰρ καὶ τὴν ἔννοιαν σάζει, καὶ τὸ παρακινδύνευμα λύει, καὶ τῇ χρήσει οἰκείως ἔχει. R.

29. Τὸ δ' ἀνδρὶ] τοῦτο τὸ πρὸς Ἀμφιάρεων ῥηθὲν, ἀρμόζει καὶ τῷ Ἀγησίᾳ. καὶ γὰρ καὶ αὐτὸς ἀμφότερά ἐστι, καὶ ἀνδρεῖος καὶ ἐκ μάντεων κατεγάμενος. Τὸ δ' ἀνδρὶ] τοῦτο τὸ ἐπὶ Ἀμφιάρεῳ δαλπόντι ῥηθὲν ἔστω πάρεστι νῦν, ἀντὶ τοῦ ἀρμόζει, καὶ τῷ ἀνδρὶ τῷ Συρακουσίῳ, τῷ δεσπότῃ τοῦ μετὰ χορείας ὕμνου, ἤγουν τῷ Ἀγησίᾳ. R.

30. Κώμου δεσπότᾳ] τῷ Ἀγησίᾳ. φησὶ γὰρ τὸν Ἀγησίαν μεθ' Ἱέρωνος στρατευσάμενον πολλοὺς ἀγῶνας κατωρθωκέναι μαντικῇ καὶ ἀρετῇ. V.

32. Οὔτε (sic) φιλόπτολις ἰὼν] ἐγὼ γάρ, φησιν, οὔτε φιλόπτολις, οὔτε δύστροπος τις ὢν, καὶ τὸν μίγιστον ὅρκον ὀμόσαιμι, μαρτυρῶν τῷ Ἀγησίᾳ, ὃ καὶ ἐπὶ τοῦ Ἀμφιαράου λέγεται. εὐχόμαι δὲ ἐπιτρέψαι μοι τὰς Μούσας συνεργῆσαι. εἰπόντως δὲ ἐπιτραπῆναι παρὰ τῶν Μουσῶν εὔχεται, ἐπειδὴ οἶδεν ἁρμοδὸν ποιητῇ τὸ ὑμνεῖν ἐγκωμιάζοντι. V.

Οὔτε δύστροπός τις ὤν] τουτέστιν ἄγαν σκληρὸς εἰς ἕρις, οὔτε φιλόπτολος, καὶ μέγιστον ὅρκον ὀμόσας, τοῦτο τὸ ἔτος, ἤγουν τοῦτον τὸν ἔπαινον ἀληθῶς αὐτῷ, τῷ Ἀγησίᾳ, μαρτυρήσω. αἱ γλυκύφωνοι δὲ φῦαί ἐσ' ἐμοὶ τοῦτο δώσουσι, ἤγουν οὐκ ἀποτεύξονται, συνδραμοῦσαι τῇ μαρτυρίᾳ. R.

35. Τοῦτό γ' οἱ σαφῶς μαρτυρήσω] τοῦτο αὐτῷ μαρτυρήσω, τὸ προδηλούμενον, ὅτι εἰς πάντα ὁ Ἀγησίας πραγματάσεως ἦν τῷ Ἀμφιαράῳ. V.

36. Ἐπιτρέψοι] συμφωνήσουσι Gl. mss. β. γ.

37. Ὦ Φόντις, ἀλλὰ ζεῦξον] ὁ νοῦς· ἀλλ' ὦ Φόντις, ζεῦξον ἤδη τὰς ἡμιόνους μου, τροσκιῷ δὲ λόγῳ χρῶνται. δοκῶν γὰρ προσκαλεῖσθαι τὸν ἡνίοχον, τὸν ἑαυτοῦ ψυχὴν σκευάσαι πρὸς τὸν ὕμνον παροτρύνεται, καί φησιν· ἀντὶ τοῦ, γνωῦ μοι παρόφασις, ἢ ἵνα μοι ἐφορμὴ τοῦ ὕμνου. Φόντις δὲ, ὁ ἡνίοχος, καὶ τὰ ἅρματα τῶν ἡνιόχων. Ὦ Φόντις] Δωρικῶς ἰσχημάτισται. εἰ δ' ἐν κατὰ τὴν ἡμετέραν διάλεκτον, φίλτε.

οἱ Δωριῆς γὰρ μιγατιθέασι τὸ λ- εἰς ρ- ὅσων ἢ εἶτι ϙ-, εἴτι Ϟ-. V.

'Αλλ' ὦ Φίντις, ἤγουν ἀντίοχε (πρὸς τὸν ἑαυτοῦ δὲ λέγει νοῦν), ζεῦξον ἤδη, ἤγουν ἀπὸ τοῦ νῦν, τὸ σθένος τῶν ἡμιόνων, τουτέστι, τὴν δύναμιν τοῦ λόγου τοῦ περὶ τῶν ἡμιόνων τοῦ 'Αγησίου καθ' ὅσον τάχος, ὅτως ἐν ὁδῷ καθαρᾷ, τουτέστι, δικαίᾳ, ἀναβιβάσωμεν τὸν ἅρμα, ἤγουν τὸ ἅρμα, ἀντὶ τοῦ, τὸν ὕμνον τὸν ἐπὶ τῷ ἁρμάτι, ἵνα μαί τι, ἀφίνωμαί τι, καὶ πρὸς τὸ γένος τῶν ἀνδρῶν, ἤγουν πρὸς τὸν 'Ιαμον. πεῖναι γὰρ, ἤγουν αἱ ἡμίονοι τοῦ 'Αγησίου, μόναι δηλονότι ἐξ ἁπάντων τῶν ἄλλων ἵππων, ἐπὶ τὴν ὁδὸν ταύτην, ἤγουν τὴν πρὸς τὸ γένος τοῦ 'Αγησίου ἱστάσαναι ἠγημονοῦσαι, ἤγουν ἡγοῦσαι, προδοκαῖσαι· ἐπεὶ στιφάνους ἰδίξαιλο, ἤγουν ἐστιφανώθησαν, ἐν τῇ 'Ολυμπίᾳ. Χρὴ τοίνυν ἀναστιτάμαι, ἤγουν ἀναστῆναννύμι, ἀνοίγειν, χάριν αὐτῶν, ἡμιόνων δηλονότι, τὰς πύλας τῶν ὕμνων, ἀντὶ τοῦ, χρὴ ὑμνῶν αὐτάς. R.

39. Ὄφρα πειλεύθῳ σ' ἐν καθαρῷ] Ἵνα ἐστεφάσωμεν ἐν καθαρᾷ ὁδῷ τὸ ἅρμα. ἀλλαγορεῖ δὲ νῦν περὶ τοῦ ὕμνου λέγων· ἵνα διὰ καθαρᾶς λειφόρου τὸν ὕμνον ἐστεφάσαντες τῷ ἁρμάτι χρησώμεθα. Ἄλλως. ἵφρα πειλεύθῳ. ἀλληγορεῖ καὶ φησιν· ἵνα δικαίᾳ καὶ καθαρᾷ ὁδῷ, τῇ τῶν λόγων, ἐστεφάσωμεν τὸ ἅρμα, ἀντὶ τοῦ, ὑμνήσωμεν καὶ προσκρούσωμεν, καὶ ἵνα πρὸς τὸ γένος ἵκωμαι τῶν ἀνδρῶν· λέγει δὲ τῶν προγόνων τοῦ 'Αγησίου· ἵκωμαι δὲ ἐν αὐταῖς διὰ τῶν ἐγκωμίων. ἱκεῖναι γὰρ, αἱ ἡμίονοι τοῦ 'Αγησίου, παρὰ τὰς ἄλλας πάσας ἱστάναται καὶ δύνανται ἡγεμονεῦσαι ταύτην τὴν ἰδίαν ὁδόν; τὴν τῶν ὕμνων· ἐστιδὴ τοὺς ἐν 'Ολυμπίᾳ στιφάνους ἰδίξαντο. V.

40. Ὄαχον] Gl. ms. γ. ῥυθμόν.

'Ικωμαί τι πρὸς ἀνδρῶν καὶ γένος] τὸν καὶ σύνδεσμον ὑστερίζασίον· καὶ πρὸς τὸ τῶν ἀνδρῶν γένος παραγίνωμαι, τουτέστι, μνημονεύω καὶ τῶν προγόνων αὐτῶν. ἀνίφρε δὲ ὁ 'Αγησίας εἰς τοὺς 'Ιαμίδας τὸ γένος. ἵκωει δὲ τὸν καὶ σύνδεσμον περισσὸν ἔχοντα, ἵν' ᾖ· ἵκωμαί τι πρὸς τὸ τῶν ἀνδρῶν γένος. V.

41. Ἐξ ἅλλαν] παρὰ τὰς ἅλλας πάσας, ἀντὶ τοῦ, ὑπὲρ πάσας τὰς λοιπάς. αὗται γὰρ παρὰ τὰς ἄλλας πάσας τὰς ἀγωνισαμένας νικήσασαι προκαλοῦνται τὸν ὕμνον. V.

42. Ἀγιμονῦσαι] Gl. ms. γ. προστιμῶσαι.

44. Ἐπεὶ δίξαντο] ἀντὶ τοῦ, τοὺς στιφάνους, οὓς ἔλαβον. ἐστιδὴ καὶ αὗται αἱ ἡμίονοι στιφάνοις ἰδέλλοντο καὶ ἔνδεσι. V.

Πύλας ὕμνων] ἐνίμιτε τῇ προσῳδῇ, καὶ φησι· προσάπτει τὰς πύλας τῶν ὕμνων ἀνοίγων ταῖς ἡμίονοις. V.

45. Ἀναστενάμαι] ἀπὸ τοῦ στενῶ, τὸ στένω, καὶ τῆς ἀπὸ προθέσεως, ἀναστενῶ. ἀφ' οὗ ἀναστενάμαι καὶ Δωριῆς ἀναστενάμαναι. ᾧ ἀναστῆκάμαι, ἀντὶ τοῦ, ἄνω πεποίθαι ποιεῖν, ἤγουν ἀνοίγειν, ἀναστεῆν. ἀποδέλλει δὲ τὸ προσγεγραμμένον ι-, καὶ συγίλλεται κατὰ τὴν ἀπολουθίαν τοῦ ἵμεναι, δόμεναι, θέμεναι. R.

46. Πρὸς Πισάναι δὲ] Πισάναι νῦν τὴν ἡμώνυμον πόλιν λέγει τῇ ἡρωΐδι, ἐκπεμπόντων ταύτῃς ἔχθαις τοῦ Εὐρώτα ποταμοῦ. προσέθηκε δὲ, παρ' Εὐρώτα πόρον, ἐπεὶ καὶ τῆς Αἰολίδος ἐχίνη ἡ Πισάνη· αὕτη δὲ ἡ Πισάνη, ἡ τοῦ Εὐρώτα, πρόγονός ἐστι τῶν 'Ιαμιδῶν. ταύτης γὰρ καὶ Ποσειδῶνος Εὐάδνη, Εὐάδνης δὲ καὶ 'Απόλλωνος "Ιαμος ὁ μάντις. τῆς Πισάνης δὲ ἡμώνυμος ἡ πόλις. Εὐάδναι δὲ δισσαί· μία μὲν, ἡ Ποσειδῶνος καὶ Πισάνης, ἑτέρα δὲ, "Ιφιδος, ἣν καὶ 'Ιάκιμραν λεγομένην φασὶν Εὐάδνην ὀνομάσθαι διὰ τὴ πλῆθος τῶν ὕδατων, ἃν ἔδωκε Κανανεύς. ἡ δὲ Λακωνικὴ Πισάνη Εὐρώτα τοῦ ποταμοῦ γεναλογοῦνται. πρὸς Πισάναι δ' παρ' Εὐρώτα πόρον ὁ 'Αγησίας ἦν, 'Αρκὰς καὶ 'Αργεῖος, ὡς ἀπὸ 'Ιάμου, οὗτος· Πισάνα γὰρ γίγνεται Εὐρώτα, Λακωνικοῦ ποταμοῦ, ᾧ συνῆλθον Ποσειδῶν, ἐγέννησεν Εὐάδνην τινά. αὕτη τὸ γεννηθὲν ἐκπέμπει λαθραίως εἰς 'Αρκαδίαν, τρέφεσθαι παρὰ Αἰσύτῃ τῷ 'Ελάτου παιδί. ταύτην τὴν Εὐάδνην, ἐν ἀμπῷ γενομένην, διαίρεσιν ὁ 'Απόλλων, ᾧ ἔτεκεν "Ιαμον, ἀφ' οὗ οἱ 'Ιαμίδαι μάντεις κατὰ Πίσαν, εἰς οὓς τὸ γένος ἀνάγει ὁ 'Αγησίας· καὶ οὕτως ἐφίσταται, ὡς ἀπὸ μὲν τῆς Πισάνης, 'Αργεῖος, ὡς δὲ ἀπὸ 'Ιάμου καὶ Εὐάδνης, τῆς ἐν 'Αρκαδίᾳ, 'Αρκάς. V.

Ἱστορία. Εὐρώτου τοῦ Λακωνικοῦ ποταμοῦ Θυγάτηρ γίγνεται Πισάνα. αὕτη ὑπὸ Ποσειδῶνος ἔγκυος γενομένη, καὶ τῷ δοκεῖν εἶναι παρθένος λανθάνουσα, ἵνα καιρὸς ἦκε τοῦ τοκετοῦ, γεννήσασα τὴν Εὐάδνην, δίδωσι ταῖς ἀμφιστόλοις λάθρα πρὸς Αἰσυτον 'Αρκάδων βασιλέα ἀγαγεῖν τὸ βρέφος. ἄλλοι δέ φασι, καὶ ἀληθῆ λέγοντες, ὅτι, ἵνα μὴ τοῦτο γένηται, διὰ τῶν Θεσπιαδῶν εἰς Ἰωλκὸν ἐξέπεμψεν Εὐάδνην ἀνδρόμεος Αἴσωνος ἐξαίρειν. ὃ καὶ Πίνδαρος εἶδεν, ἐστιδὴ ἐγκώμιον 'Αγησίου ποιεῖται, ἀντὶ τοῦ εἰπεῖν, ἐκθεῖναι αὐτὴν τὸ βρέφος, ἐπιθέμενα πρὸς Αἴσωπον λέγει. ἐπειμένη γὰρ 'Αγησίου εἶχεν ἄν. Πρὸς τὴν Πισάνην δὲ, τὴν τοῦ ὑπάτος αὐτῆς μεταδοῦναι τῇ πόλει τῇ παρὰ τὸ ῥεῦμα τοῦ Εὐρώτα τοῦ ποταμοῦ, δεῖ σήμερον ἀπελθεῖν ἐγκαίρως, ἥτις τῷ Ποσειδῶνι μιγεῖσα, τῷ ὑφ' τοῦ Κρόνου, λέγεται τεκεῖν αὐτῷ θυγατέρα μελανοστλέπαμον, τὴν Εὐάδνην. R.

47. Δεῖ σήμερον ἐλθεῖν] δεῖ σήμερόν, φησιν, κατὰ τὸν ὡρισμένον καιρὸν τῶν ἐγ-

ἀωμίων ἰλθιῶν ταχίως καὶ περὶ τῆς Πιτάνης εἰπεῖν, τῆς τοῦ Εὐρώτα ποταμοῦ θυγατρός. V.

48. Ἅ τοι Ποσειδάων] ἤτις μιγεῖσα τῷ Ποσειδῶνι, Πιτάνη, λίγεται τὴν ἰσαλέαμον, ἀπὸ μέρους τὸ πᾶν, καλὴν Εὐάδνην τικτεῖν, καὶ διαλαθεῖν ἰγκυμονοῦσαν, καὶ ῥῦψαι τὴν ὠδῖνα, τὴν ἑαυτῇ δοκοῦσαν παρθενίαν. παρθένιοι δὲ λίγονται παῖδες, οἱ ῥύφα τικτόμενοι παρὰ τῶν νομιζομένων παρθένων εἶναι. οὕτω που καὶ Ὅμηρος ἐν τῷ καταλόγῳ τῶν Ἀχιλλίως νηῶν φησι· (Iliad. σ'. 179.)

Τῆς δ' ἰτέρης Εὔδωρος ἀρήϊος ἠγεμόνευε
Παρθένιος.

Ἄλλως. Ἅ τοι Ποσειδάων] πρὸς τὴν ἱστορίαν, ὅτι φησὶ τὸν Ποσειδῶνα Πιτάνῃ μιχθέντα, λάθρα γεννῆσαι Εὐάδνην. ἐκ ταύτης δὲ καὶ Ἀπόλλωνος, Ἴαμος, ἀφ' οὗ οἱ Ἰαμίδαι. V.

50. Ἰσόϊσχυον] Gl. ms. γ. μελανότριχα.

51. Κρύψι δὲ παρθενίαν ὠδῖνα πόλεως] ἤγουν συνέλαβε δὲ ἐν τοῖς μυχοῖς τῆς γαστρὸς ἰγκυμόνησιν, σύλληψιν παρθενικήν. ἀσάφειάν τινα ἔχει ὁ λόγος. ταύτης δὲ αἰτία ἡ διάλυσίς ἐστιν. εἰ γὰρ συνημμένος ὁ λόγος ἐλέγετο, ἦν ἂν σαφὴς ἔχων οὕτως· ἥτις τῷ Ποσειδῶνι μιγεῖσα τῷ υἱῷ τοῦ Κρόνου, λέγεται συλλαβοῦσα ἐν τοῖς μυχοῖς τῆς γαστρὸς σύλληψιν παρθενικὴν, τικτεῖν αὐτῷ θυγατέρα μελανοσλόπαμον, τὴν Εὐάδνην. κατὰ τὸν μῆνα δὲ τὸν ὡρισμένον τοῦ τόκου, ἤγουν αὐτίκα δὲ καθ' ὃν μῆνα ἔτικτεν αὐτὴν, ῥίψασα ἀμφιπόλους, ἀντὶ τοῦ προστόλους, ἤγουν δούλους, ἐπέλυσεν αὐτοῖς δηλονότι δ·ῦναι τὸ βρέφος τῷ ἥρωϊ, τῷ Εἰλατίδῃ, ἤγουν τῷ Αἰτώλου, τῷ υἱῷ τοῦ Ἐλάτου προσαίνειν, ἤγουν ἀνατρέφειν, αὔξειν, ἀπὸ τοῦ πόῤῥω, καὶ ἀπὸ τούτου προσαίνω, τὸ εἰς προσοστὴν ἄγω, καὶ πόῤῥω ποιῶ ἐκείνου, ἀφ' ᾧ ἐστιν. Τοῦτο διττῶς νόει. Ἔρυψι δὲ ἡ Πιτάνη ἐν τοῖς κόλποις τὴν παρθενίαν καὶ παρθενικὴν ὠδῖνα, ἤγουν, ἣν συνέλαβεν ὠδῖνα, ἔρυψι, παρθένος εἶναι δοκοῦσα. ἢ οὕτως· ἔρυψι δ' ἐν τοῖς κόλποις τὴν ὠδῖνα τὴν παρθενίαν, τουτέστι τὴν προφίως γινομένην. παρθένιοι γὰρ λίγονται παῖδες οἱ λάθρα τικτόμενοι, παρὰ τῶν ὅτι νομιζομένων εἶναι παρθένων, οὕτω που καὶ Ὅμηρός φησι· (l. laud.) Τῆς δ' ἰτέρης Εὔδωρος ἀρήϊος ἠγεμόνευε Παρθένιος· ἐμοὶ δὲ δοκεῖ κάλλιον παρθενίᾳ γράφειν, ἵν' εἴῃ σαφὴς ὁ λόγος οὕτως· ἔρυψι δὲ τὴν ἐν τοῖς κόλποις ὠδῖνα, ἐν τῇ παρθενίᾳ, ἐν τῷ δοκεῖν ὅτι πάρθενος εἶναι. εἰ δ' ἐκ' εὐθείας τὸ παρθενία θήσεις λίγων· ἔρυψι δὲ ἡ παρθενία τὴν ἐν τοῖς κόλποις ὠδῖνα, οὐ μόνον σαφήτερος ἔν εἴη ὁ λόγος, ἀλλὰ καὶ κατὰ σύνταξιν ἀρίστως ἔχων. οἱ δὲ γράφοντες τὸ ψαι (πρύψαι) δίφθογγον, ἵνα πρὸς τὸ λίγεται συντάξωσι, ἀγνοοῦσι τὸ μέτρον. πάντες μὲν οἱ ὑπομνηματισταὶ τῆς Ἀρκαδίας εἶναι πόλιν τὴν Φαισάναν διιδίξαντο. ὁ δὲ Δίδυμος τῆς Ἤλιδος αὐτὴν εἶναί φησι, καὶ ὑστεροπολογίαται τοῦ ῥητοῦ οὕτως, ὅτι ποτὲ οἱ Ἀρκάδες καὶ τῆς Ἤλιδος ἐβασίλευον κατὰ τὸν χρόνον τοῦ Αἰσύτου· οἱ δὲ βουλόμενοι τὴν Φαισάναν Ἀρκαδικὴν εἶναι, τὸ περὶ Ἀλφειοῦ οὕτως ἀποδίδοσι, ὅτι διὰ Φαισάνης ἔχει ὁ ποταμὸς τὰ ῥεύματα. φέρεται γὰρ ἐξ Ἀσίας (leg. Ἀσίας), κώμης Ἀρκαδικῆς· ἢ ὅτι αἱ πηγαὶ τοῦ Ἀλφειοῦ ἐξ Ἀσίου (leg. ἐξ Ἀσίας), τῆς Ἀρκαδικῆς, εἰσὶ, καὶ μισταποιοῦνται αὐτῇ (leg. αὐτοῦ) οἱ Ἀρκάδες. R. Corrupta quoque in ms. Gott. erant.

52. Κυρίῳ δ' ἐν μηνὶ] ὁ νοῦς· τῷ κυρίῳ δὲ μηνὶ τοῦ τίκτειν ἀποτέλεσα Θεράποντα, ἐκτίμησι τὸ βρέφος πρὸς τὸν βασιλέα τῶν Ἀρκάδων Αἴσυτον, Ἑλάτου παῖδα. V.

55. Ὅς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ] τὴν Φαισάναν πάντες μὲν ὑπομνηματισταὶ τῆς Ἀρκαδίας εἶναι πόλιν ἐξεδέξαντο. ὁ δὲ Δίδυμός φησι τῆς Ἤλιδος αὐτὴν εἶναι, καὶ ὑστεροπολογίεται τοῦ ῥητοῦ οὕτως. ὅτι ποτὲ οἱ Ἀρκάδες καὶ τῆς Ἤλιδος ἐβασίλευον κατὰ τὸν χρόνον τοῦ Αἰσύτου. οἱ δὲ βουλόμενοι τὴν Φαισάναν Ἀρκαδικὴν εἶναι, τὸ περὶ Ἀλφειοῦ οὕτως ἐπιλύονται, ὅτι διὰ Φαισάνης ἔχει ὁ ποταμὸς τὰ ῥεύματα. φέρεται γὰρ ἐξ Ἀσίας κώμης Ἀρκαδικῆς. ὅτι αἱ πηγαὶ τοῦ Ἀλφειοῦ ἐξ Ἀσίας τῆς Ἀρκαδικῆς εἰσι. καὶ μισταποιοῦνται αὐτοῦ οἱ Ἀρκάδες. Ἄλλως. Ἄνασσε Φαισάνῃ] ὁ νοῦς· ὅτις Αἴσυτος βασιλεύων τῆς Ἀρκαδίας καὶ ἔχων ὀφ' ἑαυτὸν τὴν Φαισάναν, ἵλαχε κατακεῖν ἐν ταῖς ἀρχαῖς τοῦ ποταμοῦ. ἄρχεται γὰρ τὰ ῥεῖθρα ἐν Ἀρκαδίᾳ, ἐν Ἤλιδι δὲ ἐκλάμπει (ms. Gott. ἐμβάλλει) πολύς. V.

Ὅσις, ἤγουν ὁ Αἴσυτος, ἀνδρῶν Ἀρκάδων βασίλευε κατὰ τὴν πόλιν τὴν Φαισάναν, ἴλαχε τι, ἤγουν ἐκληρώθη, αἰσίῳ τὸν Ἀλφειόν· ἀπὸ τῆς Φαισάνης γὰρ καταῤῥεῖ ὁ Ἀλφειὸς, καταντᾷ δὲ εἰς τὸν Ἦλιν, τὸ δὲ μέσον αὐτοῦ κατὰ τὴν Ἐπίδαυρον· (ad 95.) ἔνθα δ' ἀναφαίνεται αὐτὸ, δηλονότι ἡ Εὐάδνη, ὑπ' Ἀπόλλωνος πρῶτον ἔψαυστι Ἀφροδίτης γλυκείας, ἀντὶ τοῦ, ἱμερτῆς. πλέκτουσα δὲ, ἤγουν πτιρομένη λαθῶν ἰγκυμονοῦσα τὸν γόνον, τουτέστι τὸ σπέρμα τοῦ Διὸς, ἤτοι τοῦ Ἀπόλλωνος, οὐκ ἔλαθε τὸν Αἴσυτον ἐν ταυτὶ χρόνῳ, ἤγουν διὰ ταυτός. R.

58. Πρῶτον ἔψαυσ'] δαιμονίως τὸ ἔψαυσιν, ὡς ἐπὶ θιάσεις ἀφροδίτιας συνέδου ἕνεκεν. τὸ δὲ ὅλον· διαφθάρη ὑπ' Ἀπόλλωνος ἡ τῆς γλυκείας πρώτου τοῦ Ἀπόλλωνος

συνουσίας μαντίσχι. λάθρα τικτοῦσα ἡ Πιτάνη ἀπίτυλλιν εἰς Ἀρκαδίαν Αἰσύτῳ. τὸ δὲ ἐκ συντυχίας συμβὰν, ἐν προνοίας λέγει γεγενῆσθαι. τὴν γὰρ Εὐάδνην ἱκετεύσαι Αἴσυτος ἰερὸν ἵλαβι. V.

59. Οὐδ' ἵλαθιν] οὐκ ἠδυνήθη δὲ λαθεῖν τὸν αὐτὸν θρίψαντα Αἴσυτον διξαμίνη γόνον Διοῦ. V.

61. Ἀλλ' ὁ μὲν Πυθῶνάδε] ἀλλ' ὁ μὲν γονὺς, θυμὸν οὐ φατον, ἦγουν ἄῤῥητον, μίγαν, ἐν τῇ ψυχῇ κατασχὼν σὺν φρονεῖδι ἐξείᾳ, τουτέστιν ἱστιτσαμίνῃ, ἀπὸ μεταφορᾶς τῶν ὑξίων βιλῶν, τῶν βλάστιν μάλιστα δυναμίνων, ἀφανὴς ἰγίνιτο, ἀπιρχόμινος Πυθῶνάδι, ἤγουν εἰς τὴν Πυθῶνα, μαντιυσόμινος περὶ ταύτης τῆς ἀφορήτου βλάβης, τουτέστι τῆς κρυφίου διαπορήσιως. ἡ δὲ, ἤγουν ἡ Εἰλείθυια, καταθεῖσα τὴν ζώνην αὐτῆς τὴν φοινικόπεπλον, ἤγουν τὴν πρόκην βεβαμμένην, καὶ τὴν κάλπιδα τὴν ἀπὸ ἀργύρου κατισκιυασμένην. ἴσι δὲ ἡ κάλπις ἀγγιῖόν τι ὑδροδόχον. R.

Ἐν θυμῷ πίσας χόλον] κατὰ ψυχήν· καίτοι δεινὴν οὖσαν τὴν ὀργὴν λογισμῷ κατασχὼν, καὶ πρὸ τῆς ἀληθοῦς γνώσιως οὐκ ἐκφῆναι τὸ δεινὸν βουληθείς, καίτοι πάνυ χαλεπαίνων, εἰς τὸ τοῦ Πυθίου Ἀπόλλωνος μαντεῖον ἱπορεύιτο, γνασόμινος περὶ τοῦ ἀνιήτου καὶ ἀσέπου τῆς διαφθορᾶς παίδους. ἐξείᾳ δὲ μελίτῃ, τῆς μεγάλης φρονεῖδος. μαλίσας γὰρ τὰς φρονεῖδας λέγουσιν. V.

Πίσας] Gl. mss. β. γ. κρατήσας.

63. Ἰὼν] Gl. ms. γ. βαδίζων.

66. Φοινικόπεπλον] κοκκινόβαφον Gl. ms. γ.

Ἃ δὲ φοινικόπεπλον] ἡ Εὐάδνη. Φοινικόπεπλον, τὴν ἐκ φοινικῆς πρόκης ὑφασμένην. V.

69. Λόχμας ὑπὸ κυανίας] τοῦ ἀνθρωποῦ καὶ κατασκύνου τοῖς φυτοῖς τόπου. κυανίας, ἤτοι τὰς βαθείας, ἢ παρὰ τὴν τῶν ἴων χροιάν. V.

Ἤγουν ὑπονάπαν δίνδρων σκιᾶς βαθείας σκοτινῶν διὰ τὴν συνύστητα, ἵτινιν υἱὸν Διόφρονα, ἤγουν ἐνθέου φρονήσιως διστικόν. τοῦτο δέ φησι, διὰ τὴν ὕστιρον ἠκμηκίναν αὐτῇ μαντικήν. R.

Κυανίας] ἢ τὰς σκιώδιις διὰ τὸ δάσος, ἢ ὅτι τὸ ἓν τοιαύτην ἔχει τὴν χροιάν. Διόφρονα δὲ λέγει τὸν Ἴαμον, ὡς γινώσκουσα τὸ πάντα διὰ τῆς μαντικῆς, ὅσπιρ οἱ Θεοί. παρέσπσιν αὐτῇ, φησὶ, καὶ τὰς Μοίρας, μισὰ τῆς Εἰλειθυίας, ἵνα τὰ κάλλιστα τῷ παιδὶ ἱσικλώσωσι. τοῦτο δὲ ἴσως σημαίνων τὰς αὐτοῦ γονάς. R.

70. Τίκτει Διόφρονα κοῦρον] τὸν Ἴαμον, ὅτι μάντις τὴν τέχνην. ὁ δὲ νοῦς· ἡ δὲ Εὐάδνη τὴν ἐκ φοινικῆς πρόκης ζώνην λύσασα καὶ ἀποθεμένη τὴν πάλπιν, οὕτω λαθοῦσα ἔτικιν ἐν συκῇ τόκῳ τὸν ἰσόμινον Διόφρονα παῖδα. λέγει δὲ τὸν Ἴαμον, ἀφ' οὗ τὸ γένος ἔχει ὁ Ἀγησίας. V.

71. Τᾷ μὲν ὁ Χρυσεπόμας] τῇ Εὐάδνῃ ἀποκυούσῃ παρίστησιν ὁ χρυσεπόμης Ἀπόλλων τὴν Εἰλείθυιαν, πιχαρισμένα φρονοῦσαν, καὶ τὰς Μοίρας. ἡ δὲ ἔνδειξις οὐ μόνον περὶ εὐτοκίας, ἀλλὰ καὶ παλίσης γενέσιως τοῦ παιδός. V.

Τῇ μὲν] ταύτῃ μὲν τικτούσῃ ὁ Ἀπόλλων ὁ χρυσῆν ἔχων κόμην παρίστησιν Ἑλειθὼ, ἤγουν Εἰλείθυιαν, ἵφορον δηλονότι θεὰν τῶν τόκων. R.

Πραΰμητίν θ' Ἑλειθὼ] πραεῖαν, εὐμινῆ. V.

Πραΰμητιν, ἤγουν πραία, φίλα, φρονοῦσαν αὐτῇ, καὶ τὰς Μοίρας συμπαρίστησιν, ἵν' εὐδαίμων δηλονότι εἴη ὁ παῖς. ἦλθε δὲ ὁ Ἴαμος εἰς φῶς αὐτίκα ἐκ τῆς ἱπατράσου ἱντὸς τῶν σκιλάγγνων ἰγκυμονήσιως. τὸν μὲν κνίζομίνα, ἀντὶ τοῦ λυπουμίνη, ἀλγουσᾶ, κατιλίμπανιν ἐν γῇ· δύο δὲ δράκοντις γλαυκῶπις, ἤγουν λαμπρούς καὶ γίλωντας ἔχοντις τοὺς ὀφθαλμούς, κατὰ βούλησιν Διὸν, ἰθρέψαντο αὐτόν, κηδόμινοι, ἤγουν ἱπιμιλούμινοι, ἐκ τοῦ μιλισσῶν ἀμιμφοῦς, τουτέστιν, οὐ μίμψιως ἀξίου, ἀλλὰ ἱπαίνου δηλονότι, ἤγουν διὰ μέλιτος. ὁ βασιλιὺς δὲ, ὁ Αἴσυτος δηλονότι, ἱκετι ἀφίκιτο ἐκ τῆς Πυθῶνος τῆς πιτρώσσης, ἤγουν τῆς πιτρώδους, τῆς τραχείας, ἰλαφοῦνον, τοὺς ἵππους δηλονότι, ἅπαντας τοὺς ἐν τῷ οἴκῳ ἠρώτα τὸν παῖδα, ὃν ἡ Εὐάδνη ἔτικι· τοῦ Φοίβου γὰρ πατρὸς ἔφη αὐτὸν γιγονέναι, υἱὸν δηλονότι, μάντιν δὲ ἔσισθαι τοῖς ἀνθρώποις ἔχοντα πιρισσὸν πάντων τῶν ἀνθρώπων, ἤγουν ὑπὲρ πάντας ἀνθρώπους· οὐ δέ φασι ἐκλείψιιν, ἤγουν σβισθήσισθαι, ἐκποδὼν γενήσισθαι, τὴν γενεὰν αὐτοῦ. R.

73. Ἦλθε δ' ὑπὸ σκιλάγγνων, ὡς κηδόμινος] ὁ νοῦς τοιοῦτος· ἐγκυμονήθη δὲ ἐξ ἱπατράσου ὠδῖνος ὁ Ἴαμος, καὶ ἦλθιν εἰς τὸ φῶς. εὐθέως τοῦτον οὖν τίκτουσα καὶ ἐκλυπουμένη, καταλίλοιπιν ἐπὶ τῇ γῇ ἡ Εὐάδνη· δύο δὲ αὐτὸν φοβιρώτατοι δράκοντις Διὸς βουλήσει ἀνέθρεψαν, ἀβλαβῆ ἰὸν προσφερόμινοι, ἵνα λίγῃ τὸ μέλι. V.

Τὸ σκιλάγγνων] ἤγουν ἐν τῇ κηδύϊ· ἐν τούτῳ γὰρ τῷ τῆς γαστρὸς μέρει ἐστὶ τὸ ἔμβρυον, ἢ τὸ σκιλάγγνων, ἀντὶ τοῦ γαστρὸς ἁπλῶς. R.

74. Ὠδῖνος ἱκατῆς] ἤτοι γένιας ἐκθυμηκοῦς ἢ διότι Διοῦ παῖδα ἐγέννα, ἢ ὅτι πᾶσαι ἐκθυμοῦσι τικεῖν καὶ τῶν ἐντεῦθι ἀπηλλάχθαι πανῶν. R.

75. Ἐς φάος αὐτίκα] εὐθέως· ἀκολούθως, ὡς ἀπὸ εὐμινεστάτης Εἰλειθυίας, ῥᾳδίαν καὶ ἄμοχθον τὴν ὠδῖνα ἐκτήσατο. V.

Τὸν μὲν κιζαμένα] δεσπῖ τὸ κιζαμένα ἐναντίον εἶναι πρὸς τὴν τῆς Ἐλευθύιας ὠδίνωσιν. καὶ ἴσως τὴν μητρίαν αἴσθησιν τῆς ἀλγηδόνος ὑποφαίνει κινημὸν ἀναμάζων. ἢ κιζαμένα, λυπουμένη· ἤλγει μὲν γὰρ ὡς μήτηρ, σίργουσα τὸ τίκτον· κατελείπετο δὲ αὐτὸ ἐπὶ τῆς ἐρημίας, βουλομένη λαθεῖν. V.

76. Γλαυκῶπις] Gl. ms. *a*. ἰούφθαλμοι.

77. Δαιμόνων βουλαῖσιν] ἤτοι παθόλου τῶν θεῶν ἀκουσίοις, ἢ εἰς Ἀπόλλωνα καὶ Ποσειδῶνα ἀναστίοις, τὸν μὲν πατρίᾳ, τὸν δὲ πρωτάτορα. V.

78. Ἀμεμφεῖ] ἐπαινετῷ Gl. ms. *γ*.

Ἀμεμφεῖ ἰῷ] ἀμεμφῆ ἰὸν εἶπε· τὸ μέλι. ὁ γὰρ ἰὸς μοχθηρίαν τινὰ ὑποφαίνει. ὡς ἐπὶ δρακόντων δὲ τὸν ἰὸν εἶπεν. ἀποδάλλει γὰρ ὁ δράκων ἰόν. βουλῇ δὲ Διὸς, ὡς μελλουσῶν ἔνδοξα ἀδὴν φαίνεται, καὶ οἷον, ὡς, μέλι. Ἄλλως. ἠσυχάσατο, εἰρὼν ἀντὶ τοῦ ἰοῦ μέλι πρῳϊνόν. Τὸ δὲ σημεῖον Χ', ὅτι ἰὸν μελισσᾶν εἶπε διὰ τὸ ἀφίεσθαι ὑπ' αὐτῶν. φασὶ δὲ τὸν Ἴαμον ὑπὸ δρακόντων μέλιτι τραφῆναι. V.

Εἰνόστοις εἶπε τὸ, ἀμεμφεῖ ἰῷ μελισσᾶν, ὁ γὰρ τῶν ὡρῶν ἰὸς μεμαστὸς διὰ τὸ φθορὰν ἐργάζεσθαι. R.

79. Καδόμενοι] Gl. ms. *a*. φροντίζοντες.

Βασιλεὺς δ' ἐπὶ πατρίαισιν] τῆς τραχείας. τὸ δὲ ἐξῆς· πατρίαισιν Πυθῶνος. ὁ δὲ νοῦς· ἐπειδὴ οὖν ἦλθεν ἐκ τοῦ μαντείου ὁ βασιλεὺς Αἴγυπτος, ἐπήρετο πάντας τοὺς ἐν τῇ οἰκίᾳ περὶ τοῦ γεννηθέντος παιδὸς ὑπὸ τῆς Εὐάδνης. V.

82. Μὴ λάθῃς εἰς τὸ παῖδα ἴξασθαι τὸ, διὰ, ἀλλ' ὥστε φαμὲν, σεφοῦμαί σε οἰκίαν, ᾧ ὑδρίζω σε ἥδρην, οὕτω καὶ, ἔρεμαί σε λόγον. Εὐριπίδης (Phœn. 562.) Ἀγ' ἦν σ' ἔρεμαι δύο λόγω. τὸ δὲ εἶχοντο, ἀντὶ τοῦ, διεζεζαισῶντο, ἐπεὶ καὶ ὁ καυχώμενος διαζεζαισῶται τοῦτο ἐ καυχᾶται. ἢ εἶχοντο, ἀντὶ τοῦ, μετὰ τῆς πρὸς Διοὺς ἰκέτης διεζεζαισῶντο. τὸ δὲ πιμπαταῖον γιγνημένου, ἀντὶ τοῦ, πίνει ἡμέρας ἴσχον μετὰ τὸ γεννηθῆναι. ἴσι δὲ ἀπὸ τοῦ πωποῦ, λέγοντος· πίνει τοῦτον ἡμέρας ἴσχοντα μετὰ τὸ γεννηθῆναι, ἐκεῖνοι οὕτε ἰδίῳ διεζεζαισῶντο. τὸ σχίνῳ ἐνταῦθα (v. 90.) ᾧ τὸ βατίᾳ, καταχρηστικῶς εἶπε. σχῖνος γὰρ τὸ λεγόμενον ἰδιωτικῶς βρύλον καὶ ἡ τούτων συναγωγή· ἐνταῦθα δὲ τῷ σχίνῳ καὶ βατίᾳ, ἀντὶ τοῦ, βασῦ νόμ, ἢ δῆτα ἐν τοῖς βάτοις τὰ ῥόδα καὶ τὰ ἴα εὑρίσκεται καὶ ἐν ταῖς σχίναις. δῖον δὲ ἀζρῶς εἰπεῖν, ἤτοι δαψιλῶς βεζεγμένος, ἀζρὸν εἶπε πρὸς τὸ σῶμα. R.

84. Πέρι θνατῶν] περισσῶς ὑπὲρ πάσας ἀνθρώπους. Ἴλιγε γὰρ αὐτὸν ἐκ παιδὸς Ἀπόλλωνος γεγονέναι καὶ περισσῶς ὑπὲρ πάντας γενέσθαι μάντιν ἀνθρώπους, καὶ μηδένα αὐτοῦ τὸ γένος διαλύειν. V.

87. Ὡς ἄρα μάντιν] οὕτως ἄρα ἐβούλοντο· οἱ δὲ, ἤγουν οἱ ἐν τῷ οἴκῳ, οὐκ οὖν ἀκαΐους, οὕτως ἰδιῶν τοῦτον ἰῦχοντο, ἤγουν ἱκετεύοντο μετὰ παταρῶν, καὶ ταῦτα περσαταῖον, ἤγουν πίνει ἡμερῶν γεγενημένον, τοιοῦτον ὄντα, ἀλλ' ἐγκέρυπτο. ὁ ἀλλὰ ἀντὶ τοῦ καί. ἤγουν. καὶ γὰρ ἐκέρυπτο ἐν σχίνῳ καὶ ἐν βατίᾳ, ἤγουν βάτῳ ἀκανθώδη, τοιούτοις ἀψηλαφήτῳ, ἀψαύστῳ, διὰ τὰς ἀκάνθας. R.

Τοὶ δ' οὔτ' ὄν] οἱ παν' οἶκον τοῦ Δικτύνου Θερσάνορες ὄντον. τῷ γὰρ εἴχοντο ἀντὶ τοῦ ἴσον οἱ Λάκωνες χρῶνται. V.

88. Οὔτ' ἰδιῶν ἰῦχοντο ἴους, τοῦτ' ἄνακτ' ἀθάνατον] ὁ τοῦς· ἴκετο δὲ ὁ παῖς βεζεγμένος καὶ κεκαλυμμένος ταῖς τῶν ἴων ἄκτισι καὶ κατακεκρυσταλλωμένος· διόπερ καὶ τὴν κλῆσιν τὴν τοῦ Ἴαμου αὐτῷ ἡ μήτηρ ἔθετο ἀπὸ τῆς τῶν ἴων αἰτίας. ἀθάνατον δὲ εἶπεν ὀνομάσθαι αὐτὸν, ὡς ἀπὸ τῶν χρησμῶν. εἶπε γὰρ ἀνωτέρω, οὐδέποτε ἐκλείψειν τὴν γενεὰν αὐτοῦ. V.

Εὔχοντο] Gl. ms. *a*. ὄμνυον.

Πιμπαταῖον γιγνομένου] τοῦτο οὐχ ὡς ἀπὸ τῶν οἰκετῶν. οὐ διδόαμεν γὰρ αὐτοῖς τὸ ἰδίωμα, ἢ καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν, ἀφ' οὗ γίγνεται, ἐστίασθαι· ἀλλὰ βατίαν, ἐκ τοῦ ποιητικοῦ περισσοῦ τὸ ταυτὸν λέγεσθαι. οἱ οὖν οἰκέται τοῦ Δικτύνου ἱκετεύοντες ἔλεγον μήτε ἰκρατίζειν, μήτε ἐκπιεῖν. εἶτα ὁ ποιητὴς ἀφ' ἑαυτοῦ· καὶ ταῦτα πιμπαταῖον ἦδη ὂν τὸ παιδίον. V.

90. Βατίᾳ σ' ἐν ἀπειρέσῳ] βατίαν εἶπε τὴν βάτον, ἴ ἐστι ἀκάνθης εἶδος, καὶ τὸν Ἴαμον ἐτυμολογεῖ. ἀπειρέσῳ δὲ, ἐν ᾧ πολλῇ μεγάλῃ.

92. Ἀκτῖσιν ἴων] ἦγουν λαμπρύνται διαυγέσι ξανθαῖς καὶ κατὰ πολὺ πορφυρεῖς, πιεριφρασμῶς, ἀντὶ τοῦ, ὑπὸ διαυγῶν ἰων ξανθῶν, ᾗ κατὰ πολὺ πορφυρῶν βεζεγμένος, τουτέστι διδρασμένος, τὸ σῶμα. διὸ καὶ τοῦτο, ἴ ἰκαλείτο δηλονότι, τὸ Ἴαμος (ἀπὸ γὰρ τῶν ἰων Ἴαμος ἰκλήθη) δίδωσιν ἡ μήτηρ αὐτοῦ καλεῖσθαι αὐτὸν κατὰ πάντα τὸν ἐξῆς χρόνον, ἀθάνατον, ἀντὶ τοῦ ἀθανάτως. R.

Παμπορφύρεοις ἀκτῖσιν] ἀκτῖνας λέγει τὰς ἀποπιστούσας ἀπὸ τῶν ἀνθέων δρόσους, ἢ λαμπηδόνας τῶν ἀνθῶν. V.

93. Τὸ κατιφάμξεν] ἀντὶ τοῦ, διὰ τὸ τοῖς ἴοις δροσίζεσθαι αὐτὸν, ἀτιμως καὶ Ἴαμον καλεῖσθαι. V.

Καὶφάμξεν] Gl. ms. *γ*. ἐπήρξεν. Καλεῖσθαι Gl. ἀπὸ τοῦ ἀμᾶν (ἴ δηλοῖ τὸ θερίζειν) ἴα (ἴ ἴσιν ἄνθη) λέγεται Ἴαμος.

95. Τοῦτ' ἴνυμ' ἀθάνατον] διὰ τὸ τοὺς Ἰαμίδας ἀθανάτους ἀπ' αὐτοῦ καλεῖσθαι. V.

Ἀθάνατον] Gl. ms. γ. αἰωνίως. α. δαιμονίως.

Τερψιᾶς δὲ ἦλθας] ὅτι ἐν ταύτῃ μάλιστα τὰ ἐθνικὰ τοῖς ἀνθρώποις γίνεται. Ἄλλως. Τερψιᾶς δ' ἐπὶ χρυσοτιφάνοιο. ὁ τοῦς· ἐπιδὴ δὲ ἐν ἀκμῇ ἡλικίας ἐγίνετο, καὶ τὸν παρὸν τοῦ χρόνου ἤνυκε (λέγει δὲ τὰ γένεια), τότε δὴ παραγινόμενος εἰς τὴν Ἐφύραν, ηὔξατο. ἐν μέσῳ γὰρ Ἤλιδος καὶ Ἀρκαδίας ἡ Ἐφύρα. ὧν ἡ μὲν Ἀρκαδία τὴν ἀρχὴν, ἡ δὲ Ἤλις τὰ περὶ τοὺς ἀγῶνας εἰλήφασι τοῦ ποταμοῦ. ἐντεῦθεν οὖν εἰς τὴν Ἐφύραν ἐπανελθόντα τόν τε ἑαυτοῦ πρόγονον Ποσειδῶνα καὶ τὸν κεραυνὸν καὶ Ἥφαιστον τῆς Διὸς Δάλου τὸν Ἀπόλλωνα, τὸν ἑαυτοῦ πατέρα. V.

Τερψιᾶς δ' ἐπί.] ἐπὶ εἰς τοῦτο ἡλικίας ἦλθεν, ὡς γένειον ἀνθῆσαι ξανθόν. τὸ δὲ τερπνῶς εἶπε, διὰ τὸ τοὺς ἐν τοιαύτῃ ἡλικίᾳ ὄντας, ὡραίους φαίνεσθαι. δίον δὲ ἐπιτίν χρυσοτίφανον περὶ τὸ παρὸν, χρυσοτιφάνοιο εἶπε περὶ τὸ ἄζης. Ἔπειδὴ δὲ ἔλαβεν ὁ Ἴαμος παρὸν ἄζης ἡδείας, πάγκαλον προτεινούσης στέφανον, ἤγουν γένια, ἃ περίτεινον ἡλικίας ἀκμὴ τερπνὴ, παγκάλως δ' αὐτῶν στεφανοῦσα, τουτέστιν, ἐπιδὴ εἰς ἀκμὴν ἡλικίας ἔφθασε τερπνῆς, ᾗ γενείοις παγκάλως ἐστεφανώσατο, καταβὰς ἐν μέσῳ τοῦ Ἀλφειοῦ, ἤγουν κατὰ τὴν Ἐφύραν, (ἐν μέσῳ γὰρ Ἤλιδος καὶ Ἀρκαδίας ἡ Ἐφύραν) ἐκάλεσε τὸν Ποσειδῶνα τὸν ἑαυτοῦ πάππον, τὸν ἰερεύσιον, ἤγουν τὸν παλαιὸν ἰσχυρὸν, καὶ τὸν σκοτὸν, ἤτοι τὸν Ἥφαιστον, τὸν ἀγλαὸν τῆς Δήλου, τέκνον τῆς Διοδώτου, τὸν κεραυνὸν, τουτέστι τὸν Ἀπόλλωνα, τὸν πατέρα αὐτοῦ, αἰτῶν αὐτοὺς ἐν νυκτὶ ὑπαίθριος, ἐκφοβουμένως ἀπ' αὐτοῦ, ἐν ἀσυλίᾳ τόπῳ, ὑμνῶν τινα τῇ ἑαυτοῦ κεφαλῇ, περιφερικῶς, ἀντὶ τοῦ, ἑαυτῷ, λαύστροφον, τουτέστιν, ὑπὸ τοῦ λαοῦ αἰζημιούμενον. R.

96. Χρυσοτιφάνοιο] Gl. ms. γ. τῆς προξυούσης χρυσοῦν στέφανον.

99. Εὐρυσίαν] Gl. mss. α. β. γ. μεγαλοδύναμον.

101. Θεοδμήτας λέγει, ἃ ἦν ἔχουσιν οἱ Θεοὶ δῶρα, Ἀπόλλων καὶ Ἄρτεμις, ἃ τῆς ὑπὸ Διῶν κατασκευασθείσης. ὕφαλον γὰρ εἶπεν Ζεὺς ἀνῆκεν εἰς φῶς. Θεόδμητον ἴσως λέγει αὐτὴν, διὰ τὸ πλανωμένην τῆναι ὑπὸ τῆς γαμήσεως τοῦ Ἀπόλλωνος. R.

Σκοτὸν] Gl. ms. γ. φύλακα.

102. Λαότροφον] τὸν τρεφόμενον ὑπὸ τῶν λαῶν ἐστιώμενον ἑαυτῷ αἴτιον. Ἄλλως. λαοτρόφον τιμάν· βασιλικὴν ἀρχήν. ᾗ καὶ Ὅμηρος ὁμολογῶν βασιλίας θεομίσεας λαῶν ὀνομάζει. αἰτεῖ οὖν τινὰ τιμὴν τὴν ἀπὸ πολλῶν, ἐν πολλοῖς ἴχνεσι, ὑπάρξαι αὐτοῦ τῇ κεφαλῇ. V.

Λαοτρόφος, ὁ λαὸν τρέφων· λαότροφος δὲ προσαρξοτόνως, ὁ ὑπὸ λαοῦ τρεφόμενος. R.

104. Νυκτὸς ὑπαίθριος] αἰσιῶς δὲ καὶ ὁ καιρὸς περὶς θείαν ἐπίκλησιν. νῦχτο οὖν, φησὶν, αἰτῶν καὶ παρακαλῶν νυκτὸς ὑπαίθριος. ἀρχαιότατος δὲ ὁ τρόπος τῆς ἰκετείας. V.

Δίχα τινὸς ἐν τῇ κεφαλῇ καλύμματος. οὕτω γὰρ ἦν ἔθος εὔχεσθαι. τὸ νυκτὸς δὲ περὶς τὸ κατακλᾶς συνάπτεται. μὴ λάζης δὲ ἴξωθεν ἐπὶ, ἀλλ' ἐσὶν ἡ τοιαύτη γενικὴ περὶς τὸ κατακλάς. νυκτὸς γὰρ ἦν ἡ τοιαύτη κατάκλασις. R.

105. Ἀρτεμὶς παρθένος ἔσσα] ἡ ἀληθὴς καὶ ἀψευδής. ἡ δὲ ἀρτεμὶς καὶ ἀληθὴς φωνὴ τοῦ πατρὸς αὐτοῦ περὶς τὰς ἰκετείας ἀντιφθέγξατο. ἔσσα δὲ, ἡ φωνή. V.

Μαντεύσατο δ' ἐς Θεὸν ἰλθὼν] ὡς οὖν ἀπέκτεινεν ὁ Τληπόλεμος τὸν Λικύμνιον, φεύγων τὸ μῖσος, εἰς Δελφοὺς ἰλθὼν, ἐμαντεύσατο, ὅπου χρὴ τραπέσθαι. ὁ τοίνυν Ἀπόλλων ἔχρησεν αὐτῷ, ὅπου ἀπὸ τῆς ἀκτῆς τῆς Λερναίας, τουτέστι τοῦ Ἄργους, ἐθύσειε καὶ ἑρμᾶς διὰ πλοίου ἐπὶ τὴν χώραν τῆς νήσου τῶν Ῥοδίων. V.

Ἀπιλθὼν δὲ εἰς τὸν Θεὸν ἐμαντεύσατο, ἤγουν μαντείαν ἤτησεν. εἰς τὸν Θεὸν δὲ εἴπὼν ἀδήλως διὰ τοῦ ἐπαγομένου δῆλον ποιεῖ, ὅτι εἰς τὸν Ἀπόλλωνα λέγει αὐτὸν ἀπιλθεῖν. „ἐπάγει γάρ· τῷ μὲν εἶπεν ὁ χρυσοκόμας. δῆλον δὲ ὅπου ἔφη, ὅτι τὸ χρυσοκόμης οὐκ ἄλλου τινός ἐστιν ἐπίθετον, ἢ τοῦ Ἀπόλλωνος. τούτῳ μὲν ὁ Ἀπόλλων, ὁ χρυσῆν ἔχων κόμην, εἶπεν ἐκ τοῦ ἀδύτου, ἤγουν τοῦ ναοῦ τοῦ ἰωνδίας ποιηθησομένου· σίλλει πλοῦν, ἀντὶ τοῦ, σίλλου ἀπὸ τῆς ἀκτῆς, ἤγουν τοῦ αἰγιαλοῦ τῆς Λέρνης, τουτέστιν ἀπὸ τοῦ Ἄργους, εἰς τὸν νομὸν, ἤγουν διαπερῶν καὶ τόπον τὸν ὑπὸ Θαλάσσης περιλαμβανόμενον, εἰς τὴν Ῥόδον λέγω, ὅπου ποτὲ ὁ βασιλεὺς τῶν Θεῶν ὁ μέγας, ἤγουν ὁ Ζεύς, ἔβρεξε τὴν πόλιν διὰ ψηγμάτων χρυσοῦ ἀπὸ νιφάδων καταῤῥηγνυμένων, ὑπηνίκα ταῖς τίχναις τοῦ Ἡφαίστου, ἀντὶ τοῦ, τῷ ἐργάνῃ, τῷ τῇ τίχνῃ τοῦ Ἡφαίστου κατασκευασθέντι πιλίκιι, ἡ Ἀθηνᾶ ἀνορμήσασα κατὰ τὸ ἄκρον τῆς κορυφῆς τοῦ πατρὸς αὐτῆς τοῦ Διὸς ἠλάλαξε, τουτέστι πολεμικὸν ἐβόησεν. ὑπερβολικῶς· ὁ οὐρανὸς δὲ ἔβρεξεν αὐτὴν, τουτέστιν ἐφοβήθη, καὶ ἡ γῆ ἡ μήτηρ πάντων. Τότε δὲ ὁ Ζεύς, ὁ φῶς τοῖς ἀνθρώποις φέρων, ὁ Τριτογενίδης, τοῦτέστιν ὁ Ἥλιος, ἐνετείλατο τοῖς παισὶν αὐτοῦ τοῖς προσφιλέσιν, ἤγουν τοῖς Ῥοδίοις, χρέος μέλλον, τοιοῦτον πρᾶγμα ἐξ ἀνάγκης γενησόμενον, παραφυλάξασθαι, ἤγουν τὴν γένησιν τῆς Ἀθηνᾶς, ὅπως ἂν χάριν αὐτοῖς τῆς θυσίας τῆς γενηθησομένης πρώτοις εἰσάσει βωμοῖς, ἤγουν ναοῖς, ἐναργῆ, τουτέστι μετέωρον, περιφανῆ, καὶ σεμνὴν θυσίαν ἐν αὐτῷ ποιήσαντες τὴν ψυχήν σε ἰυφρᾶναιεν τοῦ πατρὸς, ἤγουν τοῦ Διὸς, καὶ αὐτῆς τῆς Ἀθηνᾶς, τῆς γενησομένης θυγατρὸς αὐτοῦ τοῦ Διὸς, τῆς ἐγχειρόμου, ἤγουν τῆς περὶ τὸν ἠχητικὸν πόλεμον ὑφωνῦς, γενησομένης δηλονότι. R.

59. Εὐώδιος ἐξ ἀδύτου] τοῦ τεθυμιαμένου ἀδύτου. λέγει δὲ τοῦ κατὰ τὴν Πυθῶνα. V.

Εὐώδιος] Gl. mss. β. γ. μεμυρισμένου. Ἀδύτου] Schol. ms. β. ὁ ἄδυτος πολλαχῶς.

60. Λερναίας ἀπ' ἀκτᾶς] ἀπὸ τοῦ Ἄργους. ἡ γὰρ Λέρνη κατὰ μέν τινας κρήνη, κατὰ δέ τινας, λοχμώδεις χωρίον, ἐν ᾗ μυθεύουσι καὶ τὴν Ὕδραν κατοικιδυκίναι. φασὶ καὶ τὴν ἄζυσσον κρήνην αὐτόθι εἶναι. ἕτεροι δὲ καὶ πόλιν φασίν. ὁ δὲ νοῦς· εὐθῦναι τὴν ναῦν εἰς τὴν νῆσον Ῥόδον, ἐν ᾗ νήσῳ ὁ βασιλεὺς τῶν Θεῶν Ζεὺς χρυσίαις χ' τὰ ἑξῆς. V.

Ἀκτᾶς] Gl. ms. γ. τῆς παραθαλασσίας.

61. Εὐθύν (sic) ἐς ἀμφιθάλασσον] οἱ μὲν ἀντὶ τοῦ εὐθῦναι, οἱ δὲ ἀντὶ τοῦ ἰθίως. ἀμφιθάλασσον δέ, τὴν ἐκπεπερωθεῖσαν θαλάσσῃ περιεχομένην· νομὸν δὲ τὴν κατανομήν. V.

64. Χρυσέαισι (sic) νιφάδεσσι] τοῦτο ἀντιπερ ἐκ τοῦ ἀθετουμένου Ὁμηρικοῦ στίχου εἴληφεν ὁ Πίνδαρος· (Iliad. β'. 670.)

Καί σφι θεσπέσιον πλοῦτον κατέχευε Κρονίων. V.

65. Ἀνίχ' Ἁφαίστου στίχαισι] τὸν καιρὸν, καθ' ὃν ὁ Ζεὺς ἐν Ῥόδῳ χρυσὸν ὗσε, διὰ τῆς ἱστορίας ἐπισημαίνεται, καί φησιν ὅτι, ἡνίκα ὁ Ζεὺς, διαιρεθείσης αὐτοῦ τῆς κεφαλῆς ὑπὸ πελέκεως τοῦ Ἡφαίστου, ἀνέδωκεν ἐκ τῆς κορυφῆς τὴν Ἀθηνᾶν. ἡ δὲ ἀνορούσασα καὶ ὁπλισθεῖσα γενομένη μέγιστον ἐβόησε. V.

Ἰσορία. διαιρεθείσης τῆς τοῦ Διὸς κεφαλῆς ὑπὸ Ἡφαίστου χ' Ἀθηνᾶς ἐξελθούσης, (ἐκ τῆς κεφαλῆς γὰρ αὐτὴν ᾄδουσι,) ἐλθὼν Ἥλιος εἶπε Ῥοδίοις, πρώτους θῦσαι αὐτῷ, ὡς ἀναγκαῖον ὄν, ἐπεὶ ταύτην εἰκῆσαι, παρ' οἷς ἂν πρώτοις θυσία αὐτῷ γένηται. ἀνελθόντες οὖν εἰς τὴν ἀκρόπολιν Ῥόδιοι θῦσαι αὐτῷ, ἐπελάθοντο χ' ὕῳ συμπαραλαβεῖν τοῖς ἐναγίσμασι, καὶ ἀτύρως ἔθυσαν. διὸ συνίζει Ἀθηναίους πρώτους θύσαντας μετὰ πυρὸς ἐν αὐτοῖς τὴν Θεὸν οἰκεῖν ἠξιῶσθαι. Ζεὺς οὖν Ῥοδίων τὴν γνώμην ἀποδεξάμενος, χρυσοῦν ὑετὸν αὐτοῖς κατέ-

χειν. τὸ ἠνίκα δὲ, ἄνω καὶ πρὸς τὸ ἴ.Θι ἔχει τὴν ἀπόδοσιν, καὶ οὐ πρὸς τὸ τότε, παραπλήσιον ὥστερ ποιεῖ Ὅμηρος ἵν᾽ εἰσι τῶν παραβολῶν ἄνω μὲν ἐχούσαις τὴν ἀπόδοσιν, ὅμως δὲ ἑστάγυι ὕστερον καὶ τὸ οὕτως, οὐκ εἰς ἀπόδοσιν τῆς παραβολῆς, ἀλλὰ διὰ τὴν ἐξῆς ἕνωσιν. R.

66. Χαλκιλάτῳ τιλίπει] οἱ μὲν Παλαμήδεα λέγουσι ῥῖψαι τὴν τοῦ Διὸς πτῶσιν, ὅτι Ἀθηνᾶ ἐγεννᾶτο· οἱ δὲ Ἑρμῆν· οἱ δὲ Προμηθέα· Ἀρίσταρχος δέ, φησιν, ὑφίστασθαι τὴν γέννησιν Ἀθηνᾶς ἐν Κρήτῃ· νίφει γάρ φησι πυκνότατα τὸν Διόν, τὸν δὲ Δία πλήξαντα τὸ νίφος, προφάναι αὐτόν. V.

68. Ἀλάλαξεν] ἐξὺ ἀνεβόησε. διὰ δὲ τοῦτο τὸ φιλοστόλιμον τῆς Διοῦ ἰχαραπτήρισεν. ἡ γὰρ ἀλαλαγὴ πυρίως ἐπὶ τῆς τῶν πολεμίων συμβολῆς γίνεται. ἐπ᾽ οὖν λίγεται καὶ ἐπὶ τῶν ἐυξαιχειμάτων. V.

71. Τότε καὶ φανσίζροος] ὁ τοῦς· τότε οὖν, ἠνίκα ἔμελλεν τίκτεσθαι ἡ Διὸς, ὁ Ἥλιος τοῖς ἑαυ[τοῦ παισὶ, τοῖς περὶ Ὄχμιον καὶ Κίρκαφον, ἐπιτείλαξο τὸ μέλλον πρᾶγμα, τῆς Ἀθηνᾶς τὸν γίννεον παραφυλάξασθαι, καὶ θυσίας ποιῆσαι· καὶ ὅτως τῇ Διῒ θυσίας πλάθοντα βωμὸν ἰναργῆ κτίσιαν· τοῦτόν τι πηξάμενοι ἐπιθύσαντες τήν τι ψυχὴν τοῦ πατρὸς αὐτῆς Διὸς τίρψαιεν, καὶ αὐτῆς τῆς γαννηθείσης παρθένου τῆς πολιμικῆς. ἔγχος μὲν γὰρ τὸ δόρυ· βρέμει δὲ ὁ ἔχος. Ἄλλως. ὁ Ἥλιος, φησὶ, παρεπελύσαλο τοῖς ἑαυτοῦ παισὶ καὶ Ῥόδου, μελλούσης γεννᾶσθαι τῆς Ἀθηνᾶς, ὅπως αὐτοὶ πρῶτοι θύσωσιν. ἐπεῖ γὰρ μέλλειν εἰκεῖν τὴν Διόν, παρ᾽ οἷς ἂν πρῶτον θυσία αὐτῇ ἱστιλάσθῃ. ἀνιεχίμενοι δὲ εἰς τὴν ἀκρόπολιν πρῶτοι οὗτοι, ἱστιλάθοῦσο πῦρ νομίσαι. συνίδη οὖν πρώτους Ἀθηναίους θῦσαι. διόπερ καὶ τὴν Διὸν αὐτόθι καθιδρυσθῆναι, τιμῆσαι δὲ καὶ τὴν Διὸν τοὺς Ῥοδίους. διὰ τοῦτο δέ φασι τοὺς Ῥοδίους ἄκυρα θύειν, ὅστιρ οἱ πρῶτοι τῇ Ἀθηνᾷ ἔθυσαν. τινὲς δέ, ὅτι καὶ, φυλαξάντων αὐτῶν, ὑστιρησθείς ὁ Ζεὺς πλοῦτον καὶ εὐδαιμονίαν παρίσχει, δωρησαμένης καὶ αὐτῆς τῆς Ἀθηνᾶς τὴν περὶ τὴν τίχνην ἀρετήν. V.

72. Δαίμων Τιτριοείδας] ὁ Τιτρίσιος παῖς. Τιτρίων δὲ, εἷς τῶν Τιτάνων κατὰ τὴν τοῦ Ἡσιόδου Θιογονίαν· (v. 371. ss.)

Θείᾳ δὲ Ἠελίῳ τι μίγαν, λαμπράν τι Σελήνην, (f. Θείη δ᾽)
Ἠώ θ᾽, ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει,
Γείνατ᾽ ὑποδμηθεῖσ᾽ Τιτρίσιος ἐν φιλότητι.

οἱ δὲ αὐτὸ ἐπιθετικῶς ἀκούουσιν ἐν τόπῳ πατρωνυμικῷ. ὁ ὑπὲρ γῆν ἰόμενος, ἢ ὑπὲρ ἡμᾶς περιόμενος. V.

73. Ἔντιλεν] Gl. ms. γ. παρέγγυλε.

74. Μέλλεν χρέος] Schol. ms. γ. συντίσει τὴν οἴκησιν, ἣν ἔμελλεν ἡ Ἀθηνᾶ ποιήσειν ἐν τοῖς Ῥοδίοις· καὶ μὴ γένηται τι ἐμπόδιον, πρὸς τὸ μὴ οἰκῆσαι ἐν αὐτοῖς.

Τὸ μέλλον χρέος λέγει διὰ τοῦτο, διότι ἀναγκαίως ἔμελλον ἐκεῖ τὴν Διὸν οἰκήσειν, ἐν οἷς ἂν πρώτους θυσίας αὐτῇ γένωνται. R.

76. Βωμὸν ἰναργέα] ἤγουν τῇ κατασκευῇ πολυτελῇ συγχέασσα, ἢ τὸν ἰναργῶς γενόμενον, παρὰ τὸν τῆς γενήσεως καιρόν. πρῶτοι γὰρ ἔθυσαν. διὸ ἔμελλεν ἱστίαρος εἶναι παρὰ τὸ πλῆθος τῆς τελουμένης θυσίας. V.

77. Σεμνὸν θυσίαις] τοῦτο πρὸς τὸν τῆς Ἀθηνᾶς τρόπον. σεμνὸς γάρ φασι τὰ δῶρα αὐτῇ τιλεῖν. V.

78. Ἐγχειρέμεν] τῇ παρὰ τῷ πολίμῳ βερμούσῃ. V. Πολεμικῇ Gl. mss. β. γ.

79. Ἐν δ᾽ ἀρετὴν ἔκλειν] δόκησεν ὁ λόγος γναμικὸς εἶναι. ἔχει δὲ τὸ σαφὲς οὕτως· ἐπίζηλοι δὲ ἀρετὴν καὶ ἡδονὴν τοῖς ἀνθρώποις ὁ περὶ τὰ πράγματα πρόγνωσις. ἢ δέ φησι, τοιαῦτόν ἐστιν. οἱ περὶ τῶν μελλόντων πραγμάτων τὸ δίον προσποιούμενοι καὶ τοῦτο προδιδαχθέντες, οὗτοι εἰς ἀρετὴν καὶ ἡδονὴν ἔρχονται. ἵνα δὲ οὕτως ὑπόσωσι· ἐκ δὲ ταύτης τῆς αἰτίας καὶ αἰδὼς ὁ ὑπάρξασα εἰς τὴν Διὸν ὁ ἐκ προμηθείας καὶ τῆς προγνώσεως, χαρὰν αὐτοῖς καὶ εὐθυμίαν καὶ ἀρετὴν παρίσχει. V.

Ἐμπαιεῖ δὲ τοῖς ἀνθρώποις ἀρετῆς τιμὴν καὶ χαρὰν τοῦ Προμηθέως, τουτέστι τῆς προβουλεύσεως, τὸ αἰδέσιμον, ἤτοι ὁ αἰδὼς ὁ ἐκπαίνη τῷ Προμηθεῖ, πεπρεσμένῳ, ἀντὶ τοῦ, ὁ Προμηθεὺς ὁ αἰδέσιμος, ἀλλ᾽ ἐπιβαίνει καὶ νίφος τι λάβῃ ἀντίμαστον, τουτέστιν ἀπροβούλευτον, καὶ παρίλπει, ἤγουν παραστρέψει, ἐκπλήσει, τὸν ἐμὸν μῦθόν τῶν πραγμάτων ἤγουν τῶν λογισμῶν. καὶ οὗτοι γὰρ οἱ τοῦ Ἡλίου θελοῦσι παῖδες, ἀνίδρυσαν οὐκ ἔχοντες, ἤγουν μὴ φέροντες, στέρημα φλογὸς παυσιπῆς, τουτέστι πῦρ, ὃ τὴν παυσιλύπ αὖξει φλόγα. ἀνίδρυσαν δὲ ἐπτὰ ἀδήλως, διὰ τῶν ἐπαγομένων δῆλον ποιεῖ, ὅτι εἰς τὴν ἀκρόπολιν λέγει αὐτοὺς ἀνακῆναι. ἑστάγυ γάρ· Τεῦξεν δ᾽ ἀνόρυσε ἱερεῖς, ἤγουν, κατεσκεύασεν δὲ ἐν τῇ ἀκροπόλει ναὸν τὸν Θυσίαις ἀστόρυς, τουτέστιν ἅμα καὶ θυσίας πυρὸς ἐμπεύχουσ τιλέσασ τις. R.

80. Κἄρματα] Gl. ms. γ. πρωτιρήκαλα.

81. Αἰδὼς] Gl. Ms. γ. σεμνότης.

Προμηθίοις αἰδὼς] τουτέστιν, ὁ μετὰ τοῦ προβεβουλεύσθαι ποιῶν τι, ἐμοῦ τι πανταχοῦ τοῦτο, καὶ ἡδονὴν ἴχει ἅστι κατωρθωκώς. τὸ δὲ αἰδὼς Προμηθίοις λέγει, διότι

* Ms. G. Ἀρπαλῆς δὲ ὑφίσατει—

πᾶς ὁ χρώμενος πρεσβυτέρῳ εἰσιὼν τὸν Προμηθέα αἰδεῖται καὶ τιμᾷ. R.

82. Ἐπὶ μὲν βαίνει] ἐνίοτε δὲ καὶ τοῖς ἀκούουσι τὴν προμήθειαν καὶ προσκοπουμένοις τὸ μέλλον ἐπιβαίνει τὸ καὶ λήθης ἴδιον νίφος. ἐπὶ δὲ τῶν Ῥοδίων ὁ λόγος, ὅτι καίτοι προδιατιλαμένου τοῦ Ἡλίου αὐτοῖς θῦσαι τῇ Ἀθηνᾷ κατὰ τὴν γένεσιν, καὶ αὐτοὶ μεμνημένοι ταύτης συντελέσαι, συντελοῦντες, τῶν περὶ τὴν κατασκευὴν τι ἤλιτον, ὅ ἐστι τὸ πῦρ. V.

84. Καὶ παρέλκει πραγμάτων] ὁ τοῦς οὕτως ἔχει· καὶ γὰρ οἱ Ῥόδιοι προμαθόντες παρὰ τοῦ Ἡλίου τὴν τῆς Ἀθηνᾶς γένεσιν, καὶ κατασκεύαντες παρ' αὐτοῦ τὸ θῦσαι τῇ θεᾷ, παρ' αὐτὴν τὴν ἐεροτελεσίαν τοῦ κυριωτάτου περὶς τὰς θυσίας ἐπλάθοντο. οὐκ ἔχοντες γὰρ πῦρ ἀνῆψαν ἐς τὴν ἀκρόπολιν, ἵνθα οἱ βωμοὶ, καὶ ἄπιον πυρὸς θύοντες τὸ ἱερὸν ἐποιήσαντο ἐν τῇ ἀκροπόλει. V.

Καὶ μεταφέρει τοὺς ἀνθρώπους, ἤγουν ἔξω τοῦ ὀρθοῦ καὶ προσήκοντος εἴθισεν, ἴστι δὲ αὖτη ἡ παραγωγὴ ἔξω φρενῶν. R.

86. Καίτοι γὰρ αἰδούσας] τῆς ναυτιλίας, παρὰ τὸ αἴδειν. τὸ δὲ οὐ ἐπίρρημα προσακτέον τῷ ἔχοντες, ἵν' ᾖ, νῦν ἔχοντες. φλογὸς δὲ σπέρμα, τὸ πῦρ· ὡς καὶ Ὁμηρος· (Odyss. ε'. 490.) Σπέρμα πυρὸς σώζων. V.

Ἔχοντες] Gl. ms. β. φέροντες.

87. Σπέρμα φλογὸς] Gl. ms. γ. ἀνθρακιάν.

88. Τιὺξεν] Gl. ms. γ. ἐποίησαν.

89. Ἄλσος] Gl. ms. γ. ἱερουργίαν.

Κείνοισι μὲν] ἐκείνοις μὲν, ἤγουν χάριν ἐκείνων τῶν Ῥοδίων, ξανθὴν νιφέλην ἀγαγὼν, ὁ Ζεὺς δηλονότι, χρυσὸν βρέξιν· αὐτὴ δὲ ἡ Γλαυκῶπις, ἤγουν ἡ Ἀθηνᾶ, ἡ ἐξ ἀρῶν καὶ γιλανὸν, παρεῖχεν αὐτοῖς κρατεῖν, τουτέστι τὸ κράτος ἔχειν τῶν ἐπιχθονίων κατὰ πᾶσαν τέχνην, διὰ χειρῶν ἀριστεύων, ἤγουν ἄριστα ἔργα κατασκευαζουσῶν. ἔργα δὲ αἱ κίλινθοι, ἤγουν αἱ ὄπαι, τῆς Ῥόδου δηλονότι, ἔθρεψεν, τουτέστιν ἐπιτήδεια αὐταῖς εἶχον, ὅμοια ζῶσι καὶ ἕρπουσιν, ἀντὶ τοῦ βαδίζουσιν· ἢν δὲ κλίος βαθὺ, ἀντὶ τοῦ πολὺ, ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης, ἤγουν δασείας. Δαίνυσι δὲ, ἤγουν τῷ διδαχθέντι [ὑπ' αὐτῶν τῶν Ῥοδίων], καὶ ἡ φρόνησις ἡ ἄδολος, ἤγουν ἡ φυσικὴ, μείζων γίνεται, τουτέστιν, εἰ καὶ φυσικὴ ἐστιν αὐτῷ σοφία, ἤτις διὰ κρατεῖ τῆς ἀπὸ μαθήσεως, ἐκείθεσιν καὶ αὐτὴ λαμβάνει διὰ τὴν ὑπερβολὴν τοῦ κάλλους καὶ τῆς ποικιλίας τῆς τέχνης. Τίχναν πᾶσαν πρὸς τὸ ἀριστεύοντος χειρὶ συναπτέον οὕτως· ἅπασά σφισιν ἡ Ἀθηνᾶ (ἐστὶ ἡ φρόνησις μηχανᾶσθαι τὰς τέχνας) κρατεῖν τῶν ἐπιχθονίων, ἤτοι τῶν ἀνθρώπων, ἐν ἀριστοτόνοις χερσὶ κατὰ πᾶσαν τέχνην. λέγει δὲ τὸ χερσὶν, ἐπειδὴ αἱ χεῖρες τὰς τέχνας ἐργάζονται. R.

91. Αὐτὰ δέ σφισιν] αὐτὴ δὲ ἡ Ἀθηνᾶ κατὰ πᾶσαν χειρουργικὴν τέχνην τὸ ἄριστον αὐτοῖς ἐπέθεμεν. V.

92. Ὤτασεν] Gl. ms. γ. ἐχάρισεν.

94. Κρατεῖν] Gl. ms. α. νικᾶν. γ. κυριεύειν.

95. Ἔργα δὲ ζωοῖσιν] τὰ γὰρ ὑπ' αὐτῶν δημιουργούμενα καὶ ἐργαζόμενα, τοιαῦτα καὶ ὀφθῆναι ἐπὶ τῆς γῆς, οἷα καὶ αὐτὰ τὰ ἔμψυχα κινούμενα. ἔρπειν γὰρ περὶ τὴν τῶν ἀνδριάντων κατασκευὴν οἱ Ῥόδιοι. αὐτοὶ γὰρ πρῶτοι οἱ Ῥόδιοι τὴν τῶν ἀνδριάντων ἐξεῦρον δημιουργίαν, τὸ πρῶτον οὐχ οὕτω τιμωμένων*. Ἀρίστερχε δὲ τὰ κατὰ Δαίδαλον αὐτόν φησι μεταφέρειν νῦν ἐπὶ τῶν κατὰ τὴν Ῥόδον τεχνιτῶν, ὅτι τοιαῦτα κατεσκεύαζον ἔργα. Πολέμων μὲν γάρ φησι, παρὰ Χίοις μὲν τὸν Διόνυσον διδύσθαι, καὶ παρ' Ἐρυθραίοις δὲ τὸ Ἴδος τῆς Ἀρτέμιδος, καὶ ὅλως πολὺν κατεσκευάσθαι λόγον περὶ τῶν ἀγαλμάτων, ὡς μὴ μυόντων ἀλλὰ πορευομένων ἄλλοσι πλειονάκις. Ἄλλως. Ἔργα δὲ ζωοῖσι. παρὰ τὸ Ὁμηρικόν. (Iliad. σ'. 418.)

Χρύσειαι ζωῇσι πεπήγασιν ἠΐγ' ἐοικυῖαι.

Κίλινθοι δὲ νῦν, τὰ ἐν τῇ πόλει ἄμφοδα. V.

Οἱ Ῥόδιοι οὕτως ἔρισαν ἀνδριαντοποιοὶ ἦσαν, ὡς ζῶσιν ἰκανότας ἀνδριάντας κατασκευάζειν, καὶ δεσμεῖν αὐτοὺς τοῖς ποσὶν ὥστε διδοικότας, μὴ τοῦ ποδοῦ χρεοκόμενοι φύγωσιν, ὑδέκουν γὰρ ὥστε κινεῖσθαι τοιοῦτοι οὖς καὶ Δαίδαλος ἐποίει. μὴ εἶπωσι δὲ τὸ τὶ ἀργὸν, ἀλλ' οὕτω· φέρουσι δὲ αἱ κίλινθοι ἔργα ὅμοια ζῶσι καὶ ἕρπουσιν. R.

Ἐρπόντεσσι] Gl. ms. γ. περιπατοῦσι.

97. Ἦν δὲ κλίος βαθὺ] ἐν δὲ τούτου βαθὺ κλίος καὶ πολλὴ δέξα πρωτὴν αὐτοῖς. V.

98. Δαίνυσι δὲ σοφίη] ἀντὶ τοῦ, δαίνυσι ἡ σοφία καὶ μείζων καὶ ἄδολος τιλίθι. ἀδύνατον γὰρ ἦν τισι ποιήσασθαι ἐπίδειξιν μὴ μαθόντα. βίλτιον δὲ οὕτως· οἱ παραγυχόντες καὶ μαθόντες σοφίαν ἀπ' αὐτῶν καὶ ἐντυχόν αὐτοῖς λέγουσι καὶ ἄδολον, ἤ ἐστι ἀπλῆν. ἢ οὕτω· τῷ μαθόντι καὶ ἡ ἄδολος σοφία μείζων γίνεται. τὸ δὲ σαφὲς οὕτως ἔχει· τῷ δὲ μετ' εὐφυΐας μεμαθηκότι τὴν σοφίαν, καὶ ἐστὶ τὸ μείζον ἀδόλως καὶ ἀνεμπαθέως ἐκφέρεται, ὡς τῶν Ῥοδίων εὐφυῶν μὲν ὄντων κατὰ φύσιν, προσδιξαμένων δὲ καὶ τὴν τέχνην, καὶ οὕτως ἐξ ἀμ-

* ἠσυχιμένων.

φοτέρων τῆς μαθήσιος αὐτῶν ἐπὶ τὸ ἄμεινον ἐλθούσης. V.

Δαίνυσι δὲ καὶ σοφίᾳ] τὸ καὶ ἡ Ἀντικλὼ, ἅσπερ φαμὲν τὸ, τί καὶ πωπόσω; ἢ οὕτω· καὶ τῷ δαίνυσι, ἤγουν καὶ τῷ μαθήσει εὐφυεῖ τελείᾳ καὶ ὑπάρχει καὶ ἡ σοφία μείζων τῆς ἐξ εὐφυΐας μόνης ἄπρακτος καὶ ἄδολος*. λέγει δὲ διὰ τοὺς Ῥαδίους, ὡς ὄντας καὶ δραστηρίους τῇ νῇ, καὶ παρὰ τῆς Ἀθηνᾶς διδαχθέντας. R.

99. Μείζων] Gl. ms. β. μεγαλώτερος. Τελείᾳ] Gl. ms. γ. ὑπάρχει.

100. Φασὶ δ' ἀνθρώπων παλαιαὶ ῥήσεις] οὕτω γὰρ τῶν ἱστοριογράφων ὄντων οἱ παλαὶ παιρεὺς ποιηταὶ παρὰ τῶν ἐν τοῖς πόλλοι λογίων καὶ γνηραπόταν, οἷς ὁ χρόνος τὸ ἀκριβὲς τῆς γνώσιως ἠμαρτύρει, τὰς ἱστορίας πατακούοντες ἠμάνθανον. λέγει δὲ τοιοῦτόν τι. καθ' ὃν χρόνον οἱ Θιοὶ τὸν ὅλον κόσμον πρὸς ἑαυτοὺς διεμερίζοντο, ἁπάντος τοῦ Ἡλίου καὶ τὸν ἑαυτοῦ διανύοντος δρόμον, οὐδὲ εἷς τῶν Θιῶν ὑπέμνησεν, ὅτι καὶ αὐτῷ τοῦ κόσμου μερίδα φυλαχθῆναι. οὐδέτω δὲ ἡ Ῥόδος ἦν ἐν θαλάσσης ἀναδεδιῶσα· διὸ καὶ ἀκλήρωτος μείνας ὁ Θιὸς ταύτην εἵλετο τὴν μερίδα, ἱερὰν αὐτῷ τὴν νῆσον ἱστορεψάμενος. ἀγνὸν δὲ Θιὸν τὸν Ἥλιον, οὐχ', ὅτι καθ' ἑαυτὸν ἀγνός ἐστιν, ἀλλ' ὁ ἁγνίζων τῇ ἀκτῖνι δυνάμενος. V.

Φασὶ δ' ἀνθρώπων] φασὶν, ὡς, ἡνίκα Ζεὺς μετὰ τῶν Θιῶν μερισμὸν ἐποιεῖτο τοῦ κόσμου, οἱ μὲν ἄλλοι τούτων κλήρους ἔλαβον, Ἥλιος δὲ μὴ παραστυχὼν ἐν τῷ μερισμῷ ἀκλήρωτος ἦμεινε. βουλομένου οὖν τοῦ Διὸς πάλιν ἐκ δευτέρου ποιῆσαι, οὐκ ἐῶσιν, εἰπὼν τὴν ἐκ θαλάσσης ἀναδεδιῶσαν νῆσον αὐτῷ δεδόσθαι. ἦν δὲ ἡ Ῥόδος. R.

Φασὶ δὲ] φασὶ δὲ λόγοι ἀνθρώπων ἐκ παλαιοῦ χρόνου φθόμενοι, οὕτω φανερὰν εἶναι τὴν Ῥόδον ἐν τῷ πελάγει τῷ θαλασσίῳ, ὅτι ὁ Ζεύς τε καὶ οἱ Θιοὶ οἱ ἄλλοι διεμερίζοντο ἑαυτοῖς τὴν γῆν· κεκρυμμένην δὲ εἶναι τὴν νῆσον, τυθῆναι αὐτὴν τὴν Ῥόδον, ἐν τοῖς βίνθισιν, ἀντὶ τοῦ ἐν τοῖς βαθέσι μυχοῖς τῆς ἁλμυρᾶς θαλάσσης· ἀτόντος δὲ τοῦ Ἡλίου ἐν τῷ ὑπὸ γῆν δηλονότι ἡμισφαιρίῳ, οὐδεὶς ἐνθυμῆσαι, ἀντὶ τοῦ ὑπέδυσεν, τουτέστιν ὑπέμνησε, τὸν Δία δηλονότι, [διὰ] λάχος, ἤγουν κλῆρον αὐτοῦ, ἤτοι τοῦ Ἡλίου. καὶ δὴ κατέλιπον αὐτὸν τὸν ἀγνὸν Θιὸν (ἀγνὸν δὲ λέγουσιν αὐτὸν, διὰ τὸ ἁγνίζειν δύνασθαι ταῖς ἑαυτοῦ ἀκτῖσι) χώρας ἀκλήρωτον, ἤγουν ἄμοιρον. Item R.

Παλαιαὶ ῥήσεις] δίον παλαιῶν εἰπεῖν πρὸς τὸ, ἀνθρώπων, παλαιαὶ εἶπε πρὸς τὸ ῥήσεις. R.

Παλαιαὶ] Gl. ms. γ. ἀρχαῖαι.

106. Ἐνδυξεν] Gl. ms. γ. ἐκάμπτειν.

108. Χώρας] Gl. ms. γ. ἐπαρχίας. Ἀκλήρωτον] Gl. ms. γ. ἀκληρονόμητον.

110. Μνασθέντι δὲ] ἀντὶ τοῦ ἀναμνησθέντος, ἤγουν εἰς ἀνάμνησιν ἐλθόντος, τοῦ Ἡλίου δηλονότι, ὁ Ζεὺς ἔμελλε, ἤγουν ἀναμερισμὸν ἐμέλλε ποιῆναι, ἀντὶ τοῦ ἐποίησε, ἤγουν ποιεῖν, ἀλλ' οὐκ εἴασεν αὐτὸν, τὸν Δία δηλονότι, ὁ Ἥλιος· ἐπεὶ εἶπεν ὁρᾷν αὐτὸς ἔνδον τῆς θαλάσσης τῆς λιπαρᾶς ἐπὶ γῆν πολύδενδρον ἀνθρώπους, ἀντὶ τοῦ ἀνθρώπων, τουτέστι, πολυειδῶς σρίφων ἀνθρώπους δυναμένην, καὶ ἡδίαν μᾶλλος, ἀντὶ τοῦ, πᾶσι τοῖς ἀλόγοις ζώοις, αἰξαμένην, ἀναβλαστάνουσαν, φιδέθιν, τουτέστι, ἀπὸ τοῦ πυθμένος. Ἡ τοιαύτη δοτικὴ, τὸ μνασθέντι, πρὸς τὸ θέμεν ἔχει τὴν δύναμιν. R.

Ἔμελλεν μέλλειν θέμεν] ἀναπλήρωσις, ἀπὸ τοῦ Ὁμήρου (Iliad. ν'. 171.) "Ἑλλ- "ῃ ῥα νῦν πιπάλακθε." ὁ δὲ τοῦς· ὑπομνησαμένην δὲ τῷ Ἡλίῳ ἀναπλήρωσιν ἔμελλε ποιῆσαι ὁ Ζεὺς, ἀλλ' οὐκ εἴασεν αὐτὸν τοῦτο ποιῆσαι ὁ Ἥλιος, ἐπειδὴ εἶπεν, ἔνδον τῆς θαλάσσης καὶ ἐν τῷ βυθῷ ὁρᾷν παραυξομένην καὶ ἐγειρομένην ἐκ τοῦ πυθμένος ἐσομένην. ταύτην γὰρ πρός τι ἀνθρώπων† χρησιμωτάτην καὶ πρὸς πάντα τὰ ζῶα εὔβοτον καὶ εὔφρονα, ἀπὸ μέρους τῶν προβάτων. V.

Μέλλειν) Gl. mss. β. γ. ἐμέλετα.

115. Πολύδενδρον] μεγάλους καὶ πολλοὺς θρίψαι δυναμένην. ἐν ἴσῳ δὲ τῷ Ὁμηρικῷ (Iliad. γ'. 265.) " πολυδένδρεον." V.

116. Εὔφρονα μᾶλλον] Gl. mss. α. εὐφραντικήν. β. γλυκεῖαν τοῖς προβάτοις.

Μῆλοις] καταχρηστικῶς πᾶσι τοῖς ἄλλοις ζώοις, τουτέστιν ἀπὸ μέρους τὸ πᾶν. V.

117. Ἐπίλεισεν δ' αὐτίκα] ἐπίλεισεν δὲ ὁ Ἥλιος παραχρῆμα τὴν μὲν Μοῖραν Λάχεσιν ἐπιχειροτονήσασα τῷ λόγῳ, τοὺς δὲ Θιοὺς ὀμόσαι, μηδὲν παρερεῖν, μηδὲ παραπῖσαι τὸν Δία περὶ τῆς μελλούσης φαίνεσθαι χώρας ὑπ' αὐτοῦ. πιθανῶς δὲ τὸν Λάχεσιν, ἐπεὶ περὶ κλήρου ἐστί. V.

Ἐπίλεισεν δὲ ὁ Ἥλιος, ἀντὶ τοῦ εἶπεν, ἐζήτησεν, αὐτίκα, τὴν Μοῖραν μὲν τὴν Λάχεσιν, ἤγουν τὴν τοὺς κλήρους διανέμουσαν, τὴν χρυσῆν περικεφαλαίαν φορεῦσαν, τὰς χεῖρας ἀνατεῖναι, ἀντὶ τοῦ, τὴν ἑαυτῆς ψῆφον δοῦναι, ἔχον δὲ τῶν Θιῶν μέγαν γενέσθαι, μὴ παρφάμεν, ἤγουν, μὴ ἄλλο τι βουλεύσασθαι αὐτοὺς, ἀλλὰ σὺν τῷ παιδὶ

* f. ἀπράτου καὶ ἀδόλου. Nec tamen sic multum proficias; etiamsi in poëta 99. ἀδόλου refinxeris.

† f. βίον.

τοῦ Κρόνου τῷ Διὶ καταινῆσαι, συμφθεῖσαν αὐτὴν τὴν νῆσον, ἄγουν ἀναδοθεῖσαν εἰς τὸν αἰθέρα, ἀντὶ τοῦ τὸν αἰθέρα τὸν λαμπρὸν, γέρας ἔσεσθαι ἐξωτέρω, τουτέστιν εἰς τὸ ὑπερῶον, τῇ ἑαυτοῦ κεφαλῇ, ἀντὶ τοῦ αὐτῷ Ἡλίῳ δηλονότι. ὑπελύσησαν δὲ, ἤγουν ὑπελιώθησαν αἱ πορυφαὶ, τουτέστι τὰ τέλη, αἱ ἀποκαταστάσεις τῶν λόγων, ἐν ἀληθείᾳ πιστοῦσαι ἀντὶ τοῦ ἀποδεῖσαι· λέγω, ἐλλάτωσι μὲν, ἀντὶ τοῦ ἀνιδόθη ἐκ τῆς θαλάσσης τῆς ὑγρᾶς ἡ νῆσος, ἔχει τι αὐτὴν ὁ ποιητὴς, ὁ γεννήσας, τῶν ἀκτίνων τῶν ἐξιῶν, τουτέστι τῶν καυστικῶν, ἢ τῶν ταχυῶν, ἤτοι ὁ Ἥλιος ὁ ἀρχὸς, ἀντὶ τοῦ ὁ ἡνίοχος, τῶν ἵππων τῶν πτερύγων ὑπὸ. R.

118. Εἰκότως εἶπε τὸ Λάχεσις, ὑπειδὴ περὶ κλήρου ἦν ὁ λόγος. τὸ δὲ χεῖρας ἀνατεῖναι εἶπεν, ἀντὶ τοῦ χειροτονῆσαι, ἐκ μεταφορᾶς τῶν δικαστηρίων. ἐπεὶ γὰρ, ἡνίκα τὶς νόμον ἢ ψήφισμα περὶ τοῦ κοινοῦ ἐσκοπεῖτο, εἰ καλὸν καὶ συμφέρον ἔδοξε τοῖς πρυτάνεσιν εἶναι, τὰς χεῖρας ἀνίστασαν βεβαιοῦντες αὐτό. ἐκ τοῦ ἱστᾶν, θεῖον ὄρκον μὴ παρφάμεν, διίκνυσιν, ὡς οὐ μόνον τὰς χεῖρας ἀνίστασιν ἡ Λάχεσις, ἀλλὰ καὶ ὄμνυσι τὸ τῆς Στυγὸς ὕδωρ. ὅρκος γὰρ ἦν τῶν θεῶν τὸ τῆς Στυγὸς ὕδωρ. R.

Λάχεσιν] Gl. ms. Bodl. τὴν πληρωτρίαν.

Χρυσάμπυκα] ἄμπυξ μὲν κυρίως κόσμος ὑποτιθέμενος ταῖς τῶν γυναικῶν κεφαλαῖς. οὗ καὶ Ὅμηρος μνημονεύει· (Iliad. χ'. 469.)

Ἄμπυκα κιονέφαλόν τ' ἠδὲ πλοκτὴν ἀναδέσμην.

νῦν δὲ καταχρηστικῶς τὴν τιμίαν ἀκουσίαν. Λάχεσις δὲ μία τῶν Μοιρῶν καλεῖται. τριῶν δὲ οὐσῶν τῶν παρὰ Ἡσίοδος μνημονεύει (Theogon. 218.) " Κλωθώ τε, Λάχεσίς τε, καὶ Ἄτροπος." ἴσι δὲ τὰ ὀνόματα αὐτῶν ὑποσημαίνα. καὶ ἡ μὲν Κλωθὼ παρὰ τὸ συγκλώθειν τὰ ἀνθρώπινα, ἡ δὲ Λάχεσις παρὰ τὴν κλήρωσιν τὴν θείαν, ἣν ἕκαστος γιγνόμενος κεκλήρωται, ἡ δὲ τρίτη Ἄτροπος, παρὰ τὸ ἀμετάστροπτον τῆς μοιριδίου ἀνάγκης. V.

119. Χεῖρας ἀντεῖναι] ἀντὶ τοῦ χειροτονηθῆναι ποιῆσαι, κατὰ μετωνυμίαν. V.

Ἀντεῖναι] Gl. ms. γ. ὑψῶσαι.

Θεῖον δ' ὄρκον] Θεῖον ὅρκον, τὴν Στύγα. ταύτην γὰρ καὶ Ὅμηρος καὶ Ἡσίοδος ἴσασι, καὶ οἵδε, διὸ ὧν φασί· (Iliad. ο'. 37.)

Καὶ τὸ κατιζόμενον Στυγὸς ὕδωρ, ὅς τε μίγιστος
Ὅρκος.

φησὶν οὖν, μὴ ἀπατῆσαι, μὴ παραλογίζεσθαι, τουτέστιν ὑποκρῶσαι τὸν τῶν θεῶν ὅρκον. τοῦτο δὲ, ὡς ὁμωμοκότων αὐτῶν φυλάξειν τὴν ἐν τῇ θαλάσσῃ κρυπτομένην νῆσον. V.

120. Παρφάμεν] Gl. ms. β. παριστῶν.

122. Φαινὸν ἐς αἰθέρα] ἀντὶ τοῦ, ἀλλ' εἰς τὸν λαμπρὸν αἰθέρα ἀναφανεῖσαν τὴν Ῥόδον αὐτῷ δοθῆναι τῷ Ἡλίῳ. Ἄλλως. φαινὸν, κατὰ συγκοπὴν, φαινὸν, λαμπρὸν αἰθέρα. νῦν δὲ καταχρηστικῶς, τὸν ἀέρα. V.

124. Τελεύτασαν δὲ] ὑπελιώθησαν. ὁ δὲ νοῦς· ὑπελιώθησαν δὲ τούτων τῶν λόγων τὰ κεφάλαια ἐν τῇ ἀληθείᾳ πιστούσα. V.

125. Κορυφαὶ] Gl. ms. γ. ἀποφάσεις.

Μὴ θέσης τὸ κορυφαὶ μετὰ δέξου, ἀλλ' οὕτως. τελεύτασαν δὲ κορυφαὶ πιστοῦσαι, καὶ πιστοῦσαι ἐν ἀληθείᾳ, τουτέστιν, οἱ τοῦ Διὸς περὶ Ἥλιον λόγοι οὐ παρίζησαν, ἀλλ' ὑπληρώθησαν. ἴσι δὲ τὸ ὑπελεύτησαν κορυφαὶ λόγων, καὶ τὸ ἐν ἀληθείᾳ πιστοῦσαι, ταυτόν. οἱ γὰρ πληρούμενοι λόγοι ἀληθεύουσιν, οἱ δὲ μὴ πληρούμενοι οὐκ ἀληθεύουσι. R.

126. Πιστοῦσαι] Gl. ms. γ. τελειωθεῖσαι.

127. Βλάστ μὲν ἐξ ἁλὸς] ὁ νοῦς· ἀντεζλάστησε μὲν καὶ ἀνιδόθη ἐκ τῆς θαλάσσης ἡ νῆσος. ἔχει δὲ αὐτὴν εἰς ἰδίαν μοῖραν ὁ Ἥλιος, ὁ τῆς τῶν ἐξιῶν ἀκτίνων γενέσεως πατὴρ Ἥλιος, καὶ τῶν πῦρ πνεόντων ἡγεμὼν ἵππων. ἐκ δὲ τοῦ ἐξιῶν, τῶν πυρωτικῶν ἀκουσίον. τὴν γὰρ ἐξύστητα καὶ ἐπὶ πυρώσεως λέγομεν. V.

131. Ἔνθα Ῥόδῳ] ὁ νοῦς· ἐν ᾗ νήσῳ τῇ νύμφῃ Ῥόδῳ μιχθεὶς ποτε ὁ Ἥλιος ἐγέννησεν ἐκτὰ παῖδας, ἐπὶ τῶν παλαιῶν ἀνθρώπων τοὺς σοφώτατα νοήματα παραδιξαμένους, ἀντὶ τοῦ σοφωτάτους. εἰσὶ δὲ οἱ Ἡλίου ἑκτὰ παῖδες οὗτοι· Κέρκαφος, Ἀκτὶς, Μακαρεὺς, Τενάγης, Τριόπης, Φαέθων, ὁ πάντατος Ὀχίμος. Ἄλλως. Τενάγης, ἤτοι Φαέθων, Ἀκτὶς, Μάκαρ, Χρύσιππος, Κάνδαλος, Τριόπης. V.

Ἔνθα, ἤγουν ἐν τῇ Ῥόδῳ τῇ νήσῳ, μιγεὶς ποτε αὐτὸς ὁ Ἥλιος τῇ Ῥόδῳ τῇ Ἡρωΐδι, ἐγέννησεν ἑπτὰ παῖδας, τοὺς παραδιξαμένους ἐπὶ τοῦ χρόνου τῶν πρωτίστων ἀνθρώπων σοφώτατα νοήματα, ἤγουν ἐπιστημήματα, μαθήματα, ἀφ' ὧν τὶς μὲν ὁ πρῶτος Κέρκαφος τὸν Κάμειρον ἐγέννησε, καὶ τὸν πρεσβύτατον τὸν Ἰάλυσον, ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ, καὶ Ἰάλυσον πρώτιστα ἐγέννησε, καὶ τὸν Λίνδον. ἀπάστερθι δὲ ἦγουν χωρὶς, ἰδίᾳ, εἶχον μερίδα ἀξίων, ἤτοι πολλῶν, ἕκαστος εἰς τρεῖς μερίδας διαμεμερισάμενοι τὴν πατρῴαν γῆν· καλοῦνται δὲ αἱ ἕδραι, ἤγουν αἱ καθίδραι, τὰ φρούρια, ἔνθα ἕκαστος ἐνιδρύσατο, αὐτοῖς, ἀντὶ τοῦ ἀπὸ τῶν ὀνομάτων αὐτῶν. R.

132. Τὸ ἑκτὰ πρὸς τὸ παῖδας συναστέον, ἵνα· τίνων ζ' παῖδας παραδιξαμένους, ἢ ἀπὸ τοῦ Ἡλίου, ἢ ἀπ' ἄλλων διδασκάλων σοφώτατα νοήματα, ἤγουν

σοφωτάτους γινομένους ἐπὶ τῶν πρεσβύτερων ἀνδρῶν, ἤτοι ἐπὶ τῶν ὑπαρχόντων ἐν ἐκείνοις τοῖς χρόνοις ἀνθρώπων. τῶν δὲ παίδων ὀνόματα εἰσὶ ταῦτα· Κίρκαφος, Ὄχιμος, Ἀπτὴς, Μακαρεὺς, Τινάγης, Τριόπας, Φαίθων. R.

Τίνες ἐκτὸς, σοφώτατα] τουτέστι, σοφωτάτους γινομένους. ὁ γὰρ λίγων, ὅτι Δημοσθένης ῥήτωρ ἐγένετο τὰ νοήματα τῶν πρεσβύτερων ἀνδρῶν παραδεξάμενος, μηνύει, ὅτι ῥήτωρ ἄριστος ἐγένετο. V.

185. Ὧν εἷς μὲν] ὧν, τούτων ἐκτὸς παίδων, εἷς, ὁ Κίρκαφος, ἐκ Κυδίππης, τῆς Ὀχίμου θυγατρὸς, ἐγέννησε τρεῖς υἱοὺς, ὧν τὰ ὀνόματα ὁ Πίνδαρος ἐξέθετο, Κάμειρον, Λίνδον, Ἰηλυσὸν, τῶν δύο πρεσβυτέρων, ὡς εἶναι τούτους ὁμωνύμους καὶ οὐ παῖδας Ἡλίου. Ἄλλως. Ἡλίου καὶ Ῥόδου ἐκτὸς παῖδες γινώσκονται, Ὄχιμος, Κίρκαφος, Ἀπτὴς, Μακαρεὺς, Τενάγης, Τριόπης, Φαίθων ὁ νεώτατος· ὧν οἱ ἐν τῇ νήσῳ νομάζουσι Τινάγην· τοῦ δὲ Κιρκάφου Λίνδος, Ἰηλυσὸς, Κάμειρος, οἱ ὑπὸ Πινδάρου ὀνομαζόμενοι, ὥστε μὴ εἶναι αὐτοὺς υἱοὺς Ἡλίου, ἀλλ' ὁμωνύμους. διὸ καί τινες γράφουσιν· ὧν εἷς μὲν Κάμειρον πρεσβύτατος. ὥστε τὸν λόγον εἶναι τοιοῦτον· ἀφ' ὧν, τῶν Ἡλίου ἐκτὸς παίδων, εἷς Κίρκαφος ἐγέννησε τοὺς πρωτιμίνους, ὥστε τὴν ἀπὸ πρόθεσιν ἔξωθεν λαμβάνειν ἡμᾶς. V.

138. Δασσάμενοι πατρωΐαν] χωρὶς δὲ καὶ ἰδίᾳ ἕκαστος διαδασσάμενοι καὶ διαμερισάμενοι. ὁ δὲ νοῦς· τούτων δὲ ἕκαστος κεχωρισμένος ἐξ ἀπ' ἰδίου ἔχει πόλιν ὁμώνυμον. τὴν γὰρ πατρῴαν αὐτὴν τὴν νῆσον εἰς τρεῖς νεμάμενοι διεμερίσαντο, καὶ οὕτως ἐπωνόμασαν τὰς ἴδρας καὶ τὰς πόλεις· ὁμώνυμοι γάρ εἰσι. V.

140. Κίκληνται δὲ σφιν ἕδραι] ἐπωνομάσθησαν δὲ αὐτῶν ἕδραι, τουτέστιν αἱ πόλεις· ἕδραι γὰρ ὧν ταύτας ὀνομάζει τοῖς Ἡλίου υἱωνοῖς.

Μὴ εἴπῃς τὸ σφὶν ἀντὶ τοῦ σφῶν, ὅς τινές φασιν, ἀπατώμενοι ἀπὸ τοῦ ἕδραι, ἀλλ' ἔστιν ἡ τοιαύτη δοτικὴ πρὸς τὸ πλῆνται, οὕτως· αἱ ἕδραι πεπλήρωνται καὶ ἐπληρώθησάν σφιν, καὶ αὐτοῖς, τῷ Λίνδῳ, τῷ Ἰηλυσῷ, καὶ τῷ Κάμείρῳ, τουτέστι πρὸς τὰ τούτων ὀνόματα, καὶ αὗται τὴν πρωτογηρίαν ἰσχήκασι. R.

141. Τόθι λύτρον συμφορᾶς] αὐτόθι, ἵνα καὶ τῇ Τληπολέμῳ τῷ τῶν Ἀργείων ἡγεμόνι, τῆς εἰκτρᾶς συμφορᾶς λυτήριον γλυκὺ ἔσεται. ἔσεται δὲ αὐτῷ τὸ λυτήριον ὅσπερ τοῖς Θεοῖς. Θυσίαι γὰρ αὐτῷ διάφοροι γίνονται καὶ ἀγῶνες τελοῦνται. λυτήριον δὲ τῆς συμφορᾶς τὴν μετοίκησίν φησι καὶ τὴν αὐτόθι τοῦ βίου διατριβήν. V.

Τόθι, ἤγουν ὅπου, ἐν τῇ Ῥόδῳ δηλαδή, ἔσεται τῇ Τληπολέμῳ, τῷ ποτε ἀρχηγέτῃ τῶν Τιρυνθίων, ἀντὶ τοῦ ἐγένετο, λύτρον, ἀντὶ τοῦ παῦλα, ἐλευθερία, ἀδεία τῆς συμφορᾶς τῆς οἰκτρᾶς, ἤγουν τῆς πλάνης ἣν ἐπλανήθη· ἐξαίλιοι γὰρ ἐκεῖ· ὅπου ἔσται αὐτῷ, ἤγουν γένεται, ὥσπερ Διΐ, καὶ θυμὸς, ἤτοι ἱερὰ, τιμὴ, νίσσης μετέχουσα, ἤγουν πρόβατα σφαγιαζόμενα καὶ καιόμενα ποσὶ*, τουτέστιν, ὅπου γίγνεται αὐτῷ, ὥσπερ Διΐ, καὶ τιμὴ διὰ θυσιῶν, ὅπου γίνεται αὐτῷ, ἀπὸ καυσοῦ, καὶ πρίσις ἐν' ἀγῶσιν. ἐτελεῖτο γὰρ αὐτῷ ἀγὼν τὰ Τληπολέμια, ὁ δὲ νικήσας αὐτὰ λεύκην ἐλάμβανε στέφανον. Ἱστορία. ὅτι οἱ Ἕλληνες εἰς Τροίαν ἐστράτευσαν, ἦν καὶ Τληπόλιμος οὗτος μετὰ Ῥοδίων. ἀποθανόντος οὖν ἐκεῖ ἤγαγον τὰ ὀστᾶ αὐτοῦ εἰς Ῥόδον ὡς οἰκιστῆ ταύτης, καὶ ναὸν αὐτῷ ποιήσαντες πανήγυριν κατ' ἐνιαυτὸν ἄγουσι, τὰ λιγόμενα Τληπολέμια. ἔχει δὲ τὸ τῶν ἀγώνων ἆθλον λεύκινον στέφανος, ὃν δὶς ἴσχει Διαγόρας νικήσας. R.

145. Κνισσήσσας πομπὰς] πομπὰ ἡ Θυσία. ἐπεί φησιν, ὅτι ἀγὼν ἐκεῖ ἄγεται, Τληπολέμια· οἱ δὲ Ἡράκλεια· ἔθυον αὐτῷ Θυσίαι ἐξιστορικῶς τελοῦνται αὐτόθι. V.

147. Τῶν ἄνθισι Διαγόρας] τῶν παρὰ Ῥοδίοις ἄθλων. ἄνθισι δὲ τοῖς στεφάνοις. τελεῖται γὰρ ἐκεῖ ἀγὼν Τληπολίμιος ἐπικαλούμενος. ἐγκωμιαστικῶς δὲ ὁ Πίνδαρος τὸν ἀγῶνα Ἡλίῳ τελούμενον εἰς τὸν Τληπόλιμον μυθήσατο. τελεῖται δὲ μηνὸς Γορπιαίου εἰκοστῇ τετάρτῃ ἡμέρᾳ, ἀπέχει δὲ τῶν Νεμέων ἡμέρας ἕξ· ἀγωνίζονται δὲ παῖδες καὶ ἄνδρες· ὁ δὲ στέφανος, λεύκη δίδοται. V.

Τῶν ἄνθισι] μὴ λάβῃς εἰς τὸ, τῶν, ἔξωθεν τὸ ἀπὸ, ἀλλὰ πρὸς τὸ ἄνθισίν ἐστι ἡ γενικὴ. τῶν γὰρ ἀγώνων ἦσαν τὰ ἄνθη δ' αὐτοὺς διδόμενα. R.

Τῶν ἄνθισι] ὧν εἶπον, ἤγουν τῶν Τληπολιμείων, τοῖς στεφάνοις ὁ Διαγόρας ἐστεφανώσατο δὶς, καὶ ἐν τῇ ἐνδέξῃ Ἰσθμοῖ ἐστεφανώσατο στεφάνοις, εὐτυχῶν, ἤγουν ἐστυχήκων, νικῶν καὶ ἐν τῇ Νεμέᾳ, ἄλλην ἐκ' ἄλλη, στεφανηφορίαν δηλονότι, τουτέστι, δέκατὰς στεφανηφορίας ἐστεφανώσατο· καὶ ἐν ταῖς Ἀθήναις ταῖς πρασιαῖς, ἀντὶ τοῦ, καὶ ἐν τῇ Ἀττικῇ τῇ πατρῴδι καὶ πατριδίᾳ, ἵνθα ἐτελεῖτο τὰ Παναθήναια, τὰ Ἡράκλεια, τὰ Ἐλευσίνια, τὰ Παπλλήνια, ἐστεφανώσατο, ἵνα τινὰ τούτων τῶν ἀγώνων δηλονότι, ἢ καὶ πάντας νενικηκώς. Item R.

148. Κλινᾷ σ' ἐν Ἰσθμῷ] δηλονότι τὴν Ἰσθμόν φησιν, ὡς καὶ ἐν ἄλλοις τὴν Ὀρχομενόν. λέγει δὲ τὸν Διαγόραν τετράκις Ἰσθμια νενικηκέναι. V.

* ποσὶ f. πυρί.

150. Νεμέᾳ σ' ἄλλαν ἐπ' ἄλλᾳ] καὶ ἐν τῇ Νεμέᾳ ἄλλην ἐπ' ἄλλῃ νίκην ἔσχεν, οἷον δὶς ἐνίκησεν, οὐκ ἐπὶ διαλείμματος μίνυθα, ἀλλὰ πρώτην Νεμέᾳ νικήσας, καὶ τὴν ἑξῆς ἀγωνισάμενος, ἐσφάλη. V.

151. Κρανααῖς] ἐν Ἀθήναις] τὴν ὅλην Ἀττικὴν Ἀθήνας εἶπεν· εἴη δ' ἂν ἤτοι τὰ Παναθήναια νενικηκὼς, ἢ τὰ Ἡράκλεια, ἢ τὰ Ἐλευσίνια, ἢ τὰ Πανελλήνια. ἴσως δὲ καὶ πάντας τούτους * ἐνίκησεν ὁ Διαγόρας. ἀδήλως γὰρ ἐξενήνοχεν ὁ Πίνδαρος. V.

Τὸ κρανααῖς ἐν Ἀθήναις λέγει, ἢ διὰ τὴν τῶν Παναθηναίων ἑορτὴν, ἢ τῶν Ἐλευσινίων, ἢ τῶν Ἡρακλείων. διὰ δὲ τὸ εἶναι τὴν Ἀττικὴν κατάξηρον καὶ λιστόγαιον, τὸ κρανααῖς εἶπεν. R.

152. Ὅ σ' ἐν Ἄργει χαλκὸς] ἐγνώρισε δὲ αὐτὸν ᾧ ὁ ἐν τῷ Ἄργει διδόμενος χαλκοῦς ἔπαθλον τῷ νικήσαντι. στιλοῦται γὰρ παλαὶ τὸ Ἄργος τὰ Ἥραια, ἃ καὶ Ἑκατόμβαια καλεῖται, παρὰ τὸ ἑκατὸν βοῦς θύεσθαι τῇ Θεᾷ. τὸ δὲ ἔπαθλον ἀσπὶς χαλκῆ, ὁ δὲ στέφανος ἐκ μυρσίνης. Ἄλλως. ἐν Ἄργει, ἐν τῷ Ἑκατομβαίῳ ἀγῶνι, χαλκοῦς τὸ ἆθλον δίδοται. ὅτι Ἀρχῖνος Ἀργείων γενόμενος βασιλεὺς, ὃς καὶ ἀγῶνα πρῶτος συνεστήσατο, ταχθεὶς ἐπὶ τῆς τῶν ὅπλων κατασκευῆς, ἀντὶ τούτων καὶ τὴν τῶν ἆθλων δόσιν ἐποιήσατο. Ἑκατόμβαια δὲ ὁ ἀγὼν λέγεται, ὅτι κομπῆς μεγάλης προηγοῦνται ἑκατὸν βόες, οὓς νόμος πριαμεῖσθαι πᾶσι τοῖς πολίταις. τὸ δὲ σημεῖον, ὅτι Ἑκατόμβαια λέγεται τὰ ἐν Ἄργει νενικημένα μάλιστα τὸν Διαγόραν. V.

Ὅ σ' ἐν Ἄργει χαλκὸς] καὶ ὁ χαλκὸς, τουτέστιν ἡ ἀσπὶς ἡ χαλκῆ, ἡ διδομένη ἐν Ἄργει. ἐν τῷ Ἄργει πατήγυρίς ἐστι τῆς Ἥρας, τὰ λεγόμενα Ἥραια καὶ Ἑκατόμβαια. Θύονται γὰρ ἑκατὸν βόες τῇ Θεᾷ· τὸ δὲ ἔπαθλον τῶν ἀγώνων χαλκῆ ἀσπὶς, καὶ στέφανος ἐκ μυρσίνης. Ἔγνω αὐτὸν, ἀντὶ τοῦ, ἐδιξιώσατο αὐτὸν νενικηκότα. R.

153. Τὰ δ' ἐν Ἀρκαδίᾳ] ἀπὸ κοινοῦ τὸ, ἔγνω μιν. ἐγνώρισε δὲ αὐτὸν νικῶντα καὶ τὰ ἐν Ἀρκαδίᾳ ἆθλα. στίλεται δὲ ἐν Ἀρκαδίᾳ τὰ Λύκαια, ἀναπίμπλα τῷ Λυκαίῳ Διΐ. τὰ δὲ ἔργα τινὲς οὕτως ἀκούουσιν, ἐπειδὴ οἱ αὐτόθι νικῶντες σκιύποσι τιμῶνται. Ἄλλως· Πολίμων ἐν τῷ περὶ Θήβης φησὶν Ἡρακλείων φησὶ, χαλκοῦν τὸ ἆθλον εἶναι τοῖς ἐν Ἀρκαδίᾳ Λυκαίοις, ὥστε ἀπὸ κοινοῦ τὰ ἔργα καὶ τὸν χαλκὸν ληπτέον, ὅτι φησὶν ὁ Πίνδαρος· ὅ σ' ἐν Ἄργει χαλκὸς ἔγνω μιν, τά τε ἐν Ἀρκαδίᾳ ἔργα καὶ Θήβας. δίδονται γὰρ ἐν ταύταις τρίποδες χαλκοῦς. πολλοὶ δ' ἄγονται ἀγῶνες ἐν Ἀρκαδίᾳ, Λύκαια, Κόρεια, Ἄλαια. ἐν δὲ Θήβαις τὰ Ἡράκλεια. τὰ δὲ αὐτὰ καὶ Ἰόλαια καλεῖται· ἐν δὲ Βοιωτίᾳ, ἐν μὲν Θεσπιαῖς Ἐρώτια, ἐν δὲ Λιβαδίᾳ τὰ καλούμενα Βασίλεια. V.

Καὶ τὰ ἔργα τὰ ἐν Ἀρκαδίᾳ ἔγνω αὐτόν. ἐστιλεῖτο γὰρ ἐν Ἀρκαδίᾳ ἀγὼν, τὰ Λύκαια, τῷ Λυκαίῳ Διΐ ἀναπιμπλάμενος. οἱ δὲ τιμῶντες σκιύσι χαλκοῖς ἐτίμων. R.

154. Καὶ Θήβαις] καὶ τὰ ἔργα τὰ ἐν Θήβαις ἔγνω αὐτόν. τὰ Ἡράκλεια καὶ Ἰολάεια ἐστιλεῖτο ἐν ταῖς Θήβαις, ἰδίδοτο δὲ τῷ νικήσαντι τρίποσιν χαλκοῦς. R.

Ἀγῶνίς σ' ἔνεμοι] πάλιν ἀπὸ κοινοῦ τὸ, ἔγνω μιν. στιλοῦνται δὲ ἐν Βοιωτίᾳ διάφοροι ἀγῶνες, ἐν μὲν Θεσπιαῖς τὰ Ἐρώτια, ἐν δὲ Πλαταιαῖς τὰ Ἐλευθέρια, ἐν δὲ Λιβαδίᾳ τὰ Τροφώνια, ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφιαράεια. V.

Καὶ οἱ ἀγῶνες οἱ ἐν τῇ Βοιωτίᾳ οἱ ἔνομοι, τουτέστιν οἱ συνήθως κατὰ τοὺς νόμους στιλούμενοι, ἔγνωσαν αὐτόν. ἐστιλοῦντο δὲ ἐν τῇ Βοιωτίᾳ διάφοροι ἀγῶνες, ἐν μὲν Θεσπιαῖς τὰ Ἐρώτια, ἐν δὲ Πλαταιαῖς τὰ Ἐλευθέρια, ἐν δὲ Λιβαδίᾳ τὰ Τροφώνια, ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφιαράεια. R.

156. Αἴγινα Πιλλάνα τε] πάλιν τὸ, ἔγνω μιν. ἐγνώρισε δὲ τὸν Διαγόραν ἢ τε Πιλλήνη καὶ ἡ Αἴγινα, ἑξάκις νενικηκότα. στιλεῖται δὲ ἐν μὲν Πιλλήνῃ τῆς Ἀχαΐας ἀγὼν ὁ καλούμενος Θεοξένια, τινὲς δὲ καὶ τὰ Ἑρμαῖα· τὸ δὲ ἆθλον ἐστὶ χλαῖνα· ἐν δ' Αἰγίνῃ τὰ Αἰάκεια. ἔστι δὲ καὶ Ἀμφορέως ἀγὼν, οὗ Καλλίμαχος μέμνηται ἐν τοῖς Ἰάμβοις (Fragm. n. 80. p. 456. ed. Ern.) V.

Καὶ ἡ Αἴγινα, ἵνα ἐστιλεῖτο ἀγὼν τὰ Αἰάκεια, ἔγνω αὐτὸν, ᾧ ἡ Πιλλήνη, ἵνα ἐστιλεῖτο τὰ Θεοξένια, ᾧ τὰ Ἑρμαῖα (τὸ δὲ ἆθλον ἦν χλαῖνα) ἔγνω αὐτὸν νικῶντα ἑξάκις. Κατὰ τὰ Μίγαρα ἔθος ἐστὶ τῶν νικηφόρων τὰ ὀνόματα λίθοις ἐγκολάπτεσθαι. φησὶν οὖν ὅτι ἐν τοῖς Μεγάροις οὐχ' ἕτερον ὄνομα ἐπιγεγραμμένον, ἢ ἐγκεκολαμμένον φέρει ἡ ψῆφος ἡ λιθίνη, τουτέστιν, ἡ σφῆλη, ἀλλ' ἢ τὸ τοῦ Διαγόρου. εἶχε δὲ ἡ σφῆλη καὶ ἄλλων τινῶν ἀγωνιστῶν ὀνόματα, ἀλλ' ἀπὸ τῶ πλειονάζοντος τοῦτό φησι. Ψῆφον δὲ λέγει τὴν σφῆλην διὰ τὸ περιέχειν τὰ τῶν κριτῶν ψηφίσματα. R.

159. Ψᾶφος ἔχει λόγον] κατὰ τὰ Μίγαρα ἔθος ἐστὶ, τῶν νικηφόρων τὰ ὀνόματα λίθοις ἐγκολάπτεσθαι. φησὶν οὖν ὅτι καὶ ἐν τοῖς Μεγάροις ἡ λιθίνη ψῆφος οὐχ ἑτέρου τινὸς οὖσα ἐγκεκολαμμένον φέρει τὸ ὄνομα, ὡς τὸ τοῦ Διαγόρου. τὸ σημεῖον δ', ὅτι ψῆφον λιθίνην λέγει τὴν σφῆλην, διὰ τὸ περιέχειν τὰ ψηφίσματα. V.

Ἀλλ' ὅ Ζεῦ πάτερ νώτοισιν] ὁ νοῦς οὕτως ἔχει· ἀλλ' ὅ Ζεῦ πάτερ τῶν Ἀταβυ-

* f. ἀγῶνας.

ρίου ὄρους βασιλείων, ἵν τιμὴ ἴχι τὸν ὕμνον τὸν εἰς τὸν Ὀλυμπιονίκην καὶ τὸν ἄνδρα τὸν εὑρόντα καὶ τὸν ἡγησάμενον τὴν ἀρετὴν, διὰ τῆς ἐν πυγμῇ νίκης. Ἄλλως. Νώτοισιν Ἀταβυρίου. ἐπάνω γὰρ τοῦ ὄρους ἵδρυται ὁ Ζεύς. νώτοισι δὲ ἀντὶ τοῦ νώτων. εἰσὶ δὲ χαλκαῖ βόες ἐν αὐτῷ, αἵτινες, ὅταν μέλλῃ ἄτοπόν τι γενέσθαι, μυκῶνται. ἔστι δὲ καὶ ἐν Σικελίᾳ ὄρος Ἀταβύριον, ὡς φησι Τίμαιος. V.

Ἀλλὰ, ὦ Ζεῦ πάτερ, ὁ βασιλεύων τῶν νώτων, ἀντὶ τοῦ τῆς κορυφῆς τοῦ Ἀταβυρίου ὄρους, τίμα μὲν τὸν νόμον τοῦ ὕμνου, ἤγουν τὴν συνήθειαν, τίμα δὲ τὸν ἄνδρα τὸν Ὀλυμπιονίκην, τὸν εὑρόντα ἀρετὴν, εὐφημίαν ἵνα ἀρίστης, ψυχῆς, τουτέστι διὰ τῆς ἐν πυγμῇ νίκης. Νώτοισι δὲ εἶπεν Ἀταβυρίου, ὅτι ἐπάνω αὐτοῦ ἵδρυται ὁ Ζεύς. Εἰσὶ δὲ χαλκαῖ βόες ἐν αὐτῷ, αἵτινες, ὅταν μέλλῃ ἄτοπόν τι γενέσθαι, μυκῶνται. ἔστι δὲ καὶ ἐν Σικελίᾳ ὄρος Ἀταβύριον, ὡς φησι Τίμαιος. R.

162. Τιθμὸν] Gl. ms. γ. ἀκολουθίαν.

164. Δίδοι τι οἱ αἰδοίαν χάριν] ὁ νοῦς· δίδου τι αὐτῷ αἰδοίαν χάριν καὶ παρὰ τῶν πολιτῶν καὶ παρὰ τῶν ξένων, ἐπειδὴ τὴν ἰσχὺν τῆς ὕδρεως ἔδωκε βαδίζει, ἀντὶ τοῦ, ἐπεὶ πάντας δεῖ αἰδοῦς ἔχει καὶ τιμῆς. V.

Δίδου τι αὐτῷ αἰδοίαν χάριν, ἀντὶ τοῦ, τιμὴν αἰδεσίμου χάριτος, καὶ ὡσ' ἀσῶν, καὶ παρὰ τῶν ἀσῶν, ἤγουν τῶν πολιτῶν, καὶ παρὰ τῶν ξένων, τουτέστι, τῶν ἀπ' ἀλλοτρίου τόπου, ἐπεὶ ἔδωκε εὐθυπορεῖ, ἤγουν κατ' εὐθεῖαν πορεύεται, οὐκ ἐκτρεπόμενος, ἰσχὺν, τουτέστι ξένην, ἀλλοτρίαν ὕδρεως, ἤτοι ἀδικίας. R.

168. Σάφα δαὶς] ταῦτα λοιπὸν ὡς πρὸς ἑαυτὸν φησιν ὁ ποιητής· σαφῶς γοῦν ἔστιν αὐτῷ αἱ τῶν ἀγαθῶν αὐτοῦ πατέρων ἐρῆαι φρένες ἐξίχρασαν, οἱονεὶ ἐξεχρεσμῴδουν, καὶ παρῄνουν· ὡς περὶ εὐσεβῶν δὴ λίαν, ὑπαινίττεται. V.

Πρὸς τὸν Διὰ καὶ τοῦτο. σαφῶς μαθὼν, ἅτινα αἱ τῶν ἀγαθῶν αὐτοῦ πατέρων ἐρῆαι, ἤγουν ἀληθεῖς, δικαίαι φρένες, ἐξίχρασαν, ἀντὶ τοῦ ἴχρασαν, ἤγουν ἴχρων, τουτέστιν ἐχρησμῴδουν, παρῄνουν αὐτῷ, ἐφ' ὧν πατέρων ταυτὸς πατὴρ αὐτῶν δηλονότι ἐβλάστησε R.

169. Ἐξ ἀγαθῶν ἴχρασαν] Schol. ms. β. σύναπτει τὸ ἐξ μετὰ τοῦ ἴχρασαν. Gl. ms. γ. ἐπεφήτευον.

170. Μὴ κρύπτει κοινὸν] μὴ ἀπόκρυπτε τὸ κοινὸν καὶ διάδηλον τοῖς πολλοῖς τοῦ Καλλιάνακτος γένος· πρόγονος γὰρ τοῦ νικηφόρου οὗτος ἐνδέχος· ἀλλὰ ὕμνει. V.

Ἀντὶ τοῦ, μὴ ἔα κρυβῆναι ἐν ἀδοξίᾳ τὸ στέρεμα, ἤγουν τὸ γένος, τὸ κοινὸν, τουτέστι τὸ φανερὸν καὶ ἔνδοξον πᾶσι καὶ ὠφέλιμον, τὸ ἀπὸ τοῦ Καλλιάνακτος, τοῦ προγόνου τοῦ Διαγόρου. καὶ σὺν ταῖς χάρισιν, ἀντὶ τοῦ, διὰ τῶν χαρίτων, τουτέστι, τῶν ἀνδραγαθημάτων τῶν Ἐρατιδῶν, ἤγουν τῆς ἐν Ῥόδῳ φυλῆς, τῆς ἀπὸ τοῦ Ἐρατίδου, τοῦ προγόνου τοῦ Διαγόρου, ἔχει ἡ πόλις Ἰαλίας, ἤγουν ἰσχύας, εὐφροσύνας. R.

Κοινὸν στέρεμα] κοινὸν λέγει τὸ ἔνδοξον· κοινὰ γὰρ τὰ τοιαῦτα· ἐξ οὗ πάντως ἴχει τὸ συγγενικόν. V.

171. Ἀπὸ Καλλιάνακτος] Gl. ms. γ. τὸ καταβαῖνον. et β. τῶν ἀγόντων.

Καλλιάνακτος Ἐρατιδᾶν] Ἐρατίδης πρόγονος τοῦ Διαγόρου. ἀφ' οὗ καὶ φυλὴ ὁμώνυμος ἐν Ῥόδῳ. φησὶν οὖν, ὅτι σὺν ταῖς τῶν Ἐρατιδῶν χάρισι καὶ ἡδοναῖς, τῶν προγόνων αὐτοῦ, λέγει. ἐπεὶ καὶ πᾶσα ἡ Ῥόδος πλείστας εὐτυχίας ἐκ τῆς τούτου νίκης ἔσχε. V.

173. Ἐν δὲ μίᾳ μοίρᾳ χρόνου] ἐν τῷ βραχεῖ δὲ χρόνῳ τὰ πράγματα ἄλλοτε ἄλλως διατίθεται. εἶπε δὲ ἀλληγορικῶς, ὡς περὶ ὀλίγου τινὸς λυπηροῦ συμβάντος αὐτῷ, καὶ ὅτι λοιπὸν ὀφείλει ἑτέρας εὐρεῖν (τὸ δὲ λεγόμενον, πνευσάσης τίρσεσθαι καὶ ἐν εὐτυχίᾳ πᾶσῃ καὶ χαρᾷ διαζῆν. V.

Ἐν δὲ μοίρᾳ χρόνου μιᾷ, τουτέστιν ἐν ὥρᾳ μιᾷ, ἐν καιρῷ, ἐνὶ χρόνῳ. αὖραι, ἀντὶ τῶν μεταβολαὶ, διαθύσουσιν, ἤγουν ὁρμήσουσιν, ἄλλοτε ἄλλαι, καὶ εἴτε συμβήσεται δηλονότι καὶ τούτοις λυπηρὸν, ταχέως ἐπὶ τὸ κρεῖττον καὶ ἄριστον τραπήσεται. R.

Μοίρᾳ] Gl. ms. γ. ῥοπῇ.

Carmen VIII.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ᾠδοῦ τῶν Ὀλυμπίων εἴδους.

Τοῦτ ᾠδοῦ εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων ἐννέα. Τὸ α', τροχαϊκὸν ἐπίτριτον, ἢ ἐπιχοριαμβικόν. Τὸ β', Ἰωνικὸν ἀπ' ἰλάσσονος, τρίσημον ταυτόνυμος ἀντὶ Ἰωνικοῦ. Τὸ γ', ἰαμβύλλιος, πλεονάζον συλλαβῇ. Τὸ δ', ἐπιχοριαμβικὸν Πινδαρικὸν, ἢ ἰαμβύλλιος. Τὸ ε', τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ς', τροχαϊκὸν τρίμε-

τρον καταληκτικὸν, τοῦ Ἰωνικοῦ μίσου ὄντος. Τὸ ζ', δακτυλικὸν τριθημιμερές. Τὸ η', Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ θ', Εὐριπίδιον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς, κώλων ἐνδεκα. Τὸ α', πεντεσυλλαβικὸν τρίμετρον ἀκατάληκτον. Τὸ β', δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ', χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ δ', ἰαμβελεγεῖον, παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ ε', δακτυλικὸν τρίμετρον τελικὸν, ἢ πεντεσυλλαβικόν. Τὸ ϛ', ὅμοιον τῷ αὐτῷ. Τὸ ζ', ὅμοιον τῷ αὐτῷ. Τὸ η', δακτυλικὸν τριθημιμερές. Τὸ θ', πεντεσυλλαβικὸν τρίμετρον ἀκατάληκτον, ὁ πρῶτος ἐξ ἰάμβου ἀδιαφόρως, ὁ β' χοριάμβους. Τὸ ι', Ἰωνικὸν ἀπ' ἐλάσσονος, τροχαϊκῆς συζυγίας πρώτου (καὶ τρίτου παιῶνος) κατὰ τὸ σύνηθες τῶν Ἰωνικῶν, (καὶ) τρίμετρον βραχυκατάληκτον. Τὸ ια', ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

Ἀλκιμίδοντι παιδὶ] Γέγραπται ὁ Ἰστιαίους πεποιημένος τῷ Ἀλκιμίδοντι παιδὶ παλαιστῇ, νικήσαντι τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα. μέμνηται δὲ ὁ Πίνδαρος καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, Τιμοσθένους, Νίκαια νικήσαντος, καὶ τοῦ ἀλείπτου αὐτοῦ Μιλησίου, ᾧ τινες καὶ πυγμαχίαν συγκρατιαστοῦ. τοῖς γὰρ τρισὶ, φησὶν ὁ Δίδυμος, μίαν ᾠδὴν γέγραφε. Ζητοῦσι δέ τινες, διατί ἐν τῷ ἐνὶ τούτῳ Ἰστιαίοις ἐπινικίῳ τοὺς τρεῖς ἐνεγκωμίασεν; καὶ οἱ μὲν φασὶ, διὰ τὸ μὴ καθ' ἕκαστον ἀξιολόγους ἀφορμὰς ἰσχνάνειν· οἱ δὲ, ὅτι ἐκ τῆς πόλεως ἦσαν τῆς αὐτῆς οἱ τρεῖς.

1. Μᾶτερ ὦ χρυσοσφάνων ἀέθλων Ὀλυμπία] μητέρα τῶν ἄθλων εἶπε τὴν Ὀλυμπίαν, ὡσανεὶ μητρόπολιν οὖσαν, διὰ τὸ ἐπιφανέστερον εἶναι τὸν Ὀλυμπιακὸν ἀγῶνα. χρυσοσφάνων δὲ, ἀντὶ τοῦ καλλισφάνων. Ὅμηρος· (Iliad. ι'. 389.) "Οὐδ' εἰ χρυσείην Ἀφροδίτην πάλλας Ἰρίζοι." καὶ γὰρ δὴ ὄντως ἡ διδομένη ἐλαία τοῖς νικῶσι καλλισέφανος θρασαγορεύεται. δέσποινα δὲ ἀληθείας διὰ τὸ αὐτόθι τὸ τῶν Ἰαμιδῶν μαντεῖον ὑπάρχειν. Ἄλλως. μᾶτερ ὦ χρυσοσφάνων. ἡ τῆς ἀρχῆς ἐξήγησις οὕτως ἔχει. ὦ Ὀλυμπία, μῆτερ τῶν χρυσοσφάνων ἄθλων. μῆτερ δὲ, ἐπεὶ δεκτὴ ὁ Ὀλυμπιακὸς ἀγὼν θρωτεύει τῇ δίκῃ παρὰ τοὺς ἄλλους. ὡς οὖν λέγομεν μητρόπολιν τὴν θρώτην καὶ ἐνδοξοτέραν πόλιν, οὕτω καὶ ἐνταῦθα μητέρα ἄθλων. V.

Ὦ Ὀλυμπία μᾶτερ, τουτέστιν αἰτία τῶν βραβείων τῶν χρυσοσφάνων, ἀντὶ τοῦ καλλισταφάνων, ἤγουν τὸν κάλλιστον ἐχόντων κόσμον, τουτέστιν, ὦ Ὀλυμπία, ἐν ᾗ δίδονται οἱ κάλλιστοι στέφανοι τῶν βραβείων, δέσποιν' ἀληθείας, ἤγουν ἀληθείας θρωϊσαμένη· εἶτα δῆλον δηλῶσαι, ὅτι θρωΐσατο τῆς ἀληθείας, ἐπάγει· ὅπου ἄνδρες μάντεις, οἱ Ἰαμίδαι δηλονότι, ἐν ἐντόμοις θύμασι σκοπεύοντες παρατιρῶνται, ἀντὶ τοῦ, ἀποτιρῶνται, ἤγουν εἰς γνῶσιν ζητοῦσιν ἱλθεῖν τοῦ Διὸς ἐργιπεράνου, τουτέστι τοῦ αἰτίου τῶν ταχίων περαυνῶν· λέγω, εἴτινα φρεντίδα ἔχει αὐτὸς, δηλονότι ὁ Ζεὺς, περὶ τῶν ἀνθρώπων τῶν ζητούντων κατὰ ψυχὴν μεγάλην ἀρετὴν λαβεῖν, ἀντὶ τοῦ τιμὴν μεγάλης νίκης· τῶν δὲ μόχθων, ἤγουν τῶν καμάτων, ἀνάπαυσιν, ἄπαυσιν. πληροῦνται δὲ αἱ λιταὶ, ἤγουν αἱ διήσεις τῶν ὑσιεῶν ἀνδρῶν, τῶν Ἰαμιδῶν δηλονότι, πρὸς χάριν, τουτέστι χαριέντως, θαυμασίως. R.

S. Δίσποιν' ἀλαθείας] ὦ δέσποινα τῆς ἀληθείας. ἰστιδὴ τὸ μαντεῖόν ἐστι ἐπεὶ τὸ τῶν Ἰαμιδῶν. V.

Ἵνα μάντεις ἄνδρες] Ἴδοι, λέγει δὲ, ἐν τῇ Ὀλυμπίᾳ, ἄνδρες οἱ μάντεις διὰ τῶν ἱμερτῶν θυσιῶν ἀποτιρῶνται, φησι, τοῦ Διὸς περὶ τῶν ἀνθρώπων, εἴ τινα λόγον αὐτῶν ἔχει καὶ φρεντίδα. Ἄλλως. ἀποτιρῶνται οἱ μάντεις καὶ ἱστιζητοῦσι μαθεῖν διὰ τῶν ἱμερτῶν, σκεμαιρόμενοι καὶ εὑρίσκοντες τὰ σημεῖα. περὶ ποίων δὲ ἀνθρώπων ἀποτιρῶνται; περὶ τῶν ζητούντων ἢ ἐπιθυμούντων μεγάλην ἀρετὴν κτήσασθαι ἐπὶ τῇ νίκῃ καὶ σκουδαζόντων ἀναπτεῦν λαβεῖν ἐκ τῶν κατεχόντων μόχθων. V.

4. Παρατιρῶνται] Gl. ms. γ. ἀπεικάζουσι.

9. Μόχθων] Gl. ms. γ. πόνων.

10. Ἄνηται δὲ πρὸς χάριν] ἀνύεται δὲ τὸ τοιοῦτον. τὸ ποῖον; τὸ φανερωθῆναι τὴν τοῦ Διὸς βουλὴν, ἀνύεται εἰς χάριν τῶν εὐσεβῶς καὶ ὁσίως ἐχομένων καὶ λιτανευόντων, ὅτε ἐστὶ, τῶν μάντεων καὶ ἱερέων. ἴσασιν οὖν ἴσως τοὺς Ἰαμίδας, ὡς εὐσεβεῖς. δύνανται οὖν καὶ ἐπ' αὐτῶν τούτων ποιεῖσθαι τὸ εὐσεβεῖς. πρόσκειται δὲ τὸ σημεῖον, ὅτι τὸ σημαινόμενόν ἐστι τοιοῦτον· ἱστιτελεῖται δὲ χάριν τῆς εὐσεβείας, ἢ διὰ τὴν εὐσέβειαν. Ἄλλως. Ἄνηται δὲ πρὸς χάριν. τουτέστιν, οἱ εὐσεβεῖς ἀνύουσί τι ταῖς πρὸς τοὺς θεοὺς λιταῖς, οἱ δὲ ἀσεβεῖς, οὔ. γράφει δὲ καθ' ἑνίους Ἀσκληπιάδης ἄνιυ τοῦ σ', λιταὶ, καὶ οὕτω καθίστησι τὸν λόγον· πρὸς δὲ τὸ κεχαρισμένον τῇ εὐσεβείᾳ τῶν ἀνδρῶν ἀνύονται λιταὶ, ὡς ἂν αὐτῇ τῇ τῶν ἀνδρῶν εὐσεβείᾳ πεχαρισμένου τοῦ λιτανεύειν ὄντος. Ἄλλως. τελειοῦται ἡ μαντεία πρὸς τὸ πεχαρισμένον ἴσως τῆς εὐσεβείας, ταῖς τῶν ἀνδρῶν λιταῖς. ἢ οὕτω· τελειοῦνται δὲ τὰ μαντεῖα ταῖς τῶν ἀνδρῶν εὐσεβείαις, ὅτε

πείθοντες λιταῖς τοὺς Διοὺς, λαμβάνουσι χρησμούς. τοῦτο δὲ λέγει, ἐπεὶ οὐ παντὶ ἀνθρώπῳ μαντεύεται τὸ Διῖον, ἀλλὰ τοῖς εὐσεβέσιν. V.

12. Ἀλλ' ὦ Πίσας εὐδινδρεον] ἤτοι λείπει τὸ ἔχων, ἢ, φιλῶν τὸ τῆς Πίσης ἄλσος, ἵν' ᾖ πρὸς τὸν Δία λέγων. ἢ πρὸς αὐτὸ τὸ ἄλσος τῆς Ὀλυμπίας λέγει, ὅπερ ἀνάκειται τῷ Διῒ τῷ τῆς Πίσης, τὸ εὐδίνδρεον ἄλσος, τὸ ὂν ἐπὶ τῷ Ἀλφιῷ. ὁ δὲ τρίτος περιφρασικῶς· τοῦτον τὸν κῶμον καὶ τὸν ὕμνον καὶ τὴν ἐκ τῆς στεφανηφορίας πρόσδεξαι νίκην. V.

Πρὸς τὴν Ὀλυμπίαν ἀποτείνων ἤρξατο, εἶτα, πολλὰ διὰ μέσου θεὶς καὶ μὴ ἐπαγαγὼν τὴν ἀπόδοσιν, ἐπαναλαμβάνει τὸν πρὸς αὐτὴν λόγον, καὶ οὕτως ἐπάγει προσεχῶ καὶ ῥᾳδίαν τὴν ἀπόδοσιν, καί φησιν· ἀλλ' ὦ ἄλσος εὐδινδρεον τῆς Πίσης, τῆς ἐπὶ τῷ Ἀλφιῷ, ἄγουν, ἀλλ' ὦ Ὀλυμπία, δίξαι τοῦτον τὸν κῶμον, τουτέστι, τὸν μετὰ χορείας ὕμνον, καὶ ταύτην τὴν στεφανηφορίαν, ἄγουν τὴν ἐν στεφάνοις ἀνακήρυξιν· μέγα κλέος αἴει, μεγάλη δόξα αἰεί, ἴσι, δηλονότι ἐκείνῳ τῷ ἀνθρώπῳ, ᾧ τινι ἂν ἵσταται, ἤγουν, ἀπολουθήσῃ, τὸ σὸν γέρας, ἤτοι ἡ σὴ τιμὴ ἡ λαμπρά. R.

14. Μέγα τὸ κλέος] μεγίση γὰρ ἐκείνῳ δόξα, ᾧ ἂν τὸ σὸν κλέος ᾖδὺ καὶ τερπνόν. ἀγλαΐα γὰρ ἡ τέρψις. V.

16. Ἄλλα δ' ἐπ' ἄλλοι ἴζαν] οὐ πάντες τὰ αὐτὰ ἔχουσιν ἀγαθὰ, ἀλλὰ ἄλλο ἄλλος. τοῦτο δὲ ἴσιν, ὅτι ὁ μὲν Ἀλκιμίδων Ὀλύμπια ἐνίκησεν, ὁ δὲ Τιμοσθένης Νέμεα. διὸ οὐ πάντες πάντων κοινωνοῦσι τῶν ἀγαθῶν, παρὰ τὸ Ὁμηρικόν· (Iliad. δ'. 320.)

Ἀλλ' οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισι. V.

Ἄλλα δ' ἐπ' ἄλλοι ἴζαν] τουτέστιν, ἄλλα δὲ ἀγαθὰ ἐπ' ἄλλοι ἐζήσαν, ἀντὶ τοῦ ἔχοντας. R.

18. Σὺν θεοῖς] ἀντὶ τοῦ, τῶν θεῶν βουλομένων, πολλαὶ ὁδοὶ γίνονται εἰς τὸ εὖ πράσσειν. V.

Πολλαὶ ὁδοὶ γίνονται εἰς τὸ εὖ πράσσειν, τῶν θεῶν βουλομένων· ἤ, πολλαὶ δὲ ὁδοί εἰσιν, ὧν ἐκάστη εἰς διάφορον ὑπεραγίαν ἄγει, βοηθόντων τῶν θεῶν. ἤγουν· πολλαὶ δὲ ᾗ διάφοροι ὑπεραγίαι εἰσὶν, ὧν ἄλλον ἄλλης ἐπὶ τυχεῖν, βοηθούντων τῶν θεῶν. R.

18. Εὐπραγίας] Gl. ms. γ. εὐτυχίας.

19. Τέρμι δὲ κλέρωσιν] ὑμᾶς μίντοι, ὦ Τιμοσθένης, ἐκλήρωσι καὶ προσηπίωσιν ἡ μοῖρα καὶ τὸ δαιμόνιον τῷ Διῒ τῷ γενεθλίῳ· γενεθλίῳ δὲ, τῷ τῆς γενέσεως αἰτίῳ. τοῦτο δὲ ἴσιν, ἐπειδὴ νεώτεροι ἐνίκησαν. V.

Ὦ Τιμόσθενες, ὑμᾶς δὲ ἐκλήρωσεν, ἤτοι ἔπαξεν ἡ τύχη [ἐν] τῷ Διῒ τῷ γενεθλίῳ, τουτέστιν ἐν τῇ νεότητι, ἐφ' ᾗ τιμᾶται γενέθλιος Ζεύς, ὡς ἔφορος δηλονότι τῆς γενέσεως. R.

20. Ὃν μὲν ἐν Νεμέᾳ] σὲ μὲν ἐπαφανῆ καὶ ἐνδοξον ὁ Ζεὺς ἐν τῇ Νεμέᾳ ἐποίησε, τὸν δὲ Ἀλκιμίδοντα Ὀλυμπιονίκην ἐν τῷ Κρονίῳ. V.

Ὃν μὲν ἐν Νεμέᾳ] τουτέστι, σὲ ἐν τῇ Νεμέᾳ προφάντορ, τουτέστιν, ἔχοντα, λαμπρὸν τὸν Ἀλκιμίδοντα δὲ τὸν σὸν ἀδελφὸν ἐποίησεν ἡ τύχη Ὀλυμπιονίκην παρὰ τῷ λόφῳ τοῦ Κρόνου. ἦν δὲ ὁ Ἀλκιμίδων παλαὶ, ἤγουν εὐειδὴς εἰς τὸ ἐρᾶν αὐτὸν τινὰ, καὶ τῷ ἔργῳ, τουτέστι, διὰ τῆς πράξεως, οὐ κατελίγχων, ἤγουν οὐ κατεισχύνων τὸ εἶδος, ἤτοι τὴν μορφήν. R.

21. Ἐν Νεμέᾳ προφάντορ] ἐπιφανῆ καὶ ἐπίσημον ἐποίησεν. ἀμφοτέρους δὲ τοὺς ἀγῶνας τούτους ἀνάπτει τῷ Διῒ, παρόσον καὶ ἡ Ὀλυμπία καὶ ἡ Νεμέα Διός. καὶ ὁ Καλλίμαχός φησι· (Fragm. 193. p. 513.)

Ζηνί τε καὶ Νεμέῃ σὶ χαρίσιον ἔδνον ἀρίλαν. V.

24. Ἦν δ' ἰσορᾶν παλὸς] παλὸς μὲν ἦν ὀφθῆναι ὁ Ἀλκιμίδων, οὐ κατῄσχυνε δὲ τὸ εἶδος τοῖς ἔργοις· ἀνεκήρυξε γὰρ τὴν Αἴγιναν τὴν ναυτικὴν πρατήσας καὶ νικήσας πάλῃ. V.

25. Εἶδος] Gl. ms. γ. ὡραιότητα.

26. Ἐξίνετι] Gl. ms. γ. ἐδέξατο.

Ἐξίνετι πρατίων] ἐξηγέρισεν, ἀνεκήρυξε, τὴν ναυτικὴν Αἴγιναν. Ἡσίοδος· (Fragm. p. 443. Lucan.)

Οἱ δ' ἤτοι πρῶτον * τεύξεν νέας ἀμφαλίσσας,

Πρῶτοι δ' ἐρέτας Δίσσαν † νέας ποτὶ πατρίδος. V.

Ἐξίνετι πρατίων] ἤγουν, ἀνεκήρυξεν, ἀπεμηνύχθησαν ἐποίησεν, νικῶν ἐν πάλῃ, τὴν πατρίδα αὐτοῦ τὴν Αἴγιναν, τὴν δολιχέρετμον, ἤγουν, τὴν μακρὰς πόπας χρεμώσην, τουτέστι τὴν ναυτικήν. R.

28. Ἔνθα σώτειρα Διὸς ξενίου] ἐν ᾗ, ἐν Αἰγίνῃ, ἡ Θέμις, ἡ τοῦ Διὸς πάρεδρος, ἐκτίται καὶ θρησκεύεται. ἐπαινεῖ δὲ αὐτοὺς, ὡς φιλοξένους, διὰ τὸ φιλεῖσθαι παρὰ τῷ πλησίον, καὶ πολλοὺς ὑποδέχεσθαι. διὰ τοῦτο εἶπεν, ἔχοντ' ἀνθρώπων, ἵνα ἔχοντας καὶ ὑπὲρ πάντας ἀνθρώπους εἴπῃ τὴν Θέμιν ἐκτίσθαι ἵνα μὲ φιλοξενίας παρ' Αἰγινήταις· ἐπειδὴ τὸ πιπρεμένον καὶ πρὸς ἕκαστον ἀξίας αὐτοῖς προσμαρτυρεῖ. τοῦτο γὰρ μάλιστα ἀξιώματος ἄξιον, τὸ τῶν πλησιαζόντων ἑκάστῳ τὴν πρέπουσαν καὶ πρόσφορον

* πρῶτα.

† Cod. Gott. Δίσσαν ἐπὶ πατρὸς π. At Δίσσ᾽ Ruhnk. Ep. crit. p. 110. conf. inf. ad Nem. iii. 21.

ἀποδοῦναι τιμήν. διὰ τοῦτο οὖν φησι τιμᾶσθαι ἐξίχως τὴν τοῦ Διὸς ξενίου Θέμιν. ἐπειδὴ, ἔνθα ἂν ἡ πολύ τι καλὸν, ὡς καὶ ἐν Αἰγίνῃ τὸ τῆς φιλοξενίας, καὶ ἐπὶ πλεῖον ἀνθρώπων χρόνου, ἢ πλῆθος ἀνθρώπων ἔχει τὴν ῥοπὴν, περιγινόμενον τοῦτο διαφέρει * καὶ προσήκοντι, ἵνα ἐκάστοις τὸ πρέπον παράσχῃ, καὶ κατὰ καιρὸν, δύσκολόν ἐστι καὶ δυσανταγώνιστον. ἔστιν Αἰγινῆται ὑπὲρ πάντας κατῴρθωσαν. Ἄλλως. Πάριδρος ἀσπίδι Θέμις. Ἀσκληπιάδης ἀντὶ τοῦ, τιμᾶται πρὸς τοῦ ξενίου Διὸς, τουτέστι φιλόξενοί εἰσιν, ἴσως, διὰ τὸ ἐμπορίῳ εἶναι τὴν Αἴγιναν, ὥθεν τὸν ἐπὶ μισθοῖς φόρτον, Αἰγινητικὸν ἔλεγον, καὶ τοὺς ναυτοπώλας, Αἰγινοπώλας. V.

Ἔνθα σώτειρα Διὸς] ἔνθα, ἤγουν ἐν τῇ Αἰγίνῃ, ἐπιμελείας ἀξιοῦται Θέμις, ἀντὶ τοῦ Δίκη, ἡ πάρεδρος τοῦ Διὸς τοῦ ἰφθόρου τῶν ξένων, μάλιστα πάντων τῶν ἄλλων ἀνθρώπων. R.

29. Πάρεδρος] Gl. mss. β. γ. παρεπαθήμενος.

30. Ἔξοχ' ἀνθρώπων] ἵνα βεβαιώσῃ, καὶ τὸ ἐξόχως ἐπάγει. ἔνθα γάρ τι πολύ ἐστι καὶ ἐσθὴν ἔχει μεγάλην, ὡς καὶ ἐν Αἰγίνῃ, τὸ τῆς φιλοξενίας τοῦτο ἐρρῃ διανοίᾳ καὶ ἀσφαλεῖ κεχρημένον ἐστὶν, μὴ ἴζον τοῦ προσήκοντος ἀλλ' εὐκαίρως, δύσκολόν ἐστι καὶ δυσκαλές. R.

Ὅ, τι γὰρ πολὺ, ᾧ πολλᾶ μέτεστι] γνωμικόν ἐστι τὸ λεγόμενον. συντείνει δὲ εἰς τὸ περὶ φιλοξενίας τῶν Αἰγινητῶν. σημαίνει δὲ τοῦτο. ὅπου γὰρ ἂν ᾖ τι πολὺ, καὶ πολλαχοῦ μέτεστιν δυνάμενον, περὶ τοῦ τοιούτου προνοῆσαι καὶ κατὰ τρόπον οἰκονομῆσαι καὶ κατορθῶσαι, δυσχερὲς τοῖς πολλοῖς ἀεὶ γίνεται. οὐκ εἶναι οὖν φησιν ἀξίους τοὺς Αἰγινήτας καθάπαξ, οὐδὲ μὴν ἀκρίτως ὑποδέχονται τοὺς παραγινομένους οὗτοι πάντας, ὡς ὁ Τηλέμαχός φησιν ἐπὶ τῆς Πηνελόπης· (Odyss. υ'. 131. s.)

Τοιαύτη γὰρ ἐμοὶ μήτηρ, φρεσὶν ἐνὶ περ ἐοῦσα,
Ἐμπλήγδην ἕτερόν γε τιμᾷ†.

δύναται οὖν τὸ πολὺ ἐπὶ τοῦ ὄχλου τίθεσθαι τοῦ ἐν τῇ πόλει, οἷον, ὅπου ἐστὶν ὄχλος, ἐνταῦθα τὸν κατοικοῦντα ὄχλον τῶν συμφερόντων τι νοῆσαι, χαλεπόν ἐστιν. ἀκριβοῦς γὰρ διανοίας καὶ ἠρεμούσης, καὶ ὀλίγων ἀνδρῶν τὸ ἐπὶ τοιαύτην ἐνεχθῆναι κρίσιν. πλῆθος γὰρ ἀνδρῶν οὕτω φασὶ τὴν Αἴγιναν, ὡς εἶναι ἐν αὐτῇ τετρακόσια ἑπτὰ μυριάδας οἰκητῶν. V.

Ὅ, τι γὰρ πολὺ, καὶ πολλὰ μέτεστι] καὶ γὰρ ὅπερ ἂν ᾖ τι πολὺ καὶ πολλαχόσε, ἤγουν εἰς πολλὰς ὁδοὺς τείνει διαφερούσας ἀλλήλων, τοῦτο διοικεῖν ἀσφαλεῖ κρίσει λογισμῷ χ διαίᾳ οὐκ ἴζον τοῦ ἐγκαίρου ἤγεν τοῦ ἁρμόζοντος, δυσχερές ἐστιν, ὥσπερ ἐν αὐτῇ, τῇ Αἰγίνῃ δηλονότι, πλῆθος συρρεῖ ξένων, διαφέρον τὰς γνώμας, εἴτα ἐρρῶς διαπεῖναι. Ἄλλως. Ὅ, τι γὰρ πολὺ καὶ πολλὰ μέτεστι] γνωμικόν ἐστι— Ἐμπλήγδην ἕτερόν γε τιμᾷ. R. Eadem quæ inter Vett. leguntur.

31. Schol. ms. γ. εἰς πολλὰ διανοήματα κατὰ τὰς γνώμας, ἀλλ' ὅμως κρίνεται ἐν ἐρρῃ γνώσει.

Ῥίστι] Gl. ms. γ. κλίνει. [μέτεστι ipse Cod. G.]

33. Δυσκαλὲς] Gl. mss. β. γ. δύσκολον. α. δεινὸν, δυσκληρωτόν. Τεθμὸς] τὸ σημεῖον χ'. ὅτι τεθμὸν νῦν τὸ δόγμα καὶ τὴν δόκησιν εἴρηκε. τὸ δὲ σαφὲς οὕτως ἔχει. Θεσμός τις καὶ δικαία κρίσις τῶν Θεῶν, καὶ ταύτην τὴν τῇ θαλάσσῃ περιστοιχισμένην Αἴγιναν, τοῖς πανταχόθεν ἐπιφοιτῶσι ξένοις βάθρον ὥσπερ καὶ ἕρεισμα θεῖον ἐνομοθέτησεν. V.

Τεθμὸς δέ τις ἀθανάτων, ἤγουν, συνθήκη δέ τις, βουλὴ τῶν θεῶν, καὶ ταύτην τὴν χώραν τὴν ἁλιερκίᾳ, ἤτοι τὴν θαλάσσῃ περιειλημμένην, παντοδαποῖς, ἤγουν ἀπὸ παντὸς τόπου ἀφικνουμένοις, ὑπέστησε πίονα δαιμονίαν, ἤτοι θείαν, ἢ ὀλβίαν, τουτέστιν, ὑποκειμένην ἐπολήσειν εἰς ἀνάπαυσιν ᾗ ἀσφάλειαν παντοδαπῶν ξένων, ὥσπερεί τινα πίονα ὀλβίαν. R.

34. Ἁλιερκίᾳ] ἀπὸ τῆς ἅλς, ἁλὸς, καὶ τοῦ ἕρκος, ὁ περίβολος, καὶ τὸ τεῖχος. Schol. ms. γ. Gl. θαλασσοστίχισεν.

36. Κίονα δαιμονίαν] Gl. ms. γ. καταφύγιον εὐτυχίς.

37. Ὁ δ' ἐπαντίλλων χρόνος μὴ κάμοι] μήπωτε οὖν ἐν παντὶ τῷ ἐπιόντι χρόνῳ λίποι τὸ τοιοῦτο, μηδὲ κάμοι αὐτὸς ὁ χρόνος, τοῦτο περάτων. ἔστι δὲ τοῦτο μέσον παρεμβληθὲν, ἐπεὶ ἡ ἀκολουθία· πίονα δαιμονίαν Δωριεῖ λαῷ, καὶ τὰ ἑξῆς, ἵν' ᾖ· τὴν Αἴγιναν, τὴν χώραν, ἥτις ἐστὶ πίων τῶν ξένων, ἡ κρίσις τῶν Θεῶν ὑπέστησεν ὑπὸ τοῦ Δωριέως λαοῦ βασιλευομένην μετὰ τὸν Αἰακόν. V.

Ὁ δὲ ἐπιεχόμενος χρόνος τοῦτο ἐπεργῶν εἴθε μὴ ἀτενήσειε. διὰ μέσου τοῦτο. τὸ δὲ ἑξῆς· παντοδαποῖς ὑπέστησεν ξένοις πίονα δαιμονίαν, Δωριεῖ λαῷ, ταμπυομένην ἐξ Αἰακοῦ, τουτέστιν, ὑπὸ τῶν Ἀργείων (οἱ γὰρ Ἀργεῖοι τοῦ Δωριοῦ γένους) διαπυομένην μετὰ τὸν Αἰακόν. ἐκ Διὸς καὶ Αἰγίνης ἡρωΐδος Αἰακὸς, ἀφ' ἧς παρωνομάσθη ἡ νῆσος ἡ Αἴγινα. R.

39. Δωριεῖ λαῷ] ὅτι οἱ μετὰ τὸν Αἰακοῦ βασιλείαν Δωριεῖς τῆς Αἰγίνης ἐκράτησαν. Αἰακοῦ γὰρ καὶ Ψαμάθης, Νηρηΐδος,

* G. καὶ δεκμάσαι ἐρρῃ λογισμῷ.

† G. γί σι τιμᾷ. Est γε τίτε.

Φῶκος ἐγένετο. τοῦτον ὡς νόθον ἀδελφὸν, ἀπέπεμψαν Πηλεὺς καὶ Τελαμών· καὶ φεύγει ὁ μὲν Πηλεὺς εἰς Θετταλίαν, τὴν καλουμένην Φθίαν· Τελαμὼν δὲ, εἰς τὴν Σαλαμῖνα. τελευτήσαντος οὖν τοῦ Αἰακοῦ ἔρημος ἡ νῆσος περιελείπετο βασιλέως. ἐν τούτοις Τριόπων τις Ἀργείων, συλλέξας πλῆθος Ἀργείων· οἱ δὲ Ἀργεῖοι, τοῦ Δωρικοῦ γένους, εἰς τὴν Αἴγιναν ἦλθον, καὶ κατοίκησαν, καὶ οὕτως ἔδοξε μετὰ τὸν Αἰακὸν ἀποταμιεύεσθαι τοῖς Δωριεῦσιν ἡ τῆς Αἰγίνης ἀρχή. V.

41. Τὸν παῖς ὁ Λαερτοῦς] ἔνθενα Αἰακὸν ὁ Ἀπόλλων καὶ ὁ Ποσειδῶν μέλλοντες τὸν σίφωνα καὶ τὸ τεῖχος τῆς Ἰλίου κατασεισπάζειν, σύνεργον εἵλοντο καὶ συλλήπτορα. τούτους γὰρ κατιδίπασεν ὁ Ζεὺς πρὸς τὴν τειχοποιΐαν ὑπηρετῆσαι τῷ Λαομέδοντι, ἐπειδὴ ἐπιζεύλυσεν αὐτῷ εἰς τὴν βασιλείαν. ᾐδέλησαν γὰρ αὐτὸν μεταστῆσαι, ὡς καὶ Ὅμηρος μνημονεύει· (Iliad. α'. 399. sq.)

Ὅσσόσσι μὲν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Φοῖβος Ἀπόλλων,
οὐχ ὡς ἔνιοι, καὶ Παλλὰς Ἀθήνη. V.

Ὄντινα, ἤγουν τὸν Αἰακὸν, ὁ υἱὸς τῆς Λαοτοῦς, ὁ Ἀπόλλων, καὶ ὁ Ποσειδῶν, ὁ μεγάλην βασιλεύων βασιλείαν, μέλλοντες ἐπιτειχίσειν, ἀντὶ τοῦ ἐντειχίσειν, ἤγουν κατασεισάσειν σίφωνα, καὶ περίβολον, περιτείχισμα, τῷ Ἰλίῳ, ἐπάλισαν συνεργὸν ἕνεκα τοῦ τείχους, ὅτι ἦν μεμοιραμένον, κινουμένων πολέμων ἐν μάχαις πορθητικαῖς τῶν πόλεων, ἀναστῆσαι αὐτὴν, ἤγουν τὴν πόλιν, λάξευον κατωθεν, ἀντὶ τοῦ, ἀναστοιχειώσαι ἀνασκάψαι κατοῦ σφοδρῶς. Γλαυκοὶ δὲ δράκοντες τρεῖς, ἤγουν ἑλικτοὶ τοὺς ὀφθαλμοὺς, καὶ τῇ ἐνορᾶσει ἐκφοβοῦντες, ἐπὶ ἐκτείσθη νίου, ἤτοι παραχρῆμα, τὸν πύργον, ἤγουν τὸ τεῖχος ἐσαλλόμενοι, ἀντὶ τοῦ, εἰσπηδῆσαι πειρώμενοι, οἱ δύο μὲν κατέστησαν, αὐτόθι δὲ ἀτυζόμενοι, ἤγουν ταραττόμενοι, ἵν ἄπῃ γένωνται, τὰς πύλας ἀπέβαλον, ἤτοι ἀπέπεμψαν, ὁ δὲ εἰς δὲ εἰσῆλθε βοήσας, ἀντὶ τοῦ ἐφείξας. R.

Εὐρυμέδων] μιγάλως βασιλεύων. V.

42. Ἐπὶ σίφωνι τεύξας] μεταφορικῶς τὸ τεῖχος. σίφωνα γὰρ ὅστις τῶν πόλεων τὰ τείχη. καὶ Ἀνακρέων· (Fragm. 32.)

Νῦν δ' ἀπὸ μὲν πόλεως σίφωνες ἅλωλεν. V.

44. Ἧν ὅτι νὺ περιρωμένοι] αὐτὸ τὸ τεῖχος. οὕτω δὲ συνεργὸν εἵλοντο τὸν Αἰακὸν, ἐπειδὴ ἦν αὐτῷ περιρωμένον, τῷ τείχει, τελείμου γενομένου, πυρὶ καταφλεχθῆναι πολλῷ. οὐ γὰρ ἦν δυνατὸν ἁλῶναι αὐτὸ, εἰ τὸ πᾶν ἔργον ἦν θεῖον. Ἄλλως. ἵστι περίρωτο δορυάλωτον γινομένην τὴν πόλιν ταύτην ἐμπορισθῆναι, διὰ τοῦτό φασι τὸν Ποσειδῶνα καὶ τὸν Ἀπόλλωνα εἰς τὴν τῆς Ἰλίου τείχησιν προσλαβεῖν τὸν Αἰακὸν, διὰ τοῦ ὑπ' αὐτοῦ οἰκοδομηθέντος ἵνα ἁλώσιμος γένηται, καὶ μὴ διὰ τοῦ ὑπὸ τῶν θεῶν. V.

48. Γλαυκοὶ] Gl. ms. β'. φοβερόφθαλμοί.

Γλαυκοὶ δὲ δράκοντες] φοβεροί. ὁ δὲ νῦν· ἐπειδὴ οὖν ποτε ἐκτίσθη τὸ τεῖχος, εὐθέως καὶ παραχρῆμα τρεῖς δράκοντες ἐφάνησαν, ὧν οἱ μὲν δύο βουλόμενοι εἰσιλθεῖν διὰ τοῦ πύργου εἰς τὸ ἐντὸς, κατέπεσον καὶ ἀπέθανον, ὁ δὲ εἷς δράκων εἰσῆλθε μετὰ συρίγματος καὶ βοῆς· δηλοῖ δὲ τὴν ἅλωσιν τὴν τότε γενομένην. οἱ γὰρ ἐπιόντες πολέμιοι εὐθέως ἐφορμῶν ἅμα βοῇ. ἴδιοι εἰσὶν γλαυκῶν δὲ δρακόντων εἰσαλλομένων τρεῖς, ὦ δύο μὲν κατέπεσον, ὁ δὲ εἷς ἐνέφυσε. τὸ σχῆμα Ὁμήρου· (Odyss. μ'. 73.)

Οἱ δύο μὲν σκόπελοι, ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει. V.

52. Ἐσέρουσι] Gl. mss. β. γ. ἔσω ὄρμησι.

53. Ἔνθεν δ' ἀντίον] ἔνθεν δὴ, ἀντὶ τοῦ εἶτεν, εὐθὺς ὁ Ἀπόλλων, ὁρμαίνων, ἤγουν διαλογιζόμενος, σκοπῶν, τίρας ἐναντίον, τουτέστιν ἐχθρὸν, οὐ δίξιόν. ἡ Πέργαμος, ἤγουν ἡ ἐξοχὴ τοῦ τείχους, ὃ ἄρας Αἰακὸς, ἐπὶ ταῖς σαῖς ἐργασίαις, ἤτοι κατασκευαῖς, τῆς χειρὸς, ἤγουν διὰ τῆς σῆς χειρὸς, ἁλίσκεται, ἤγουν ἁλώσιμος ἔσται. R.

μετὰ ταῦτα ἐγκύμονα ποιήσας, ἤνιγκε τῇ Λοκρῇ, ἵνα μὴ ὁ αἰὼν καὶ ὁ χρόνος αὐτὸν ἐξέλῃ τῆς ζωῆς ἔρημον ὄντα παίδων καὶ γενῆς καὶ γήνους. ἐναντίωμα δὲ κατὰ τὴν γενεαλογίαν ἱμείρετο. τὴν γὰρ Πρωτογένειαν οἱ μὲν Διωκαλίωνός φασιν, οἱ δὲ Ὀπούντος, καὶ δοκεῖ συμφωνεῖν μᾶλλον ἡ γενεαλογία, μᾶλλον ἡ ἱστορία ἄλλο γάρ τι ποταμὸς * Ὀπούς καὶ ἄλλο ἀνὴρ ἐξ Ἰασίτου. ἵν' οὖν τὸ ἀσύμφωνον ἐκ τούτων λυθῇ, φασί τινες τὸν Διωκαλίωνα διώνυμον εἶναι, καὶ τὸν αὐτὸν λέγεσθαι Ὀπούντα. ὅσπερ καὶ ὑπὸ τῆς Πηνελόπης. λέγεται γὰρ Ἀρνία πρότερον καλουμένη παρὰ τῶν φύντων εἰς τὴν θάλασσαν ἐκριφῆναι, εἶτα ὑπό τινων ἰχθύων πηνελόπων λεγομένων εἰς τὴν χεῖρον ἐξενεχθῆναι, καὶ οὕτως ἀναληφθεῖσαν ὑπὸ τῶν γεννησάντων ὀνομασθῆναι Πηνελόπην ἀπὸ τῆς τῶν ἰχθύων ἐπωνυμίας καὶ ὁμωνυμίας, καὶ τραφεῖσαν διώνυμον εἶναι τὸ λοιπόν. V.

Περὶ Ὀλύμπιος] πρότερον, τὴν ἀρχήν, ὁ βασιλεὺς ὁ ἐν τῷ Ὀλύμπῳ, ὁ Ζεύς, τὴν θυγατέρα τοῦ Ὀπούντος, τοῦ καὶ Διωκαλίωνος, ἁνερπάσας, ἤγουν μιτίωρον εἰς τὸν ἀέρα λαβὼν λάθρα (τοῦτο γὰρ τὸ ἅκηλες) ἀπὸ τῆς γῆς τῶν Ἐπιῶν, τουτέστι τῶν Ἠλείων (Ἐπιοὶ γὰρ ὠνομάσθησαν οἱ Ἠλεῖοι ἀπὸ Ἔπειοῦ τοῦ Ἐνδυμίωνος) ἐμίγη αὐτῇ ἐν ταῖς ἐξοχαῖς ταῖς Μαιναλίαις, ἤγουν ταῖς τοῦ Μαινάλου, καὶ ἤνιγκε τῷ Λοκρῷ τῷ ἀνδρὶ αὐτῆς, ἵνα μὴ καθίλοι αὐτὸν, τὸν Λοκρὸν δηλονότι, ἤγουν καταστρέψειεν ὁ αἰὼν, ἀντὶ τοῦ ὁ χρόνος, ἰστρημένον γινόμενος, πόσμον ἐφάψας, ἤγουν συντυχίαν θανάτου ἐπαγαγών. ἔσχε δὲ σπέρμα μίγεσιν, ἀντὶ τοῦ, υἱὸν ἀπὸ σπέρματος μιγέντος· ἡ γυνὴ τοῦ Δοκροῦ ἡ Πρωτογένεια· εὐφράνθη τε ὁ ἥρως, ἤγουν ὁ Λοκρὸς, ἰδὼν υἱὸν τῇ ἀληθείᾳ μὲν ὄντα θεὸν υἱὸν, ἀντὶ τοῦ νόθον, ὑπ' αὐτοῦ δὲ γνήσιον νομιζόμενον, ἀνόμασε δὲ αὐτὸν οὕτως, ὅτι εἶναι ἰσώνυμον, ἀντὶ τοῦ ὁμώνυμον, τοῦ πάππου αὐτοῦ, ἤγουν τοῦ πατρὸς τῆς μητρὸς αὐτοῦ, ἤτοι τοῦ πάππου, τουτέστιν Ὀπούντα ἀνόμασεν αὐτὸν, (ἰσίον δὲ ὅτι παρὰ τὴν συνήθειαν τῶν ἄλλων ἐθέξατο ἐνταῦθα οὗτος τὸ ὄνομα. μήτηρ γὰρ οἱ ἄλλοι τὸν πρὸς μητρὸς λέγουσι θεῖον) ἄνδρα ὑπέρφαντον, γενόμενον δηλονότι αὐτὸν τὸν Ὀπούντα, ἤγουν ὑπερβολικῶς θαυμαστὸν, κατά τε τὴν μορφὴν, τουτέστι τὸ εἶδος, καὶ κατὰ τὰ ἔργα, ἤγουν τὰς πράξεις. τὴν φίλην δὲ, τὴν Ὀπούντα δηλονότι, καὶ τὸν λαὸν αὐτοῦ, παρίσχεν αὐτῷ ὁ Λοκρὸς δηλονότι διαιτᾶν, ἤγουν διοικεῖν. R.

86. Ἀπὸ γᾶς Ἐπιῶν] τῶν Ἠλείων, ἀπὸ Ἔπειοῦ τοῦ Ἐνδυμίωνος, ἢ τοῦ Αἰθλίου, τοῦ Ἐνδυμίωνος. Ὀπούντος ἦν θυγάτηρ, Ἠλείων βασιλέως, ἣν Ἀργοστίλης Καμβύσην καλεῖ. διὰ τούτων οὖν ὁ Πίνδαρος τὴν Πρωτογένειάν φησιν ἐξ Ἤλιδος ἁρπασθεῖσαν εἰς Μαίναλον τῆς Ἀρκαδίας πορευθῆναι ὑπὸ Διός. Μαίναλον δὲ ὄρος Ἀρκαδίας καὶ πόλις. ἐνταῦθα μιχθεὶς αὐτῇ ὁ Ζεὺς ἤνιγκε τῷ Λοκρῷ, ἵν' ὡς ἑαυτοῦ ἀναθρέψῃ τὸν γεννηθέντα. τὸ δὲ, ἔνικε Λοκρῷ, ἀντὶ τοῦ, ἔσχεν ὁ Λοκρὸς γόνος ἐκ Διός· ἐφ' οὗ ἡ τῶν Λοκρῶν χώρα, ἧς Λοκρίδος μητρόπολις ἡ Ὀπούς. ἐξήλλαχε δὲ τὴν ἱστορίαν ὁ Πίνδαρος. τὴν γὰρ Πρωτογένειαν οὐκ Ὀπούντος φασιν οἱ πλείους, ἀλλὰ Διωκαλίωνος καὶ Πύρρας. V.

87. Ἔκηλος] Gl. ms. γ. ἥσυχος.

91. Ἐφάψας] Gl. mss. β. γ. ἐπιμερόμενος.

92. Ὀρφανὸν γενεᾶς] ἄπαιδα. V.

94. Εὐφράνθη τε ἰδὼν Ἥρως Διτὸν υἱόν] εὐφράνθη δέ φησιν ὁ Λοκρὸς θεασάμενος τὸν παῖδα, ὃς ἦν μὲν Διτὸς αὐτοῦ κατὰ φύσιν, ἐκ δὲ τῆς ἀγνοίας ἴδιος αὐτοῦ νομίζετο. λέγεται γὰρ ὁ Λοκρὸς ἄπαις γεγενῆσθαι, καὶ τὸν ἐκ Διὸς συλληφθέντα ὑπὸ τῆς Πρωτογενείας, ἴδιον γεναμένου παῖδα. Διτὸν δὲ λέγει ὁ ποιητὴς ἐκ τοῦ ἰδίου προσώπου· προσιρήκει γάρ, ὅτι εἶχε δὲ σπέρμα μίγεσιν ἔλεγχος ἐκ Διός. ὁ γὰρ Λοκρὸς ἴδιον αὐτοῦ ἐνόμιζεν. V.

96. Μάτρωος δ' ἐκαλίεσκε μιν] ἐνθὰδε οὖν ὁ Λοκρὸς ἐ ἄλεσεν αὐτόν, φησι, τοῦ πρὸς μητρὸς πάππου τὸ ὄνομα, καὶ τὸν μὲν ὁ Πίνδαρος τὸν ἐκ μητρὸς πάππον μάτρωα ὀνομάζει. Ὅμηρος δὲ καὶ οἱ λοιποὶ τὸν τῆς μητρὸς ἀδελφὸν μήτρωα καλοῦσι. φησὶ γοῦν ἐν τῇ Ἰλιάδι· (ψ'. 717. sq)

Ἀσίῳ, ὃς μήτρως ἦν Ἕκτορος ἱππιοδάμοιο,
Αὐτομεδείγητος Ἐπάδης, υἱὸς δὲ Δύμαντος.

Ἄλλως. μάτρωα ἐκάλεσεν ὁ Λοκρὸς τὸν Ὀπούντα. ἦν δὲ ὁ Λοκρὸς Ἀμφικτύονος, τοῦ Διός· καὶ ἐκάλεσε τοῦ μητροπάτορος τὸ ὄνομα. Ὀπούς γὰρ ἐκαλεῖτο ὁ βασιλεὺς τῶν Ἠλείων, ᾧ ὁμώνυμος οὗτος. V.

98. Τετίφατον] ὑπερφυῆ δ' μίγαν καὶ τῷ εἴδει καὶ τοῖς πράγμασιν. V. ὑπερθαύμαστον Gl. mss. β. γ.

99. Πέλιν δ' ὄπασεν] ὅτε δὲ τῷ παιδὶ ἐξαιρέτῳ καὶ ἀνδρωθέντι ὁ Λοκρὸς τὴν πόλιν ἐνεχείρισε, καὶ τὸν ὄχλον διαιτᾶν καὶ διοικεῖν. V.

101. Ἀφίκοντο] Gl. α. β. γ. ἦλθον. Ξένοι] Gl. ms. α. φίλοι.

Ἀφίκοντο δὲ οἱ ξένοι] διαβάντου δὲ τῆς τοῦ Ὀπούντος ἀρετῆς συγχαυούσης ποιητικῶς τὰς ἰδίας αὐτῶν πατρίδας οἱ περίοικοι καταλιλειστότερ πρὸς αὐτὸν ἐστιώδεν. παρεγίνοντο μὲν οὖν μέτριοι πρὸς αὐτὸν,

* Etiam Gott. sic, an πάππος?

ἀπό τι τοῦ Ἄργους καὶ Θηβῶν, καὶ οἱ μὲν ἐξ Ἀρκαδίας, οἱ δὲ Πισᾶται. V.

Ἀφίκοντο δὲ πρὸς αὐτὸν, ἦγουν τὸν Ὀτρεῦντα, ξένοι καὶ ἐκ τοῦ Ἄργους καὶ ἐκ τῶν Θηβῶν, καὶ Ἀρκάδες, οἱ δὲ καὶ ἀπὸ τῆς Πίσης, ἦγουν Ἠλείου. ἀπὸ τῶν ἐποίκων δὴ, τουτέστι τῶν ξένων, τῶν κατοικησάντων ἐν τῇ βασιλευομένῃ ὑπ' αὐτοῦ τότε, τὸν Μενοίτιον ἐτίμησεν ἐξέχως, τὸν υἱὸν τοῦ Ἄκτορος καὶ τῆς Αἰγίνης, οὗ τινος, τουτέστι τοῦ Μενοιτίου, ὁ υἱὸς, ὁ Πάτροκλος δηλονότι, ἅμα τοῖς Ἀτρεΐδαις ἐστάλθαν εἰς τὴν γῆν τοῦ Τεύθραντος, ἦγουν εἰς τὴν Μυσίαν (ἦν τοῦ Τεύθραντος λίγει διὰ τὸ ἔρξαι αὐτῆς πρὶν τὸν Τεύθραντα· τότε δὲ ἐπ' αὐτῇ ὁ Τήλεφος ἐβασίλευεν) μόνος ἔτη σὺν τῷ Ἀχιλλεῖ, ὅτε ὁ Τήλεφος τρέψας τοὺς Δαναοὺς τοὺς ἀλκήεντας, ἦγουν τοὺς ἰσχυροὺς, τοὺς γενναίους, ἐνίζαλεν εἰς τὰς πρύμνας τὰς θαλασσίας, ἀντὶ τοῦ, εἰς τὰς ναῦς τὰς ἐν τῇ θαλάσσῃ τὴν διατριβὴν ποιουμένας· ἅτε δυΐξαι αὐτὸς ὁ Πάτροκλος τῷ φρονίμῳ μαθεῖν τὸν νοῦν τοῦ Πατρόκλου, ἀντὶ τοῦ, τὸν ἑαυτοῦ, τὸν βιατὴν, ἦγουν τὸν γενναῖον, τὸν ἀνδρεῖον, ἀπὸ τοῦ βία, ἡ ἰσχύς· ἀφ' οὗ χρόνου παρηγορεῖτο, ἀντὶ τοῦ παρῆνει, ἔλεγεν αὐτῷ, ὁ υἱὸς τῆς Θέτιδος, ὁ Ἀχιλλεὺς, μαθήσεσθαι ταξιοῦσθαι, τουτέστι παρατάττεσθαι αὐτὸν ἐν τῇ πολέμῳ τῇ ἐλεθρίῳ, χωρὶς τῆς αἰχμῆς τῆς σφετέρας, ἀντὶ τοῦ, τῆς ἰδίας, τῆς ἑαυτοῦ, τῆς δαμασιμβρότου, ἦγουν τῆς τοὺς ἄνδρας κτεινούσης. R.

Ἱστορία Ὃς ἐς Τροίαν ἐστράτευον Ἕλληνες, προσώπειλαν ἐν Μυσίᾳ, καὶ νομίζοντες ταύτην εἶναι τὴν Τροίαν, λόγου. ὁ οὖν ταύτης βασιλεύσας Τήλεφος ἀμυνόμενος υἱὸς τῆς χώρας μάχην συνῆψε τοῖς Ἕλλησιν, ἣ ποτερίᾳς γινομένης, οἱ μὲν ἄλλοι πάντες Ἕλληνες εἰς τὰς ναῦς ἀνεχώρησαν, μόνος δὲ ὁ Πάτροκλος σὺν τῷ Ἀχιλλεῖ ἐμάχετο. R.

104. Τὸν (sic) δ' Ἄκτορος] τὸν Μενοίτιον λέγει τὸν Πατρόκλου πατέρα. ὑπὲρ πάντας δὲ τοὺς ἐνοικοῦντας ξένους ἐτίμησε τὸν Ἄκτορος παῖδα, τὸν ἐξ Αἰγίνης μητρὸς, Μενοίτιον. Αἴγινα δὲ μήτηρ Αἰακοῦ, Δυγάτηρ δὲ Ἀσωποῦ, τοῦ ἐν Θήβαις ποταμοῦ. ἀφίκοντο δὲ οἱ ξένοι συνοικήσαντες αὐτῷ. V.

105. Ἐποίκων] πάντων τῶν πρωτερηφάνων. V.

105. Τοῦ παῖς ἄρ' Ἀτρεΐδαις] τινὲς ἐκ Δαμοκρατίας τῆς Αἰγίνης καὶ Ἄκτορος φασὶ τὸν Μενοίτιον· ὁ δὲ Πάτροκλος Μενοιτίου ἦν καὶ Σθενίλης. Αἴγινα γὰρ μετὰ τὸ τεκεῖν τὸν Αἰακὸν ἦλθεν εἰς Θετταλίαν, καὶ ἐγαμήθη Ἄκτορι, ἐξ οὗ ἔσχε Μενοίτιον, ὃς ἐκφάνει τὴν Ὀτρεῦντα ἀναγὰς ἀπὸ Θετταλίας. ὁ δὲ νοῦς· τούτου οὖν, φησὶ, τοῦ Μενοιτίου παῖς συστρατεύσας τοῖς Ἀτρέως παισὶν εἰς Μυσίαν κατέστησε, καὶ τῶν ἄλλων Ἑλλήνων εἰς φυγὴν τρεπόντων μόνος αὐτὸς Ἀχιλλεῖ συμπαρέστη, ἵνα μὴ τοὺς γενναιοτάτους Ἕλληνας τρέψας καὶ νικήσας μέχρι τῶν νεῶν καὶ τοῦ πελάγους συνήλασεν ὁ Τήλεφος. V.

108. Τεύθραντος δὲ πεδίον] τὴν Μυσίαν λέγει. ὁ γὰρ Τεύθρας ἐβασίλευσε τῆς Μυσίας. ὅτι δὲ οἱ Ἕλληνες εἰς τὴν Μυσίαν παρεγένοντο, κἀκεῖ νομίσαντες εἶναι τὴν Ἴλιον ἐπολέμουν τοῖς Μυσοῖς, καὶ ὁ Τήλεφος πάντας εἰς φυγὴν ἐτρέψατο, καὶ μέχρι τῶν νεῶν ἤλασε, πλὴν Ἀχιλλέως καὶ Πατρόκλου. διὰ τοῦτο οὖν μέμνηται τοῦ γένους τοῦδε, ὡς ἀνδρείου. V.

110. Ἀλκήεντας] Gl. ms. γ. δυνατούς.

113. Ὥς σ' ἔμφρονι δυΐξαι] ἅτε δυνατὸν εἶναι δυΐξαι πάντι φρονίμῳ πρὸς τὸ γνῶναι τὸν τοῦ Πατρόκλου ἐπὶ τῇ ἀνδρείᾳ διάνοιάν τι καὶ σπουδὴν καὶ θάρσος. V.

Ὥς σ' ἔμφρονι δυΐξαι] ἦγουν ἐπὶ Πάτροκλος ἴση σὺν Ἀχιλλεῖ τῶν ἄλλων Ἑλλήνων τραπέντων, ὅτε ἀνὴρ νουνεχὴς ἦγουν ἐν ἰδὼν ὅτι Πάτροκλος ἔχοις ἂν τὰ ἐς μάχην. V.

114. Βιατὰν] ἰσχυρὸν, ἀνδρεῖον. V. βιατήν. Gl. Bodl.

115. Ἐξ οὗ Θέτιος γόνος] Θαυμάσας, φησὶν, ὁ Ἀχιλλεὺς ἐν τῇ προσβολῇ τότε τὴν ἀξίαν τοῦ Πατρόκλου, ἀρχὴν ἔλαβε τοῦ Θαυμάζειν αὐτὸν, καὶ παρῆνει, μήποτε τάσσεσθαι χωρὶς τῆς πολεμικῆς αὐτοῦ τάξεως. καὶ Ὅμηρος· (Iliad. π'. 89. sq.)

Μὴ τύ γ' ἄνευθεν ἰμεῖο λιλαίεσθαι πολεμίζειν
Τρωσὶ φιλοπτολέμοισιν, ἀτιμότερον δέ μιν Θήσεις. V.

117. Παραγορεῖτο] Gl. ms. γ. ἐδίδασκε, παρήγγελε.

118. Σφετέρας] ἀντὶ τοῦ τῆς ἑαυτοῦ. V.

Ταξιοῦσθαι] παρατάσσεσθαι. V. πολεμιῶν Gl. mss. α. et γ. in quo γ. additur μάχην.

119. Δασμοβρότου (sic legunt)] Gl. mss. β. γ. τῆς δαμαζούσης.

Αἰχμῆς] Gl. γ. λόγχης.

120. Εἶην ὑφηνιοχῆς] ὡς συμπονούμενος τοῖς διηγήμασί φησιν· εἶην δὲ λόγων παιστηρικῶν ὑφηντὴς ἐπὶ τὸ διηγεῖσθαι, καὶ περίφορος ποιητικῇ Μούσῃ καὶ τρόπῳ Μουσῶν ἁρμοδίῳ. Ἄλλως. γενοίμην, φησὶ, διὰ παντὸς δυνάμενος εὑρίσκειν λόγους, καὶ διηγεῖσθαι περίξεις. Ἄλλως. ἐμοὶ δὲ παρέστω ἐν τοῖς λόγοις, ἐμοῦ μὲν εὐτολμία, ἐμοῦ δὲ ψυχίλιά τις δυνάμεως. ταῦτα δὲ λέγει, διὰ τὸ πλάσασθαι αὐτὸν τὸ ἐπὶ Πάτροκλον πεφευγέναι, ἑταιρεῖν βουλόμενος τὸν Ἐφάμεσον, Ὀτρύντιον ὄντα, Πατρόκλου συμπολίτην. τὸ δὲ ἀμφιλαφὲς κατὰ ἀντιφοίχου εἴρηται κατὰ τὸν Μακεδόνων,

μεταθέσει τοῦ β εἰς φ. ἴσι γὰρ ἀμφίλαφοι, ἤ ἴσιν ἀμφοτέραις λαβεῖν ταῖς χερσίν. τοῦτο δὲ ἐπὶ πλεῖόν συμβαίνει. Εὑρεσιτὴς] καινολόγος. V.

Εἶην εὑρεσιτὴς] εἴθε εἶην καινῶν ἐπῶν εὑρετής, ὥστε ἀναγῶσθαι, ἀντὶ τοῦ δηγῶσθαι τὰ περὶ τούτων δηλοῦσι, πρόσφορος, ἤγουν ἐπιτήδειος γινόμενος ἐν δίφρῳ τῶν Μουσῶν, ἀντὶτοῦ ἐν ὑψηλῇ πομπῇσι, ἃς αἱ Μοῦσαι δωροῦνται. τέλμα δὲ, ἀντὶ τοῦ παμμήσια, εἴθε ἴσασα, ἤγουν ἀπολουσθήσιεν ἰμοὶ, καὶ δύναμις ἀμφιλαφὴς, ἀντὶ τοῦ μεγάλη. ἐκ μεταφορᾶς τῶν ὄγκον ἐχόντων σωμάτων ἂν ἀμφοῖν χερσὶν ἐπιλαβέσθαι. ἴσι δὲ ἀμφιλαβὴς καὶ τροπῇ τοῦ β εἰς φ, παρ' Ἴωσι Μακεδόσιν, ἀμφιλαφής. ἐπὶ προξενίᾳ δὲ, ἀντὶ τοῦ χάριν τῆς προξενίας, τουτέστι τῆς φιλοφρονήσεως τοῦ Λαμπρομάχου πρὸς τοὺς Θηβαίους, καὶ χάριν τῆς ἀρετῆς, ἤτοι ἀνδρείας καὶ τῶν ἀνδραγαθημάτων αὐτοῦ, ἄλλοι τιμάορες, τουτέστι τιμητὴς, ὑμνητὴς γενησόμενος τῶν μητρῶν, ἀντὶ τοῦ, τῶν στεφάνων αὐτοῦ, οὓς ἐν τῷ Ἰσθμῷ ἔλαβεν, ὅτι ἀμφότερα, ἤγουν αὐτὸς ὁ Λαμπρόμαχος ἢ ὁ Ἐφέρμοσος, ἐκράτησαν ἔργον, τουτέστιν ἐνίκησαν νίκην κατὰ μίαν ἡμέραν. ἀμφότερα γάρ, φασιν, ἐνίκησαν ἐν μιᾷ ἡμέρᾳ, ὁ μὲν Ἐφάρμοσος Ὀλύμπια, ὁ δὲ Λαμπρόμαχος Ἴσθμια. ἔνιοι δέ φασιν, ὅτι οὐ δύο Ἴσθμια ἐν μιᾷ ἡμέρᾳ ἐνίκησαν. ἴστιτε δὲ ἄλλαι δύο χάρμαι, ἤγουν χαραὶ νίκης, ἀντὶ τοῦ νῖκαι, ἐγίνοντο τῷ Ἐφαρμόσῳ, ἐν ταῖς σύλαις τῆς Κορίνθου, ἤτοι ἐν τῷ Ἰσθμῷ· ταὶ δὲ, ἤγουν αὗται δὲ, ἀντὶ τοῦ τοσαῦται δὲ, κατὰ τὸν κόλπον τῆς Νεμέας ἐγίνοντο δηλονότι αὐτῷ νῖκαι. καὶ κατὰ τὸ Ἄργος, ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Ἥραια, ἔλαβε κῦδος ἀνδρῶν, ἤγουν γέρας ἀνδράσι πρεσβῆναι, τουτέστιν ἐν ἀνδρὸς ἡλικίᾳ νενικηκώς· παῖς δ' ἐν Ἀθήναις, ὑπάρχας δηλονότι, ἔλαβε κῦδος. Εἶην εὑρεσιεπὴς] εἴθε τοιοῦτος ἱστορίας εὑρίσκοιμι, ἵνα ἐποχούμενος τῷ παρὰ τῶν Μουσῶν δοθέντι μοι δίφρῳ, λέγω δὴ τῇ ποιητικῇ, ἁρμοδίως τῇ παρούσῃ ὑποθέσει ποιῶμαι τοὺς λόγους. τοῦτο δὲ λέγει, ὅτι καὶ ὁ Πάτροκλος Ὀσούντιος ἦν ὅσπερ καὶ Ἐφάρμοσος. τοῦ δὲ "εὐαγῶσθαι" τὰ, ἐν, περὶ τὸ, δίφρῳ, συναπτέον, οὕτως· ἐν τῷ δίφρῳ τῶν Μουσῶν ἠγῶσθαι καὶ προέχεσθαι. R.

Ἀναγῶσθαι] διηγῶσθαι. V.

121. Πρόσφορος] εὐκαίφορος ἐν ποιήμασι, ἐπιτήδειος, ἑαυτός. V.

123. Προξενίᾳ δ' ἀρετῇ τ' ἠλυθον] πρόξενος ἦν Θηβαίων Λαμπρόμαχος, δι' ὃν ἔγραψε τὴν ᾠδὴν ταύτην. ἦν δὲ καὶ Ἰσθμιονίκης. δόκανα δὲ καὶ τοῦ Πινδάρου πρόξενος ὦναι. ἅμα δὲ πανηγύρεσιν Ἴσθμια καὶ Νέμεα τῇ αὐτῇ ἡμέρᾳ αὐτὸς καὶ ὁ Ἐφάρμοσος· μετὰ δὲ ταῦτα ἄλλα δὶς νενίκηκεν Ἴσθμια ὁ Ἐφάρμοσος. τὸ δὲ ἐξῆς οὕτως ἔχει· διὰ δὲ τὴν προξενίαν, τουτέστι τὴν φιλίαν, καὶ τὴν ἀρετὴν τοῦ Λαμπρομάχου, ἦλθον ἱκανίσκης τῶν ἐν τῷ Ἰσθμῷ μετῶν, ὅτι κατὰ μίαν ἡμέραν οἱ δύο ἐνίκησαν, ὁ μὲν Ἐφάρμοσος Ὀλύμπια, ὁ δὲ Λαμπρόμαχος Ἴσθμια. ἔνιοι δὲ ὅτι οἱ δύο Ἴσθμια ἐν μιᾷ ἡμέρᾳ ἐνίκησαν. V.

Προξενίᾳ] Gl. ms. γ. στεφῇ.

125. Λαμπρομάχῳ] Λαμπρόμαχος συγγενὴς τοῦ Ἐφαρμόσου, κατὰ μίαν ἡμέραν Ἴσθμια σὺν αὐτῷ νικήσας. V.

Ἐπειδὴ Ἐφάρμοσος καὶ Λαμπρόμαχος, Ὀσσούντιοι ὄντες, φίλοι τι ἦσαν καὶ ἐν τῷ Ἰσθμῷ ἅμα ἐνίκησαν, διὰ τοῦτο ἐν τῷ Ἐφαρμόσου ὕμνῳ καὶ τούτου μέμνηται. Κορίνθου πόλις λίγει τὸν Ἰσθμόν. ἐν τῇ γὰρ αὐτοῦ ἡ Κόρινθος κεῖται. λάμψαντι δὲ εἰς τὸ ἐγίνοντο, τῷ Ἐφαρμόσῳ, κατὰ συνεπιδοχήν, τὸ δὲ Νεμέας κατὰ πόλαν, ἀντὶ τοῦ εἰς τὴν Νεμέαν περιφρασικῶς. R.

125. Μίσγαις] μίσγαις τῶν τοῖς στεφάνοις καὶ ταῖς νίκαις. μίσγαις γὰρ Ἰσθμίων τῶν στεφάνων καὶ διαδήματα πανίλια ἐλάβοσαν συνδεῖν. V.

128. Ἄλλαι δὲ δύο] ἐν Ἰσθμῷ, φησὶν, ἄλλαι δύο νῖκαι ἐγίνοντο Ἐφαρμόσῳ ἐξεχάρμαι δὲ γῶν ἀντὶ τοῦ χαραὶ ἢ ἡδοναί, καθ' Ὅμηρον δὲ (Iliad. α'. 218.) αἱ μάχαι. Ἄλλαι. ἤτοι μάχαι, ἢ χαραὶ καὶ νῖκαι ἐγίνοντο αὐτῷ ἐν τῷ Ἰσθμῷ. Κορίνθου γὰρ πύλαι ὁ Ἰσθμός. ἃ δὲ φησὶ καὶ ἄλλαι δὲ χαραὶ ἐγίνοντο τῷ Ἐφαρμόσῳ ἐν τῷ κόλπῳ τῆς Νεμέας. ἴσι δὲ περιφρασικῶς, ἀντὶ τοῦ, ἐν Νεμέᾳ. κατὰ κοινοῦ δὲ ἀκουσίου τὸ, ἐγίνοντο χάρμαι. V.

132. Ἄργει τ' ἴσχυσε νῦδος ἀνδρῶν] ἀντὶ τοῦ, καὶ ἐν Ἄργει δὲ δέδεκται πρωτείλαφον ἀνδρῶν, νικήσας, τὰ Ἥραια, καὶ ὡς παῖς ἐν Ἀθήναις, ἀπὸ καινοῦ δὲ τὸ, κῦδος ἴσχε, νικήσας τὰ Παναθήναια, ἢ τὰ Ὀλύμπια.

134. Οἷα] Gl. γ. ὥ Ζεῦμα.

134. Οἷον δ' ἐν Μαραθῶνι] τοῦτο τὸ Ἡράκλεια λέγει. τοῦ δὲ οἷον διπλοῦ ἡ ἰωδοχή. ἐστὶ γὰρ τὸ οἷον ψιλῶς ἀναγινώσκουσιν, ἵν' ᾖ· μόνον ἐν Μαραθῶνι ἀγωνίσαι ἀγωνοθέμενος ἠστήθη, καὶ μετηγγράψατο ἑαυτὸν εἰς τοὺς ἄνδρας ἐνίκησεν. ἄτοπον δὲ τοῦτο. οὐ γὰρ ἂν ἐγκωμιάζων περὶ ἥττης ἔμελλε λέγειν. οἱ δὲ θαυμασιωῦς, ὃ καὶ βέλτιον ὦπως δὲ καὶ οἷος ὑπάρχων ἐν τῷ Μαραθῶνι ἀγωνιζόμενος πρὸς τοὺς προσιόντας ἄνδρας, ἀπεσυλήθη ἀπὸ τῶν ἀγωνίων καὶ ὑπεξιλάθη, καὶ εἰς τοὺς ἄνδρας χωρήσας, ἠνίκα περὶ ἀργυρῶν φιαλῶν προὐκεῖτο ἀγωνίζεσθαι. τοῖς γὰρ ἐν Μαραθῶνι ἀγωνιζομένοις φιάλαι ἀργυραῖ ἐδίδοντο ἔπαθλον. Ἀθηναίοις δὲ ἦσαν χρυσίδαι καὶ ἀργυρίδαι λίγειν. V.

Ἐν δὲ Μαραθῶνι φεῦ ὅτως ἑαυτὸν λάθρα ἤγαγεν ἀπὸ τῶν ἀγυιέων, ἀντὶ τοῦ, ἀπὸ τοῦ ἀγυιάσασθαι μετὰ τῶν ἀγυιέων, ἀνίμασι τὸν ἀγῶνα τῶν πρεσβυτέρων, ἤγουν τῶν τελεωτέρων τὴν ἡλικίαν, τουτέστι τῶν ἀνδρῶν, ἀμφ' ἐργυρίδιστον, ἀντὶ τοῦ, ἐπὶ ταῖς ἀργυρέοις, ἤγουν ταῖς ἀργυραῖς φιάλαις, αἳ ἐδίδοντο ἐπὶ γίρας. ἄνδρας δὲ δαμάσας, ἤγουν καταβαλὼν διὰ μηχανῆς ἀφύκτου, ἐξηῤῥίσωσεν, ἤτοι ταχείαν ἐχούσης τὴν ὁρμὴν, διήρχετο τὸν κυκλὸν, ἤγουν τὸν ἀγῶνα, φεῦ τῆς βοῆς ὅση. ἐπὶ δοτικῆς τὸ ὅση, ἤγουν δι' ὅσης βοῆς ὁ.ήρχετο· ἀραῖος ὤν, ἤγουν ἐν ἀκμῇ ἡλικίας καὶ παλλὰς, τουτέστιν εὔμορφος, καὶ πάλλιστα ἔργα πραέξας. V.

136. Μίνυ] Gl. ms. β. ἐπαρτέρει.

137. Ἀργυρίδιστον] Gl. ms. γ. ἐς ἱππάδιον.

138. Φῶτας δ' ἀξυρίστῳ δόλῳ] ἀντὶ τοῦ ἀξυστάτῳ καὶ ἐπιμελεῖ τέχνῃ. ὁ νοῦς τοιοῦτον· τοὺς δὲ ἄνδρας τοὺς ἀντιτιθεμένους αὐτῷ τέχνῃ ἀξυστάτῃ νικήσας, αὐτὸς μὲν ἀτρῶτον μήτε ὑποσὰς πτῶμα, διέβαινε τὸν κύκλον τοῦ σταδίου, μιᾷ' ὅσης βοῆς, ἤτοι τὸν ἀγῶνα, μιᾷ' ὅσων ἐπαίνων, νικήσας μὲν ὢν καὶ θαυμαζὸς τῷ ὀφθῆναι, ταῖς δὲ πραέξεσιν οὐ κατεισχύνων τὸ εἶδος. ὅσῳ βοᾷ δὲ, ἀντὶ τοῦ, μεγάλῃ βοῇ. τὸ γὰρ ὅσῳ, θαυμαστικῶς. V.

142. Καλὰς] Gl. ms. γ. ἐπιτηδείους.

143. Τὰ δὲ Παῤῥασίῳ στρατῷ] τουτέστιν ἐν τῷ δήμῳ τῆς Ἀρκαδίας. Παῤῥασία γὰρ μέρος τῆς Ἀρκαδίας, ἔνθα τελεῖται Λυκαίου Διὸς ἀγών. ὁ νοῦς· τὰ δὲ ἔργα αὐτῶν τὰ ἐν τῷ ἀγῶνι τοῦ Λυκαίου Διὸς κατὰ τὴν Παῤῥασίαν τῆς Ἀρκαδίας, ἔστιν αὐτὸν ἴδωμεν ἄξιον. V.

Τὰ δὲ Παῤῥασίῳ στρατῷ] κατὰ δὲ τὰ ἔργα τὰ γινόμενα αὐτῷ ἐν τῷ στρατῷ τῷ Παῤῥασίῳ, ἤγουν τῷ Ἀρκαδικῷ (Παῤῥασία γὰρ τόπος ἐν Ἀρκαδίᾳ) θαυμαστὸς ἐφάνη ὤν. λέγω κατὰ τὴν πανήγυριν τοῦ Λυκαίου Διὸς, θαυμαστὸς ἐφάνη ὤν, καὶ ὑπέστη ἆθλον, ἀντὶ τοῦ ἐκηρύχθη ἐν τῇ Πελλήνῃ, ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Ἕρμαια, φέρμακον ἐδιανὸν, ἀντὶ τοῦ ἀποσβεστικὸν τῶν πυρῶν, ἀντὶ τοῦ τῶν ψυχρῶν. Χλαῖνα γὰρ ἐκεῖ ἐδίδοτο τῷ νικῶντι. σύνδικος δὲ, τουτέστι μάρτυς αὐτῷ τῷ Ἐφαρμόστῳ δηλονότι, ἐγὼ κατὰ τὰς ἀγλαΐας, ἤγουν τὰς λαμπρότητας, τουτέστι τὰς νίκας, ὁ τύμβος φεῦ Ἰολάου, ἔνθα ἐτελεῖτο ἀγὼν τῷ Ἰολάῳ, τὰ Ἰολάεια, καὶ ἡ Ἑλευσὶς ἡ εἰναλία, ἤγουν ἡ παραθαλασσία, μέρος ἦτοι τόπος Ἀθηνῶν κατὰ τὰς νίκας. ἐτελεῖτο δὲ καὶ τῷδε ἀγὼν Κέρης καὶ Δήμητρος, ὃς ἐκαλεῖτο Ἐλευσίνια. ἐλάμβανε δὲ γίρας ὁ νικῶν πρόβατ. Ἐν Πελλήνῃ πανήγυρις ἐγίνετο τὰ Ἕρμαια, ἢ τὰ Φιλεξίνια πρὸς τὸν Ἀπόλλωνα· ἔνθα νικήσας Ἐφάρμοστος διεφθάρη ἔλαφι (τοῦτο γὰρ ἦν ἄθλος), ἥτις ἀλεξικακὸς ἦν τῶν ἀνέμων. Τὸ σύνδικος διὰ τοῦτο λέγω, ἐπειδὴ ἐν ταῖς Θήβαις ἀγὼν ἐτελεῖτο Ἡράκλεια καὶ Ἰολάεια. ἦν δὲ ἐν μέσῳ τοῦ σταδίου ὁ τοῦ Ἰόλεω τάφος, ἔνθα Ἐφάρμοστος ἐνίκησεν. ἐν τῇ Ἐλευσῖνι τῆς Ἀττικῆς ἀγὼν ἐτελεῖτο Δήμητρος καὶ Περσεφόνης, τὰ καλούμενα Ἐλευσίνια, ἔνθα ἐνίκησε. R.

Στρατῷ] Gl. γ. λαῷ.

145. Καὶ ψυχρῶν ἐτύρει] ἐφάνη δὲ θαυμάσιος, καὶ ἡνίκα τῶν ψυχρῶν αὐρῶν καὶ τοῦ πνεύους τὸ φέρμακον καὶ τὸ βοήθημα ἀπὸ τῆς Πελλήνης λαβὼν ἔφερε, τὴν χλανίδα. Ταύτην γὰρ ἐλάμβανον τὴν χλανίδα οἱ νικῶντες, οἷον τρίβωνας. ὁ δὲ ἀγὼν ἐν Πελλήνῃ Ἕρμαια ἐκαλεῖτο. Ἄγεται δὲ Ἑρμοῦ καὶ Ἀπόλλωνος ἑορτὴ, Θεόξενα καλουμένη. Εὐδιανὸν δὲ φέρμακον* ἀντὶ τοῦ ἀνάπαυσιν, τὴν ἀλεξάνεμον, ὅτι ἐν Πελλήνῃ χλαῖνα ἐδίδοτο τῷ νικῶντι χειμῶνος ὥρᾳ. ἀπὸ κοινοῦ δὲ τὸ, θαυμαστὸς ἐφάνη. V.

148. Σύνδικος] Schol. γ. κριτὴς κοινὸς ἐστιν αὐτῷ τῷ Ἐφαρμόστῳ εἰς τὸν πολλὰ νίκην ὁ τάφος τοῦ Ἰολάου. ἐκεῖ γὰρ συνήρχοντο πλῆθος πολὺ ἀνθρώπων ἀγωνιζομένων.

Σύνδικος δ' αὐτῷ] μαρτυρεῖ δὲ τῷ αὐτοῦ ἀνδρείᾳ καὶ ὁ τοῦ Ἰολάου τάφος ἐν Θήβαις. Ἰόλαια γὰρ λέγεται ὁ ἀγὼν, ὃν ἐνίκησεν. Ἄλλως· Ἰολάου τύμβος, ὁ ἐν Θήβαις· τὸν τῶν Ἡρακλείων ἀγῶνα θέλων δηλῶσαι, τύμβον Ἰολάου εἶπε· παρὰ γὰρ τῷ κοινῷ σήματι Ἀμφιτρύωνος ὁ τῶν Ἡρακλείων ἀγὼν ἐν ἐνίκησεν. V.

150. Εἰναλία σ' Ἐλευσὶς] καὶ ἡ Ἐλευσὶς δὲ ἡ πρὸς τῇ θαλάσσῃ πυμάνη, ταῖς ἀγλαΐαις αὐτοῦ καὶ νίκαις μαρτυρεῖ· ἄγεται δὲ αὐτόθι ἀγὼν κόρης καὶ Δήμητρος, ὃς καλεῖται Ἐλευσίνια, οὗ Ἴακχλον κρείσσ. V.

151. Ἀγλαΐαισιν] Gl. ms. γ. ἀνδραγαθίαις.

152. Τὸ δὲ φοῇ, κράτιστον ἔσται] τὸ δὲ ἐν φύσει στρουθὸν ἀγαθὸν καὶ θεῖος μοῖρας, κράτιστον καὶ ἐξαίρετον. λείπει δὲ τὸ ἐστίν. εἰς ἑαυτὸν δὲ πάντοτε. διὰ γὰρ ἑαυτὸν λέγει αὐτοδίδακτον. V.

Τὸ φοῇ φασί τινες λέγειν τὸν Πίνδαρον δι' ἑαυτὸν, ὁ καλός. ἴσι γὰρ πρὸς τὸν Ἐφάρμοστον, ἐπειδὴ ἐν φύσει ἀνδρεῖος ὢν καὶ οὐκ ἀπὸ μόνης τέχνης τοὺς συναγωνιζομένους ἐνίκα. πρὸς δ' ἱστορίαν· πολλὰ δὲ τῶν ἀνθρώπων ἐν διδασκαλίᾳ ἀρεταῖς, τουτέστιν οὐ φύσει ὄντες ἀνδρεῖοι, ἀλλ' ὑπὸ διδαχῆς μόνης καὶ μαθήσεως, ὅρασιν καὶ ἄμπνοιαν

* Hipponax ap. Schol. Lycophr. 865. χλαῖναν δαστὰν, ἢ χειμῶνι φέρμακον μέγιστον.

ἀναλίσθαι καὶ λαβεῖν πλίος, ἤτοι νικῆσαι καὶ δεξασθῆναι. ἕκαστον δὲ χρῆμα, ἤγουν πᾶσα πρᾶξις ἄνευ θεοῦ, ἤγουν μὴ ἀπὸ φύσεως κατορθουμένη (τὸ θεοῦ δὲ λέγει, ἐπειδὴ ἐκ θεοῦ πάρεσι τοῖς ἀνθρώποις φύσει ἀνδρεῖαι εἶναι, καὶ ἄλλο τι ἀγαθὸν ἔχειν), οὐ σπαύτερον καὶ οὐ φαῦλον ὑπάρχει, σισιγημένον καὶ σιωπηθὲν, ἀλλὰ μᾶλλόν ἐστιν, εἰ μαθεῖς γινώσκει αὐτό. μόνα γὰρ τὰ ἐκ φύσεως πλείστου ἔστιν ἄξια, ὥστε, εἰ μὴ πρός τι φυσικῶς ἔχει τίς, οἷον πάλην λέγω καὶ δρόμον, καὶ ἄλλον τινὰ ἀγῶνα, ἀφεὶς τοῦτο, πρὸς ὃ ἡ φύσις αὐτοῦ ῥέπει, τρισίσθω. ἐντὶ γὰρ καὶ εἰσὶν ἄλλαι ὁδοὶ καὶ μεταχειρήσεις πράξιων πρεπέστεραι καὶ ἐξεχούσαι ἀδῶν ἑτέρων, ταυτέσσι πολλῶν οὐσῶν πράξιων, τὴν προσφυῆ σοι μεταχειριζόμενος, ταχεῶς αὐτὴν μᾶλλον ἢ τὴν οὐ προσφυῆ. (Ἄλλως.) Τὸ δὲ φυᾷ, ἀντὶ τοῦ, τὸ μὲν φύσει, ταυτέσσι, τὸ μὲν ἀπὸ φύσιος ἅπαν πράσσειν, ἤγουν ἄριστον, δεικύοντα. διὰ τὸν Ἐφέρμοστον τοῦτο λέγει. πολλοὶ δὲ δι' ἀρετῶν, ἤγουν ἐπισταδιυμάτων διδιδαγμένων παρὰ ἀνθρώπων, δίξαν ἄρμησαν ἰλίεσθαι, ἤτοι λαβεῖν· χωρὶς δὲ θεοῦ, ταυτέσσι τῆς φύσιος, ἕκαστον πρᾶγμα οὐ σπαύτερόν ἐστιν, ἀντὶ τοῦ, οὐκ ἀκριτὸς, σισιγημένον, ἤγουν ἄκραντον ὑπάρχον, ταυτέσσιν, ἕκαστον δὲ πρᾶγμα χωρὶς φύσιος, πρεπωδέστερόν ἐστιν, εἰ σισιγημένον ἐσίν. εἰσὶ γὰρ ὧδοὶ ἄλλαι, πρὸς ἃς ἔχει δηλονότι τις εὐφυῶς, πρεπέστεραι, ἀντὶ τοῦ δυνάμεναι μᾶλλον ἀνύεσθαι, ἀδῶν ἑτέρων, πρὸς ἃς οὐκ ἔχει δηλονότι τις εὐφυῶς, οὐχ' ἅπαντας δὲ ἅμα, ἀντὶ τοῦ ἁμᾶς, μία μελέτη, ἤγουν, ἓν ἐπιστήδευμα, δυνατόν ἐστι θρέψαι, ἀντὶ τοῦ, οὐ δυνατὸν δέ ἐστι πάντας ἡμᾶς ἐν ἑνὶ ἐπιστηδεύματι τραφῆναι, ἤγουν τὸν βίον ἀνῦσαι, ταυτέσσιν ἐν ἑνὶ ζῆσαι ἐπιστηδεύματι. R.

153. Πολλοὶ δὲ διδακταῖς] πολλοὶ δέ, φησι, δίξαν ἑαυτοῖς ἀθίλησαν πρεπωπῆσαι ἀπὸ διδακτῶν ἀρετῶν, καὶ ἄρμησαν καὶ ἔσπευσαν ἐπὶ τοῦτο προελθεῖν. V.

156. Ἄνευ δὲ θεοῦ σισιγαμένον] τὸ ἄνευ θεοῦ γινόμενον, οὐ σπαύτερόν φησιν, ἀλλ' ἐκ τῶν ἐναντίων βέλτιον, σιωπώμενον, οἷον, μετὰ θεοῦ τις πραγινόμενος εἰς τὸν ἀγῶνα, οἷος ὁ Ἐφέρμοστος, ὑμπίσθω· ὁ δὲ παρὰ θεόν τι πράσσων, ὡς αὐτόθεν μηδὲ καθ' μίλλων, εὐλόγως ἂν καὶ οὐ σπαῶς σιωπῶτο. ἢ οὕτως· ἕκαστον δέ φησι πρᾶγμα, τὸ θεοῦ χωρὶς πραττόμενον, οὐ σπαύτερόν ἐστι σιωπώμενον, οἷον σοφώτερόν ἐστι. τὸ γὰρ μὴ κατὰ θεὸν πρασσόμενον, δεῖ σιγᾶν, ἀντὶ τοῦ, καλόν ἐστί τινα παρὰ βούλησιν θεοῦ νικήσαντα μὴ ὑμνεῖν. Ἄλλως. ἀπὸ ναυτῶν τὸ πλέος λιπτέον, ἵν' ᾖ· τὸ δὲ ἄνευ θεοῦ καὶ χωρὶς φύσιος θείας πρεσγινόμενον πλέος, τοῦτο σισιγημένον καὶ μὴ θρυλλούμενον, οὐκ ἔστι σπαύτερον, οὐδὲ μίμψιως ἄξιον, ὡς τοῦ ἑαυτέου μίμψιν ἔχοντος, τοῦ ἑαυτῶν τοὺς φύσει ἀγαθοὺς, ὅστις ἑαυτὸν λέγει ποιεῖν. δύνανται δὲ καὶ οὕτω νοεῖσθαι· ἕκαστον δὲ πρᾶγμα, ὃ μὴ κατὰ φύσιν ἐστί, τοῦτο σισιωπημένον οὐκ ἔστι σπαιόν. ἐὰν γὰρ νίθον ἴν ἐμφανίζηται, τότε τὴν ἐδεξίαν προσρίβεται, ταυτέσι, πᾶν πρᾶγμα παρὰ φύσιν γινόμενον, οὐχ' οὕτως ἐστὶ σιγᾶθὲν ἀσθὲς, ὡς φαινόμενον· φανὲν γὰρ πλεῖον ἐσυθριάσει καὶ ὑβρισθήσεται. Διὸν δὲ τὴν φύσιν λέγει. V.

157. Οὐ σπαιότερον χρῆμα] διατί δὲ οὐκ ἔστι σπαιότερον τὸ θαυμάζειν τοὺς ἄνευ θεοῦ μοίρας τί πράσσοντας, ἑαυτοῖς δὲ ἐπιστέποντας; ὅτι εἰσὶν αἱρετώτεραι καὶ προτιμώτεραί τινες ἐπίηδειότητες ἐπιστηδείστων, οἷον, αἱ προσφυεῖς ἐπάρᾳ καὶ οὐκ ἐναντιούμεναι κατὰ γένεσιν καὶ φύσιν. V.

158. Ἐντὶ γὰρ ἄλλαι ὁδῶν ὁδοὶ ἴως μιλίσα. διὰ δὲ ἕκαστον τὸν διδαμένον αὐτῷ ἐκ θεῶν ταύτην εἶναι καὶ μὴ παραζιάζεσθαι. Ὁμήρου· (Iliad. ν'. 730. 732.)

Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα,
Ἄλλῳ δ' ἐν στήθεσσι τίθει νόον.

ἕτεραι δὲ ἀμείνονες, παραπλησίτεραι, εὐοδέστεραί εἰσιν ὁδοὶ, δι' ὧν τις δύναται πεφεισθῆναι, ὅ ἐστιν, εἰ μὴ πίφυκας πρὸς τὸ παγκράτιον, πάλην ἄσκει, ἢ ἄλλο τι πρὸς ὃ εὐφυῶς ἔχεις. V.

159. Ὁδοὶ πεφεισμέναι] πραοτικώτεραι, ἐυστικώτεραι. V.

160. Μία δ' οὐχ' ἅπαντας] οὐ γὰρ ἡ μία μελέτη, φησὶ, καὶ τὸ ἓν ἐπιστήδευμα πάντας ἡμᾶς δύναται τρέφειν· μελέτη δὲ ἄσκησίς ἐστι καὶ ἐπιστήδευμα. V.

161. Σοφίαι μὲν (sic) αἰσυμναὶ] τοιοῦτοι, ἐφ' ὕψους καὶ προβάσεως πεῖνται αἱ σοφίαι, ὥστε εἶναι τὸν ἐν' αὐτὰς ὁδὸν δυσχερῆ. ἢ οὕτως· ὑψηλόν ἐστι καὶ ἐν μυτιώρῃ πείμενον τὸ ἀρετὴν ἔχον. ὡς Ἡσίοδος· (Ἔργ. 287.)

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

ἢ οὕτως· αἱ μὲν σοφίαι ὑψηλαί εἰσι, καὶ πόῤῥω, καὶ δυσχερεῖς. V.

Σοφίαι μὲν αἰσυμναὶ] αἱ σοφίαι μὲν, αἱ λογικαὶ τέχναι αἰσυμναὶ, ἤτοι ὑψηλαί· τοῦτο δὲ τὸ ἄθλον, ἤγουν τὸ γέρας, τοιοῦτοι τὸν ὕμνον, προσφέρων, ὦ νοῦ, δηλονότι τῷ Ἐφαρμόστῳ, ὄρνυσαι, ἀντὶ τοῦ βάσσον ἔρθιον, ἤγουν ἐξύ, ὑψηλὸν, καὶ μετὰ θάῤῥους, τόνδε τὸν ἄνδρα, ταυτέσι τὸν Ἐφέρμοστον, ἀπὸ μοίρας βαλμοσὶ γιγονίοις εὐχυρα, γινομένοις τὰς χεῖρας, διξύγιον, ἤτοι ἐπιστήδιον, ὀρθρόν κατὰ πᾶν τὸ σῶμα, ἐρώντα ἐλπὶν, ταυτέσι παράστημα γινομένου ἔχοντα, ὅτις νικᾶν ἐπιστιφάνοισιν, ἤγουν, ἐπόμενοι δαιτὶ, δι' ἱερῆς, τὸν βωμὸν τὸν Λιάντειον τοῦ Οἰλιάδου, ἀντὶ τοῦ, τὸν βωμὸν τοῦ Αἴαντος

τοῦ υἱοῦ τοῦ Ὀϊλίως. πρὸς τὸ σημαινόμενον τοῦ κτησιλεῦ ἡ ἀπόδοσις. τὸ τοιοῦτο δὲ σύνηθες καὶ τῇ ἀττικῇ λέγῃ. Αἴας ὁ Λοκρὸς, ἐν Τροίᾳ ἀποθανὼν, τιμᾶται ἐν τῇ Λοκρίδι ἴσα θεῷ. κινοτάφιον γὰρ τοῦτον ἐνταῦθα ἱστόησαν, μέσον τοῦ τόπου, ἔνθα οἱ τῆς ἐπ' αὐτῷ πατηγύρεως ἀγῶνες τελοῦνται. ἐνίκησεν οὖν ἐνταῦθα Ἐφάρμοστος. δίον ἱστεῖν, ἱστιφάνωσε τὸν βωμὸν τοῦ Ὀϊλίδα Αἴαντος (Ὀϊλίως γὰρ υἱὸς ὁ Αἴας) Αἰάντιον εἶπε πρὸς τὸν βωμόν. R.

162. Τοῦτο δὲ προσφέρων] τὸ τῆς ἰμῆς σοφίας ἱστιήδυσμα. V.

Τοῦτο δὲ προσφέρων ἄεθλον] ἑαυτῷ ὁ Πίνδαρος παρακελεύεται καί φησιν ὅμως δὲ τοῦτο ἀπὸ τῆς σοφίας ἄεθλον προσφέρων καὶ ἱκανληρῶν, τὸν ὕμνον, μίγα καὶ ὑπερφυὲς ἀναδείξεσι, τοῦτον δαιμονίᾳ μοίρᾳ γενέσθαι δυνατὸν ταῖς χερσὶ, καὶ παντὶ τῷ σώματι διξὺν, ἵνα κοῦφος ᾖ καὶ ἰδροφος παλαιστὴς, ὃς καὶ τῷ βλίμμασι ἑλκὴν καὶ δύναμιν ἐμφαίνει. V.

Τοῦτο δὲ] τὸ τοῦτο πρὸς τὸ γιγάμεν ἔχει τὴν δύναμιν, οὕτω προσφέρων, ὦ Σωμὶ, ἄεθλον, καὶ ὥσπερ βραβεῖον τῆς νίκης, τὸν ὕμνον τῷ Ἐφαρμόστῳ, θαρσίων καὶ θαλίᾶν, καὶ μὴ ἀμφιβάλλων, ἄρυσαι καὶ μιτὰ βοῆς ὕψωσον ἔρδιον τοῦτο, γιγάμεν καὶ ὑπάκξαι τόνδι τὸν ἄνδρα τοίοδι καὶ τοῖοδι. R.

163. Ὄρθιον ἄρουσαι] ἐξὺ καὶ μίγα. Ὅμηρος· (Iliad. λ'. 11.) "Ὄρθι' Ἀχαιῶσε "δὶ μίγα σθένος." λέγει δὲ πρὸς τὸν χορὸν περὶ τοῦ νενικηκότος· βόησον ἀναστασμένον θαρσοῦν, ὅτι θεία μοίρᾳ ἐγένετο πρὸς ἄθλησιν οὗτος ὁ ἀνὴρ. ἢ πρὸς ἑαυτὸν λέγει, ὅτι ὄρμησα (an ὄρμησον?) ἐξίως. R.

165. Διξύγιον] Gl. mss. β. γ. ἱστιήδιον ἐς τὰ μέλη.

Ὀρῶντ' ἀλκὰν] βλέποντα ἀνδρείαν. V.

166. Αἰάντειόν τι] ὄγις ἀνὴρ καὶ ἐν τῇ τοῦ Αἴαντος τοῦ Ὀϊλίως παιδὸς πατήγυρει, καὶ ἐν τῇ ἱστονόμῳ αὐτοῦ ἀγῶνι νικήσας, θυσίαις καὶ ῥίμμασι τὸν Αἰάντιον βωμὸν κατιλόσμησε. τὰ Αἰάντια δὲ ἐν Ὀποῦντι ἄγεται. V.

167. Ἰλιάδα] τοῦ Ὀϊλίως παιδὸς, τοῦ Αἴαντος τοῦ Λοκροῦ. ἄντιο δὲ τοῦ ὃ εἶρηκε, τὸν Ἰλιάδα, ὃς ποῦ φησι καὶ Ἡσίοδος. V. (v. ad Iliad. β'. 527.)

Carmen X.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τοτ δεκάτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἡ'. Τὸ α', Ἀσκληπιάδειον ἀντισπαστικὸν ἀπαστάλληκτον, τοῦ πρώτου ἀντισπάστου ἀπὸ διζυγίας ἀξαμένου. Τὸ β', χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἀρξάμενον ἀπὸ ἰαμβικῆς (συζυγίας) καὶ λῆγον εἰς ἴαμβον. Τὸ γ', δίμετρον ἰαμβικὸν ὑπερκατάληκτον, ὁ τρίτος δάκτυλος παντὰχοῦ. Τὸ δ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον, διημημένου τοῦ πρώτου (καὶ τρίτου) ποδός. Τὸ ε', καταληκτικὸν ωιοθημιμερὲς, ᾗ ἀναπαιστικὸν δίμετρον, βραχυκατάληκτον, ᾗ προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ ϛ', ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον, ὃ ἴσι Φερεκράτειον παρὰ συλλαβήν, Τὸ ζ', ἰωνικὸν τρίμετρον καταληκτικόν· ἡ πρώτη συζυγία Ἰωνικὴ, ἡ δευτέρα ἰαμβικὴ, εἶτα τροχαῖος, εἰκῖος τῇ Ἰωνικῇ, καὶ συλλαβή. Τὸ η', Γλυκώνιον, ὅτερ ἴλκουσι ἐν τῷ (v. 33.) Πίφνι Κτίστον ἀμύμονα, ἐνπασύλλαβον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων θ'. Τὸ α', χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, οὗ ἡ πρώτη συζυγία, ἰαμβικὴ ἐστι, τοῦ δευτέρου ποδὸς ἀναλυομένου, εἶτα χοριάμβος, εἶτα ποὺς ἄκλοῦς. Τὸ β', προσοδιακὸν τρίμε-

τρον ἀπαστάληκτον· ὁ πρῶτος τροχαῖος, τοῦ πρώτου ποδὸς λελυμένου, εἶτα Ἰωνικὸς ἀπὸ μείζονος, εἶτα χοριάμβος. Τὸ γ', ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον λελυμένον. Τὸ δ', ἰωνικὸν τρίμετρον ἀκαταλληκτον, ἀπὸ ἰαμβικῆς συζυγίας λελυμένον. Τὸ ε', Ἰωνικὸν τετράμετρον καταληκτικὸν, τοῦ τρίτου ποδὸς ἀντὶ τοῦ ἀπ' ἐλάσσονος πυρρίχιον, καὶ τροχαίου καὶ συλλαβῆς. Τὸ ϛ', ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον [ἐξ Ἰωνικοῦ]. Τὸ ζ, προσοδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐξ Ἰωνικῶν τοῦ ἀπὸ μείζονος (χοριάμβου), καὶ ποδὸς ἡμίσεως. Τὸ η', ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ὁ δεύτερος ποὺς, ἀνάπαιστος, ὁ τέταρτος, τρίζραχυς. Τὸ θ', Ἰωνικὸν δίμετρον καταλληκτικὸν, ἀπὸ τροχαϊκῆς συζυγίας.

Ἀγησιδάμῳ Λοκρῷ Ἐπιζεφυρίῳ.] Ἔθνη Λοκρῶν εἰσι τρία· Ἐπιζεφύριοι πρὸς τῇ Ἰταλίᾳ, Ὀζόλαι πρὸς τῇ Αἰτωλίᾳ, Ἐπικνημίδιοι πρὸς τῇ Εὐβοίᾳ. ἐνίκησε δὲ οὗτος ὁ Ἀγησίδαμος τὴν ἑβδομηκοστὴν τετάρτην Ὀλυμπιάδα.

1. Ἀνάγνωτι] Gl. ms. γ. φιλίρροσι.

Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτί μοι] ἔοικεν ὁ Πίνδαρος πρὸ πολλοῦ συνθέμενος γράψαι αὐτῷ τὸν ἐπινίκιον ὀλιγωρῆσαι, αὖθις δὲ ἀποδοῦναι αὐτῷ σὺν τόκῳ, ὥσπερ τι χρέος παλαιὸν διαλύσασθαι, προσθεὶς ὕστερόν τι φίλτρον. τὸ δὲ ἀνάγνωτί μοι δηλοῖ· ἀναμνησθήσατε καὶ ἀναγνώρισατε, ὦ Μοῦσαι, ἐν ᾧ χωρίῳ τῆς φρενὸς μου ἐστὶν ὁ Ἀγησίδαμος. ὡς δὲ προθέμενος ἤδη τὸν ἐπινίκιον, νῦν ἀναμνήσεως δεῖν αὐτῷ φησί Σοφοκλῆς ἐν Τριπτολέμῳ (Fragm. n. 8.) " Θὶς δ' ἐν " φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους." ὁ δὲ νοῦς· ἀναγνωρίσατέ μοι καὶ εἰς μνήμην τὴν ἐμὴν ἀγάγετε τὸν Ὀλυμπιονίκην τὸν τοῦ Ἀρχεστράτου υἱὸν καὶ εἴπατε, ἐν ποίῳ μέρει μου τῆς διανοίας πεχάραχται. τρία γὰρ μέρη φασὶν εἶναι τῆς φρενὸς, λογιστικὸν, μνημονευτικὸν, ᾧ φαντασικὸν, ᾧ τὸ μὲν λογιστικὸν ἐστιν ἐν τῷ ἡγεμονικῷ, τὸ δὲ φανταστικὸν ἐν τῷ μεσότητι, τὸ δὲ μνημονευτικὸν μέσον τῶν δύο. ἔχουσι δὲ ἀμφότερα τό τε λογιστικὸν ᾧ φανταστικὸν ὅ τι ταμιεῖον τὸ μνημονευτικὸν, καὶ ἐναποτίθεται ἐν αὐτῷ, ἅπερ ἐκεῖνο μὲν φαντάζεται, ἐκεῖνο δὲ, ἤγουν τὸ λογιστικὸν, λογίζεται. ἐν δὲ τούτου τοῦ μνημονευτικοῦ ἔχομεν μνημονίων, ἅπερ ἀνέγνωμεν. καὶ ἅπερ ἐθισάμεθα. διό τοι τοῦτο καὶ ὁ Πίνδαρος ἔλεγεν, ἀναγνωρίσατέ μοι, ὦ Μοῖσαι, ἐν ποίῳ μέρει τῆς φρενὸς γέγραπται, ἤγουν πεχάραπται, ὁ παῖς τοῦ Ἀρχιτράτου, ἤγουν ὁ Ἀγησίδαμος. χρεωστῶν γὰρ αὐτῷ ὕμνον γλυκὺν, ὦ Μοῦσαι, ἐπιλαθόμην. Ἄλλως. Τὸν Ὀλυμπιονίκαν] ἀπὸ τῆς ἀρχῆς καὶ τοῦ προοιμίου ὁ Πίνδαρος δῆλός ἐστιν, ὅτι πρὸ πολλοῦ μὲν ἐξέμετο γράψαι, ὑστερίζαντος δέ, νῦν ὡς ἐξ ὑπομνήσεως ἀποδοῦναι βούλεται τὸν ὕμνον. V.

Ἔοικεν ὁ Πίνδαρος ἐν πολλῷ συνθέμενος γράψειν αὐτῷ τὸν ἐπινίκιον ὀλιγωρῆσαι διά τινα περιστασιν. νῦν οὖν ὥσπερ τι χρέος ἀποδίδωσιν αὐτῷ τὸν παρόντα ὕμνον. ἔστω δὲ τὸ χρέος γεγονὸς χρόνιον ἀπαιτοῦ καὶ σύνευ, προσίθησι μετὰ ταῦτα καὶ φιλάρεσκόν τι, ὥσπερ τινα τόκον. Τὸ δὲ ἀνάγνωτε οὐχ', ὡς φασί τινες, ἀντὶ τοῦ ἀναγνωρίσατε, ἀλλ' ἐπειδὴ γέγραπται λόγῳ, διὰ τοῦτο ἀνάγνωτι εἶπε. τὰ δὲ γεγραμμένα ἀναγινώσκεται. φασὶ δέ τινες· ὅτι πρὸς τὰς Μούσας πάσας ποιεῖται τὸν λόγον. ἐγὼ δέ φημι, πρὸς τὴν Μοῦσαν καὶ τὴν Ἀλήθειαν, εἰ καὶ ὕστερον ταύτας ἐπεζήτησαν. R.

5. Ὦ Μοῖσα, ἀλλὰ σὺ, καὶ Θυγάτηρ] σὺ τοίνυν, ὦ Μοῦσα, καὶ σὺ, τοῦ Διὸς Θυγάτηρ, Ἀλήθεια, ταῖς ἴσαις καὶ δικαίαις χρῆσον, ἀσκεπαλύστοις καὶ ἀστίρκτοις ἀφ' ἡμοῦ τὴν ἐπίπληξιν καὶ τὴν ἐπιτίμησιν, ἣν ἔν τις εἰς ἐμὲ ποιήσαιτο, ὡς εἰς τὸν ξένον μου καὶ φίλον ἡμαρτηκότα, ὅτι ὑψυσάμην καὶ ἐζεράδυνα πληρῶσαι τὸν ὕμνον. Ἀλεπτέχνον οὖν ἐνιαχοῦ φησι, τὴν διαμαρτάνουσαν εἰς τοὺς ξένους, ὅτι ξένου αὐτῷ ὄντος τοῦ Ἀρχεστράτου, ψευσάμενος ἤλπισεν εἰς αὐτὸν, ὃ ἐστιν ἥμαρτεν. V.

Ἐπειδὴ ποιήσειν αὐτῷ ἐπινίκιον οὐκ ἐψεύσθη, ἀλλ' ἐπιλαθόμενος, διὰ τοῦτό φησιν· ὦ Μοῦσα καὶ ὦ Ἀλήθεια, ἀντὶ τοῦ, ὦ λόγοι τῆς ἐμῆς ποιήσεως, ἀληθῶς, ὡς ὑπισχνούμην, ἐπαινέσοντα αὐτὸν μὴ συγχωρήσητε ψευδομένου αἰτίαν λαβεῖν μοι. Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτί μοι, ὦ παρόντες δηλονότι, ἤγουν ἀναγνόντες ὥσπερ ἐν βιβλίῳ γράμματα, εἰς μνήμην ἀγάγετέ μοι τὸν υἱὸν τοῦ Ἀρχεστράτου, τὸν Ἀγησίδαμον τὸν Ὀλυμπιονίκην, ἐν ποίῳ μέρει τῆς ἐμῆς μνήμης ἐστὶ γεγραμμένος, ἤγουν ἀπομίμνησος. γλυκὺν γὰρ μέλος, ἀντὶ τοῦ ἡδὺν ὕμνον χρεωστῶν αὐτῷ ἐπιλαθόμην. ἀλλ' ὦ Μοῦσα σὺ καὶ ἡ Ἀλήθεια ἡ Θυγάτηρ τοῦ Διὸς ἰούσατε, ἤγουν ἰρύσατε, πολύσατε, παύσατε ἐρᾶν χρῆ, ἤγουν δικαίᾳ, ἀντὶ τοῦ πολύσατε διὰ τῆς χειρὸς δικαίας, δικαίως, τὴν ἐπαινὼ ἤγουν τὴν ἐπιτίμησιν τῶν ἀνθρώπων τὴν ἔνεκα τῶν ψευδῶν, τὴν ἀλεπτέχνου, τουτέστι τὴν ἐμοῦ προσφέρουσαν ἡμῖν ἕνεκα τῆς εἰς τὸν φίλον ἁμαρτίας. Ἔκαθεν γὰρ, ἤγουν πρὸ πολλοῦ χρόνου, ἐπιλαθὼν, τουτέστι παραγενόμενος, ἐνιαχοῦ ὁ μέλλων χρόνος, ἤτοι ὁ ἀπαιτήσειος, τὸ ἐμὸν χρέος τὸ βαθὺ, τουτέστι τὸ πολὺ, κατήσχυνεν, ἤγουν ἤλεγξεν, ἐποίησεν ἔλεγξιν. ὅμως δὲ δυνατός ἐστιν ὁ τόκος, ἤγουν ὁ ὕμνος ὁ ἐπὶ τῷ ὀφειλομένῳ ὕμνῳ προσθησόμενος, λῦσαι τὴν ἀτιμωρίαν, τουτέστι τὴν πολλὴν μέμψιν τῶν ἀνθρώπων τὴν

ἄξιον, ἤγουν τὴν ἀξίως αἰνουμένην, τουτέστι τὴν μετ' ἐργῆς καὶ ἀγωνιστήσεως αἰνουμένην. R.

Θυγάτηρ] Gl. ms. γ. ποίησις.

7. Schol. ms. γ. ἤτοι (l. εἴτε) ἐπιλέλησται Ἀγησιδάμου ἡ γέγονα ῥᾴθυμος καὶ ἀχάριστος.

8. Ἐσιδὼν] Gl. ms. γ. τὴν φωνήν.

Ἀλιτέξιον] Gl. ms. γ. τὴν ὑπιδιοῦσαν τῶν ἀνθρώπων, τὴν προφερομένην. Gl. ms. β. ἁμαρτάνουσαν εἰς τοὺς φίλους.

9. Ἕκαθεν] Gl. ms. γ. ἀπὸ μακρόθεν. Ἑστιλθὼν] Gl. ms. γ. ἀποφασισμένος. (?)

Ὁ μέλλων χρόνος] ὁ προσδοκώμενος μετὰ τὴν ὑπόσχεσιν ἵστασθαι, καθότι καὶ ἀσταθίδωσι τὸν ἐπινίκιον ὁ μελλητικός. ἢ οὕτως· ὁ γὰρ ἐκ πολλοῦ διαστήματος χρόνος παραγινόμενος, τουτέστιν, ἀφ' οὗπερ ὑπισχόμην, πρὸς τοῦτον ἔκθεσιν τὸ ἐμὸν χρίος καταισχύνει, οἷον βαθὺ αὐτὸ καὶ πολὺ ποιήσει χρίος καὶ αἰξηθησόμενον τόκος. ἢ οὕτως· ὁ γὰρ ἐπιγινόμενος χρόνος μετὰ τὴν ὑπόσχεσιν πολλὰς ὧν καταισχύνει τὸ ῥῆγμα. διὰ δὲ τοῦτο σημαίνει, ὅτι πολλὰς ὁ διὰ μέσου χρόνος διελήλυθεν, εἴπερ ὁ μέλλων χρόνος οὐκ ἐγγύθεν ἀλλὰ μακρόθεν ἐλήλυθεν, ἡνίκα μνησθεὶς ἐπιτέλει τὴν ἐπαγγελίαν. ὁ δὲ πῶς· οὐδὲ γὰρ ὡρισμένος, οὐδὲ καθὼς ὑπισχόμην, ἀλλὰ πρέμνα τῆς προθεσμίας ὁ τότε ὡρισμένος καὶ τότε μέλλων, ὁ προσδοκώμενος, χρόνος αἰσχύνης ἄξιόν μηνύει μου τὴν ὑπόσχεσιν καὶ ὀφιλὴν βραδύτας. V.

Τὸ μέλλων λέγει, ὡς πρὸς τὸν καιρὸν, καθ' ὃν ὑπίσχετο ὑμνῆσαι. ὁ γὰρ μετ' αὐτὸν ἐπινίκιον χρόνος, ὡς πρὸς αὐτὸν μέλλων ἦν. R.

10. Βαθὺ χρίος] μίγισον ὄφλημα. τὸν ὕμνον λέγει. V.

13. Νῦν ψᾶφον ἑλισσομένων] ἀλληγορικῶς ταῦτα λέγει. προσυπακουστέον δὲ ἔζωθεν τοιοῦτό τι· ἴδωμεν, διωρήσωμεν, ἁμὰ ποστὶ κῦμα τὴν ψῆφον δινουμένην, ἐπιῤῥίπτον, καταπλύσῃ. τινὲς δὲ, πρὸς τὸ κατὰ τὸν ὕμνον νοούμενον πνεῦμα. παραβάλλει δὲ ἀλληγορῶν τῷ τῆς θαλάσσης ῥεύματι τὴν ἑαυτοῦ δύναμιν. ὡς γὰρ ψῆφον παρ' αἰγιαλὸν πολυδουμένην ἐκβρασσόμενον τὸ κῦμα καταπλύζει, τὸν αὐτὸν τρόπον, φησὶ, κἀγὼ τὴν ἐπιπυλιαμένην μέμψιν ἐπιπλύσω, ὡς ψῆφον. ἢ οὕτω· νῦν τὴν τῶν ἀνδρῶν μομφὴν ὥσπερ ψῆφον δινουμένην καταπλύσει τὸ τῶν ὕμνων ῥεῦμα, ὡς κῦμα, ὅταν τὸν παιδὸ λόγον, τουτέστι τὸ ποίημα πρὸς χάριν ἀποτίσωμεν. Ἄλλως. νῦν σκοπήσωμεν, ὅπως τὸ ἡμέτερον κῦμα βίον, τουτέστιν, ἡ ἡμετέρα ποίησις, καταπλύσῃ τὴν ἐλισσομένην ψῆφον, τουτέστι τὴν καθ' ἡμῶν λοιδορίαν. V.

Νῦν σκοπήσωμεν δηλονότι, ὅπως τὸ κῦμα τὸ βίον καταπλύσῃ, ἤγουν καταπλύψῃ, τὴν πολιομένην παρὰ τῷ αἰγιαλῷ ψῆφον· συμβολικὸς ὁ λόγος, ἀντὶ τοῦ, νῦν σκοπήσωμεν, ὅπως ἡ δύναμις τῶν ἡμετέρων λόγων ἀπορρύψει τὴν φερομένην καθ' ἡμῶν τῶν ἀνθρώπων μέμψιν, ὅπως τι παιδὸ ὕμνον πάσῃ τῇ πόλει δηλονότι ἀποδώσομεν εἰς χάριν ἀφορῶντα, ἤγουν δύναμις ἐπαγωγὸν, φίλην, τουτέστι φιλουμένην. ἔχομεν δὲ δηλονότι εὐπορίαν λόγων· ἡμεῖ γὰρ, ἤγουν διοικεῖ τὴν πόλιν τῶν Λοκρῶν τῶν Ἐπιζεφυρίων τὴν πατρίδα τοῦ Ἀγησιδάμου ἀτρέκεια, τουτέστιν ἀλήθεια, καὶ διὰ φροντίδος ἰσχὺς ἡ Καλλιόπη, τουτέστι, καὶ ποιητικαί εἰσι, καὶ ὁ Ἄρης, ἤτοι ὁ πόλεμος, ὁ χαλκῆ, ἤτοι ὅπλοις ὠχυρωμένος, μέλει αὐτοῖς τοῖς Λοκροῖς, τουτέστι, καὶ πολεμικοί εἰσι. R.

Ἑλισσομένων] κυλομένην. V. πλεθυνομένην Gl. ms. γ.

14. Ὅσα κῦμα] οἱ μὲν ὅτι, οἱ δὲ ὅπερ. V.

15. Κοινὸν λόγον] ἴστεροι μὲν τὸν περὶ τῶν πολλῶν λόγον, οἱ δὲ τὸν ὕμνον ἤκουσαν, ἤτοι ὅτι πλείονες αὐτοῦ μεθέξουσι νικηφόροι, ἢ ὅτι διὰ πολλῶν ἵσται γραμάτων. ὅπερ. ὅπως τὸν ὕμνον ἀποτίσωμεν προσφιλῆ τε καὶ κεχαρισμένον τῷ κομιζομένῳ. V.

Τὸ κοινὸν λόγον ἀντὶ τοῦ πάγκοινον τοῖς μετοιοῦσι νῦν τι καὶ ἐς ὕστερον. ἔχει δὲ τὸ ὅπα τὴν δύναμιν πρὸς τὸ, τίσομεν ἐς φίλαν χάριν· τὸ δὲ κοινὸν λόγον ὕστερον λέγει. R.

Λόγον] Gl. ms. γ. τῆς παρούσης φδῆς.

17. Νίμει γὰρ Ἀτρέκεια πόλιν Λοκρῶν] ἀντὶ τοῦ, ἔχει νομὴν καὶ δίδωσιν ἡ πόλις λαβὰς τῶν Λοκρῶν πρὸς ἐγκώμια, διὸ ἐπήνεγκε· μέλει τε σφίσι Καλλιόπα καὶ χάλκιος Ἄρης· καὶ γὰρ ἐν τῇ μουσικῇ διαφέρουσι καὶ τοῖς κατὰ πόλεμον· διὸ καὶ ἀφορμὰς δίδωσι τοῖς βουλομένοις. ἢ οὕτω· νέμεται καί ἐστιν ἐν τῇ ἀληθείᾳ, τουτέστι, καθ' ἑαυτῆς ἔχει τὴν ἀλήθειαν ἡ τῶν Λοκρῶν πόλις. οὐ δεῖ οὖν, φησιν, οὐδὲ μεμφθῆναι, τραχεῖα δὲ εἰκότως ἂν λέγοιτο, λοφώδης οὖσα καὶ ἐπιθαλασσίδιος. αὐτὸς γάρ φησιν· " Οἵ τ' ἀργίλοφον πὰρ Ζεφυρίου πο- " λώνου" (Schneid. Fragm. p. 102.) καὶ ἡ βούλεται λέγειν, ἴστω τοιοῦτον· καίπερ τραχεῖα οὖσα, εὐνομεῖται. διατί δὲ; φησὶν Ἀριστοτέλης· ἐπειδὴ γὰρ ἐχρῶντο τῇ θαλάττῃ, ὡς ἐν πολλῇ παραχῇ ἀπαλλαγεῖεν, ἐξέστησεν αὐτοῖς χρησμὸς, ἑαυτοῖς νόμους τίθεσθαι, ὅτι καί τις ποιμὴν (ὄνομα δ' ἦν Ζάλευκος) πολλοὺς νόμους ἐνεπόησε τοῖς πολίταις εἰσηγητὴς δοκίμους. γνωσθείς τε καὶ ἐρωτηθείς, πόθεν εἴη; ἔφησεν, ἐνύπνιον αὐτῷ τὴν Ἀθηνᾶν παρίστασθαι. διὸ αὐτός τε ἠλευθέρωται καὶ νομοθέτης κατέστη. οὐκ ἀπὸ σκοποῦ δὲ μουσικοὺς εἶπε τοὺς Λοκρούς. Λοκρσία (?) γάρ τις ἁρμονία ἐστὶν, ἣν ἀσπῆναί φασι Κινάιθωνα τὸν Λοκρόν. Ἄλλως. Νίμει γὰρ, ἀντὶ τοῦ νέμεται, καί ἐστιν ἐν τῇ ἀληθείᾳ, τουτέστι, καὶ

μιᾷ· ἑαυτῆς ἔχει τὴν ἀλήθειαν ἡ τῶν Λοκρῶν πόλις. οὐ δεῖ οὖν, φησιν, οὐδὲ ψεύδεσθαι. Ἄλλως. Νίμει γάρ. τουτέστιν, ἀληθεύει ἡ τῶν Λοκρῶν πόλις. διὸ καὶ ἐμοὶ τὴν πρὸς αὐτοὺς ἀλήθειαν φυλακτέον. ἐπεὶ γὰρ περὶ χάριτός ἐστιν ὁ λόγος, φησίν, ὅταν τι καινὸν λόγον τίσομεν ἐς χάριν· ἀσυνήθεια γὰρ ἡ τραχεῖα πόλις. τινὶς οὕτως· οἷόν ἀντιχαρίζεσθαι ἡ Λοκρῶν πόλις. τὸ δὲ φίλαν ἐς χάριν, εἰς χάριν φησὶ τοῦ νενικηκότος, ἵν' ᾖ δῆλον, ὅτι καθαρεῖ καὶ ἀποτρίψει τὸ ἄρλημα. V.

Νίμει] Gl. ms. γ. κυδιρᾷ.

Πόλιν Λοκρῶν] Λοκροὶ Ἐπιζεφύριοι, Λοκροὶ Ἐπικνημίδιοι, Λοκροὶ Ὀπούντιοι, Λοκροὶ Ὀζόλαι. τέσσαρα γὰρ γίνη Λοκρῶν. Τὸ Καλλιέπη λίγει, ἢ ὅτι καὶ παρ' αὐτοῖς ἡ ποιητικὴ χάρις ἰσπουδάζετο, ἢ ὅτι νίκας ποιοῦντες τοὺς ποιητὰς εἰς ὕμνον ἐγείρουσιν. R.

18. Καλλιέπα] Gl. ms. β. ἡ ποίησις.

19. Τράπε δὲ Κυπρία μάχα] Ἰσράσση δὲ καὶ ὑπερχώρησιν ἐν τῇ πρὸς τὸν Κύκνον μάχῃ ὁ μίγιστος Ἡρακλῆς παρορμήσαντος Ἄρεος τὸν Κύκνον. ἐμαχέσατο δὲ Ἡρακλῆς, ὅτι κακόξεινος ἦν Κύκνος, καὶ ἐν παρῳδῇ τῆς Θετταλίας οἰκῶν, ἁπαξαπάσας τοὺς παριόντας, ναὸν τῷ Ἀπόλλωνι (l. Ἄρει) βουλόμενος ἐκ τῶν κιφαλῶν οἰκοδομῆσαι, καὶ αὐτῷ παριόντι ἐπιβουλεύσαι ἠθέλησι. συράσας οὖν αὐτοῦ μάχης, ἔφυγε δείσας Ἡρακλῆς, συμβαλλομένου Ἄρεος τῷ παιδὶ Κύκνῳ. ἀλλ' ὕστερον Ἡρακλῆς καὶ τοῦτον ἀπέκτεινε. Στησίχορος ἐν ἐπιγραφομένῳ Κύκνῳ ἱστορεῖ. (Suchtort. Fragm. Stesich. p. 37.) Τοιγάρτοι διὰ τὸ καὶ τὸν Ἀγησίδαμον ἀπολήγοντα * ἤδη ὑπὸ Ἰολάου ἁλίσκεσθαι, εἰκότως ταῦτα ἐπηγάγετο· ἐχέτω οὖν, φησί, τῷ Ἰόλᾳ Ἀγησίδαμος χάριν, ὡς Ἀχιλλεῖ Πάτροκλος παρορμήσαντι εἰς τὸν πρὸς τοὺς βαρβάρους πόλεμον. V.

Ἰσορία. Τράπε δὲ Κυπρία. Κύκνος ὁ Ἄρεως υἱὸς ἐν παρόδῳ τῆς Θετταλίας οἰκῶν τοὺς παριόντας ἐκαρατόμησε, βουλόμενος ἐκ τῶν κιφαλῶν Ἄρει νεὼν ἀνεγεῖραι. παριὼν οὖν καὶ Ἡρακλῆς καὶ ὑπὸ τούτου ἐπιβουλευθείς, μάχην συνῆψεν αὐτῷ. βιζσηθέντος δὲ Ἄρεως τῷ παιδί, τραπεῖς ἀνεχώρησεν. ἀλλ' ὕστερον μόνον Κύκνον εὑρὼν ἀπέκτεινεν. λέγει οὖν τὴν Ἡρακλέους τροπὴν εἰς φεραμβίαν Ἀγησιδάμου, ὀκλάσαντος μὲν ἐν τῇ τῆς πυγμῆς ἀγῶνι, ἐκ τοῦ ἀντίπαλον ἐν παρὰ μικρὸν νικῆσαι ποιήσαντος, εἰ μὴ ὁ ἀλιτάντης αὐτοῦ Τλας ἰδὼν, θάρσος ἐνέβαλε· διὸ καὶ ἐνίκησεν. R.

Τράπε δὲ] ἤγουν εἰς φυγὴν ἐκίνησε καὶ τὸν Ἡρακλέα τὸν ὑπερβολικῶς ἰσχυρὸν ἡ μάχη ἡ Κυπρία, ἤγουν ἡ τοῦ Κύκνου τοῦ υἱοῦ Ἄρεως, ἣν μετὰ τοῦ Κύκνου συνεκρότησεν ὁ Ἡρακλῆς. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ὁ Ἀγησίδαμος ὑπεξέλη ἐν αὐτῷ τῷ ἀγῶνι, εἶτα ὑπὸ τοῦ Τλα τοῦ ἁλείπτου ἀναῤῥωσθεὶς ἐνίκησε. διὸ ἐπάγει· τοὺς πύκτας δὲ ἐν τῇ Ὀλυμπιάδι νικῶν ὁ Ἀγησίδαμος τῷ Τλᾳ φερέτω χάριν, ἤγουν εὐχαριστίαν, ὅστις ὁ Πάτροκλος τῷ Ἀχιλλεῖ, ἵνα φερε δηλονότι, ὅτι ἔστι τοὺς Τρῶας μετὰ τῶν ὅπλων αὐτοῦ. παρορμήσας δ' ἂν ἀνὴρ σὺν πελάμῃ, ἤγουν σὺν βοηθείᾳ Διοῦ, ἄνδρα πρὸς ἀριστῆν, πρὸς πιλώριον, τουτέστιν ὑψηλότατον, ὄρμησεν, ἀντὶ τοῦ ἀνεῖδεασεν, ὕψωσε κλέος. ὀλίγοι δέ τινες, ἀντὶ τοῦ, οὐδέ τινες ἔλαβον χαρὰν χωρὶς πόνων, λέγω, φῶς τῷ βίότῳ, τουτέστι, τῇ παρούσῃ ζωῇ, ἔργων πρὸ πάντων, ἀπὸ πάντων φημὶ τῶν ἔργων. R.

21. Ἴλᾳ φερέτω χάριν] οὕτω, φησὶ, τῷ Ἰόλᾳ χάριν ἐχέτω ὁ Ἀγησίδαμος, ὅστις Πάτροκλος τῷ Ἀχιλλεῖ· τοῖς γὰρ ὅπλοις ἠρίστευσε τοῖς ἐκείνου. Ἄλλως. ὡς Ἡρακλέα τραπέντα ἀνέῤῥωσεν ἡ Ἀθηνᾶ, οὕτω καὶ τὸν Ἀγησίδαμον ὁ Ἰόλας. φερέτω οὖν χάριν, ἤτοι ἐχέτω χάριν τῷ Ἴλᾳ Ἀγησίδαμος πύκτης, ὡς Πάτροκλος τῷ Ἀχιλλεῖ· τοῖς γὰρ ὅπλοις ἠρίστευσε τοῖς αὐτοῦ. V.

23. Φύτν' ἀριστῆ] τὸν φύτα πρὸς ἀριστὴν σὺν Διοῦ πελάμᾳ παρεξύνας τὶς πρὸς μίγα κλέος ὀρμῆσαι ποιήσειεν. V.

Τὸ ἀριστῆ ἢ πρὸς τὸ Θήξας, ἵν' ᾖ, παρακινήσας ἐν ἀριστῇ, ἢ πρὸς τὸ ὀρμῆσαι. Ἵν' ᾖ, ὀρμῆσαι ἐν ἀριστῇ πρὸς κλέος μίγα, ἢ τῇ ἑαυτοῦ, ἢ τῇ ἐκείνου. R.

26. Ἄσσον δ' ἔλαβον χάρμα παῦροί τινες] οὗτος μὲν οὖν, φησι, μετὰ πόνου ἔλαβε τὴν νίκην. ὀλίγοι δέ εἰσιν οἱ χωρὶς πόνου νικήσαντες. ἢ οὕτως· οὐδένες χωρὶς πόνου χαρᾶν τινος ἔσχον ἔργου. ἢ, οὐδένες πρὶν ἐπεργῆσαι νικῶσί τι. ἢ δὲ οἶκα τῷ βίῳ αὐτῶν ἐστι φάος. V.

28. Ἀγῶνα δ' ἐξαίρετος] ἐμὲ δὲ παρώρμησαν αἱ τοῦ Διὸς Θέμιδες ὑμνῆσαι τοῦτον τὸν ἀγῶνα. Θέμιδες δὲ Διὸς ὁ κατὰ Θεσμὸν τῆς πενταετηρίδος πληρωθεὶς χρόνος. ἢ οὕτως· ἐμὲ παρετράπουσιν αἱ Διὸς Θέμιδες ᾄσαι τὸν ἀγῶνα τὸν ἐξαίρετον τοῦ Διὸς τῷ ἐν Ὀλυμπίᾳ. Ἄλλως. τὸ ἐξῆς· ἀγῶνα Διός. Θέμιτες οὖρσαν· ἐστὶ μετὰ δικαιοσύνης ἀγωνίζονται, ἀντὶ τοῦ Θέμιδες. Δωρικὴ δὲ ἡ κλίσις. Ὅμηρος· (Iliad. ό. 87.) "Θέμιστι δὲ "καλλικαρήνῳ." V.

Τὸν ἀγῶνα δὲ τὸν ἐξαίρετον, ἀντὶ τοῦ τὸ κατασκεύασμα τὸ ἐν Ὀλυμπίᾳ, ἔνθα ὁ ἀγὼν ἐτελεῖτο, ὑμνῆσαι ὥρσαν, ἤγουν διήγειραν ἐμὲ, δηλονότι αἱ Θέμιτες, ἤγουν αἱ νομοθεσίαι τοῦ Διὸς, αἱ κατὰ νόμους συνθεῖαι. τοῦ Διὸς δὲ λέγει αὐτὰς, ἐπειδὴ βασιλέα

* f. ἀπολιτάντα deficientem.

πάντων αὐτὸν ἐνόμιζε· βασιλίως δὲ τὸ νομοθετεῖν. ὃν, ἤγουν τὸν ἀγῶνα, ἡ ἰσχὺς τοῦ Ἡρακλέους, περιφρασικῶς ὁ Ἡρακλῆς, ἐκτίσατο, ἀντὶ τοῦ, ἔκτισε, κατεσκεύασε, πλησίον τοῦ ἀρχαίου μνήματος τοῦ Πέλοπος· ἐπεὶ, ἤγουν ἀφ' οὗ, τὸν Κτίατον τὸν ἀμύμονα, ἤτοι τὸν ἄψογον, ἐφόνευσε, τὸν υἱὸν τοῦ Ποσειδῶνος· ἐφόνευσε δὲ τὸν Εὔρυτον, τὸν ἀδελφὸν αὐτοῦ, ἵνα πράσσοιτο, ἤγουν ἀπαιτοίη, τὸν Αὐγείαν ἄκοντα ἐκὼν τὸν μισθόν, τὸν ὑπέρῤῥιον, τὸν ὑπερβολικῶς πολὺν, ἀπὸ μεταφορᾶς τῶν ὑπερβολικῶν τὴν ἰσχὺν, τὸν λάτριον, τουτέστι τὸν ὑπὸ τῆς δουλείας τῆς ἐξαιρέσιως τῆς πάτρου· συνεμάχουν γὰρ οὗτοι, ἤτοι ὁ Κτίατος καὶ ὁ Εὔρυτος, τῷ Αὐγείᾳ, οὐ προθυμουμένῳ δοῦναι τῷ Ἡρακλεῖ τὸν συμπαφωνημένον μισθόν. ἦσαν δὲ οὗτοι μητρὸς μὲν τῆς Μολίονης, ἀφ' ἧς καὶ Μολιονίδαι ἐλέγοντο. πατρὸς δὲ, λέγω μὲν τοῦ Ἄκτορος, αὐτοὺς ἔλεγον, τῇ δ' ἀληθείᾳ Ποσειδῶνος ἐνόμιζον. Κτίατος καὶ Εὔρυτος Μολίονης καὶ Ποσειδῶνος υἱοί. ὅτε δὲ Ἡρακλῆς μετὰ Τιρυνθίων κατ' Αὐγείου ἐστράτευσε, συμμαχοῦντες οὗτοι Αὐγείᾳ, ἵν τινι τόπῳ τῆς Ἠλίδος λοχήσαντες τοῦ στρατοῦ τὸ πλεῖον. διέφθειραν, ἔπειθ' ὕστερον αὐτοὺς Ἡρακλῆς εἰς τὸν ἀγῶνα μέλλοντας ἀπίναι λοχήσας ἐξ αὐτοὺς ἐν ταῖς λόχμαις τῶν Κλειωνῶν, τούτους ἀπέκτεινε. μεταθέντος οὖν Αὐγείου, πρῶτον μὲν τὴν πόλιν αὐτοῦ πορθεῖ, ἔπειτα καὶ αὐτὸν ἀναιρεῖ. R.

29. Ὃν ἀρχαίῳ σάματι] τὸ μνῆμα τῷ Πέλοπος τὸ αὐτὸ τῷ βωμῷ. οὐ γὰρ ἱτέρωθι μὲν ὁ Πέλοψ, ἱτέρωθι δὲ ὁ βωμός, ἀλλ' ἐν ἐξ τὸ αὐτὸ χωρίον εἰσὶ σῆμα ἐξ βωμός. ἐξάρχεσθαι δὲ, ἐπεὶ τῶν δώδεκα θεῶν ἓξ βωμοὺς κατεσκεύασεν. ὁ δὲ νοῦς· ἓν τινα ἀγῶνα πλησίον τοῦ ἀρχαίου σήματος ἐξ τάφου ἓξ βωμῶν ἀριθμὸν ἔχοντα, [ἕκτον βωμὸν,] ἱδρύσατο καὶ κατεσκεύασεν Ἡρακλῆς, ἡνίκα τοὺς τοῦ Ποσειδῶνος ἐνίκησε παῖδας, Κτίατον καὶ Εὔρυτον, ἵνα ἐνεκεθῇ τῆς ὑπηρεσίας μισθὸν κομίσασθαι παρὰ τοῦ Αὐγείου πλεῖον ὄντα, καὶ παρὰ ἄκοντος αὐτὸς ἐκών. ἐλάτρευσε γὰρ αὐτῷ ὁ Ἡρακλῆς ἐκφορήσας τὴν ἐν τῇ αὐλῇ κόπρον. ὑπέρῤῥιον δὲ, τὸν πολύν. ἐνίκησεν οὖν τοὺς Μολιονίδας ὁ Ἡρακλῆς, ἵν' εἰσπράξηται τὸν Αὐγείαν, ὅτι ἐν τῷ πρὸς Αὐγείαν πολέμῳ Ἡρακλῆς ὑπὸ τῶν Μολιονιδῶν ἀλοὺς, ἔφυγε. διὸ μηνίσας αὐτοῖς τὸν περὶ Κλειωνὰς συνεχῆσαῤῥ λόχον, φησὶ Μνασίας ὁ Πατρεύς. Ἄλλως. Κτίατος καὶ Εὔρυτος, ἀδελφοὶ, τῷ μὲν λόγῳ Ἄκτορος καὶ Μολίονης, τῇ δὲ ἀληθείᾳ Ποσειδῶνος καὶ Μολίονης. οὗτοι συνεχρατύσαντο Αὐγείᾳ, καὶ ἐπιδὴ εἰς τὸν μισθὸν τῆς ἰσχύσεως τῆς ὄνθου ἠδικεῖτο Ἡρακλῆς, ἀπεπαθάρας μὲν τὴν κόπρον, ἀπεστερούμενος δὲ τοῦ συμφωνηθέντος μισθοῦ, λοχήσας ἐν Κλειωναῖς τοῦ Ἄργους ὁ Ἡρακλῆς ἀνῄλεν, ἵν' ἰδαλάντερος αὐτῷ μεταθῇς ὁ Αὐγείας γένηται. ἦν δὲ ὁ μισθὸς ἡ δεκάτη τῶν βοῶν· ἀνεῖλεν οὖν τοὺς Μολιονίδας ὁ Ἡρακλῆς, ἵν' εἰσπράξηται τὸν Αὐγείαν. λάτριον δὲ μισθὸν, τὸν ἀντὶ τῆς λατρείας καὶ ὑπηρεσίας. V.

30. Πὰρ] Schol. Ms. β. σύναψον τὴν παρὰ μετὰ τοῦ, ἀρχαίῳ σάματι. (G. πὰρ Π. βωμῷ ἐξάρξασθαι Ἡρακλέης ἐκτ.)

31. Βίᾳ] Gl. ms. β. δύναμις.

Ὡς Αὐγέαν] τὸ ὡς, ἀντὶ τοῦ ἕως. V.

34. Ὡς πράσσοιτο] τὸ ὡς, ἢ ἀντὶ τοῦ ἐπεὶ, ἵν' ᾖ τὸ πράσσοιτο ἀντὶ τοῦ ἔπρασσεν, ἢ ἀντὶ τοῦ ἵνα, ἵν' ᾖ πρὸς τὸν μέλλοντα· τὸ δὲ ὑπέρῤῥιον πρὸς τὸν Αὐγέαν συναπτέον. R.

Λάτριον] Gl. ms. γ. διδουλευμένον.

36. Λόχμαισι δὲ δοκεύσας] δασέσι τόποις. ἐπιτηρήσας γὰρ αὐτοὺς ἐν τοῖς συνδένδροις τόποις τῶν Κλειωνῶν, ἀνεῖλεν, ἐνδρεύσας καὶ λοχήσας, διότι πρώην ποτὲ τὸ στράτευμα αὐτοῦ, τὸ ἐκ τῶν Ἀργείων, ἐν τῇ πόλει τῶν Ἠλείων καθιζόμενον ἐπολέμησαν αὐτοὶ οἱ ὑπερήφανοι παῖδες τῆς Μολίνης. V.

Ὁ δὲ ἀντὶ τοῦ γάρ. ἦγουν, ἐν συνδένδροις γὰρ τόποις ὑποκάτω τῶν Κλειωνῶν (πόλις δὲ τοῦ Ἄργους αἱ Κλειωναὶ) ἐφόνευσε καὶ ἐκείνους ὁ Ἡρακλῆς, τουτέστι τὸν Κτίατον καὶ τὸν Εὔρυτον, ἐφ' ὁδῷ, ἤγουν ἐνέδρᾳ, δοκεύσας καὶ ἐπιτηρήσας, διότι πρότερον αὐτοὶ οἱ Μολίονες οἱ ὑπερφίαλοι, ἤγουν οἱ ὑπερβολικῶς ὑπερήφανοι, στρατὸν Τιρυνθίων, ἤτοι Ἀργείων, καθήμενον ἐν ταῖς κοιλάσι τῆς Ἠλιάδος ἐπόρθησαν, ἀντὶ τοῦ ἔφθειραν. R.

37. Ὑπὸ Κλειωναῖς] Δωρικῶς, ὑπὸ Κλειωνῶν. ἔστι δὲ ὄνομα πόλεως Ἀργολικῆς. [στενὸς δὲ, δῆμον Λακωνικόν.] ἰδάμασε δὲ Εὔρυτον καὶ Κτίατον ἀποκτείνας αὐτοὺς πορευομένους ἐπὶ τὸν Ἰσθμιακὸν ἀγῶνα, [ἤτοι ἀπέκτεινεν αὐτούς·] ἐφ' ὁδῷ δὲ, ἀντὶ τοῦ λόχῳ. καὶ (Hom. Iliad. α'. 151.) " ὁδὸν ἐλθεῖν " μεν," ἀντὶ τοῦ ἐνέδραν ἐλθεῖν. ἀπέκτεινε δὲ αὐτοὺς πορευομένους εἰς τὸν Ἰσθμιακὸν ἀγῶνα. τὸ δὲ, ὅτι πρόσθι ποτὶ, τὴν αἰτίαν ἀποδιδοὺς τοῦ γεγενημένου ὁ Πίνδαρός φησι. V.

39. Ὅτι πρόσθι ποτὶ Τιρύνθιον] τουτέστιν, ὅτι πολλοὺς συστρατεύσαντας αὐτῷ ἀπέκτειναν. οἱ δὲ ἀποθανόντες ἐν τῇ μάχῃ εἰσὶν οὗτοι Τελαμὼν, Χαλκώδων, καὶ Ἰφικλῆς ὁ πρεσβύτατος αὐτοῦ ἀδελφός. Ἄλλως. Τιρύνθιον, ἀντὶ τοῦ Ἀργεῖον· Τίρυνς γὰρ πόλις Ἄργους. ὅτι δὲ ἐν τῷ πρὸς Αὐγείαν πολέμῳ ὁ Ἡρακλῆς ὑπὸ τῶν Μολιονιδῶν ἀλοὺς ἔφυγε· διὸ μηνίσας αὐτοῖς τὸν περὶ Κλειωνὰς συνεχῆσαι λόχον, φησὶ Μνασίας ὁ Πατρεύς. V.

42. Ὑπερφίαλοι] Gl. ms. γ. ἄδικοι.

Καὶ μὰν ξινατάτας βασιλεὺς] ξινατάτην αὐτὸν φησι διὰ τὴν τοῦ μισθοῦ ἀγνωμοσύνην· ἀλλὰ μὴν καὶ ὁ περὶ τοὺς φίλους

ἀπατηλὸς Αὐγείας, ὁ τῶν Ἠλείων βασιλεὺς, ὑπέσχετο οὐ πολὺ ὕστερον τὴν ἑαυτοῦ πατρίδα εἰς πλῆθος κακῶν ἐμβαλλομένην, τοῦτο μὲν πυρὶ, τοῦτο δὲ σιδήρῳ, ᾧ εἰς ῥεῦμα ἄστης ἐγκαθίσασαν. V.

Καὶ μὴν ὁ βασιλεὺς τῶν Ἐπειῶν, ἤτοι τῶν Ἠλείων, ἦγουν ὁ Αὐγείας ὁ ξενικατάστας, τυτ-θεὶς ὁ τοὺς φίλους ἀπατῶν (τοῦτο δέ φησι διὰ τὴν τοῦ μισθοῦ ἀγνωμοσύνην αὐτοῦ), ἔπεισθεν, ἦγουν ὕστερον μετὰ ταῦτα, οὐκ ἐπὶ πολὺν χρόνον, εἶδε τὴν πατρίδα, τὴν ἑαυ-τοῦ πόλιν, τὴν πολυκτίσιον, ἤτοι τὴν πο-λυκτήμονα, τὴν πολυθρίμμονα, ὑπὸ πυρὶ-οὖ πυρὸς, ἰσχυροῦ, δραστηρίου, ᾧ ὑπὸ πληγῶν σι-δήρου, καθίζουσαν, ἀντὶ τοῦ καταδυομένην, εἰς βαθὺ ῥεῦμα βλάζης. R.

44. Πολυκτίσιον] Gl. ms. γ. πλούσιον.

45. Πλαγαῖς τι σιδήρου] διὰ τὸ κατεσκάπτεσθαι ὑπὸ τῶν σκαφίων. V.

46. Βαθὺν ἐς ἔχιστον ἄστυ] κατὰ περί-φρασιν, ἄστυ, εἰς ῥεῦμα ἄστης ἐμπεσοῦσαν. Ἔζουσαν δὲ, ἐπικαθημένην· τὴν πόλιν δὲ κα-λεῖσθαί φασι Φύκτιον, ἀπό τινος Φυκτίου, οὗ μέμνηται καὶ Ἡσίοδος (Fragm. p. 444. Ruhnken. Ep. crit. i. p. 111.) οὕτω·

Τὴν δ' Ἀμαρυγκείδης Ἰφιτόστρατος, ὄζος Ἄρηος,
Φυκτίους ἀγλαὸς υἱὸς, Ἐπειῶν ἔρχαμος ἀνδρῶν. V.

Ἵζουσαν] Gl. ms. γ. καθημένην.

47. Νεῖκος δὲ κρισσόνων] παραφράζει τὸ Ὁμηρικόν· (Iliad. α'. 80.)

Κρίσσων γὰρ βασιλεὺς ὅτε χώσεται ἀν-δρὶ χέρηϊ.

ὃ ἐστι· τὸ τῶν κρισσόνων νεῖκος οὐ ῥᾴδιον ἀπο-θέσθαι. ἐπὶ γὰρ τοῖς κρείττοσι πίπτει τὸ, ὅτι θέλουσι πολεμεῖν. Ἄλλως. ἀδύνατόν γάρ ἐστι τῷ ἥττονι, τὸ τῶν ὑπερισχόντων κράτος ἐκκλῖναι. V.

Ὁ δὲ, ἀντὶ τοῦ γάρ· ἤγουν τὴν φιλονει-κίαν γὰρ τὴν περὶς τοὺς ἐπικρατεστέρους κι-νηθεῖσαν ἀποθέσθαι, ἀντὶ τοῦ ἐκφυγεῖν, ἐπισυμβαίνειν δηλονότι καὶ βλάπτουσαν. ἡ ἀπόθεσις γὰρ ἐπὶ βάρους λέγεται. ἄσχετον, ἤγουν ἀμήχανον, ἀδύνατον. καὶ ἐκεῖνος, ἤ-γουν ὁ Αὐγείας, δι' ἀξουλίαν, τουτέστι μω-ρίαν, ὕστατος, ἤγουν τελευταῖον περὶ τὸ τέ-λος τῆς ἀλώσεως, τουτέστι τῆς περσθήσεως, τῆς ἑαυτοῦ πόλεως, συναντήσας ἤγουν συγ-κρούσας, τῷ Ἡρακλεῖ δηλονότι, θάνατον χαλεπὸν οὐκ ἐξέφυγεν. R.

Κρισσόνων] Gl. ms. γ. ἀνδρειοτέρων.

Ἀποθέσθ' ἄσχετον] ἀμήχανον. διὸ καὶ Αὐγείαν οὐχ οἷόν τ' ἦν τὴν Ἡρακλείους μέ-χην ἀποφυγεῖν, καὶ μὴ ὑπὸ τούτου τιτιμω-ρῆσθαι. R.

48. Κἀκεῖνος ἀξουλίαις] ὁ γοῦν Αὐγίας διὰ τὴν οἰκτίαν ἄνοιαν περὶ τὰ τιλευταῖα τῆς ἁλώσεως περιτυχὼν τῷ Ἡρακλεῖ, οὐκ ἠδυνήθη τὸν μέγιστον καὶ χαλεπώτατον θάνατον ἐκφυγεῖν. V.

51. Ὃν ἄρ' ἐν Πίσῃ ἵλασε] ἐν χωρίῳ τινὶ χωριζομένῳ τῆς Ὀλυμπίας κατὰ τὴν τῶν Γεωγράφων βουλὴν, σταδίους τριακο-σίους. (l. ς pro σ') ὁ δὲ νῶϊ· ὁ δὲ δὴ τοῦ Διὸς ἰσχυρότατος υἱὸς Ἡρακλῆς, συναγα-γὼν καὶ κατασχὼν ἐν τῇ Πίσῃ, ἤτοι τῇ Ἠλιδι τὸν ὅλον αὐτοῦ στρατὸν καὶ τὴν πᾶσαν-λείαν, οὕτω λοιπὸν κατασκάπτει τὸ Θεῖον τοῦ Διὸς ἄλσος. Ἄλλως. ἐν Πίσῃ ἵλασε] συγκλείσας, κατασχὼν, καθηρέσας. V.

Ὁ δὲ υἱὸς τοῦ Διὸς ὁ ἰσχυρὸς, ἤγουν ὁ Ἡρακλῆς, ἐν τῇ Πίσῃ ἵλασε, τουτέστι συνα-γαγὼν, κατασχὼν, ὅλον τι τὸν στρατὸν καὶ πᾶσαν τὴν λείαν, ἤγουν τὴν λαφυραγωγίαν, ἠναθμᾶσε, ἀντὶ τοῦ, κατιμήσει χάριν τοῦ πατρὸς αὐτοῦ τοῦ μεγίστου, ἤγουν τοῦ Διὸς, ναὸν ἄγαν Θεῖον, ἀντὶ τοῦ τόσον εἰς κα-τασκευὴν ναοῦ κατὰ πολὺ Θεῖον. περι-πήξας δὲ, ἤγουν περιορίσας, περιπυκλώ-σας, τὴν ἄλσιν μὲν, τουτέστι τὸ ἱερὸν, οὕτως ὁ Ἡρακλῆς, ἐν καθαρῷ, τόπῳ δηλονότι, διέ-κρινεν, ἤτοι διεχώρισε. τὸ δὲ πύκλῳ τῆς ἄλσιως πίδαι, ἤγουν χωρίον ἰσοίμεσι διίστων κατάλοσιν, ἤγουν κατάγωγὴν, ἀνάπαυσιν, τιμήσας τὸν πόρον τοῦ Ἀλφειοῦ, περιφερεια-κῶς, ἀντὶ τοῦ τὸν Ἀλφειὸν, μετὰ τῶν δώ-δεκα Θεῶν, τῶν βασιλέων, καὶ πάγον, ἤγουν ἔρος Κρόνου, τουτέστι Κρόνιον λόφον, προστ-φθίγξατο, ἤτοι προσηγόρευσεν, ὀνόματα πάντα τὸν τόπον δηλονότι. πρόστερον γὰρ ὠνύμασε, ἤτοι ἔδεξε, ἔξω ὕμνου, ἤτοι πλέ-ους, προσηγορίας δηλονότι, ἡ χώρα, ἧς ἐβα-σίλευεν ὁ Οἰνόμαος, ἐξερίχυτο πολλῇ πφάδῃ, τουτέστιν ἐκπλύστητο τῇ σκαπτῇ, ὥστε ὑπὸ πολλῆς καταφερομένης χώνης. R.

52. Λεῖαν] Gl. ms. γ. εἰς καλεσάμενος.

53. Σταθμᾶτο] κατιμετρεῖτο, περιώ-ριζε, περιεσκέπτετο, ἢ κατεσκεύαζεν. ἄλσος δὲ τὸ ἀνειρομένον τῷ Διῒ γῆς μέρος, εἰ καὶ ψιλὸν εἶη φυτῶν. V.

Σταθμᾶτο] Gl. ms. κατεμέτραζε.

54. Περὶ δὲ πάξας] περιπήξας, φησὶν, ὁ Ἡρακλῆς πύκλῳ τὸ ὅπλα, ἐσταθμᾶτο τῷ πατρὶ τῷ μεγίστῳ τὸ ἱερὸν, ἀντὶ τοῦ κατε-βάλλετο. ἄλσιν δὲ τὸ ἄδυτον· κατὰ δέ τι-νας τὸν ναὸν, κατὰ δὲ ἑτέρους ὅπλα χωρίον. γεράφεται δὲ καὶ Ἄλσι, ἵν' ᾖ, τὴν μὲν Ἦλιν καθαίρουσι τῷ Διῒ, τὸν δὲ πύκλῳ τόπον αὐ-τοῦ εἰς συμπόσιον ἐτοίμασεν. V.

55. Ἄλσιν μὲν ἴνʼ ἐν καθαρῷ διέκριν] τὴν μὲν Ἦλιν ἢ Ἄλσιν καθαίρουσι τῷ Διῒ, τὸ δὲ χωρίον τὸ πύκλῳ τοῦ ναοῦ κατακλυτήριον ἵσταξεν εἶναι τῶν ἀγωνιζο-μένων εἰς ἐυωχίαν. τὸ δὲ ὅλον περιπή-ξας δὲ καὶ περιῤῥάξας τόπον τὸν μὲν ναὸν καὶ τὸ ἄδυτον αὐτοῦ διεχώρισεν ἐν τῷ καθαρωτάτῳ μέρει, ἀνὰ τὸ μεσαίτατον· τὸ δὲ εἰς πύκλον τῆς γῆς ἢ τοῦ ναὸς, κατωγώ-

φιον ἱκοίησι καὶ διακηρύκιον τῶν ξένων. Ἄλλως. Ἀριστόδημος γράφει ἀντὶ Ἄλιν, Ἄλτιν. οὕτω γὰρ τὸν περὶ τὴν Ὀλυμπίαν τόπον καλεῖσθαι, καὶ τὸν Δία ἐξ ἱπποδρόμου Ἄλτιον. μὴ γὰρ λόγον ἴσχιν, τὴν ὑπ' αὐτοῦ περιορθωμένην Ἦλιν ἱερὰν καὶ καθαρὰν ποιῆσαι, ἀλλὰ μηδὲ ἱερὸν εἶναι Διὸς ἐν Ἤλιδι, ἀλλ' ἐν Πίσῃ. ἀποικίσθαι * δὲ τὴν Πίσαν τῆς Ὀλυμπίας φαδίους ἴξ. Δίδυμος δὲ κατὰ χώραν ἐῶν τὴν γραφὴν, τὸν Πίνδαρον τὴν Πίσαν Ἦλιν λέγειν φησίν. οἱ γὰρ Ἠλεῖοι ὑφ' ἑαυτοὺς ποιησάμενοι τοὺς Πισαίους † Ἦλιν τὴν Πίσαν μετωνόμασαν. εἰ οὖν ἡ Πίσα μετέβαλε, τί ἂν εἴη ἁμαρτὸν γράφων, Ἄλιν. καὶ Καλλίμαχος δὲ τὴν Ἦλιν ἀντὶ τοῦ τὴν Πίσαν, εἴπερ· "Ἦλιν ἀνάσ-" σεσθαι, Διὸς οἰκίον, ἴλλιστι Φυλεΐ." (Fragm. 189.) ἱερὰν δὲ τὴν Ἦλιν, ἀντὶ τοῦ Πίσαν. καὶ τὸν ἐν Πίσῃ δὲ Δία Ἠλεῖον ὕστι Καλλίμαχος (Fragm. 99.) Ἀλεῖος ὁ Ζεύς. V.

58. Τιμάσας πόρον Ἀλφειοῦ μετὰ δώδεκα'] Ἀνάκτων θεῶν] καὶ γὰρ αὐτὸς ἱπποδρομήσας τοῖς ιβ' θεοῖς, ὁ δὲ ἐν Ὀλυμπίᾳ βωμὸς οὐ δύναται ἐξ ἄλλου ὕδατος γενέσθαι (βαίνεσθαι?) εἰ μὴ ἐκ τοῦ Ἀλφειοῦ. Ἄλλως. Ἀλφειῷ εἰκότως, ὡς ἐγχωρίῳ ὕδατι ποταμῷ. μετὰ δὲ τῶν δώδεκα θεῶν τοὺς βωμοὺς ἱκοίησι. βωμοὺς γὰρ ἵδρυσι διδύμους ἐξ, ἑκατόμπεδά τι τοῦτον τὸν τόπον πάγον Κρόνου. Τὸ πρότερον γάρ, φησιν, οὐθεμίαν εἶχε προσηγορίαν, ἕως ἐβασίλευσεν ὁ Οἰνόμαος, ἀλλὰ πρημνὸς οὗσα καὶ ἀοίκητος ἐξέπιπτε τοῖς πολλοῖς ὑετοῖς ἐξ ἅμιζρους. Ἄλλως. Τὸ βρέχιστο ἀντὶ τοῦ κατεσκεπάσθη φησί. συνήθως γὰρ τὸ βρέχεσθαι ἐπὶ τοῦ σκεπάζεσθαι εἴρηκε. ἐξ ἀλλαχόσε· [Fragm. p. 103. ed. Schneid.] Μηδ' (f. μή τι) γὰρ βρεχέσθω. Τινὲς δὲ οὕτως· ἐκρύπτετο νεφέλῃ, τῇ περὶ τὸν Οἰνόμαον ἀδοξίᾳ. Ἄλλως. Τιμάσας πόρον Ἀλφειῶ, τουτέστι, πρῶτον τῷ Ἀλφειῷ ἔθυσιν ὡς ἐντοπίῳ θεῷ. V.

59. Μετὰ δώδεκ' ἀνάκτων] ἀντὶ τοῦ σὺν δώδεκα θεοῖς. V.

60. Καὶ πάγον Κρόνου] Κρόνιον πάγον προσηγόρευσεν. V.

61. Ἂς Οἰνόμαος] ἀντὶ τοῦ ἅς· καὶ ἐστιν ἐπίῤῥημα χρονικόν. V.

Τινὲς φασιν, ὡς περὶ τοῦ τὸ δωδεκάθεον τὸν Ἡρακλέα ποιῆσαι, Κρόνιος ἐκαλεῖτο λόφος, διὰ τὸ Κρόνου ἱερὸν ἐνταῦθοῦ εἶναι. ἄλλοι δὲ λέγουσι, μιᾷ' ὧν καὶ Πίνδαρος, ὡς ἥρημος ἦν ὁ χῶρος, Ἡρακλῆς δὲ τὸ δωδεκάθεον κτίσας, Κρόνιον λόφον τὸν τόπον ὠνόμασεν, ἀπὸ τοῦ ὑπερέχοντος. ὁ γὰρ Κρόνος πανταχῆ τῶν θεῶν. Δίον εἰκεῖν νομίσας, κάτωθεν οὕτω πρὸς τὸ μέρος. οὕτως· ἧς γὰρ χώρας Οἰνόμαος ἦρχε, τοῦτο τὸ μέρος, ἐν ᾧ νῦν ἡ Ὀλυμπία, ἐξέρχετο περίοδον ἐν πολλῇ ὑφάδι νώτυμνον, ἤτοι ἀνώνυμον, ἀπλίης. εἰκότως δὲ εἶπε τὸ ὑφάδι· λόφος γὰρ ἦν. ἔστι δὲ ἡ τοιαύτη γυνὴ, τὸ ἧς, πρὸς τὸ νώτυμνον, ἵν' ᾖ ἁπλῆς καὶ ἄδεκτον αὐτῆς. R.

62. Ταύτᾳ δ' ἐν πρωτογόνῃ τιλιτῇ] ἐν δὴ ταύτῃ τῇ πρώτῃ καταβολῇ τῶν Ὀλυμπίων καὶ πρώτῃ τιλιτμίνῃ ἑορτῇ, παρίστων μὲν, παρεγίνοντο μὲν, αἱ Μοῖραι αἱ τιμίαι, καὶ ὁ τὴν ἀληθείαν πᾶσι φανερῶν χρόνος. τοῦτο εἶπε διὰνυόν, ὅτι εὐμοίρως καὶ πολυχρονίως ἡ πανήγυρις τιλισθήσεται. Ἄλλως. ἐν ταύτῃ πρῶτον ἀγομένῃ τῇ ἑορτῇ παρέστησαν αἱ Μοῖραι καὶ ὁ Χρόνος τοῖς θεοῖς. παρείληφε δὲ τὰς Μοίρας καὶ τὸν Χρόνον, ὅτι εὐμοιρές τι ὁ ἀγὼν ἴσωτο καὶ εἰς ἅπαντα τὸν αἰῶνα. V.

Ἐν ταύτῃ δὲ τῇ ἑορτῇ τῇ πρωτογόνῳ, ἤγουν τῇ πρώτῃ γινομένῃ, τουτέστι, τῇ ἐν πρώτῃ καταβολῇ τῶν Ὀλυμπίων, παρέστησαν μὲν ἤγουν παραγινόμεναι ἔστησαν πλησίον αἱ Μοῖραι, παρέστη καὶ ὁ Χρόνος, ὁ μόνος τὴν ἀλήθειαν ἀποδεικνύων φανερῶς. τὰ δὲ σαφὴς ἵμερόσθιν χωρῶν ἰφανίρωσιν, ἀντὶ τοῦ φανεροῖ, δηλοῖ. ταῦτα δέ φησι διὰ τὴν παρακολουθήσασαν τῇ ἀγῶνι εὐδαιμονίαν καὶ τοῦ κλέους βεβαίωσιν. Τὰς Μοίρας εἶπε καὶ τὸν Χρόνον παρεστῆναι τότε τῇ πανηγύρει, ἵνα εὐδαίμων εἴη καὶ μηδέποτε παύσαιτο. R.

67. Τὸ δὲ σαφανὶς] τὸ δὲ πρότερον σαφανὲς ὄν, περιῶν ὁ χρόνος ἐνιφάνησι, καὶ φανερὸν ἱκοίησι, ποῦ τὰ λάφυρα τοῦ πολίμου καὶ τὰ ἀπάργματα ἔθυσιν ὁ Ἡρακλῆς. ἃ οὕτω· περιῶν δὲ ὁ χρόνος τὸ σαφανὲς ἡμῖν κατέδειξεν, ὅπου τὴν πολίμου δόσιν, τουτέστι, τὰ ἀκρόθινα διαμερίσας τοῖς θεοῖς ἔθυσι. Ἄλλως. (τὸ δ' ἀφανὲς) τὸ ἄφαντες, ἰὼν εἰς τὸ πρόσω ὁ χρόνος, ἴδηλον ἱκοίησιν. ἔστιρον δὲ οὕτω, σαφανὲς, ἵν' ᾖ τὸ σαφὲς, ὑφὶν ἀναγινώσκουσιν, ὡς τὴν ἄνω διάνοιαν· τὸ δὲ ἀληθὲς ὂν καὶ σαφὲς, δεῖ ὁ χρόνος φανερόν. τὸ δὲ, ὅπα τὸν πολίμου δόσιν, ἀντὶ τοῦ ὅπου καὶ ἐν ᾧ τόπῳ διανέμας τὰ λάφυρα, λαόν τι τὰς ἀπαρχὰς ἔθυσι, καὶ ὅπως θυμασίως τὴν τοῦ ἀγῶνος ἑορτὴν κατέστησεν ἐν τῇ πρώτῃ Ὀλυμπιάδι καὶ τοῖς ἀγωνίσμασι. πολίμου δὲ δόσιν τὰ λάφυρά φησιν· ὅπου τὴν λῆψιν τῶν ἐκ τοῦ πολίμου γενομένων διελών, φησι, τὰ ἀκρόθινα τοῖς θεοῖς ἔθυσε. V.

Τοῦ σαφανὶς ἴστι μεθερμηνευτικὸν τὸ ὅπα. τὸ δὲ ἀκρόθινα πρὸς τὸ ἔθυσεν συναπτέον, ἵν' ᾖ τὸ δηλὸν πρὸς τὴν τοῦ πολίμου δόσιν. R.

Ἰὼν] Gl. ms. γ. περιούμενος.

* Gott. ἀποικίσθαι.

† f. Πισάτας.

68. Ὅσα τὰν πολίμου δὶ δόσιν] ὁπηνίκα δὶ τὴν δωρεὰν τοῦ πολίμου ὁ Ἡρακλῆς δηλονότι, διαχωρίσας τὰ ἀκρόθινια, ἤγουν τὰ ἐξαίρετα, ἔθυε· καὶ ἰὼδὺς τὴν πανηγυρίδα ἑορτὴν, ἤγουν τὴν διὰ πάντι ἐτῶν τελουμένην, κατέστησεν, ἤτοι ἔταξε, τιλεῖσθαι ἐποίησεν· ἐν Ὀλυμπιάδι πρώτῃ, τουτέστιν ἐν τῇ πρώτῃ ἑορτῇ καὶ ἐν ταῖς πρώταις δηλονότι νικηφορίαις, ἢ νίκαις, τίς δὴ ἐκληρώσατο στέφανον πανηγύριον, ἤγουν πρόσφατον, ἐναγώνιον, χερσὶν, ἀντὶ τοῦ ἔργοις χερῶν, τουτέστι διὰ πυγμῆς, ἢ δισκεύσεως ἢ ταυτόν τινος, καὶ ποσὶν, ἀντὶ τοῦ ἔργοις ποδῶν, ἤτοι διὰ δρόμων, καὶ ἅρμασιν, ἤγουν δι' ἁρμάτων, ἀντὶ τοῦ, καὶ δι' ἱππηλασίας· ἐν δόξῃ Σίμιος ἑαυτὸν δηλονότι, καθιλὼν, ἀντὶ τοῦ ἑλὼν, ἤτοι λαβὼν καύχημα ἔργῳ, τουτέστι δι' οἰκείας νίκης, δι' οἰκείων ἀνδραγαθημάτων. R.

Δόσιν] Gl. ms. γ. κερδοσύνην.

69. Διελὼν] Gl. mss. β. γ. διαμοιράσας.

Καὶ πανηγυρίδ' ἔπως] Θαυμαστικῶς λέγει· καὶ πανηγυρικὴν ἄρα ἔσηπε καὶ ἐνομοθέτησεν εἶναι τὴν τῶν Ὀλυμπίων πανήγυριν. V.

72. Τίς δὴ ποταινίον γε λάβοι (sic) στέφανον] πρὸς τὴν Μοῦσαν λέγει. ποταίνιον δὲ ἀντὶ τοῦ πρόσφατον. ἐκ δὲ τοῦ παρακολουθοῦντος σημαίνει τὸ πρῶτον. ἐπεὶ ὁ πρῶτος, πρόσφατός ἐστι. τίς οὖν, φησι, πρῶτος ἔλαχε τὸν στέφανον, ὅτι ἔθηκεν ὁ Ἡρακλῆς τὸν ἀγῶνα. V.

Ποταίνιον] Gl. ms. γ. ἔνδοξον.

74. Ἀγώνιον εὖχος καθιλὼν] ἔδοξεν Σίμιος. τὸ ὑπερβατὸν, ἀγώνιον εὖχος καθιλὼν, τὸ τοῦ ἀνταγωνιστοῦ καὶ τὴν νίκην, τὴν αὐτοῦ εὐχὴν, ἔργῳ ἀσοβαλών. ἢ οὕτω· συλλαβὼν τὴν εὐχὴν, ὅ ἐστι τὸ καύχημα, τὸ τοῦ ἀνταγωνιστοῦ, καθιλὼν διὰ τοῦ ἔργου. V.

Ἐν δόξᾳ Σίμιος] Σίμιος ἑαυτὸν δηλονότι ἐν δόξῃ καὶ τιμῇ, καθιλὼν καὶ καταβαλὼν τὸ εὖχος τοῦ ἀνταγωνιστοῦ, ἤτοι τὸν ἀνταγωνιστὴν αὐτοῦ, καὶ οὐκ ἐάσας νικῆσαί τι αὐτὸν καὶ καυχήσασθαι. R.

76. Στάδιον μὲν ἀρίστευεν εὐθύτονον] εὐθὺ, τὸ μὴ ἔχον καμπὴν, τὸν ἀκαλοῦν δρόμον. τὸν δὲ Οἰωνὸν Πίνδαρος ὡς ἥδη ἡνδρωμένον νικῆσαί φησι στάδιον περὶ τὴν πρώτην Σίσιν τῶν Ὀλυμπίων· ἦσαν δὲ παῖδα ὄντα αὐτὸν ὑπὸ τῶν Ἰπποκοωντιδῶν διώργισθαι. ὁ δὲ νοῦς· ὁ μὲν τοῦ Λικυμνίου παῖς Οἰωνὸς τὸ εὐθύτονον ᾧ ἀκαμπὲς σταδίου δρόμων ἠρίστευσεν. οὗτος δὲ ὁ Οἰωνὸς ἦλθεν ἀπὸ πόλεως Μιδίας καλουμένης τοῦ Ἄργους, βασιλεύων καὶ ἡγεμὼν λαοῦ ὤν. ἡ δὲ μεταφορὰ τοῦ ἰλαύνων ἀπὸ τῶν θωμνίων. Ἄλλως. εὐθύτονον στάδιον ἐστι· τοιοῦτο γὰρ λέγεται εἶναι τὸ στάδιον. παῖς δὲ ὁ Λικυμνίου, ὅσον ἤδη ἀνδρωθείς, τὴν πρώτην τῶν Ὀλυμπίων Σίσιν καὶ δίαυλον ἐνίκησεν. ἰλαύνων δὲ, τουτέστι προηγούμενος, ἦλθεν (ἔστι δ' ὄνομα κύριον ὁ Οἰωνὸς) ἀπὸ Μιδίας, κώμης Ἀργολικῆς, ἵνα δὴ πόλεως. V.

Τὸ στάδιον μὲν, τὸ κατ' εὐθεῖαν εἰς μῆκος τεταμένον, διὰ τῶν ποδῶν τρέχων ὁ Οἰωνὸς, ὁ υἱὸς τοῦ Λικυμνίου, ἠρίστευσεν, ἤγουν ἠνδραγάθησεν, ἄριστος ἰφάνη· ἦλθε δὲ Μιδίαθεν, ἤτοι ἀπὸ τῆς Μιδίας, (πόλις δὲ αὕτη τοῦ Ἄργους) ἡγεμὼν τῶν ἰλαύνων, τουτέστιν ἄγων, ἐπαγόμενον ἔχων. ὁ δὲ Ἔχιμος ἠρίστευσεν ἐν πάλῃ δοξάζων τὴν Τίγιαν, τὴν ἑαυτοῦ πατρίδα. ἔστι δὲ ἡ Τίγια πόλις Ἀρκαδική. ὁ Δόρυκλος δὲ ἔφηρεν, ἀντὶ τοῦ ἦρατο, τὸ τέλος, ἤγουν τὸ κράτος τῆς πυγμῆς, τουτέστι τὴν ἐν τῇ πυγμῇ νίκην, οἰκεῖαν τὴν πόλιν, τὴν Τίρυνθα. ἐν ἵπποις δὲ τέτρασιν ὁ Σῆμος, ὁ ἀπὸ Μαντινίας, νικήσας δηλονότι, ἠείδετο, ἤγουν ἀπεκηρύττετο ὁ Φράσωρ δὶ δ' ἄκοντος ἵλασιν, ἤγουν ἀφῆκεν, ἐπεμψεν ἐπὶ τὸν σκοπὸν, τουτέστιν ἐφέρκησε τὸν ἀκόντισιν. ὁ Ἐνκιὺς δὲ τὴν χεῖρα κυκλώσας, ἤγουν κατὰ κύκλον τρέψας, ἔβαλε, τουτέστιν ἔβαλλε διὰ πέτρας, ἤτοι ἐδίσκευσεν εἰς μῆκος· ὑπὲρ ἅπαντας τοὺς ἀνταγωνιστὰς δηλονότι, καὶ τῇ συμμαχίᾳ, ἀντὶ τοῦ τῇ πλήθει τῶν συναγωνιστῶν παραθυξ, τουτέστιν ἐπίπεσι, δηρίσασι, θόρυβον μίγαν. R.

79. Πάλᾳ δὲ κυδαίνων] ἠρίστευσε, πάλῃ κυδαίνων, ὅ ἐστι δοξάζων τὴν πόλιν αὐτοῦ Τίγιαν (ἔστι δὲ πόλις Ἀρκαδίας), δοξάζων διὰ τὸ ἀναγορευθῆναι ἀπὸ Τιγίας, προσυπακουσίου τὸ, ἠρίστευσεν. ὑπὸ δὲ τούτου τοῦ Ἐχίμου τὸν Ἄλλον φασὶ τελευτῆσαι κατὰ τὴν εἰς Πιλοπόννησον. V.

83. Ἀν' ἵπποισι δὲ τέτρασιν ἕως Ἀλφεοῦ] ἐφ' ἵπποις δὲ τέτρασιν, ἤτοι τεθρίππῳ ἀγωνισάμενος, ἐνίκησεν ὁ Ἀλφεός. ἔθυε τινὸς σῆμα Ἀλιῤῥοθίου κατὰ περίφρασιν ἤκουσα, οἱονεὶ τὸ σημεῖον καὶ ἡ δόξα τοῦ Ἀλιῤῥοθίου, ὡς καὶ Ὅμηρος (Odyss. β'. 409.) "Ἰφθὴ ἴς Τηλεμάχοιο, "καὶ, Βίη Ἡρακληείη." ὁ δὲ Δίδυμος οὕτω καθίστησι τὸν λόγον· τὴν Μαντινέαν * φησὶν εἶναι ἱερὰν Ποσειδῶνος, καὶ παρατίθεται τὸν Βακχυλίδην λέγοντα οὕτω (Ursin. Fr. Lyr. p. 203.) "Ποσειδάνιον (sic G.) "ὡς Μαντινῆς τριόδοντα χαλκεοδαίδαλοισιν "ἐν ἀστίοις φορεῦντες." ἱστέον γὰρ εἶναι τῶν ἀστίδων, τὰν Ποσειδῶνος τριόδοντα, ὅτι παρ' αὐτοῖς μάλιστα τιμᾶται ὁ Ζεύς. ἔστι οὖν τὸ σαφὲς οὕτω, καθ' αὑτὸ ἐξωθεῖσι παρελαμβανομένου τοῦ ὀνόματος· ἀν' ἵπποισι δὲ τετράσιν ἦρας ὁ ἀπὸ Μαντινίας ἐνίκησε.

* Sic et G. l. Μαντίνιαν.

καὶ ἔστιν ἡ Μαντινία σημεῖον καὶ ἱερὸν τοῦ Ποσειδῶνος. Ἀλιῤῥόθιον γὰρ ἐπιθετικῶς τὸν Ποσειδῶνά φησι. καὶ παρατίθεται τὸ Ὁμηρικόν· (Od. ε'. 292.) " Πάσας δ' ἐρέ- " ϑυνεν εἰλλας Παντοίων ἀνέμων," παρατίθεται δὲ καὶ τὸν γράφοντα τὴν Θησηΐδα, μαρτυροῦντα τῷ ἥρωϊ τοῦ ἅρματος ἡνιοχευτικὴν ἀρετήν· " Τρίψας* δὲ πώλους, ὡς " ὁ Μαντινεὺς Σῆμος." (G. ἥρως.) Ἄλλως. ἐὰν μὲν γράφηται, Σᾶμ' Ἀλιῤῥοθίῳ, ἔσται αὐτὸς ὁ Ἀλιῤῥοθίης ἦκεν, ὡς ἂν ἐπίσημος ἐγένετο ὁ Ἀλιῤῥόθιν· ἐὰν δὲ Σᾶμος ὁ Ἀλιῤῥόθιος, φανερὸν, οἷον Σᾶμος Ἀλιῤῥόθιος ἐνίκησεν. Ἀριστόδημος δέ φησι, μὴ δύνασθαι συγχρονεῖν Ἀλιῤῥόθιον τὸν κατὰ Κίπρωπα Ἡρακλεῖ, ἀλλὰ μηδὲ Ἀρκάδα εἶναι, ἀλλ' Ἀθηναῖον· Σῆμον δέ τινα νῦν νενικηκέναι ἅρματι, ὃς φησι Δίφιλος ὁ τὴν Θησηΐδα ποιήσας ἴν τιν ἰάμβῳ, οὕτω·

Τρίψας δὲ πώλους ὡς ὁ Μαντινεὺς Σῆμος,

Ὃς πρῶτος ἅρματ' ἦλασεν παρ' Ἀλφειῷ.

Ἄλλως. Ἀλιῤῥόθιος Μαντινεὺς, ὁμώνυμος τῷ Ἀθηναίῳ, ὃς ἦν Ποσειδῶνος καὶ Βαϑυκλείας. ἔνιοι δὲ γράφουσι, Σῆρος Ἀλιῤῥοθίου, οὗ μέμνηται Ἡσίοδος· (Fragm. p. 446. ed. Lœsn.)

Ἦτοι ὁ μὲν Σῆρον καὶ Ἀλάζυγον υἱέας ἐσθλούς.

ἦν δὲ ὁ Σῆρος τοῦ Ἀλιῤῥοθίου τοῦ Πειρήνους καὶ Ἀλκυόνης. V.

84. Ἀεῖδιστο] Gl. ms γ. ἐδεξάζετο.

85. Ἄκοντι δὲ Φράσῳ] ἀκοντίῳ ἀγωνισάμενος ἴῤῥιψις κατὰ σκοποῦ. οἱ δὲ τὸ, ἅλασε σκοπὸν, ἀντὶ τοῦ, ἦν νίκην ἐντύχησε, φασίν. Ἐνικιὺς δὲ ὄνομα κύριον. V.

Ἔλασι] Gl. ms. γ. ἐκέρδησε.

Σκοπὸν] Gl. γ. τὸν ἀγῶνα.

86. Μᾶκος δ' Ἐνικιὺς ἴδιπι πίτρῳ] μακρὸν ἰδίσκιον δίσκῳ λιθίνῳ. οὕτως οἱ ἀρχαῖοι. μᾶκος δὲ μακρὸν, παρὰ τὸ Ὁμηρικὸν (Iliad. σ'. 131.) χειρὶ πιερσέψας, φησὶ χέρα κυκλώσας. V.

Μὴ λάϑῃς εἰς τὸ μῆκος ἔξωθεν εἰς, ἀλλ' οὕτω λέγε. ὁ Ἐνικιὺς δὲ κυκλώσας τὴν χεῖρα ἐν πίτρῳ, ἴδικι καὶ ἔῤῥιψι μῆκος, ἤγουν, ἡ τοῦ πίτρου ῥίψις πολλοῦ μήκους ἐγένετο ὑπὲρ ἅπαντας ᾧ ἐπίκεινα πάντων. ὥστερ δὲ φαμὲν, ὑζρίζω σὲ ὕζριν, οὕτω καὶ, ἴδικι μῆκος, ἀντὶ τοῦ μακρὰν ἔῤῥιψι ῥίψιν. R.

Πίτρῳ] διὰ τῆς τρογγυλοειδοῦς πίτρας. Gl. ms. γ.

88. Τὼς ἅπάντων] πάντας φησὶ τοὺς ἀνταγωνιστὰς τῇ βολῇ παρελθὼν, παρὰ τὸ Ὁμηρικὸν· (Odyss. Σ'. 189.) " Τόν ῥα πι- " ρισρέψας ἧκε σιδαρῆς ἀπὸ χειρός." τὸ δὲ, καὶ συμμαχίᾳ Θήρυδον, ἀντὶ τοῦ, καὶ τοῖς παρεστῶσιν αὐτοῖς συμμάχοις, ἔκπληξιν καὶ ταραχὴν ἐκίνησε. μίγαν, διὰ τὸ ὑπερβεβλημένον τῆς βολῆς ϑαῦμα. καὶ τοῦτο παρὰ τὸ Ὁμηρικόν· (Odyss. Σ'. 190. sq.) " Κατὰ δ' ἔπτηξαν ποτὶ γαίῃ Φαίηκες, " δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες." καὶ συμμαχίᾳ Θήρυδον, ἀντὶ τοῦ, τὸ πλῆϑος ϑαυμάσαν ἀνιζόησεν ἐπὶ τῇ βολῇ μήκει. ἢ οὕτω· παρεκίνησε καὶ ἀνήγειρε τὸ τῶν συμμάχων πλῆϑος. V.

89. Παρίθηξεν] ἐκίνησε, παρώρμησεν. V.

90. Ἐν δ' ἕστιρεν ἵφλιξιν ἰυώτιδος] τῆς δὲ ἰυώτιδος σιλήνης τὸ ἱερατὸν φάος κατέλαμψι τὴν ἑστίραν. ταῦτα γὰρ ἐγίνετο τοῦ ἑστίρου, καὶ τοῦ σκότου καταυγαζομένου καὶ φαιδρυνομένου ὑπὸ τῆς σιληνιακῆς αὐγῆς. ἱερατὸν δὲ φάος σιλήνης, τὸ πανσέληνον. τιλεῖται γὰρ κατὰ πληρεσίληνον, ὡς αὐτὸς ἐν τοῖς πρώτοις (Ol. iii. 35.) εἴρηκεν. ἴδιε δὲ οὗτος εἰστίν· οὔσης δὲ πανσελήνου ἐτίθη ὁ ἀγών. ὁ δὲ τὸν ἀγῶνα διαϑέμενος, τότε τοῦτο ἐπήνεγκεν. Ἐν δ' ἑστιρὸν ἵφλιξι] τὸ ἑστιρινὸν φῶς· ἐν πανσελήνῳ γὰρ ἐτίθη ὁ ἀγών. V.

Ἐν τούτοις δὴ, ἤγουν, ἐν ᾧ χρόνῳ ταῦτα ἐγίνετο, ἵφλιξιν, ἤτοι, ἀνέλαμψε, τὸ ἑσπέρσον φῶς τῆς σιλήνης τῆς εὐοφθάλμου. ἕσπερον, ἑσπερημερικῶς ἀντὶ τοῦ, κατὰ τὴν ἑσπέραν. τουτέστιν, οὔσης δὲ πανσελήνου, ταῦτα ἐτιλεῖτο. ἀεῖδιστο δὲ, ἀντὶ τοῦ, περιηχεῖτο τοῖς ὕμνοις πᾶς ὁ ναὸς, κατὰ τὸν τρόπον, ἀντὶ τοῦ τὸν νόμον, τὸν ἐγκωμιαστικὸν, ἐν Θαλίαις, ἤγουν εὐωχίαις ἡδείαις, ἃς δηλονότι εὐωχοῦντο οἱ εὐφημοῦντες. R.

Εὐώτιδος] Gl. ms. γ. ὡραιοφθάλμου.

91. Ἐρατὸν] Gl. ms. γ. καλόν.

92. Ἀιδιστο] Gl. ms. γ. ἐκρεκτοῦτο.

Ἀείδετο δὲ πᾶν τίμενος] ἐν δὲ ταῖς εὐωχίαις περιῆδετο καὶ ἠχεῖτο τὸ πᾶν τίμενος εὐφημιῶν καὶ ὕμνων λιγομένων. οὕτως γάρ ἐστιν ἐγκωμιαστικὸς τρόπος. ἢ οὕτως ἐγκωμιάζετο ἐκ τῶν νικώντων τὸ τίμενος, φησιν. V.

Τιρσηνῆσι] Gl. ms. γ. εὐφραντικαῖς.

93. Ἐγκώμιον] Gl. ms. γ. ἐκκωμαστικόν.

94. Ἀρχαῖς δὲ πρωτίρεις] ταῖς οὖν ἀρχαῖς καὶ τοῖς ἐκτεθειμένοις τῶν φδαινόντων. V.

Ἑτόμενοι δὲ, ἀπολουθοῦντες, ταῖς πρωτίρεις ἀρχαῖς, ἤγουν τῇ παλαιᾷ συνηθείᾳ (πρὸ γὰρ τῶν νικηφόρων τότε ὁ Ζεὺς ὑμνεῖτο) κιλαδήσομεν καὶ ὑμνήσομεν τὴν βροντὴν τοῦ ὀρσικτύπου Διὸς καὶ τὸ πυροπάλαμον βέλος, τὸν αἰθωνα καὶ τὸν καυσικὸν περκνὸν, τὸν ἀρηρότα καὶ ἡρμοσμένον ἐν ἅπασι

* G. τρωφάσῳ τ.

κράτει, ἤγουν ᾧ Ζεὺς χρῆται εἰς ἅπασαν χρείαν· πελαδήσομεν χάριν καὶ ὕμνον, ἰσοσυμίαν τῆς ἀγερώχου νίκης. ὁ γὰρ ἰσόνικος τῆς νίκης ἰσόνυμος. ὅσαπερ δέ φαμεν, ὁμοῦ ὕμνον, οὕτω καὶ τὸ, πελαδησόμεθα χάριν. τὸ γὰρ πρὸς τὸν Δία πελάδημα, χάρις καὶ ὕμνος ἐστίν. οἱ δὲ τὸ εἰς πρὸς τὸ χάριν λαμβάνοντες ἔξωθεν, ἀγνοοῦντες λέγουσιν. Ἀρχαῖς δὲ πρωτίστοις] ἀντὶ τοῦ, ταῖς τάξεσι δὲ τῆς ἀρχῆς τῆς παλαίας ἀπολουθοῦντες καὶ νῦν ἡμεῖς, εἰς χάριν ἰσοσυμίας, ἀντὶ τοῦ, πεφιώνυμον, ἤτοι περίφημον, μεγάλην, τῆς νίκης τῆς ἀγερώχου, τουτέστι τῆς μετιούσης, τῆς ἐχούσης, ὑμνήσομεν τὴν βροντὴν τοῦ Διὸς τοῦ πινοῦντος τὰς αὐτόσους τῶν βροντῶν, καὶ τὸ βίλος τὸ πυραύλαμον, ἤγουν τὸ αὖς πρωτίνον, τουτέστι τὸ πυρῶδες, λίγα τὸν πεφανὸν τὸν καυστικὸν, τὸν ἀρηρότα, ἤγουν τὸν ἁρμόζοντα, τὸν ἰσαρκεῦντα ἐν ἅπασι τῷ κράτει αὐτοῦ, ἀντὶ τοῦ, ἐν πάσῃ χρείᾳ τοῦ κράτους αὐτοῦ. ἡ μολτὴ δὲ τῶν μαλῶν, ἀντὶ τοῦ τῶν σωμάτων, τῶν ἰγνωμίων, ἤγουν σὺν αὐλῷ ᾠδομένη, χλιδῶσα, ἤγουν τρυφῶσα, ἁβρὰ, ἀντάσιοι, τουτέστιν ἀπαντήσει ταῖς ἀκοαῖς δηλονότι, ἅπινα, τουτέστι τὰ μίλη, τὰ ἰγνώμια, διὰ χρόνου μὲν ἰφάνησαν παρὰ τῇ Δίρκῃ τῇ ἐυκλεῖ, ἀντὶ τοῦ τῇ εὐκλεεῖ, κατὰ συγκοπὴν, ὡς ἐν ἄλλοις εὐκλέα λέγει μερφὰν (Olymp. vi. 128.) ἀντὶ τοῦ εὐκλεᾶ, τουτέστι παρὰ ταῖς Θήβαις· τὸν ποταμὸν γὰρ εἰκὸς τὸν παρὰ ταῖς Θήβαις, τὰς Θήβας ἰδήλωσεν. R.

Καὶ νῦν, ἰσονυμίαν χάριν] καὶ νῦν ἡμεῖς ἀπολουθοῦντες, τὴν ἰσόνυμον τῆς νίκης χάριν, τουτέστι τὸν ἰσόνικον ὕμνον, εἴπωμεν. ἢ ἔξωθεν τὴν εἰς περίθεσιν ληπτέον, ἵν' ᾖ, εἰς χάριν πελαδήσωμεν θαυμάζοντες τήν τι βροντὴν τοῦ Διὸς, καὶ τὸ ἴμαυρον αὐτοῦ βέλος, τὸν πεφανὸν, τὸν ἐπὶ πάσῃ χρείᾳ τοῦ κράτους αὐτοῦ ἀρμόδιον, ᾧ ἰσαρκοῦντα πρὸς τὰς χρείας, ἢ πρὸς πᾶσαν αὐτῷ δύναμιν ἀρηρότα, ἢ κράτει, τῇ νίκῃ, νικῶντα ἀεί. Ἄλλως. Χάριν νίκας, ἀντὶ τοῦ, διὰ τὴν νίκην· ἢ οὕτως· ἰσόθεον τῆς νίκης ἰσονύμους ποιούσης, ἢ τῆς ὄνομα φερούσης καὶ κρατούσης ἐν πανσὶ κράτει. V.

95. Ἀγερώχου] Gl. ms. γ. Θαυμαστῆς.

97. Ὀρσιτύπου] Gl. ms. γ. μεγαλοστόνου.

Κράτει] Gl. γ. δυνάμει.

99. Χλιδῶσα] Gl. γ. γλυκεῖα.

Χλιδῶσα δὲ μολτὰ] ἀντὶ τοῦ, τρυφῶσα, ἐναζευγνυμένη, ἤτοι ἡ μολτὴ ἡ τῶν μελῶν ἁβρὸς καὶ ἡδίως ἐνστρυφῶσα τῇ ἡδονῇ, ἀπαντήσει πρὸς αὐτὸν, τουτέστιν, ὁ δὲ ὕμνος τρυφηλῶς καὶ ἡδίως μετὰ αὐλῶν ᾀσθήσεται. V.

100. Ἀντιάξει] Gl. γ. συμφωνήσει.

101. Τὰ παρ' ἰυπλείῃ Δίρκῃ] ἔστιν μίλη ἐν τῇ ἐνδόξῳ Δίρκῃ, φησὶ, τουτέστι, ἐν Θήβαις, ἐν πλείοσι μὲν χρόνῳ τῆς πρεσβυτέρας ἰφάνη, καὶ ἐγράφη, ἀλλ' οὗτος ἐστὶ γλυκὺς ὁ ἰσόνικος τῷ λαβόντι, ὅστις παῖς γνησίας γυναικὸς καὶ οὐ παλλακίδος παρὰ γνησίοις γονεῦσι τῆδε γεγραμμένος. Ἄλλως. Δίρκη, πηγὴ ἐν Θήβαις. πεχρονικέναι δέ φησι καὶ ἐν ἀρχῇ λίγων ὁ Πίνδαρος, ὅτι διέσπασεν ἀπὸ τῆς ὁμολογίας πρὸν γραφῆναι τὸ ποίημα. καὶ νῦν ἀπὸ τῆς Δίρκης φησὶ μετὰ πολὺν χρόνον πεφηνέναι τὰ μίλη καὶ τὰ ποιήματα, ὡς ἐν Θήβαις γεγραφὼς ταῦτα, ἤτοι τὸν ἰσόνικον, μετὰ πολὺν τῆς ὁμολογίας τῆς περὶ τοῦ γράφειν χρόνον. ταῦτα γὰρ τὰ μίλη χρόνῳ ἰφάνη ἐν Βοιωτίᾳ, ἐπεὶ μετὰ χρόνου ἔγραψε τὸ ποίημα. ὁ δὲ νοῦς· οὕτω δὲ σοι πεθεινὰ καὶ ἡδέα ἔσαι τὰ μίλη, φησὶν, ὥσπερ τις γνήσιος παῖς ἐν νομίμῃ γυναικὸς παρὰ πατρὶ πενθινὸς ἐρᾶται εἰς τὸ ἀνάπαλιν τῆς νόσητος ἐλθόντι, τουτέστι γηράσαντι. πάντα γὰρ τοῦ ἰδιωτοῦ πατρὸς τὸν νοῦν ἰδιωτοῦ πρὸς τὸν πάθον πεχαρισμένος φαινόμενος. V.

102. Ἀλλ' ὥς τι παῖς] ἀλλ' οὗτος ἰφάνη τέρψιν ἔχοντα, δηλονότι πρὸς τὸν νενικηκότα, καθὰ παῖς πενθινὸς ἀπὸ γυναικὸς γνησίας τῷ πατρὶ φαίνεται, γεννηθεὶς αὐτῷ ἥδη εἰς τὸ γῆρας ἀφιγμένῳ. πατὰ πολὺ δὲ θερμότερος, ἤγουν ἐξάντες, δηλοῖ τὸν λογισμὸν αὐτοῦ πρὸς φιλοφροσύνην. ἰστὶ δ' ὅστις πλοῦτος ὁ λαχὼν, ἤγουν ὁ πλουσιόμενος, ὁ εἰς πλῆρον λαβὼν τοιμένα, ἀντὶ τοῦ διεπόσιον, ἰστίσαπ[λον, ἀλλότριον, κατὰ πολὺ μεμισημένος ἰστὶ τῷ ἀποθνήσκοντι, ἀντὶ τοῦ, ἰστὶ ὅστις κατὰ πολὺ μεμισημένον ἰστὶ τῷ ἀποθνήσκοντι τὸ εἰς πλῆρον λαβεῖν τὸν πλοῦτον αὐτοῦ διεπόσιον ἰστίσαντον, τὸν ἀλλότριον, οὕτως, ὦ Ἀγησίδαμε, καὶ ὅταν ἀνὴρ παλαὶ ἔργα πράξας, εἰς τὸν πανθμὸν, ἤγουν εἰς τὸν τόπον τοῦ ᾅδου, τουτέστιν εἰς τὸν Ἅιδην, ἀφίκηται χωρὶς φάους, ἤτοι ἀγνωμίων, κἀκεῖ μάταια ποπιάσας, βραχυλίθου τινα τέρψιν παρίσχει τῷ ἀγῶνι, ἀντὶ τοῦ, οὐδεμίαν. R.

Ἐξ ἀλόχου] ὅστις φαίνεται παῖς ἐκ νομίμου γυναικός τινι πατρί. Gl. ms. γ.

Εἰκότως εἶπε τὸ ἀλόχου, ἵνα δείξῃ οἰκεῖον αὐτοῦ παῖδα. λέγει δὲ ὅτι, εἰ καὶ μὴ, ἡνίκα ἐνίκησας, τὸν ὕμνον σοι ἤγραψα, ὅμως τῶν ἀποδιδοὺς, μιγίσην ἰσόθεον παράσχω σοι, καὶ τοιαύτην οἵαν παῖς παρίσχει πατρὶ εἰς γῆρας αὐτῷ γιγονὼς ἐκ τῆς ἰδίας ἀλόχου. ἔστι δὲ ἡ ἀπόδοσις τῆς παραβολῆς εἰς τὸ, καὶ ὅταν, εἰ καὶ δοκεῖ ἀναρμόστως ἀποδεδῆναι. δίον γὰρ οὕτως ἐστὶν ὅστις ὑφ' ἑαυτοῦ γονεῖς παῖς πεθεινὸς τῷ πατρὶ, οὕτω καὶ τὸ ὕστερον δοθὲν τινι ἐγκώμιον πρέπον ποιῆσαι. ὁ δὲ ἄλλως ἐξήνεγκεν. εὔρους δ' ἂν καὶ παρὰ λογοποιοῖς πολλὰ τοιαῦτα. R.

103. Ἥκοντι] Gl. ms. γ. φθάσαντι.

105. Φιλόξατι] Gl. γ. εἰς ἀγάπην.

106. Ἐστὶ πλοῦτος ὁ λαχὼν] διατὶ δὲ ὁ παῖς πεθεινός ἐστι γηρῶντι; ἐπειδή, φησιν, ἡ περιουσία καὶ ὁ πλοῦτος ἄρχοντα καὶ διασώσην ἑαυτοῦ λαχὼν ἀλλότριον τοῦ γήνους καὶ ἐξωθέν τινα ἐπαχθέντα, λυσητρώτατός ἐστι τῷ ἀσθενήσοντι. Ἄλλως. ἐν τῷ καθόλου λόγῳ, ἐπεὶ ὁ πλοῦτος ὁ λαχὼν πωμένα ἐπακτὸν, τὸν διαδεξάμενον, τῷ καταλιπόντι, ὃ ἐστὶ τῷ ἀσθενήσοντι, συγγερώτατός ἐστι καὶ ἀλλότριος. διὰ δὲ τούτου σημαίνει, ὅτι, ἐάν τις ἔχῃ πλοῦτον ἄτεκνος ἀσθενήσων, καὶ διαδόχῳ μὴ καταλίπῃ, ἐπώδυνος αὐτῷ γίνεται. Ἄλλως. τὸν μὴ κατὰ γένος διάδοχον ἔχοντα, παρὰ τὸ Ὁμηρικόν· (Iliad. ι'. 158.) "Χηρωσὶ δὲ "διὰ πᾶσιν δαίοντο." τὸ δὲ θνήσκοντι κεινῶς πρὸς ἀμφότερα, ἀλλότριον θνήσκοντι, καὶ συγγερώτατος. πάνυ γὰρ ἀλγοῦσιν οἱ τοῖς μὴ προσήκουσι διαδόχοις χρώμενοι. ὥστε οὖν, φησι, λυσητρόν ἐστι τῷ πλουτοῦντι, ἀλλοτρίῳ τινὶ χρήσασθαι κληρονόμῳ, οὕτως ἀλγεινόν ἐστι, καὶ ὅταν κάλλιστα μὲν εἴη διαπεπραγμένος τίς, ἄνευ δὲ ἐπαίνου καταλύσῃ τὸν βίον, ἃ Ἀγησίδαμε, κεινῶς μοχθήσας, ὡς μηδὲ βραχύ τι τερπνὸν καὶ ἡδὺ ἀπολαβέσθαι ἐκ τῶν πόνων. V.

Λαχὼν] Gl. γ. πισὼν εἰς κληρονομίαν.

108. Θνάσκοντι] καταλιμπάνοντι τὸν πλοῦτον, Gl. γ.

109. Καὶ ὅταν καλὰ μὲν ἔρξαις] καὶ ὅταν τίς, φησι, καλὰ μὲν ἐπιτελίσας ἔργα, δίκα καὶ χωρὶς ὕμνου ἀσθένει ἁπλῶς, τῷ μόχθῳ βραχύ τι ἴδοιτο τερπνὸν, τουτέστι, βραχύ τι ἐπέρθη τῷ μόχθῳ, ὅσον παραχρῆμα. οὐκέτι γάρ τις αὐτοῦ τελευτήσαντος μέμνηται. V.

111. Ἴκηται] Gl. ms. β. ἵλθῃ, ἀπέλθῃ.

112. Τερπνὸν] Gl. ms. γ. εὐφραντόν.

113. Τὸν δ' ἀδυπνᾶ τι λύρα] σοὶ οὖν, φησι, πᾶν εἶδος μουσικῆς ἀνεγείρει, ἅπερ πωεῖ, ἢ ἀναπαύλει τὴν χάριν. παρὰ τὸ Ὁμηρικόν. (Iliad γ'. 126.) "Πολίας δ' "ἐπίκασσεν ἀείδουσ." καὶ παρέχει τὴν ἡδονὴν ἥ τι λύρα καὶ ὁ αὐλός. τὸν δὲ, ἀντὶ τοῦ σοὶ, Δωρικῶς. V.

Τὸν δ' ἀδυπνᾶ τι λύρα, ἀντὶ τοῦ ἡδύφωνος, ἀναπάσσει, τουτέστιν, ἐπικάσσει, ἐνσφέζει, χάριν, ἀντὶ τοῦ, μέλος χάριεν, ἤγουν τὸ ἐπαγωγὸν ἔχον, καὶ τερπνὸς αὐλὸς ἀναπάσσει χάριν· ἔχουσι δέ σοι, ἀντὶ τοῦ φέρουσι, παρέχουσιν, αἱ Πιερίδες, ἤτοι αἱ Μοῦσαι, αἱ θυγατέρες τοῦ Διὸς, πλέος ὑρὺ, ἤγουν ἐπὶ πολὺν τόπον παρατεινόμενον· ἴγὼ δὲ συνιφαπτόμενος, ἤγουν συνεργῶν, συλλαμβανόμενος αὐταῖς ταῖς Μούσαις δηλονότι, σὺν στεφάνῳ, ἀμφίπεσον, ἀντὶ τοῦ περιεστέφθην, τὸ περιεφθόμενον καὶ ἐπλείς ἵδιος τῶν Λοκρῶν· καταζεύχων δὲ μίλιτι, ἀντὶ τοῦ κοσμῶν, ὕμνῳ ἡδεῖ τὴν πόλιν αὐτῶν τὴν καλῶς ἔχουσαν ἵνικα γενναιότητος ἀνδρῶν· τὸν υἱὸν τοῦ Ἀρχεγέτου, ἤγουν σὲ, ἤνεσα, ἀντὶ τοῦ ἐπαίνῳ, ὃν εἶδον, ἀντὶ τοῦ ἴγνων, νικῶντα ἔργῳ τῆς ἰσχύος τῶν χειρῶν, τουτέστι πυγμῇ ἐν Ὀλυμπίᾳ κατ' ἐκεῖνον τὸν χρόνον, ὅτε ἠγωνίζετο δηλονότι, κατὰ τὴν ἰδίαν σε, ἤγουν τὸ εἶδος, τὴν μορφὴν, καλὸν ὄντα, ἤτοι εὐειδῆ, ὥρᾳ τε ἤγουν ἀκμῇ ἡλικίας πεπερασμένον, τουτέστι συνόντα, ἥτις, ἤγουν ἡ ὥρα, ἅμα τῇ Ἀφροδίτῃ ἄλαλκε τῷ Γανυμήδει, ἤγουν ἐβοήθησεν ἀποσοβήσασα τὸν ἀναιδῆ θάνατον, τουτέστι τὸν ἄπαυστον καὶ φθοροποιόν. ἀναιδὴς γὰρ οὗτος πυρίως, ἐπεὶ οὐδενὸς αἰδῶ φυλάττει. R.

114. Ἀνακάσσει] ἀνακίπτει, ἀνατωπίλλει. V.

115. Ἔχοντι δ' ἰὼὺ πλέος] αὔξουσι δέ σου τὸ πλέος αἱ Μοῦσαι καὶ αἱ λόγοι. ἀθάνατοι γὰρ οἱ διὰ τῶν λόγων ἔπαινοι. Ἄλλως. ἔχουσι δὲ αἱ Μοῦσαι μίγιστον πλέος τῶν νικησάντων. V.

117. Ἐγὼ δὲ συνιφαπτόμενος στεφάνῳ] καὶ αὐτὸς δὲ ἐγὼ ἐν τῇ στεφάνῳ συνιφαπτόμενος τῶν Μουσῶν, συλλαμβανόμενος καὶ συνεργῶν, τρέφω σου τὸ πλέος καὶ αὔξω, εἴ τι τὸ τῶν λόγων ἐμαυτὸν ἐμπέλλων. καὶ ὡσανεὶ μίλιστι πιαίνων τὴν πόλιν καὶ ἡδέως διατίθημι ὑμνῶν. V.

Συνιφαπτόμενος] Gl. ms. γ. συναπολουθῶν.

Στεφάνῳ] τῇ στεφάνῃ τῶν Μουσῶν. V.

118. Κλυτὸν] Gl. ms. γ. ἐνδοξον.

Ἀμφίπεσον] Gl. ms. γ. κατέντησα.

Ἀμφίπεσον] ἥρμησα, αὐτῷ τῷ ποιήματι, καταζεύχων, τουτέστιν ὑμνῶν. V.

120. Ἐρατὸν] Gl. γ. ἐπιθυμητόν.

Τὸν εἶδον] ἀντὶ τοῦ ἴγνων. V.

121. Κρατίστατα] νικῶντα. V.

Χειρὸς ἁλκᾷ] ἀντὶ τοῦ πυκτικῇ. V.

122. Κεῖνον κατὰ χρόνον] τὴν βραδυτῆτα τοῦ ἐπινικίου καὶ οὐν ἐπιδείκνυται, ᾧ τῷ κάλλει τοῦ σώματός, φησιν, ἀναλόγως συγκιρασμένον καὶ φαιδρυνόμενον τῇ τούτου ὥρᾳ, ἤτις ὥρα, φησὶ, ποτὲ τὸν ἀναιδῆ θάνατον ἀπεκώλυσε τοῦ Γανυμήδους ἅμα τῇ Ἀφροδίτῃ. καὶ γὰρ δι' αὐτὴν καὶ διὰ τὸ κάλλος ἀθάνατος ἐγένετο. Ὅμηρος· (Iliad. υ'. 234. s.)

Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν.

Κάλλιος εἵνικα εἴη, ἵν' Ἀθανάτοισι μετείη. V.

123. Κιρασμένον] Gl. γ'. πεθραμμένον.

Carmen xi.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑνδεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ ἑνδεκάτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κῶλων ἴζ. Τὸ α', ἰαμβύλιγος, τῆς τιλευταίας εἰς τὴν ἀρχὴν μετατιθείσης. Τὸ β', ὅμοιον τῷ πρώτῳ, παρὰ τὴν τιλευταίαν συλλαβήν. Τὸ γ', τὸ αὐτὸ παρὰ τὸν τιλευταῖον πόδα. Τὸ δ', μικτὸν ἐκ διμέτρου τροχαϊκοῦ καὶ ἡμίσους ἴσους. Τὸ ε', τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον, (λῆγον) εἰς ἴαμβον, Πινδαρικῷ ἴδιον. Τὸ ς', ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἢ ἰαμβύλιγος.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων δέκα. Τὸ α', ἰγκωμιολογικόν. Τὸ β', δίμετρον ἴσους. Τὸ γ', ἰαμβύλιγος παρὰ τὴν πρώτην συλλαβήν. Τὸ δ', τροχαϊκὸν τρίμετρον καταληκτικόν. Τὸ ε', τὸ αὐτό. Τὸ ς', Εὐριπίδιον. Τὸ ζ', ἰγκωμιολογικόν, ἰσιλαμβάνον. Τὸ η', χοριάμβος, δίμετρον ὑπερκατάληκτον. Τὸ θ', Εὐριπίδιον. Τὸ ι', τροχαϊκὸν δίμετρον.

Τῷ αὐτῷ τόπος.] Τόπος γίγραπται, ἐπειδὴ ἐν προσθήκης μέρει τιλευταῖον γίγραφε, διδοὺς ὡς ἂν τόπον, διὰ τὸ μὴ παρὰ τὸν τῆς νίκης καιρὸν γεγραφέναι τὸν ἐπινίκιον, καθάπερ καὶ ἐπὶ δανισμάτων τὸ προεισθήμενον ἐκτὸς τοῦ ἀρχαίου. Τόκος δὲ κίκληται παρὰ τὸ ἐπιστίχεσθαι καὶ ἐπιγίγνεσθαι τῷ ἀρισμῷ τοῦ δανίσματος.

1. Ἐστὶν ἀνθρώποις ἀνίμων ὅτι πλείστα χρῆσις] ἔστι καιρὸς τοῖς ἀνθρώποις, φησὶν, ὅτι πλείστη χρεία γίνεται ἀνέμου, οἷον ἐπὶ τῶν πλοόντων μάλιστα συμβαίνει. ἔστι δὲ ὅτε ἐξ οὐρανίων ὄμβρων τοῖς γηπόνοις χρεία, οὕτω δηλονότι καὶ τοῖς ἀθληταῖς ἰγκωμίων. V.

Ἔστι καιρὸς ὅτι ἐστὶ τοῖς ἀνθρώποις χρεία πλείστη ἀνίμων, ἔστι δὲ καιρὸς ὅτι ἐστὶ χρεία αὐτοῖς ὑδάτων οὐρανίων ὀμβρίων, τουτέστι τῶν ἐκ τῶν ὄμβρων, τῶν παιδων τῆς νιφάδος, ἤγουν, οἵτινες ὄμβροι παῖδές εἰσι τῆς νιφάδος. R.

4. Εἰ δὲ σὺν πόνῳ τις ἐν πράσσοι] εἰ δέ τίς, φησὶ, μὴ κατὰ κενὸν πονήσει, διὰ δὲ τῶν πόνων ἀθλήσας τοῦ ἀθλήματος τῆς νίκης τύχοι, τούτῳ προσδεῖται ὕμνων. οὗτοι γὰρ αὐτῷ ἀρχὴν ποιοῦνται τῶν ὕστερον πρὸς αὐτὸν καὶ περὶ αὐτοῦ ἐσομένων λόγων. ἐπειδὴ δὲ ἡδυτάτοις μέλεσιν ἐχρήσατο, μελιγάρυις ὕμνοι, φησὶ, τῶν ὑστέρων λόγων ἀρχαὶ εἰσι. δι' αὐτοὺς γὰρ καὶ οἱ ὕστεροι μνημονεύονται τῶν προγενεστέρων, ἢ, ταῖς ἀριταῖς οἱ ὕμνοι συνηρμοσμένοι εἰσὶ τῶν ὑμνουμένων. Ἄλλως. εἰ δέ τις πονήσας ἐν πράσσοι καὶ νικήσοι, τούτου οἱ ἡδεῖς ὕμνοι οὗτοι τῶν εἰς ὕστερον ἐπαίνων ἀρχὴ γίνονται καὶ πρόφασις, ἀντὶ τοῦ, οἱ ὕμνοι οὗτοι αἴτιοι γίνονται τοῦ καὶ αὖθις μνημονεύεσθαι τοῦ νικηφόρου τὰ κατορθώματα, τῶν ὕστερον μετὰ ταῦτα λόγων, ἤτοι ἐπαίνων, μελλόντων λέγεσθαι, τοῦ ὕμνου τὴν ἀρχὴν καὶ τὴν πρόφασιν οἰδόντος. V.

Εἰ δέ τις ἐν πράσσοι, ἤγουν εὐτυχοίη, νικῴη μετὰ πόνων. οἱ ἡδύφωνοι ὕμνοι τίλλονται, ἀντὶ τοῦ τίλλονται, ἤγουν γίνονται αὐτῷ ἀρχαί, τουτέστι ῥίζαι, αἴτιαι τῶν ὑστέρων λόγων, ἤτοι φημῶν, τουτέστι τοῦ ἐπαινεθῆναι ὕστερον τὴν φήμην τῆς νίκης, καὶ πιθὸν ὄρνιον, ἤγουν, καὶ βεβαία ἀσφάλεια γίνονται οἱ ἡδύφωνοι ὕμνοι τοῖς μεγάλοις κατορθώμασιν αὐτοῦ. οὗτος δὲ ὁ ἔπαινος ὁ διὰ ἐμμελῶν ποιημάτων δηλονότι, ἀφθόνητος, ἤγουν ἀκίνδυνος τῶν κακῶν τοῦ φθόνου, τουτέστιν ἀπαστόνητος ἢ ἀδιάβλητος ἀνέμπεσται, ἀντὶ τοῦ διαμένει τοῖς Ὀλυμπιονίκαις. Ἐπειδὴ διπλοῦν ἦφε τὸν ὕμνον γίνεσθαι τοῖς νικηταῖς, τὸν μὲν ἐγχεφαῆ ἀπὸ τῶν ποιητῶν, τὸν δὲ ἀπὸ φήμης τῶν ἄλλων ἀνθρώπων, διὰ τοῦτο τούτῳ τῷ προοιμίῳ ἐχρήσατο τῶν ἀνίμων καὶ τῶν ὄμβρων. παρεικάζει δὲ τὴν μὲν τῶν ἄλλων φήμην ἀνίμοις, ὡς ἀστάτοις (ταυτὴ γὰρ ἡ φήμη ἀνυπόστατος), τὸν δὲ ἐγχεφαῆ ὕμνον

ὄμβρῳ, σὺ μόνον ὡς τὴν γῆν πιαίνοντι καὶ θάλλιν ποιοῦντι τὰ σπέρματα, ἀλλὰ καὶ ὡς τασίμᾳ, καὶ ἐπὶ πλεῖστον καιρὸν διαμένοντι. τοιοῦτος δὲ καὶ ὁ ὕμνος. θάλλιν γὰρ ποιεῖ τὸν ὑμνούμενον καὶ εἰς μακροὺς διαμένειν χρόνους. R.

Μιλιγάρυις] Gl. ms. γλυκύφωνοι.

5. Τσίρων] Gl. ms. γ. μιγίστων.

Τίλλεται] σημείωσαι ἐνταῦθα τὸ τίλλεται. οὐδεὶς γὰρ οὕτι τῶν προγενεστέρων καὶ θηλυκοῖς ὀνόμασι, τῷ ἐνικῷ ἀντὶ πληθυντικοῦ ἐχρήσατο, ὥσπερ οὗτος. ἡμεῖς δὲ, εἰ καὶ μὴ ἐν ἄλλοις ταυτηνὶ τὴν παρανομίαν οὗτος ἐποίει, ἐποιοῦμεν ἄν, πρὸς τὸ πιστὸν ὅρμιον ἀποδιδόσθαι τὸ τίλλεται, οὕτως· οἱ μιλιγάρυις ὕμνοι, ἀοχαὶ καὶ προφάσεις τῶν ὑσίρων ὑπὲρ αὐτοῦ λόγων, καὶ πιστὸν ὅρμιον τίλλεται ταῖς μιγάλαις αὐτοῦ ἀρεταῖς. R.

6. Καὶ πιστὸν ὅρμιον μιγάλαις ἀρεταῖς] ἀντὶ τοῦ, οἱ ὕμνοι. οὐ γὰρ ἀποδείκνουσιν αὐτοὺς παρόντες, ἀλλ' ἀεὶ μνείαν αὐτῶν ποριζουσι. καὶ τὸ μίγιστον, ὅτι ἀλλότριος τῶν διὰ φθόνον ἐπιβουλευόντων ὁ ὕμνος ἐστίν. εἰπόνας μὲν γὰρ καὶ ἀγάλματα καθίλοι ἄν τις διὰ φθόνον, ὕμνον δὲ ῥηθέντα οὐκ ἄν τις ἀφανίσοι. V.

7. Ἀφθόνητος] Gl. ms. γ. πολυφθόνητος.

8. Οὗτος ἄγκειται] ἤγουν ὁ διὰ ὕμνων αἶνος. καὶ γὰρ οἱ τοῖς νικηφόροις παρὰ τῶν ἄλλων ἐπισάμενοι ἀνδριάντες, ἢ ὑπὸ χρόνου, ἢ ὑπὸ βασκάνων τινῶν καθαιροῦνται· ὁ δὲ διὰ λόγων ὕμνος, ἕως σ' ἂν ἄνθρωποι ὦσιν, ἀθάνατος μένει. R.

Τὰ μὲν ἀμετέρα γλῶσσα] ταῦτα οὖν τὰ κατορθώματα καὶ τὰ ἐγκώμια τῶν ἐν Ὀλυμπίᾳ νενικηκότων καὶ ἡ ἡμετέρα γλῶσσα καὶ Μοῦσα ποιήσουσι καὶ ἀνυμνεῖν βούλεται. V.

Τὰ μὲν, ἀντὶ τοῦ, τὸ μὲν, ἤγουν τὸ τῶν ὕμνων, ἡ ἐμὴ γλῶσσα ἰδίλει ποιμαίνειν, ἀντὶ τοῦ διοικεῖν, οἰκονομεῖν. ἐκ βοηθείας δὲ θεοῦ πᾶς ἀνὴρ ἀνδεῖ ἐσαὶ, ἀντὶ τοῦ λαμπρός ἐστιν, εὐδοκιμεῖ ἐπὶ σοφαῖς διανοίαις. γίνωσκε νῦν, ὦ Ἀγησίδαμε, παῖ τοῦ Ἀρχισεράτου, ὅτι ἔνεκα τῆς σῆς πυγμαχίας, τουτέστι τοῦ ἀγῶνος τῆς πυγμῆς, ἣν σὺ ἠγωνίσω, ὑμνήσω κόσμον ἀντὶ τοῦ ὕμνον ἡδυμελῆ, τουτέστιν ἐξ ἡδέων μελῶν συγκείμενον, ἐπὶ τῷ στιφάνῳ τῆς ἐλαίας τῆς χρυσῆς, ἀντὶ τοῦ τῆς τιμίας, τῆς καλλίστης, ἀλίγων, ἤγουν ἐν φρεντίδι ποιούμενος, τουτέστιν ὑμνῶν τὴν γενιὰν τῶν Λοκρῶν τῶν Ἐπιζεφυρίων. R.

10. Ἐκ θεοῦ δ' ἀνὴρ] κατὰ δὲ βούλησιν δαιμονίου ἴσως καὶ αὐτῷ τῷ τρόπῳ σοφὸς διαπαντὸς ἀνδεῖ ταῖς γνώμαις. ἀπὸ γὰρ θείας μοίρας μουσικός τις καὶ ἔξοχος λάμπει, ὁμοίως ὥσπερ καὶ σὺ νενίκηκας. τοῦτο δὲ πρὸς τὰ ἴδια ἐγκώμια κατασκευάζει, λίγων ἑαυτὸν διὰ παντὸς σοφῶς φράζειν. V.

Θεοῦ] Gl. γ. δυνάμεως.

11. Ἴσθι νῦν Ἀρχισεράτου παῖ] ἴσθι δὴ οὖν καὶ γίνωσκε, ὦ Ἀγησίδαμε, ὅτι τῆς σῆς πυγμῆς ἕνεκεν τὸν κόσμον τὸν διὰ τοῦ στιφάνου κιλαδήσω. λίγει δὲ τὸν ὕμνον ἀναβοήσω τῆς καλλιστιφάνου ἐλαίας. V.

13. Κόσμον] Gl. γ. ᾠδήν.

Κόσμον ἐπὶ στιφάνῳ] τὸν ὕμνον λίγει. παρεῖται δέ τι εἰς τὸ τοῦ λόγου πλῆρες. πληρωθείη δ' ἂν οὕτω· χρυσέας ἐλαίας σὺ κόσμον διχόμενον κιλαδήσω, τοὺς Ἐπιζεφυρίους φρεντίδος ἀξιῶν Λοκροὺς διὰ σέ. γίνη γὰρ Λοκρῶν εἷσι τρία, Ἐπιζεφύριοι, Ὀζόλαι, Ἐπικνημίδιοι· τούτων οἱ μὲν Ἐπιζεφύριοί εἰσι Λοκροὶ ἐν Ἰταλίᾳ, οἱ δὲ Ὀζόλαι πρὸς τῇ Αἰτωλίᾳ, οἱ δ' Ἐπικνημίδιοι πρὸς Εὐβοίᾳ, ὅθεν ὁ Οἰλίως Αἴας. V.

15. Ἀλίγων] Gl. ms. β. φρεντίζων. γ. φημίζων.

16. Ἔνθα συγκωμάξασι] ἐν ταύτῃ τῇ Λοκρίδι τῶν Ἐπιζεφυρίων συγκωμάσασα καὶ συγχορεύσασι, ὦ Μοῦσαι· ἐγγυήσομαι δὲ, ἀφίξεσθαι ὑμᾶς πρὸς σφετὸν μὴ ἄξιον ἦτοι παιδεύσειον, μήτε καλῶν ἄπειρον, ἀλλὰ πάντων καλῶν πεπειραμένον. V.

Ἔνθα, ἤγουν ἐν τοῖς Λοκροῖς, ὦ Μοῦσαι, συγκωμάσασι, τουτέστιν ὁμοῦ χορεύουσαι ὑμνήσατε, ἀπειλήθεσθαι δηλονότι ἐποίησε. Ἐγγυήσομαι, ἤτοι βεβαιώσομαι, μὴ εἰς σφετὸν φυγόξενον, ἤγουν διώκοντα τοὺς ξένους, τουτέστιν ἄξενον, αὐτὸν τὸν τῶν Λοκρῶν δηλονότι, ἀφίξεσθαι, ἤγουν παραγενήσεσθαι, ἀπειλούσεσθαι ὑμᾶς, μηδὲ ἀπείρατον, ἤτοι ἀδόκιμον, ἀμέτοχον καλῶν, ἔργων δηλονότι· εἰς ἀπρόσοφον δὲ, τουτέστιν ἄκρως σοφὸν, σφετὸν βεβαίως ἀπειλῆσαι ὑμᾶς, καὶ αἰχμητὴν, ἤγουν αἰχμὴν εἰδότα μιταχειρίζεσθαι, ἤγουν πολεμιστήν. τὸ γὰρ ἐμφυὲς ἦθος, τὸν ἔμφυτον τρόπον, ἤτοι τὸν φυσικὸν, οὕτε ἡ ἐλάττηξ ἡ αἴθων, ἤγουν ἡ διάπυρος, ἡ τοὺς τρόπους δραστήρια, οὔτε οἱ λίσσεσθαι οἱ μεγαλόηχοι, διαλλάξαιντο, ἤγουν διαλλάξουσι, μεταβαλοῦσιν. R.

Ἀπροσοῦσιν ἐνταῦθα, πᾶς, πρὸς τὸ φυγόξενον καὶ τὸ ἀπείρατον τερήσεις ἴθι, εἰς δὲ τὸ ἀπρόσοφον καὶ τὸ αἰχμητὰν οὔ. καὶ φαμὶν, ὅτι ὃν τρόπον ἔχει τὸ, οὔτι τόδε καὶ τόδε, οὕτω καὶ ἐνταῦθα· ἐγγυήσομαι καὶ ὑποσχεθῶ ἀφίξεσθαι καὶ ἐλθεῖν ὑμᾶς εἰς σφετὸν μὲν, καὶ αὐτὸν, τὸν τῶν Λοκρῶν, οὐκ εἰς φυγόξενον, οὐδὲ καλῶν ἀπείρατον, εἰς ἀπρόσοφον δὲ καὶ αἰχμητήν. R.

17. Φυγάξινον] Gl. ms. β. ἄφιλον. γ. μισάξινον.

Φυγάξινον] φυγαδεύοντα τοὺς ξίνους, καπάξινον. V.

19. Ἀμφόσοφον] τὸν ἐπ' ἄκρον ἰόντα σοφίας. V.

Τὸ γὰρ ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ] τὸ γὰρ ἦθος τὸ ἐκ τῆς φύσεως οὐκ ἔν μεταβάλοι οὔτε ἡ δολία ἀλώπηξ, οὔτε οἱ φοβεροὶ λέοντες. τοῦτο δὲ ὡς φύσει ὄντας αὐτοὺς πρὸς ἀρετὴν ἐπιτηδείους, καὶ οὐχ' οἷόν τε μεταβληθῆναι. διὰ τοῦτο οὖν, φησι, καὶ ἐγγυῶμαι αὐτούς. Ἄλλως. τούτοις ὑπακουτέον, ὅτι οὐδὲ οἱ Λοκροὶ τὸ συγγενικὸν μετέβαλον, ἀλλ' ὡς ἀπ' ἀρχῆς αἰχμηταὶ τῶν προδιηλωμένων ἀρετῶν μετέχοντες ἐκ φύσεως. ὥστε οὖν ὁ λίων οὐ μεταβάλλει τὸ γενναῖον, οὔτε ἡ ἀλώπηξ τὸ σοφὸν, οὕτως οὐδὲ οἱ Λοκροὶ τὸ ἔμφυτον ἦθος μεταβάλλουσι. V.

20. Αἴθων] Gl. ms. β. παυτικὴ. γ. κοπρίνη.

Αἴθων ἀλώπηξ] διάπυρος, δολία τῇ διανοίᾳ, ἢ αἴθων, παρόσον λαμπυρὶς παλεῖται. V.

21. Ἐρίβρομοι] Gl. ms. γ. μεγαλόφωνοι.

Carmen XII.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δωδεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦτο δωδεκάτου εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων Ϟ'. Τὸ α', ἰαμβίλιγγος, λιπούσης τῆς πρώτης συλλαβῆς, ἢ τοῦ τίλους μιταπειμένου ἐπὶ τὴν ἀρχήν. Τὸ β', ἰσχιορριωβδικὸν δίμετρον ἀκατάληκτον. Τὸ γ', προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ δ', τροχαϊκὸν τρίμετρον καταληκτικὸν, ὅμοιον τῷ, (Hephæst. p. 19.) Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἰδασάμην. Τὸ ε', Πινδαρικὸν ἐκ Στησιχόρου, τρίμετρον ἀκατάληκτον. Τὸ ϛ', ἰαμβίλιγγος, τοῦ τίλους ἐπὶ τὴν ἀρχὴν μεταπειμένου. Τὸ ζ, Εὐριπίδιον. Τὸ η', προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. Τὸ Ϟ', Εὐριπίδιον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ι'. Τὸ α', ἐγκωμιολογικόν. Τὸ β', δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ', Εὐριπίδιον. Τὸ δ', ἀναπαιστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ε', προσοδιακὸν δίμετρον καὶ συλλαβή. Τὸ ϛ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ', ἰαμβίλιγγος, τῆς πρώτης ἀφῃρημένης, ἢ τοῦ τίλους μιταπειμένου. Τὸ η', Πινδαρικὸν ἀπὸ Στησιχόρου. Τὸ Ϟ', Στησιχόρειον. Τὸ ι', τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Ἐργοτίλει Ἱμεραίᾳ.] Ἐργοτίλης Κρὴς μὲν ἦν τῷ γένει, πόλεως Κνωσσοῦ, ὃς ἠγωνίσατο ἰδιωτικοῖς ἐν Ὀλυμπίᾳ Ὀλυμπιάδα, καὶ τὴν ἐξῆς Πυθιάδα ἐποίησεν ἐνάτην. φασιαζομένης τῆς πόλεως φυγὰς εἰς Ἱμέραν πόλιν Σικελιωτικὴν ἀπῆλθε, καὶ καταλαβὼν τὰ ἐν Σικελίᾳ πράγματα φασιαζόμενα πρὸς Γέλωνος καὶ Ἱέρωνος, ἐκδιξάμενος εἰρήνην, ἐνίκησε. διὸ πρὸς τὴν εἰρήνην ἀποτίνεται ἐν τῷ προοιμίῳ, ὡς αἰτίαν γενομένην τῷ νικηφόρῳ τῆς νίκης. Ἱμέραν δὲ νῦν τὴν πόλιν αὐτὴν λέγει. ἔστι δὲ καὶ ποταμός. ἐκ ταύτης δὲ τῆς Ἱμέρας καὶ Στησίχορος ὁ μελοποιός. ἦν δὲ ὁ Ἐργοτίλης υἱὸς Φιλάνορος, καὶ ἐπολιτογραφήθη ἐνταῦθα.

1. Λίσσομαι] Gl. ms. γ. παρακαλῶ.

Λίσσομαι σαὶ Ζηνὸς Ἐλευθερίου] τὴν Εἰρήνην Ἐλευθερίου Διὸς ὑποτίθεται Συγατέρα διὰ τὴν ἐνοῦσαν τοῖς εἰρηνεύουσιν ἐλευθερίαν. ἔστι δὲ ὡς τὸ (Hom. Iliad. α'. 37.) "Χρύσην ἀμφιβέβηκας." ἐπιτιμῶ οὖν σε, ὦ τοῦ Διὸς τοῦ Ἐλευθερίου καὶ, Τέχα, σώτειρα, σώζουσα, περὶ τῆς μεγαλοδιτοῦς πόλεως, τῆς Ἱμέρας καλουμένης. ἔστι δὲ Ἱμέρα πόλις Σικελίας. Ἀμφιτόλει (sic) δὲ, περιστόλει, σῶζε. ἐῦχεται δὲ μὴ ὑποτεταγῆναι τὴν Ἱμέραν μηδενί. V.

Ὦ τύχη σώζουσα τοὺς ἀνθρώπους, ἣ γουφιλάστουσα, περίπτυσα, Σύγατερ τοῦ Διὸς Ἐλευθερίου, τυτίσει τῷ ἱφίρου τῆς ἐλευθερίας. Διὸς

δὲ Ἰλιωθρίου θυγατέρα λέγει, ἐπεὶ ἐδέξαζον αὐτὴν ὑψοῦν τι καὶ ἀπαλλάττειν δουλείας καὶ φυλάττειν τῶν Ἰλιωθρέων τὴν Ἰλιωθρίαν. Λίσσομαι, ἤγουν ἱκετεύω, ἀμφὶ τῷ Ἰμέρᾳ τῇ πόλει, ἀντὶ τοῦ, περὶ τῆς Ἰμέρας, τῆς πόλιως, τῆς εὐρυσθενοῦς, τουτέστι τῆς πολλὴν ἰχούσης δύναμιν. ἢ οὕτως· ἱκετεύω, ἀμφιπόλει, ἤγουν περιπόλει, περίεπε, ἱσικοσπῆς ἀξιοῦ τὴν Ἰμέραν, τὴν πόλιν τὴν πολλὴν ἔχουσαν δύναμιν. ὑπὸ σοῦ γὰρ κυβερνῶνται ἐν τῇ θαλάσσῃ αἱ ταχεῖαι νῆες καὶ ἐν τῇ χέρσῳ, ἀντὶ τοῦ τῇ γῇ, οἱ πόλιμοι οἱ λαιψηροὶ, ἤγουν οἱ σφοδροὶ τὴν ὁρμὴν καὶ δρασπέριοι· ὑπὸ σοῦ κυβερνῶνται καὶ αἱ ἀγοραὶ αἱ βουληφόραι, τουτέστιν οἱ τόποι, ἔνθα αἱ βουλαὶ δίδονται, ἤτοι τὰ βουλευτήρια. R.

4. Τὶν γὰρ ἐν πόντῳ] διὰ σὲ γάρ, φησι, καὶ νῆες ἐν τῇ θαλάσσῃ ἰθύνονται. V.

5. Λαιψηροί τι πόλιμοι] τουτέστι κοῦφοι καὶ ἀνόητοι, διὰ τὸ ἀνοήτως ποιεῖν ὁρμὴν τοὺς μαχομένους ἐν τῷ πολέμῳ, ἤτοι ὅτι ἄξιοι ἡ ὀργὴ ἀνθρώπων διανίσασαι, ἐξ ἧς ὁ πόλιμος. ψευδῆ δὲ μεταμώνια εἶπεν, ἀντὶ τοῦ μετέωρα καὶ αἰρόμενα. Τὸ δὲ τίμνουσαι ἀπὸ μεταφορᾶς τῶν νηῶν εἴληπται. διὰ τὴν Τύχην οὖν φησι καὶ τὰς ἐν ἀνθρώποις ἐλπίδας ἐκπλήσσεσθαι. (?) διὰ σὲ οὖν, ὦ Τύχη, πάντα γίνονται. αἱ γοῦν τῶν ἀνθρώπων ἐλπίδες πολλάκις ἀντιτρόφῳ τῇ προσδοκίᾳ χρησάμεναι μάστην διεξῆλθον καὶ πεῖρισσὸς ἠλπίσθησαν. V.

Εἰ μὲν ἄρδρου πρὸς τὸ λαιψηροὶ λάβοις ἔξοδον, οὕτως ἐρεῖς· ὑπὸ σοῦ κυβερνῶνται ἐν τῇ χέρσῳ οἱ λαιψηροὶ πόλιμοι, ἤγουν οἱ λαιψηρῶς καὶ κούφως καὶ ἀνοήτως τοῖς ἀνθρώποις γινόμενοι, ἢ οἱ λαιψηρῶν καὶ ταχυτάτων καὶ σκευδαίων ἀνθρώπων διόμενοι. εἰ δὲ χωρὶς τοῦ ἄρδρου, οὕτως· ὑπὸ σοῦ κυβερνῶνται ἐν τῇ χέρσῳ οἱ πόλιμοι· ποταποί; λαιψηροὶ καὶ ταχεῖς· ἤγουν ταχίους πλέονται. οὕτω δὲ ἐρεῖς καὶ τὸ βουλαφόροι, καὶ χωρὶς ἄρδρου καὶ μετὰ ἄρδρου. τοῦτο δὲ λέγει, ἐπεὶ εἰρήνης ὑπὸ τύχης γινομένης βουλευτήρια καὶ δικαστήρια ἐστίν. R.

Λαιψηροὶ (sic)] Gl. γ. μιγάλαι.

6. Αἵ γε μὴν ἀνδρῶν] αἵ γε μὴν ἐλπίδες τῶν ἀνθρώπων κυλίνδονται, ἤγουν ἐν τῇ συρφῇ τοῦ χρόνου συμφέρονται, τίμνουσαι, ἀντὶ τοῦ ἐλπίζουσαι, λογιζόμεναι πολλὰ ἄνω ἵστασθαι, τὰ δὲ δὴ κάτω. ψευδῆ μεταμώνια, ἐκπεφηνατικῶς ἀντὶ τοῦ ψευδῶς, ματαίως. σύμβολον δέ, ἤγουν σημεῖον προγνωστικὸν, ἀσφαλὲς οὕτω τὶς κατινόησεν ἀπὸ τοῦ Διοῦ περὶ τῆς ἰσομοίρης πράξεως, ἤγουν τύχης. τῶν δὲ μελλόντων, ὁ δὲ ἀντὶ τοῦ γάρ, ἤγουν αἱ γνώσεις τῶν μελλόντων, τετύφλωνται, ἀντὶ τοῦ, ἀφανεῖς, ἄδηλοί εἰσιν. Αἱ δὲ ἐλπίδες κυλίνδονται καὶ δίκην τροχοῦ περιφέρονται, τίμνουσαι καὶ ποιοῦσαι πολλὰ τῶν ἀνδρῶν ἄνω τὰ δὲ καὶ, ἄλλα δὲ, κάτω, ψευδῆ μεταμώνια καὶ μάταια, τουτέστιν ἴτιρά τις ἐλπίζει, καὶ ἑτεράττα ἀποβαίνει. ἔστι δὲ τὸ ψευδῆ ᾗ τὸ μεταμώνια ἑρμηνεία τοῦ ἄνω καὶ κάτω. καὶ γὰρ ἡ τοιαύτη ἀναστροφὴ ψευδεῖς τοὺς ἐλπίζοντας τίθησιν· ἢ τὸ ἐλπίδες πρὸς τὸ ἀνδρῶν συναπτέον. R.

10. Σύμβολον δ' οὕτω τὶς ἐπιχθονίων ποιεῖν] τουγαροῦν, φησιν, οὐδεὶς τῶν ἀνθρώπων τεκμήριον ἢ σημεῖον δυνάμενον πιστώσασθαι περὶ τῶν ἐλπιζομένων πράξεων ἔσται παρὰ Διοῦ, ὅτι πάντως ἐκβήσεται κατὰ τόνδε τὸν τρόπον, ὡρισμένως. Ἄλλως. οὐδεὶς ἀνθρώπων πράξεως, μελλούσης ἔσεσθαι, πιστὸν εὗρε παρὰ Διὸς σημεῖον. Φιλόχορος δὲ τὰς ἐκ φήμης μαντείας, τουτέστι πληδόνας ᾗ πλαρμοὺς, ἢ φωνὰς, ἢ φήμας ἢ ἀπαντήσεις σύμβολά φησι λέγεσθαι· ὡς Ἀρχίλοχος· " Μιτέρχομαί σι, σύμβολον τοῦτο· " μὴν." (G. ποιούμενος) χρήσασθαι δὲ αὐτοῖς πρώτην Δήμητρα. V.

Ἐπιχθονίων] Gl. mss. β. γ. ἐπιγείων.

14. Πολλὰ δ' ἀνθρώπους παρὰ γνώμαν ἔπεσε] καὶ γὰρ τοῖς ἔτερα τῆς γνώμης προσδοκῶσι τὰ ἐναντία συνίζη. τὸ δὲ ἔπεσεν ἀπὸ μεταφορᾶς τῶν κύβων. οἱ μὲν γὰρ τὰ ἐναντία, ἢ ὡς προσεδόκησαν καὶ μετεῖχον τέρψεως, εὗρεντο, οἱ δὲ, χαλεπαῖς καὶ δεινοῖς πραγμάτων ζάλαις περιστυχόντες, μέγιστον ἀγαθὸν αἰφνιδίως μετηλλάξαντο τοῦ προσδοκωμένου καπεῖν. πάντων δὲ τῶν προειρημένων ὁ σκοπὸς τὴν ἀναφορὰν εἰς τὸν Ἐργοτέλη ἔχει· ἐπειδὴ προσδοκήσας ἐν τῇ κατὰ Κρήτην πολίμου καὶ τῆς φυγῆς ἀδέξια τὰ μέλλοντα, δι' εὐτυχίαν πολλὴν ὕστερον δόξαν ἐκτήσατο. V.

Πολλὰ δὲ ἔπεσεν, ἀντὶ τοῦ ἐπίπτη, τοῖς ἀνθρώποις παρὰ προσδοκίαν, ἔμπαλιν δὲ τέρψεως, ἤγουν κατὰ τὸ ἐναντίον τῆς παρούσης αὐτοῖς τέρψεως. οἱ δὲ ἀλγεινοῖς ταραχαῖς ἀντιπύρσαντες, ἤτοι ἐντυχόντες ἐν, μικρῷ χρόνῳ, ἀντὶ τοῦ ἐν βραχεῖ, εἰς πολὺ ἀγαθὸν ἀπὸ πήματος, ἤτοι ἀπὸ κακοπαθείας, ἀπὸ βλάβης, μεθάμιψαν, ἀντὶ τοῦ μετάμειψαν, ἤτοι μετέπεσον. R.

Ἄλλως. Ἔμπαλιν μὲν τέρψιος] τουτέστι τὰ ἐναντία τῇ τέρψει, ἤτοι τὰ ἀηδῆ. ἔνεσι δὲ ἐν ζάλῃ καὶ χειμῶσι πραγμάτων γινόμενοι, ἐν μικρῷ χρόνῳ μετάμειψαν καὶ μετήλλαξαν εἰς βαθὺ καὶ μέγα ἀγαθὸν παραγινόμενοι. V.

15. Τέρψιος] Gl. γ. Χαρᾶς. β. εὐφροσύνας.

16. Ἀντιπύρσαντες] Gl. ms. β. ἐμπεσόντες.

17. Πήματος ἐν μικρῷ] λείπει δὲ ἀντὶ, ἵν' ᾖ ἀντὶ πήματος· τοῦτο δὲ εἶπε διὰ τὸν Ἐργοτέλην. καὶ γὰρ οὗτος ἐν πο-

μάτων περὶ τὴν ἀπόκτωσιν, ἀγαθὸν ἴσχι, τὴν νίκην. V.

19. Τὰ Φιλάνορος] ὦ υἱὲ τοῦ Φιλάνορος Ἐργότιλες, ὄντως δὴ καὶ ἡ σὴ τιμὴ τῆς ταχυτῆτος τῶν σῶν ποδῶν ἄξιος ἂν κατεφυλλοφόρησεν, ἤγουν κατεμαράνθη παρὰ τῇ οἰκίᾳ τῇ συγγόνῳ, ἀντὶ τοῦ συγγενικῇ, πατρικῇ, καθὰ ἀλίκτωρ εἶδον, ἐν τῷ εἴκῳ, τὰς μάχας ποιούμενος, ἀφανὴς ἴσι δηλονότι, εἰ μὴ ἡ μάχη ἡ ἀντιάνειρα, τουτέστιν ἡ ἐξ ἐναντιώσεως τῶν ἀνδρῶν γινομένη, ἰχέρνοί σι τῆς πατρίδος τῆς σῆς τῆς Κνωσίας, ἀντὶ τοῦ τῆς Κνωσοῦ, τὸ πτητικὸν ἀντὶ τοῦ ἁπλοῦ. R.

20. Ἐνδομάχας ἅτ' ἀλίκτωρ] τὸν ἀλίκτορα παρείληφε διὰ τὸ κατοικιδίους ποιεῖσθαι τὰς μάχας τὸ ζῶον τοῦτο, καὶ μηδὲν λόγου ἄξιον δρᾶν δημοσίᾳ. Θέλει δὲ εἰπεῖν, ὅτι εἰ μὴ ἔφυγεν ἐκ τῆς πατρίδος, οὐκ ἂν ἐσφαλώθη.—Ἄλλως. τί οὖν, φησίν, ὦ τοῦ Φιλάνορος υἱέ, Ἐργότιλες; καὶ ἡ σὴ τιμὴ ἀκλεὴς ἂν ἐγένετο, καὶ ἀτιμαράνθη ἄν, καὶ ἀπώλετο ἡ τῆς ὀξύτητός σου τῶν ποδῶν δόξα, εἴπερ ἐν τῇ τῶν προγόνων σου ἑστίᾳ παρέμενας, ἐκεῖ μόνον ἀγωνιζόμενος, ὁπού τις ἀλίκτωρ ἐνοικίδιος τοῖς ἴνδον ὀρνισι μαχόμενος, καὶ μὴ ἡ γεγενημένη μετάστασις καὶ ὁ πόλεμος ὁ ἐν τῇ πατρίδι σου, τῇ Κνωσσῷ, στρέψας σε ἦν τῶν οἰκείων καὶ ποιήσας ἀναχωρῆσαί σε τῆς πατρίδος, ὥστε δυνηθῆναι τὸν Ὀλυμπιάσιν ἀγῶνα νικᾶν. V.

21. Συγγόνῳ παρ' ἑστίᾳ] ἐν τῇ Κρήτῃ, κατοικίδιον ἂν ἴσχι τὴν ἀρετήν. συγγόνῳ, ἐν τῇ συγγενικῇ, τῇ ἀπὸ προγόνων· Κνώσσιος γὰρ ἦν. λέγει δέ, ὅτι καὶ τὸ δέξαι καπῶς γεγενῆσθαι, τὸ τῆς φυγῆς δηλονότι, τοῦτο αὐτῷ ἀγαθὸν προέβη. V.

25. Νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος] ἐκ δὲ ταύτης τῆς αἰτίας φησὶ τῆς κατὰ τὴν φυγὴν στεφθεὶς ἐν Ὀλυμπίᾳ, καὶ ἐν Πυθίᾳ καὶ ἐν Ἰσθμῷ, τὰ θερμὰ ὕδατα τῶν Νυμφῶν ἐν τῇ Ἱμέρᾳ ὑγιοῦς καὶ ἰσαίριος τῇ δόκῃ. Ἄλλως. τὰ ἐν τῇ Σικελίᾳ θερμὰ λουτρὰ τῆς Ἱμέρας πόλεως, λέγεται Ἀθηνᾶν ἀναδοῦναι εἰς ἀπόλαυσιν Ἡρακλεῖ, ἡνίκα ἐκεῖ ἐφάνη· τινὲς δὲ Νύμφας, καθὼς καὶ Πίνδαρος. ἵνα ἀπολούσηται, ὅτι τὰς Γηρυόνου βοῦς ἀπιλαύων παρεγένετο λέγεται δὲ λέγειν ἀπὸ μέρους αὐτὴν τὴν πόλιν. τόπος γὰρ ἐν αὐτῇ τὰ θερμὰ λουτρά. V.

Νῦν δέ, ὦ Ἐργότιλες, τούτου γεγονώς, ἐν τῇ Ὀλυμπίᾳ στεφανωσάμενος, ἤγουν νικήσας, καὶ δὶς ἐν Πυθῶνι νικήσας, καὶ ἐν τῷ Ἰσθμῷ, τὰ θερμὰ λουτρὰ τῶν Νυμφῶν τὰ ἐν τῇ Ἱμέρᾳ τῇ πόλει, βασάζεις, ἤγουν ὑψοῖς, μεγαλύνεις, ὑμιλῶν, τουτέστιν οἰκῶν, ἀναστρεφόμενος παρ' αὐτῇ, τῇ Ἱμέρᾳ δηλονότι, ὅσπερ εἰ ἀνεστρέφου παρὰ τῇ οἰκίᾳ γῇ, ἤγουν, τῇ πατρίδι σου, τῇ Κνωσσῷ. Ὅτι Ἡρακλῆς λαβὼν τὰς Γηρυόνου βοῦς ἐκαπήει ἐν Σικελίᾳ, αὐτῷ θερμὰ ὕδατα ἐκ τῆς γῆς ἀναδιδόσθαι Ἀθηνᾶ παρεσκεύασεν, ἵνα λουτροῖς αὐτοῖς χρήσαιτο πλεῖστα πεμὼν περὶ τὴν ὁδόν. λέγει οὖν τὰ θερμὰ λουτρὰ Νυμφῶν, ὅτοι τὴν Ἱμέραν πόλιν, (συνεκδοχικῶς) ἀπὸ μέρους. R.

28. Παρ' οἰκείαις ἀρούραις] ὡς ἐν ἰδίᾳ γῇ παροικῶν, καὶ οὐδενὸς τῶν ἔξωθεν ἐπιδεόμενος. V.

Carmen XIII.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τρισκαιδεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τοτ τρισκαιδεκάτου εἴδους ἡ στροφὴ ᾗ ἀντίστροφος κώλων ια'. Τὸ α', ἀντισπαστικὸν, τρίμετρον, καταληκτικὸν ἀπὸ πρώτου ποδὸς ἀδιαφόρου καὶ τροχαίου. ὁ τρίτος ποὺς παρονομάζη. ὁ γὰρ ἀντίσπαστος ἀπὸ β' τροχαίου, ὅπερ πάσχει κατὰ μέσον. (G. μέρος.) Τὸ β', Φερεκράτειον. Τὸ γ', ἰαμβικὸς τρίμετρος βραχυκατάληκτος. ὁ β' ποὺς ἀνάπαιστος τρίβραχυς· ὁ δ' ἄτακτος· σπονδεῖος γὰρ εὑρίσκεται παρὰ τοῖς μελοποιοῖς. Τὸ δ', ἰαμβικὸς τρίμετρος βραχυκατάληκτος. Τὸ ε', δισκῶλ πυρίχιος, καὶ δισκῶλος ἰαμβικὸς ἀκρόμικος. Τὸ ς', ἰωνικὸν τρίμετρον ἀκατάληκτον ἀπὸ ἰαμβικῆς, καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος, καὶ τροχαϊκῆς συζυγίας τῆς οἰκείας. Τὸ ζ', δακτυλικὸν πενθημιμερές. Τὸ η', ἰσχιορραμβικὸν, ἀπὸ διποδίας τροχαϊκῆς καὶ χοριάμβου, τῆς χοριαμβικῆς (τελευταίας) καὶ βραχυβάσεως διὰ τὴν καταληξιν. Τὸ θ', προσοδιακὸν ἢ ἀναπαιστικόν. Τὸ ι', Εὐριπίδειον. οὗ δὲ ἀποδόσεως ἐστὶ ὁμοιοσύλλαβοι εἶσιν ἴσοι

καὶ ἀπ' ἰλέσσους. Τὸ ια', ἢ ἰκτιχορίαμβος, ἢ τροχαῖος ἰστέρετος.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς καὶ αὕτη κῶλων ια'. Τὸ α', προσοδιακὸν δίμετρον ἀκατάληκτον, τῆς μοι βραχείας οὔσης. Τὸ β', ἰγκωμιολογικόν. Τὸ γ', τὸ αὐτό. Τὸ δ', ὅμοιον τῷ η' τῆς τροφῆς. Τὸ ε', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ς', Εὐριπίδιον. Τὸ ζ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η', δακτυλικὸν πενθημιμερές. Τὸ θ', ἰαμβικὸν ἄκατον. ὁ γὰρ β' ἴαμβος σπονδείῳ ἐστιν, εἶτα ἥμισυ συζυγίας. γίνεται δὲ ἐπὶ τοῖς ἰαμβικοῖς ἡ ἀταξία, ὡς ἐν τῷ· Ὦ καλλίστη πόλι πασῶν ὑπόσας Κλείων ἱφορᾷ (Hephæst. p. 60.). Τὸ ι', Εὐριπίδιον. Τὸ ια', τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

1. Τρισολυμπιονίκαν] παρ' ὅσον τρισὶ νίκας αὐτοῖς συμβέβηκε γενέσθαι, τῷ μὲν παιδὶ δύο κατὰ τὴν αὐτὴν ἡμέραν, πενταέθλῳ τε καὶ παιδίῳ ἀγωνισαμένῳ· τῷ δὲ πατρὶ Θεσσαλῷ τοῦνομα φέροντι ἐν τῇ ξθ' Ὀλυμπιάδι. τὸν τρισολυμπιονίκην οἶκον ἐπαινῶν, τὸν φερῆ μὲν φησὶ πολίτας, φιλάξενον δὲ πρὸς τοὺς ξένους, εἰς γνῶσιν ἄξω, καὶ ὑμνήσω διὰ τούτων καὶ τὴν εὐδαίμονα Κόρινθον, τὴν τοῦ Ἰσθμίου Ποσειδῶνος οὖσαν περικύκλιον καὶ οἰκητήριον, ἥτις ἀγλαοὺς κούρους καὶ ἄνδρας ἔχει. ἀγλαόκουρον γὰρ τὴν εὐάνδρου λέγει. περίθυρον τοίνυν καὶ θύραν εἰώθασι καλεῖν τὴν Κόρινθον, διὰ τὸ ἀρχὴν ἡ τέλος εἶναι τῆς Πελοποννήσου τὸν Ἰσθμὸν, περίθυρον δὲ τοῖς εἰς Πελοπόννησον στελλομένοις. Βακχυλίδης· (Ursin. Fragm. Lyr. p. 203. 346.) " Ὦ Πίλε- " τος λιπαρᾶς νάσου θεόδματοι πύλαι." ἢ οὕτως· ἐπεὶ ἀρχὴ μὲν τοῖς ἀπὸ τῆς Ἑλλάδος εἰς Πελοπόννησον πορευομένοις, ἰσχάτη δὲ τῆς Πελοποννήσου. V.

Τρισολυμπιονίκαν λέγει τὸν τοῦ Ξενοφῶντος οἶκον, ἐπειδὴ αὐτῷ μὲν τῷ Ξενοφῶντι δύο Ὀλυμπιακαὶ νῖκαι κατὰ τὴν αὐτὴν ἡμέραν ἐγένοντο, πενταέθλου καὶ παιδίου, κατὰ τὴν ος' Ὀλυμπιάδα νικήσαντι, τῷ πατρὶ δὲ Θεσσαλῷ μία πρόσθεν. Ἡ Κόρινθος ἐν τίλει μὲν τοῦ Ἰσθμοῦ, ἐν ἀρχῇ δὲ τῆς Πελοποννήσου κειμένη, εἰκότως περίπυλον τοῦ ἐν Ἰσθμῷ τιμωμένου Ποσειδῶνος τῷ Παιδάρῳ καλεῖται. R.

Τρισολυμπιονίκαν, τὸν οἶκον ἐπαινῶν τοῦ Ξενοφῶντος, λέγει, τὸν τρὶς ἐν Ὀλυμπίᾳ νικηκότα, τὸν φερῆ τοῖς πολίταις, τοῖς ξένοις δὲ διφάσιον, ἀντὶ τοῦ διφρασιωτὴν, γνώσομαι, ἀντὶ τοῦ εἰς ἀνάμνησιν ἀνάξω τὸν Κόρινθον, τὸν πατρίδα τοῦ Ξενοφῶντος, τὴν μακαρίαν, τὸ περίθυρον τῆς Πελοποννήσου δηλονότι, τὸ λαμπρούς ἔχον νίους, τὸ τοῦ Ἰσθμίου Ποσειδῶνος, τουτέστιν, ὃ ὁ Ποσειδῶν ὁ ἐν τῷ Ἰσθμῷ τιμώμενος ἔχει πανηγυρικὸν δηλονότι ἐν τῇδε γὰρ, ἤγουν ἐν ταύτῃ τῇ Κορίνθῳ, οἵκοι ἡ Εὐνομία, ἤγουν ἡ κατὰ νόμους καλῶς διοικουμένη διοίκησις, καὶ αἱ πασιγνῆται, ἤτοι αἱ ἀδελφαὶ αὐτῆς τῆς Εὐνομίας δηλονότι, ἡ Δίκη ἡ ἀσφάλεια, ἀντὶ τοῦ ἡ ἀσφαλείας ποιητικὴ, τὸ βάθρον, ἤγουν ἡ ἐσφάλεια τῶν πόλεων, καὶ ἰσόμητος ὁμόστροπος, τουτέστιν ἡ τὴν αὐτὴν αὐτῇ γνώμην ἔχουσα, ταμίαι οὖσαι, ἤγουν πάροχοι πλούτου τοῖς ἀνθρώποις, αἱ χρυσαῖ λίγω, ἀντὶ τοῦ αἱ πάλλιστα θυγατέρες τῆς Θέμιδος τῆς εὐβούλου, τουτέστι τῆς δίκαια βουλευομένης. R.

6. Ἐν τᾷδε γὰρ] ἐν γὰρ ταύτῃ, τῇ Κορίνθῳ, φησὶν, οἵκοι ἡ Εὐνομία, ᾗ ἡ ἀδελφὴ αὐτῆς ὁμόστροφος Εἰρήνη, ὡς Ἡσίοδος· (Theogon. 901. sq.)

Δεύτερον ἠγάγετο λιπαρὰς Θέμιν, ἣ τέκεν Ὥρας,
Εὐνομίην τε, Δίκην τε, καὶ Εἰρήνην τιθαλείαν. V.

7. Δίκα] Gl. ms. γ. κρίσις.

8. Βάθρον] Gl. mss. β. γ. Θεμέλιον.

Βάθρον δὲ πολίων] ἀντὶ τοῦ ἐφ' ὧν πᾶσα πόλις ἀσφαλῶς βίζηται. V.

10. Χρύσιαι] Gl. γ. Θεῖαι.

11. Θέμιτος] Gl. ms. γ δικαιοσύνης.

12. Ἐθέλοντι δ' ἁλιξεῖν ὕδωρ.] ἤτοι εὐκτικῶς εἶπεν, ἀντὶ τοῦ, αἱ περιερημέναι θεαὶ ἀπαλιξήσουσιν τῶν πόλεων τὴν ὕδριν· ἤτοι βούλοιντο δ' ἂν ἀπαμύνειν τὴν ὕδριν καὶ ἀποκωλύειν. ἢ περὶ τῶν Κορινθίων φησὶν, ὅτι βούλημα δέ ἐστιν αὐτῶν καὶ σπουδὴ ἐκκλίνειν τὴν ὕδριν, ἀντὶ τοῦ, καθιστῶτές εἰσι καὶ οὐχ ὑβρισταί. ἴνιοι δὲ οὕτως· βουλόμεναι δὲ καὶ σπουδὴν ἔχουσιν αἱ τῆς Θέμιδος θυγατέρες, ἀπαλιξεῖν τὴν ὕδριν τὸν τοῦ κόρου μητέρα τὴν Θρασίαν. Ἄλλως. Ἐθέλοντι δ' ἁλιξεῖν] αἱ περιερημέναι θεαὶ ἁλιξήσουσι τὸν ὕδριν τῶν πόλεων. οὐκ ἐρῶσι δὲ τὴν ὕδριν τοῦ κόρου μητέρα λέγει, ἀλλὰ τὸ ἀνάπαλιν εἰπεῖν ἔθος. Ὅμηρος· (immo Theognis v. 155. Brunck.)

Τίπτε σοι κόρος ὕβριν ὅταν πασῇ ὅλῃσι ἵσηται. V.

Ἐθέλοντι δὲ ἁλιξειν, ἤγουν ἀποσοβεῖν, διώκειν τὴν ὕβριν, τὴν τοῦ κόρου θυγατέρα δηλονότι, τὴν μητέρα τῶν Θρασίων, ἤτοι τῶν ἰσημερινῶν λόγων. R.

Ὕβριν κόρου] ὕβριν λέγει τὴν ἀδικίαν καὶ πλεονεξίαν, αἳ πλῆθος πολίμων καὶ φαγῶν καὶ φόνων καὶ παντοίων κακῶν παρασκευάζουσι γίνεσθαι, καὶ πάντων τούτων τοῖς ἀνθρώποις εἰσὶν αἴτιαι. Ὅμηρος· δὲ τὸν κόρον θυγατέρα λέγει τῆς ὕβρεως, λέγων· " Τίπτε σοι κόρος ὕβριν." Κόρος

λίγεται κυρίως ἐπὶ τοῦ τομάχου, ὅταν ἐμπλησθῇ βρεμάων. ἀπὸ τούτων δὲ καὶ ἐπὶ τῶν μεγάλης περιουσίας ἀπολαυόντων, ἢ τιμῆς, ἢ ἐτέρου τούτου. καθὸ λίγεται ἐνταῦθα. ὕβρεις δὲ ἡ ἀδικία ᾗ ἀλαζονεία ᾗ ἔπαρσις καὶ τῶν ὑποδεεστέρων, ἢν ἡ Εὐνομία καὶ ἡ Δίκη καὶ ἡ Εἰρήνη ἀποστρέφεται καὶ διώκει. R.

14. Ἔχω καλά τι φράσαι] ἔχω τοίνυν περὶ τῆς Κορίνθου τὰ κάλλιστα διεξελθεῖν. παρορμᾷ γὰρ τὴν γλῶτταν ἡ τόλμα ἡ εὐθεῖα καὶ πρόσφορος, νῦν διηγεῖσθαι περὶ αὐτῶν. V.

Ἔχω καλά τι εἰπεῖν ἐπὶ τῇ Κορίνθῳ, τόλμα τι μοι εὐθεῖα, τουτέστι ᾗ προθυμία εὐθεῖα, ἀντὶ τοῦ δικαία, τὴν γλῶσάν μου παρορμᾷ εἰς τὸ λέγειν. ἄμαχον δὲ, ἤγουν ἀμήχανον, ἀδύνατον, κρύψαι, ἤτοι σῖσαι, ἴδιαι, τὸ συγγιγνημένον ἐμοὶ φυσικὸν ἦθος. ὑμῖν δὲ, ὦ παῖδες, ἀντὶ τοῦ ἀπόγονοι τοῦ Ἀλήτου, τουτέστιν ὦ Κορίνθιοι, πολλάκις μὲν παρέσχον αἱ Ὧραι, αἱ πολυιδὴ ἄνθη προτείνουσαι, λαμπρότητα νικηφόρον, ἀντὶ τοῦ νικητικὴν, δι' ἐξόχων ἀνδραγαθιῶν ὑπερελθόντων, ἤγουν νικησάντων ἐν ἱεροῖς, ἤτοι θείοις ἀγῶσιν. R.

15. Εὐθεῖα] Gl. ms. γ. ἀρθή.

Ὀρνύει] Gl. γ. διεγείρει.

16. Τὸ συγγενὲς ἦθος] τὸ ἔμφυτον, ὅτι καὶ Κορίνθιοι ἀγαθοὶ ἐκ φύσεως ὄντες, οὐκ ἂν ποτε μισαλληθεῖεν. Ἀλήτης ἀνήρ τις ἡγήσατο Ἡρακλείδαις τῆς πρὸς Πελοπόννησον ἐπανόδου. κατοικήσαντος οὖν ἐν Κορίνθῳ ἀπ' αὐτοῦ οἱ Κορίνθιοι καλοῦνται. R.

17. Τραμεῖν δὲ, παῖδες Ἀλάτα] τουτέστιν οἱ Κορίνθιοι. Ἀλήτης γὰρ ἡγήσατο τῆς ἀποικίας τῶν Ἡρακλειδῶν, ὅτε οἱ Ἡρακλεῖδαι κατῆλθον εἰς Πελοπόννησον καὶ αὐτὸς ὢν ἐκ τῶν Ἡρακλειδῶν. ἦν γὰρ Ἱππότου, τοῦ Φύλαντος, τοῦ Ἀντιόχου, τοῦ Ἡρακλέους. οὗτος ἐκράτησε Κορίνθου. διόπερ παῖδας εἶπεν Ἀλήτου τοὺς Κορινθίους, ὡς ἀπογόνους. Δίδυμος δέ φησι τὸν Ἀλήτην μὴ οἰκιστὴν τῆς Κορίνθου γεγονέναι, ἀλλὰ βασιλέα ὕστερον τριακοστῷ μετὰ τὴν τῶν Δωριέων ἄφιξιν. ὁ δὲ νοῦς· ὑμῖν δὲ, ὦ Κορίνθιοι, τὴν ἀπὸ τῶν νικῶν ἡδονήν τι καὶ τέρψιν παρέσχον αἱ Ὧραι, νικησάντων γενομένων ἐν τοῖς μεγίστοις καὶ ἱεροῖς ἀγῶσιν. οὐ μόνον δὲ ἐνδέξους διὰ τὰς νίκας τοὺς Κορινθίους αἱ Ὧραι ἐποίησαν, ἀλλὰ καὶ ταῖς παρδίαις αὐτῶν ἐνέζαλον σοφίαν. φησὶ δὲ ταῦτα, ἐπειδὴ Φείδων τὶς, Κορίνθιος ἀνὴρ, ἔνδρα μέτρα καὶ σαθμία. καὶ ἄλλα πολλὰ λέγονται εὑρηκέναι οἱ Κορίνθιοι. διὸ καὶ ἐπιφέρει· πᾶν δ' ἐρόντος ἔργον. πολλὰ οὖν εὗρον. V.

20. Ὅπασάν γ' ἄφραις] Αἰτιῶνταί τινες ἀσυνέτως τὸν Πίνδαρον, διότι ὑπερελθόντων εἶπε, δέον ὑπερελθεῖν εἰπεῖν πρὸς τὸ ὑμῖν. νέμ δ' ὅτι τὸ ὅπασαν δοτικῇ συντάσσεται. τὸ δὲ ὑπερελθόντων οὐ πρὸς τὴν σύνταξιν τοῦ ὅπασάν ἐστι, ἀλλ' ἐπειδὴ αἰτία ἐστὶ τὸ νικηφόροι ἀγλαΐαν. σχηματίζομαι δὲ τὰς αἰτίας καὶ πρὸς τὴν ὅπασθαι σύνταξιν, εἰ δοτικὴ ἢ αἰτιατική ἐστι, καὶ πρὸς γυναῖκα, διὰ τοῦτε καὶ νῦν οὐ πρὸς τὸ ὑμῖν, ἀλλ' ὡς αἰτία πρὸς γυναῖκα ἀπιδόθη. ὅσπερ ἐστὶ τοῦτο· Πολλῶν σιρασθῆναι συνίζω μὴ ἁμαρτωλοῦ ὄντος. R.

21. Πολλὰ δ' ἐν παρδίαις] πολλάκις δὲ ἔζαλον ὑμῖν αἱ Ὧραι ἐν παρδίαις ἀνδρῶν, τουτέστι, πολλάκις δὲ ἔζαλον αἱ Ὧραι ἐν παρδίαις ἀνδρῶν ὑμετέρων, σοφίσματα ἀρχαῖα, ἤγουν ἐπινοίας τεχνῶν πρώτου εὑρεμίνας, οὕτω πρότερον εὑρεμίνας. ἅπαν δ' εὑρόντος ἔργον, τουτέστιν ἅπασα δ' ἐργασία τεχνικὴ τοῦ εὑρόντος αὐτὴν τὴν ἀρχὴν, ἤτοι τοῦ ἐφευρόντος ἐστίν. αἱ Χάριτες τοῦ Διονύσου, ἤγουν αἱ ἑορταὶ αἱ τὸ ἐπαγωγὸν ἔχουσαι, αἱ παρὰ τοῖς Κορινθίοις ὑμῖν τιλούμεναι δηλονότι, σὺν ὕμνῳ διθυράμβῳ βοηλάτῃ, τουτέστι, χάριν βοὸς ἀθλουμένῳ, πόθεν ἄλλοθεν, ἢ παρ' ὑμῶν δηλονότι, ἐξέφανεν, ἤγουν ἐλαμπρύνθησαν; τίς δὲ ἄλλος ἔθηκεν, ἀντὶ τοῦ ἐπενόησε, συμμετρίας ἐν πανσεκνιάσμασιν ἐπτατίοις, ἀντὶ τοῦ πολεμικοῖς· ἤγουν τίς δὲ ἄλλος ἐπενόησε τὴν ἐν τοῖς ἕπτα συμμετρίαν; ἢ τίς ἄλλος ἐπενόησεν ἐν τοῖς ναοῖς τῶν θεῶν τὸν βασιλέα τῶν ἐρνίων τὸν διπλοῦν, ἤγουν τὸν διπλοῦν ἀετὸν, τουτέστι τὸ λιγόμενον δίστομα; ἐν τούτοις δὲ, τουτέστι τοῖς Κορινθίοις, ἀνθεῖ, ἀντὶ τοῦ ἐκμάζει, περιφανῆς ἐστι, δόναμις ποιητικὴ, ἡδύντους, ἡδυμελῆς, στρεπτὰ προτείνουσα μέλη· ἐν τούτοις δὲ ἀνθεῖ Ἄρης, τουτέστι πολεμικὴ ἐμπειρία νίων ἀνδρῶν, ἐν αἰχμαῖς, ἀντὶ τοῦ ἐν μάχαις ἐλπιζόμενος. R.

23. Τὸ Ὧραι πολυάνθεμοι καὶ πρὸς τὸ ὅπασαν ἐκληπτέον. παρέχουσι δὲ αἱ Ὧραι τὰς νίκας διὰ τὸ τὰς πανηγύρεις κατὰ περίοδον φέρειν, ἐν αἷς ἀγῶνες καὶ νῖκαι γίνονται. πῶς δὲ ἀρχαῖα σοφίσματα ἐν τοῖς Κορινθίοις ἔζαλον; ἐπειδὴ ἴν τι τῷ ἵππῳ καὶ ἅρμασι καὶ τοῖς ἄλλοις παισὶ ἐμηχανήσαντο τὰ περίσφορα. δέον δὲ εἰπεῖν· σοφίσματα ἔζαλον. πανταχοῦ, ἀρχαῖα εἶπε πρὸς τὸ σοφίσματα. R.

24. Ἅπαν δ' εὑρόντος ἔργον] τοῦ εὑρόντος ἐστὶ δηλονότι. εἰ γὰρ καί τινες τοῖς περιθεῖσι παρὰ Κορινθίων ἐπιδεδώκασι ἐξέλαμψαν, οἱ κατ' ἀρχὰς εὑρόντες αὐτὰ Κορίνθιοι, πρείττους εἰσὶν αὐτῶν τῷ εὑρεῖν. R.

25. Ταὶ Διονύσου πόθεν ἐξέφανεν] αἱ τοῦ Διονύσου, φησὶ, πανηγύρεις πόθεν ἐξέλαμψαν σὺν τῷ διθυράμβῳ, ἀντὶ τοῦ, τὸν διθύραμβον προσλαβεῖσαι; βοηλάτην δὲ τὸν διθύραμβον προσαγορεύει, ἤτοι διὰ τὸ βοῦν εἶναι τῷ νικήσαντι ἔπαθλον· ἱερὸς γὰρ τοῦ Διονύσου· ἢ διὰ τὸ ἐλαύνεσθαι αὐτὸν διὰ βοῦς, καὶ λίγεσθαι. ὁ Πίνδαρος δὲ ἐν μὲν

τοῦς Ἀτορχήμασιν, ἐν Νάξῳ φησὶν εὑρεθῆναι πρῶτον διθύραμβον, ἐν δὲ τῷ πρώτῳ τῶν Διθυράμβων, ἐν Θήβαις, ἐνταῦθα δέ, ἐν Κορίνθῳ. ἢ οὕτως ἀκουστέον· αἱ τοῦ Διονύσου διθυράμβων ἐν Κορίνθῳ ἰφάνησαν Χάριτες, τουτέστι τὸ σκωδαιότατον τῶν Διονύσου διθυράμβων ἐν Κορίνθῳ πρῶτον ἰφάνη. ἐκεῖ γὰρ ὠράθη ὁ χορὸς ἐρχόμενος. ἵστηση δὲ αὐτὸν πρῶτος Ἀρίων ὁ Μηθυμναῖος, εἶτα Λάσσος ὁ Ἑρμιονεύς. Ἄλλως. ὁ λόγος ἐρωτηματικός. ὑπακούεται δὲ δηλονότι ἐκ Κορίνθου. συνίσησι γάρ, ὅτι πρῶτος ἐν Κορίνθῳ διθύραμβος εἰσήχθη· ὃς ἦν κύκλιος χορὸς, Ἀρίονος τοῦ Μηθυμναίου συστήσαντος αὐτόν. V.

26. Βοηλάτᾳ] Gl. ms. γ. βοῒ λαμπρᾷ. Βοηλάτην καλεῖ τὸν διθύραμβον, ἢ διότι τῷ κατορθώκαντι αὐτὸν βοῦς ἐδίδοτο ἆθλον, ἢ διότι ἐλαύνετό τε καὶ ἐστεφανοῦτο. ὁ δὲ διθύραμβος χορὸς ἦν κυκλικὸς πρὸς τὸν Διόνυσον. ἐλέγετο δὲ διθύραμβος, ἀπὸ τοῦ Διονύσου, τοῦ ἐκ δύο θυρῶν ἐξελθόντος, ἵνα τι τῆς μητρώας αὐτοῦ γαστρὸς καὶ τοῦ μηροῦ τοῦ Διός. εὗρον δὲ οἱ Κορίνθιοι πρῶτον τοῦτον ἐν τοῖς Διονυσιακοῖς, ὥσπερ καὶ τὸ μίτρον τοῦ ἱππικοῦ τροχοῦ, τουτέστι τοῦ ἅρματος, ὁπόσον δεῖ γίνεσθαι, ὃν ἵππια ἔντια καλεῖ, καὶ τὰ ἱμάντων τῶν ναῶν διπλᾶ ἀετώματα. R.

27. Τίς γὰρ ἱππείοις ἔντεσι μίτρα] τουτέστι τὰ ἵππεια μίτρα τοῦ χαλινοῦ. ἀποδεδώκασι δὲ τῷ δεκεῖν τὸν Πήγασον πρῶτον ὑπὸ Βελλεροφόντου ἐν Κορίνθῳ κατιζεῦχθαι. Δίδυμος δέ φησι μήτε τοὺς ἱππικοὺς δρόμους, μήτε τὰς τῶν ἁρμάτων κατασκευὰς, μήτε τὸν χαλινὸν διὰ τούτων δηλοῦσθαι, ἀλλὰ τὸν περαμικὸν τροχὸν, ἐν μεταφορᾷ δηχθὲν μιτινηγμένης· τοῦτο μὲν ὅτι ἵππιος οἰκεῖος ὁ τροχός· τοῦτο δὲ, ὅτι ἱκατέρωθεν ἐλαύνεται ὑπὸ ποδὸς ψαίρης. Καλλίμαχος· (Fragm. 6. p. 361. tom. i. Ern.) " Πτέρνῃ δ' ἵππος ἐλαυνό-" μενος." Θεόφραστος δὲ ἐν τῷ περὶ εὑρημάτων Τπέρβιον τὸν Κορίνθιον, φησὶν, εὑρεθῆναι τὸν τοῦ περαμικοῦ τροχοῦ μηχανήν· μίτρα δὲ αὐτὰ " ὁ Πίνδαρος, παρ' ὅσον ἐν περαμικοῦ μιτρούμεν. καὶ ὅσα ἄλλα, χόες, ψυκτῆρες, κώθωνες. ἴνιοι δὲ ἵππεια ἔντεα, ἅρματα καὶ χαλινοὺς, ἀπὸ μέρους τοὺς πολιμικούς· ὅτι δὲ παρ' αὐτοῖς ὁ χαλινὸς εὑρηται, δείκνυσιν ἐν τοῖς ἑξῆς. ὁ δὲ νοῦς οὗτος· τίς γάρ φησιν ἵπτιρος εὗρε τὰ μίτρα τὰ ἐν τοῖς ἱππείοις ἔντεσι καὶ ὅπλοις γινόμενα. ἱππείοις δὲ ἔντεσιν εἶπε τοῖς τροχοῖς, τοῖς περαμικοῖς, ἐπειδὴ ἐπὶ τροχοῦ πλάττεται· ὁ δὲ τροχὸς κοινωνεῖ τῷ ἅρματι τῶν ἵππων. Ἄλλως. ὁ Δίδυμος ἱστόρει ἀποδίδωσιν οὕτως ἔχουσαν· τὴν ἐν πρόθεσιν ἀντὶ τοῦ εἰς κειμένην συναστέον πρὸς τὰ μίτρα. τίς γὰρ τοῖς εἰς τὰ μίτρα ἱππείοις ἔντεσιν ἐχρήσατο πρώτη, ἢ σὺ, ὦ Κόρινθε. Ἱππεῖα δὲ ἔντεα τὰ Φειδώνεια ἀγγεῖα ἀκουτίον, διὰ τὴν κοιλότητα. Ὅμηρος· (Od. π'. 232.) "Ἀμφίπολοι δ' ἀσκόσμιον ἔντεα δαιτός." τούτων οὖν εἰς τὰ μίτρα ἐντίων εὑρετὰς φησιν εἶναι τοὺς Κορινθίους. διατί δὲ ἵππεια αὐτὰ εἶπεν; ὅτι Φειδὼν ὁ πρῶτος κόψας Κορινθίοις τὸ μίτρον Ἀργεῖος ἦν· τὸ δὲ Ἄργος ἵππιον λέγουσιν οἱ ποιηταί. Εὐριπίδης· (Iphig. Taur. 700.) " Ὅταν εἰς " Ἑλλάδ' ἵππιόν τ' Ἄργος μόλῃς." V.

29. Ἡ Θιῶν ναοῖσιν οἰωνῶν βασιλία δίδυμον] οἰωνῶν βασιλία τὸν ἀετὸν φησι. λέγει δὲ τὸ κατὰ τοὺς ναοὺς τῶν Θιῶν ἀέτωμα. τίς οὖν, φησιν, ἐν τοῖς ναοῖς τῶν Θιῶν τὸν βασιλία τῶν ὀρνίθων ἱστήσατο, τὸ λεγόμενον ἀέτωμα; Δίδυμος δέ φησιν, ὅτι διπλᾶ τὰ ἀετώματα ἔστισθαι καὶ ἔμπροσθεν, διὰ τὸ ἐξ ἀμφοτέρων τῶν μερῶν κατασκευάζεσθαι αὐτά. Ἄλλως. οἰωνῶν βασιλία] ὁ ἀετὸς οἰωνῶν βασιλεύς ἐστι· ὁ ἐκ τῶν ἱερῶν τριθέμενος. τινὲς δὲ τὸ ἀέτωμα, ὃ φησι Δίδυμος, παρατιθέμενος Τίμαιον λέγοντα καὶ τοῦτο ἐν ταῖς οἰκοδομίαις αὐτῶν εὕρημα, ταύτην ἀποδοὺς τὴν ἐξήγησιν τὴν προκειμένην. V.

31. Ἐν δὲ Μοῖσ' ἀδύτοισι] πρῶτον δὲ ἡ Μουσικὴ ἀνθεῖ καὶ τὰ πολλαπλᾶ ἀλλαχοῦ· τοῦτο δέ, διὰ τὸν Εὔμολπον ὄντα Κορίνθιον καὶ γεράψαντα νόστον τῶν Ἑλλήνων. ἢ τοῦτό φησιν ἀντὶ τοῦ, μουσικοί εἰσι, παρόσον καὶ ποιηταὶ διασημότατοι ἐν Κορίνθῳ ἐγένοντο, ὧν ἦν καὶ Αἴσων, οὗ μέμνηται Σιμωνίδης. ἐν δὲ τῷ Περσικῷ πολέμῳ καὶ οὗτοι ἱεροτεύσαντο, ἔχοντες ἡγεμόνα Ἀδείμαντον. V.

Μοῖσ' ἀδύτοισι] Τοῦτο λέγει, ἢ ὅτι μουσικώτατοι ἦσαν Κορίνθιοι, ἤγουν ὅτι ἐν Κορίνθῳ κάλλιστοι ποιηταὶ ἐγένοντο, ὧν εἷς ἦν Αἴσων. ἀνθεῖ δὲ ἐν αὐτοῖς ὁ Ἄρης, διότι πολιμικώτατοί εἰσι, καὶ ἐν τῷ Περσικῷ πολέμῳ κάλλιστα ἐξέλαμψαν. R.

32. Ἐν δ' Ἄρης ἀνθεῖ νίκαν] πρῶτον δέ φησι καὶ τὰ τοῦ πολέμου ἱματίοις ῥῦσαι γίνεται; τοῦτο δέ, διὰ τὰ Μηδικὰ φησιν, ὅτι ἠνδραγάθησαν ἐπὶ Ξέρξου ἠττηθέντος καὶ φυγόντος ὑπὸ Ἀθηναίων, ὅτι καὶ πεντήκοντα ναῦς τοῦ Πέρσου κατέδυσαν. Ἄλλως. τὸν Ἄρην φησὶν ἐν Κορίνθῳ λάμπειν, στίνων εἰς τὰ περὶ Περσίδος, ἐν οἷς ὑπὲρ τῶν Ἑλλήνων σωτηρίας ἠνδραγάθησαν οἱ Κορίνθιοι. Θεόπομπος δέ φησι καὶ τὰς γυναῖκας αὐτῶν εὔξασθαι τῇ Ἀφροδίτῃ, ἔρωτα ἐμπεσεῖν τοῖς ἀνδράσιν αὐτῶν, μάχεσθαι ὑπὲρ τῆς Ἑλλάδος τοῖς Μήδοις, εἰσελθούσας εἰς τὸ ἱερὸν τῆς Ἀφροδίτης, ὅπερ ἰδρύσασθαι τὴν Μήδειαν λέγουσιν, Ἥρας πρεσβ-

* G. αὐτὸν, an om. λέγει?

ξάσης. εἶναι δὲ ᾠδὴ νῦν ἀναγεγραμμένον ἐλεγεῖον, εἰσιόντι εἰς τὸν ναὸν ἀριστέως χειρός·

Αἳ δ' (G. φδ') ὑπὲρ Ἑλλάνων τι καὶ ἀγχιμάχων στολητᾶν
Ἔσασαν εὐχόμεναι Κύπριδι δαιμονίᾳ.
Οὐ γὰρ τοξοφόρεισιν ἐβούλετο δῖ' Ἀφροδίτα
Μήδοις Ἑλλάνων ἀκρόπολιν δόμεναι. V.

34. Ἔτας' εὐρὺ ἀνάσσων] ὦ Ζεῦ πάτερ ἔξοχε, εὐρὺ, ἀντὶ τοῦ μεγάλως, κραταιῶς, ἀνάσσων τῆς Ὀλυμπίας, γενοῦ κατὰ πάντα τὸν χρόνον ἀφθόνητος, ἀντὶ τοῦ, οὐκ ἐῶν ἐστερῆσθαι φθόνου τοῖς ἔπεσι τούτοις τοῖς ἐπ' αὐτοῖς, τουτέστι τοῖς ὕμνοις. ἐπίφθονον, τὸ ἔχον φθόνον, ἤτοι τὸ φθονούμενον· ἄφθονον, τὸ χωρὶς φθόνου γινόμενον, ἢ δεδόμενον, οἷον ἄφθονος χάρις, ἡ χωρὶς φθόνου γινομένη, ᾗ ἄφθονος παρῆξις, ἡ χωρὶς φθόνου παραιτουμένη, ἀφ' ἧ ἄφθονος πλοῦτος, ὁ πολὺς, ᾗ ἄφθονον πλῆθος ἀντὶ τοῦ πολύ. ἀφθόνητος δὲ ὁ μὴ φθονούμενος. ἐνταῦθα δὲ τὸ ἀφθόνητος ἐπὶ ἐνεργείας κεῖται. καὶ σόνδε τὸν λαὸν τοῦ Ξενοφῶντος νίμων, ἤγουν διοικῶν, ἀσλαδῶς, ἐπιῤῥήματικῶς, ἀντὶ τοῦ ἐν ἀσφαλείᾳ, ἐν εὐτυχίᾳ, εὐθυνε, ἤγουν εὐόδου, τοῦ δαίμονος αὐτοῦ, ἤγουν τοῦ Διοῦ τοῦ διοικοῦντος αὐτῷ τὸν βίον, τὸν οὖρον, τουτέστι τὸν οὔριον ἄνεμον, μεταφορικῶς ἀπὸ τῶν νεῶν, ἀντὶ τοῦ εὐτυχίαν. οὖρος γὰρ ποιητικῶς, ὁ ἀπὸ τῆς οὐρᾶς, ἤτοι τῆς πρύμνης τῆς νεὼς ἐστηδίως ἄνεμος, ὃν οὔριον ποιζεγράφοι φασὶν, ἀφ' οὗ καὶ τὸ, ἐξ οὐρίας πλεῖν. R.

35. Ἀφθόνητος ἔπεσιν] ἐπὶ τοῖς ἔπεσι τῆς Ὀλυμπίας καὶ τοῖς ὕμνοις, οἷς λέγω περὶ αὐτῶν, μὴ νεμεσήσῃς, ὦ Ζεῦ. V.

37. Νίμων] Gl. ms. γ. κυβερνῶν.

38. Ξενοφῶντος εὐθυνε] τουτέστι, τοῦ Ξενοφῶντος εὔθυνε τὴν εὐτυχίαν, οὔριον καὶ εὐδιεινὸν διδοὺς αὐτῷ τὸ δαιμόνιον, ἀντὶ τοῦ, ποίει δὲ αὐτόν, φησι, εὐτυχῆ καὶ εὐδαίμονα. V.

39. Δίξει δέ οἱ σιφάνων ἐγκώμιον] καὶ περόσδεξαί, φησιν, ἡδέως τὸν ἐπὶ τῶν σιφάνων αὐτοῦ στεφάνον, καὶ νόμιμον ἔπαινον. λέγει δὲ τὸν ὕμνον. στεφάνῳ δὲ τὸν νόμον φησί. νόμος γάρ ἐστιν οὗτος, Ὀλυμπιονίκας ὑμνεῖσθαι. V.

Ἀκόδιξαι δὲ τὸν νόμον τὸν ἐγκώμιον, ἀντὶ τοῦ τὸν ἐγκωμιαστικὸν, τῶν σιφάνων αὐτοῦ, ὃν ἐστέγνται ἀπὸ τῶν χωρίων τῆς Πίσης, νικῶν ἀντὶ τοῦ νικήσας δύο, τὸν δρόμον τοῦ σταδίου, ἤγουν τὸ στάδιον, ἅμα τῷ πεντάθλῳ. ἐλίγματο δὲ στάδιον μὲν ὁ τόπος, ἐν ᾧ ἵστεισαν. ἦν δέ, φασι, πήχεων στριακοσίων (G. διακοσίων) διάστημα. πένταθλον δὲ, ὃ εἶχεν ἐν ἑνὶ χρόνῳ τὰ πέντε ταῦτα, πυγμὴν, πάλην, δίαλμα, δίσκον καὶ δρόμον. οὐκ ἐπίσυχνον οὐδαμῶς πρότερόν τις ἀνὴρ θνητὸς τοῦτον, ἀντὶ τοῦ, τοῦτον τοῦ πράγματος, τουτέστι, τοῦ νικῆσαι ἐν μιᾷ ἡμέρᾳ ταύτας τὰς δύο νίκας. R.

Ἐγκώμιον στεφθὲν] τὸν ἐγκωμιαστικὸν λόγον, ὃς ἐστιν ὕμνος τῶν νικηφόρων, ὅτινα ὕμνον ἐκτήσατο καὶ ἄγει, φησὶν, ἑαυτῷ, νικῶν καὶ στάδιον ὁμοῦ καὶ πίνταθλον, ἐν τῷ σταδίῳ τῆς νίκης. V.

43. Τῶν ἀνὴρ θνατὸς] ὧν εὐτυχημένων τῶν τῆς διπλῆς νίκης, οὐδέπω πρότερον εὐτύχησεν ἀνήρ. πρῶτον δὲ καὶ μόνον φησὶ τὸν Ξενοφῶντα κατὰ τὴν αὐτὴν ἡμέραν στάδιον καὶ πίνταθλον νικῆσαι Ὀλυμπίοις. λέγει δὲ καὶ ἄλλας νίκας αὐτοῦ. V.

45. Δύο δ' αὐτὸν ἔρεψαν σλόποι σιλίνων] ἐκ σιλίνων γὰρ οἱ σίφανοι· πλόκοι δὲ, παρὰ τὸ πλέκεσθαι τοῖς τὰ Ἰσθμια νικῶσι. σημειωτέον δὲ, ὅτι ἤδη ἀπεδέδεικτο Ἰσθμοῖ ὁ ἀπὸ σιλίνων σίφανος, ὡς ἐν Νεμέοις. ἀμφότεροι γὰρ ἐστάφιοι. ἱερὸν δὲ τὸ σέλινον τῶν παταχθονίων. τὸ δὲ, οὐκ ἀντιξοῖ, ἀντὶ τοῦ, οὐκ ἐναντιοῦται. ἐνίκησε γὰρ καὶ τὰ Νέμεια. οἱ δὲ ὅτι ἀντέκειτο· ἀπὸ μεταφορᾶς τῶν ζύλων τῶν ζευμένων καὶ ἀλλήλοις ἁρμοζομένων. τὰ γὰρ συναρμοζόμενα συγκεῖσθαι. ἀλλ' ἀντιξοῖ καὶ ἀντιζαίνει πρὸς τὴν ζέσιν ἁρμοσθὲν ὄντα. V.

Δύο δὲ σίφανοι ἀπὸ σιλίνων πεπλεγμένοι ἐστεφάνωσαν αὐτὸν φανέντα, ἤγουν παῤῥησιασάμενον, ἀγωνισάμενον, ἐν Ἰσθμιάδεσσιν, ἀντὶ τοῦ, ἐν τῷ ἀγῶνι τῷ Ἰσθμοῖ. Σημείωσαι, ὅτι οὐ μόνον πίτυς ἐδίδοτο ἐν τῷ Ἰσθμῷ, ἀλλὰ καὶ σιλίνου σίφανος, ὥσπερ ἐν τῇ Νεμέᾳ· πλὴν μὲν ἐν τῷ Ἰσθμῷ ἀπὸ ξηρῶν σιλίνων, φασὶν, ἐπλέκετο ὁ σίφανος, ἐν δὲ τῇ Νεμέᾳ ἀπὸ χλωρῶν. καὶ τὰ Νέμεια οὐκ ἀντιζοῖ, ἤγουν οὐκ ἀντέκειτο τούτῳ τῷ Ξενοφῶντι. νενίκηκε γὰρ ἐν αὐτοῖς. R.

48. Πατρὸς δὲ Θεσσαλοῦ] καὶ τοῦ πατρὸς αὐτοῦ Θεσσαλοῦ ἀνάπεισαι ἐν τῇ Ὀλυμπίᾳ ἡ δόξα ἡ ἐκ τοῦ δρόμου, ἀντὶ τοῦ ἐνίκησε. V.

Τοῦ πατρὸς δὲ αὐτοῦ τοῦ Ξενοφῶντος, τοῦ Θεσσαλοῦ, φήμη λαμπρὰ τῆς ἀριστῆς τῶν ποδῶν ἀνάπεισαι, ἀντὶ τοῦ, ἐπεραστῆ, παραμένει ἐπὶ τοῖς ῥεύμασι τοῦ Ἀλφειοῦ, ἤγουν ἐν τῇ Ὀλυμπίᾳ. Θεσσαλὸς ὁ ἀπὸ Θεσσαλίας· ἐνταῦθα δὲ ὄνομα πάρεσι ὁ Θεσσαλός. ἐν τῇ Ποθῷ τι ἔσχεν, ὁ Θεσσαλὸς δηλονότι, κλέος νίκης, σταδίου καὶ διαύλου, ἡλίῳ ἀμφὶ ἐνὶ, ἀντὶ τοῦ ἐπὶ μιᾷ ἡμέρᾳ. καὶ ἐν τῇ Ἀττικῇ τῇ σραχίᾳ ἐπὶ τοῦ αὐτοῦ μηνὸς ἡμέρᾳ, ἡ τοῖς δρόμοις, διαρκοῦσα, ἤγουν, ἡ ἱκανῶς τοῖς δρόμοις ἀναπεμπίνη, τρία ἔργα πάλλισα, ἀντὶ τοῦ τρισὶν ἔργοις παλλίσιν σιφάνους ἔθηκεν ἐπὶ τῇ πεφαλῇ αὐτοῦ. τὰ Ἑλλώτια δὲ (ἑορτὴ δέ ἦν αὕτη τῆς Ἀθηνᾶς ἐν Κορίνθῳ) ἐκτάκις ἔθηκεν δηλονότι σίφανον ἐπὶ ταῖς κόμαις αὐτοῦ. R.

50. Ποθῷ τ' ἔσχε] κατὰ δὲ τὴν Πυ-

Διάν (?) διαύλου καὶ σταδίου τιμὴν ἔλαβε. λίχνι δὲ Θεσσαλὸν, τὸν τοῦ Πεισάνδρου πατέρα. V.

51. Ἀλίῳ ἀμφ' ἰνὶ] ἀντὶ τοῦ, ἐν μιᾷ ἁμάρᾳ. V.

Μηνός τί οἱ τωὐτοῦ] κατὰ δὲ τὸν αὐτὸν μῆνα τρία ἔργα καὶ ἐν ταῖς Ἀθήναις ταῖς τραχείαις καὶ τρεῖς ἅθλους περιεποίησεν αὐτῷ ἡ ἐξύπης τῶν ποδῶν καὶ ἡ ἐξώδρομος ἁμίλλα, ἀφ' ἧν ἐτίφθη τὰς κόμας καὶ τὴν κεφαλήν. τρία δὲ ἔργα εἶπεν, δίαυλον καὶ ὁπλιτικὸν δρόμον καὶ στάδιον. V.

54. Πεδαρκὴς ἡμίρα Ϝῆκε] ἤτοι ἡ πρὸς τὸν δρόμον τότε ἀποκληρωθεῖσα καὶ ἐπαρκοῦσα, ἢ ἡ παρασχοῦσα αὐτῷ τὸ τάχος διαρκὲς, ἢ ἡ αὐτὴ οὖσα ἐξύπερος καὶ ἐξύπνης. V.

56. Ἑλλώτια δ' ἐστάκις] τὴν πρεσηγορίαν ταύτην ἐσχηκέναι φασὶ τὴν Ἀθηνᾶν ἀπὸ τοῦ ἐν Μαραθῶνι ἅλσους, ἵνα ἵδρυται. γίνεται οὖν ἑορτὴ τῆς Ἀθηνᾶς ἐν Κορίνθῳ, ἐν ᾗ καὶ ὁ ἀγὼν τελεῖται ὁ καλούμενος Λαμπαδεδρομικὸς, ἐν ᾧ ἔτι ἐχρῶντο νεανίαι λαμπάδας κρατοῦντες. αὕτη δὲ ἡ παννύχιος ἐὐρίθη κατὰ μίν τινας, ἐπειδὴ τὸν ἵππον τοῦ Βελλεροφόντου ὑπέταξεν ἡ Θεὸς τὸν Πήγασον, καὶ περιέθηκεν αὐτῷ τὰ χαλινὰ, καὶ οὕτως εἶλεν αὐτόν· ἢ διὰ τοῦτο, ἐπειδὴ Δωριεῖς σὺν τοῖς Ἡρακλείδαις ἐπεδήμησαν Πελοποννησίοις, Κόρινθον χειρωσάμενοι σαύτην τῇ φλογὶ συνέφλεξαν. τῶν τοίνυν γυναικῶν ἐν τῇ παρθήκει φευγουσῶν, τινὲς ἐξ αὐτῶν ἅμα Εὐρυτιώνῃ καὶ Ἑλλωτίδι εἰς τὸν τῆς Ἀθηνᾶς εἰσελθοῦσαι νεὼν, οὕτω διαφεύξεσθαι τὸν κίνδυνον προσεδόκησαν. ὡς δὲ ἤσθοντο Δωριεῖς, κατὰ τούτων ὤρμησαν. αἱ μὲν οὖν ἄλλαι ἔφυγον, ἡ δὲ Εὐρυτιώνη καὶ ἡ Ἑλλωτὶς, ἀδελφαὶ συνεχόμενσαι, μετὰ παιδίου * συγκατεφλέχθησαν. λοιμοῦ δὲ συμπεσόντος, οὐ πρότερον τὸ νόσημα παύσεσθαι ἔφη ἡ Θεὸς, πρὶν ἐξιλάσασθαι τῶν παρθένων τὰς ψυχὰς, καὶ Ἑλλωτίδος Ἀθηνᾶς ἱερὸν ἱδρύσασθαι, καὶ πανήγυριν Ἑλλώτια καλουμένην· καθ' ἣν φησιν ἐστάναι νεανίσκους τὸν Ξενοφῶντα. V.

Ἰσοδία. Ἑλλώτια, ἑορτὴ Ἀθηνᾶς ἐν Κορίνθῳ. Δωριεῖς μετὰ Ἡρακλειδῶν ἐπεδήμουν Κορινθίοις καὶ Κόρινθον χειρωσάμενοι ταύτην φλογὶ ἔκαιον. φευγούσαι οὖν αἱ Κορίνθιαι παρθένοι εἰς τὸν τῆς Ἀθηνᾶς ναὸν, ὅπως σωθεῖεν, εἰσδομένων Δωριέων καὶ πῦρ ἐμβαλλόντων εἰς τὸν ναὸν, αἱ μὲν ἄλλαι τῶν παρθένων ἔφυγον, Ἑλλωτὶς δὲ μετὰ τῆς ἀδελφῆς Εὐρυτιώνης κατεφλέχθη. λοιμοῦ δὲ ὕστερον γενομένου ἔχρησεν Ἀθηνᾶ, μὴ πρότερον παύσεσθαι τὸν λοιμὸν πρὶν τὰς τῶν κατακαυσῶν παρθένων ψυχὰς ἐξιλάσωνται, καὶ ἱερὸν Ἀθηνᾶς ἱδρύσωνται. ὃ δὴ καὶ γεγένηται. ἔστιγε δέ φασι, διὰ τὸ ἐλεεῖν τὸν Πήγασον ἐν χαλινῷ ὑπ' Ἀθηνᾶς δεδέντι τῷ Βελλεροφόντῃ, πανήγυριν καὶ ἱερὸν Ἑλλωτίας Ἀθηνᾶς ὑπ' αὐτοῦ γεγενῆσθαι· ἢ τοῦτο τὸ ὄνομα ἐσχηκέναι τὴν πανήγυριν καὶ τὸν ναὸν ἀπὸ τοῦ ἐν Μαραθῶνι ἄλσους. ἔστι γὰρ ἐπεῖ ἄγαλμα Ἀθηνᾶς Ἑλλωτίας. R.

57. Ἐν δ' ἀμφιάλοισιν] ἐν δὲ τοῖς ἀγῶσι τοῖς κατὰ νόμους τελουμένοις, τοῖς ἀμφιάλοις, ἤγουν τοῖς ἐν τῷ τόπῳ τῷ ἀμφοτέρωθεν θάλασσαν ἔχοντι, τουτέστι, τοῖς ἐν τῷ Ἰσθμῷ, ὧν ἔφορος ὁ Ποσειδῶν, μακρότεραι, ἀντὶ τοῦ μείζονες, στέψεις καὶ κατὰ πολὺ τίμιοι ὕμνοι ἔψονται, ἀντὶ τοῦ ἵπονται, ἤγουν, ἀκολουθοῦσιν αὐτῷ δηλονότι, σὺν τῷ πατρὶ αὐτοῦ τῷ Πτοιοδώρῳ. εἶτα ἀντιτίνων τὸν λόγον πρὸς αὐτούς φησι· καὶ ἐν τοῖς Δελφοῖς βαθεῖ τῶν ἀνδραγαθημάτων ὅσα ἀνδραγαθήσατε· καὶ ἐν τοῖς χόρτοις τοῦ λίστου, ἤγουν καὶ ἐν τῷ περιορίσματι, τῷ στίχῳ, ἔνθα ὁ λέων ἐτρέφη ὁ ὑπὸ τοῦ Ἡρακλέους ἀναιρεθείς, τουτέστι καὶ ἐν τῇ Νεμέᾳ. (ἐν αὐτῇ γὰρ ἐτρέφη οὗτος ὁ λέων) βαθεῖ δηλονότι τῶν ἀνδραγαθημάτων, ὅσα ἀνδραγαθήσατε. R.

Ποτειδᾶνος τεθμοῖσιν] ἐν τοῖς Ἰσθμικοῖς ἀγῶσιν· οὕτω γὰρ τῷ Ποσειδῶνι νόμιμοι ἀγῶνες. V.

58. Πτοιοδώρῳ σὺν πατρὶ] Τιρῴου ἀδελφὸς Πτοιόδωρος, καὶ Τιρῴου μὲν παῖδες Ἐρίτιμος καὶ Ναμερτίδας, Πτοιοδώρου δὲ Θεστιάλης, οὗ Ξενοφῶν. τινὲς δὲ τὸν Ναμερτίδαν Ἐρίτιμόν φασιν, Ἐριτίμου δὲ Αὐτόλυκον. V.

Μακρότεραι στέψεις] μακρότεραι στέψεις καὶ πλείους ἀκολουθοῦσιν ἐπιτερπεῖς ὕμνοι καὶ μίγιστοι. καὶ ἤδει μὲν ἡ ἐξήγησις οὕτως· εἶτα † τῆς γραφῆς, ὡς ἔν τισιν, ἔχει τὸν τρόπον τοῦτον, μακρότεραι στέψεις ἕψονται, ἐριτιμοί τ' ἀοιδαί. εἰ δὲ ὀνόματα λαμβάνομεν τὸ Τιρῴας καὶ τὸ Ἐρίτιμος, ἴσαι τὰ τῆς διανοίας, ὡς εἴπομεν. V.

59. Ἕψονται] ἤγουν ἀκολουθήσαν αὐτῷ, τῷ Θεσσαλῷ. ἔστι δὲ τὸ ἕψονται ἀντιχρονισμὸς, ἢ τὸ μέλλον μαντεύομενος λέγει. τούτου δὲ ὄντος ζῶντα νοήσεις τὸν Πτοιόδωρον. R.

60. Ὅσσα τ' ἐν Δελφοῖσι] Θαυμασικῶς τὸ ὅσσα ἀντὶ τοῦ, πολλάκις Δελφοῖς ἐνίκησεν τὰ Πύθια. V.

62. Ἠδὲ χόρτοις ἐν λίστοις] ἀντὶ τοῦ, πόσα δὲ καὶ ἐν τῇ Νεμέᾳ, ἥτις ἐστὶ περίορισμὸς τοῦ λίστου, ἐν ᾧ ἐτρέφη ὁ λέων ὁ ὑπὸ τοῦ Ἡρακλέους ἀναιρεθείς. Ἄλλως. Χόρτοις, ἀντὶ τοῦ περιορίσμασι. τὸ γὰρ πα-

* Erat παιδίου. Gott. παιδὸς—

† leg. οὕτως, εἰ τὸν

λαιὸν χόρτους φυτεύοντις ἀντὶ φραγμῶν, περιώριζον τοὺς τόπους. "Ομηρος· (Iliad. ω'. 640.) " Αὐλῆς ἐν χόρτοισι κυλινδόμε-" νος κατὰ πόστον." V.

63. Δηρίομαι] ἀντὶ τοῦ φιλονικήσω πολίταις περὶ τῶν ὑμετέρων, καλῶν, καὶ τοῖς ἄλλοις ἀξιαγαστοῖς τὰ κατορθώματα ὑμῶν ἀντικαραθῆς, οὐκ ἐλάττονα ὄντα ταῦτα ἀποδεικνύς. ἢ οὕτω· διαμαχεῖσθαί μοι ὧν περὶ πολιτῶν κατορθωμάτων. ἢ οὕτω· πολίτας μὲν οὖν περὶ ὑμῶν πρὸς πάντας καταλέγειν ἔχων σαφῶς μέν τοι καὶ ἀριθμῶ, οὐκ ἂν δυνηθείην πάντα εἰπεῖν, ὥσπερ οὐδὲ θαλασσίας, ψηφίδος, τὸν ἀριθμόν. V.

Δηρίομαι, ἤγουν μάχομαι, φορτικὸς γίνομαι πολλοῖς ἀνθρώποις δηλονότι περὶ τοῦ πλήθους τῶν ἀνδραγαθημάτων τῶν ὑμετέρων· κατακολὺ μέντοι ἀκριβῶς οὐκ ἂν εἰδείην, ὥστε λέγειν τὸν ἀριθμὸν τῶν ψηφίδων τῶν παραθαλασσίων, ἤγουν τῆς ψάμμου, ἀντὶ τοῦ κατακολὺ μέντοι ἀκριβῶς οὐκ ἂν εἰδείην τὸν ἀριθμὸν αὐτῶν λέγειν, ἤγουν τῶν ὑμετέρων ἀνδραγαθημάτων, ὥσπερ οὐδὲ τὸν ἀριθμὸν τῶν ψηφίδων τῶν παραθαλασσίων. ἴστεαι δὲ, ἀντὶ τοῦ, προσήκει ὑπάγεσθαι ἑκάστῳ πράγματι μέτρον, ἤγουν συμμετρίαν. τὸ νοῆσαι δὲ αὐτὸ, ἤγουν τὸ μέτρον, καιρὸς ἔστι ἄριστος, τουτέστιν, εὐκαιρία, εὐτοχία ἐστὶν ἀρίστη. Τὸ δηρίομαι πολίσι, τοῦτο λέγει, ἀντὶ τοῦ ἐρίσω πρὸς τοὺς πολλοὺς περὶ τοῦ πλήθους τῶν ὑμετέρων ἀνδραγαθημάτων, καὶ οὐδένα τῶν πάντων τοσαῦτα κατορθωκότα εὑρήσω. ἴστι δὲ πλῆθει ἀορίστως εἶπε, διὰ τοῦτό φησιν· ὡς μὴν σοφὶς, τουτέστι, πόσα ἴσῃ ταῦτα τῇ ἀληθείᾳ, οὐ δύναμαι λέγειν τὸν ἀριθμὸν τῆς ἄμμου· ὅτι, ὅπερ τοῦτο ἀδύνατον, οὕτω καὶ τὰ ταῦτα ἀπαριθμήσασθαι. διὸ τὸ ἄμετρον πλῆθος παραπεσούμενος, ὡς ἀδύνατον, τὴν συμμετρίαν αἰρεῖται, καί φησιν· ἴστιαι δὲ ἐν ἑκάστῳ μέτρον, τουτέστι, πᾶν πρᾶγμα συμμετρίαν ἔχει, ὃ δὴ καὶ ποιήσω σύμμετρα ἐκλεξάμενος. R.

67. "Εστιαι δ' ἐν ἑκάστῳ μέτρον] τὸ μέτρον καιροῦ δίῃ. κᾀγὼ οὖν, φησι, παύσομαι ὑπὲρ μέτρον ἐπαινῶν ὑμᾶς. "Αλλως. οὐδὲν ἂν πλεῖον δύναμαι λέγειν, ἵνα μὴ τῷ ἀμέτρῳ λυπήσωμαί τινας. V.

69. 'Εγὼ δ' ἴδιος ἐν κοινῇ σαλεὶς] ὁ νοῦς· ἐγὼ δὲ οὖν, φησιν, οὐχ ὡς ἀλλότριός τις, ἀλλ' ὡς ἴδιος καὶ κοινὸς ἐν ὑμῖν, παρ' οἷς καὶ τὴν σύνεσιν τῶν προγόνων ὑμῶν λέγων, καὶ τὰ ἀνδραγαθήματα τῶν παρ' ὑμῖν ἡρώων τὰ κατὰ πόλιμον καὶ αὐτὰ λέγων, οὐδὲν ἀλλότριον διαψεύσομαι τῆς Κορίνθου. "Αλλως. ὡς ἴδιος, τουτέστιν, ὡς εἷς ἐξ ὑμῶν ἀποσταλεὶς καὶ προκριθεὶς, τὴν βουλησιν τῶν ὑμετέρων προγόνων καὶ τὸν ἡρωϊκὸν πόλιμον οὐ ψεύσομαι περὶ τῆς Κορίνθου γαρύων, τουτέστι φωνῶν, λέγων. μᾶστν δὲ παλαιγόνων ἴφη τὴν Σισύφου. ἱστορεῖται γὰρ γεγονέναι συνετός. "Ομηρος· (Iliad. ζ'. 153.)

"Ενθα δὲ Σίσυφος ἔσκεν, ὁ πέρδιστος γένετ' ἀνδρῶν. V.

'Εγὼ δὲ ὡς ἴδιος καὶ οὐκ ἀλλότριος ὢν ἐν τῇ κοινότητι ὑμῶν παραγινόμενος, τὴν φρόνησίν τε ὑμετέρων τῶν πάλαι γεγενημένων ὑμετέρων ἀνδρῶν, καὶ τὸν πόλιμον, τὸν ἐν ταῖς ἀριστείαις, ταῖς ἀνδραγαθίαις ταῖς ἤδεσι προσηκούσαις, οὐ ψεύσομαι περὶ τῆς Κορίνθου, τὸν Σίσυφον μὲν ὑμῶν δηλονότι συνετώτατον παλάμαις, ἀντὶ τοῦ βουλαῖς, πράξεσι, τουτέστι συνετώτατον, ὡς Ὁμηρος, καὶ τὴν Μήδειαν ὑμῶν ὡς συνετωτάτην, τὴν ποιήσασαν ἑαυτῇ τὸν γάμον κατ' ἐναντιότητα τῆς γνώμης τοῦ πατρὸς αὐτῆς, τὴν γενομένην σώτειραν τῆς νηὸς τῆς 'Αργοῦς καὶ τῶν προστόλων, ἀντὶ τοῦ τῶν ἱστιαλουμένων αὐτῆς. κυρίως δὲ πρόστολος ὁ πιλότης. R.

70. Μῆτίν τι] αὐτή ἐστιν ἡ μῆτις ἡ προειρημένη τῶν προγόνων, ἧς ὑπόδειγμα Σίσυφος. τὸν μὲν Σίσυφον οὕτω, φησὶ, λέγω συνετώτατον ἐν ταῖς ἱστορίαις γεγενῆσθαι, ὡς ἂν Ὁμήρου. V.

73. Πυκνότατον παλάμαις] συνετώτατον βουλαῖς ἢ γνώμαις. V.

Πυκνότατον] Gl. ms. γ'. φρονιμώτατον.

74. Καὶ τὸν πατρὸς ἀντίαν Μήδειαν] καὶ τὴν Μήδειαν ὑμῶν, τὴν παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς γαμηθεῖσαν (ἐγαμέθη δὲ τῷ 'Ιάσονι σοφὴ οὖσα), τὴν γενομένην Σώτειραν καὶ βοηθὸν τῇ 'Αργοῦ. ἐβούλετο γὰρ ὁ Αἰήτης ἀνελεῖν τοὺς 'Αργοναύτας. "Αλλως. Πατρὸς ἀντία. ἴστι ἀναντιόθη κατὰ τὸν γάμον τῷ πατρὶ ἡ Μήδεια. ὃν γὰρ ἐκεῖνος οὐκ ἐβούλετο 'Ιάσονα, τούτῳ ἐγαμήθη καὶ συναπῆρεν αὐτῷ. Ζητεῖται δὲ, τί δήποτε τὴν Μήδειαν, Κολχίδα οὖσαν, εἰς τοὺς περὶ Κορινθίων λόγους προσάγεται; φασὶ δὲ τὴν Κόρινθον πρώτην κτῆμα εἶναι Μηδείας. Αἰήτη γὰρ τῷ 'Ηλίου καὶ 'Αντιόπης χρησμὸς δοθῆναι, πόλιν οἰκίζειν ἐν Κόλχοις, ἀπ' αὐτοῦ τὴν ἰσονομίαν ἔχουσαν, τὴν δὲ τῶν Κορινθίων συφεινίδα παραπαταθίσθαι Βούτῃ (G. Βουτόμῃ) τῷ 'Ερμοῦ, ἐντειλάμενον, εἰ μὲν ἐπαναχθείη, ἀποδοῦναι αὐτῷ, εἰ δὲ μὴ, αὐτὸν ἔχειν. τὸν δὲ Μήδειαν ἰρασθῆναι Σισύφῳ φησὶ Θεόπομπος. "Αλλως. διὰ τοῦτο Μηδείας ἐμνημόνευσεν, ὅτι ἡ Κορίνθου πατρῶον αὐτῆς κτῆμα γέγονε, τούτῳ τῷ λόγῳ· 'Αλωεύς τι καὶ Αἰήτης ὁ Μηδείας πατὴρ ἐγένοντο παῖδες 'Ηλίου καὶ 'Αντιόπης. τούτοις ὁ "Ηλιος δίνειμε τὴν χώραν, καὶ ἔλαχεν 'Αλωεὺς τὴν ἐν 'Αρκαδίᾳ, ὁ δὲ Αἰήτης τὴν Κόρινθον. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ ἀρχῇ

Βούνῳ μέν τινι, Ἑρμοῦ υἱῷ, παρίδωκε τὴν πόλιν, εἰπὼν φυλάττειν τοῖς ἰσομίνοις ἐξ αὐτοῦ. αὐτὸς δὲ εἰς Κολχίδα τῆς Σκυθίας ἀφικόμενος, ὥκησε βασιλεύων. διδάσκει δὲ τοῦτο Εὔμηλός τις ποιητὴς ἱστορικὸς εἰπών·

Ἄλλ' ἴστι δ' Αἰήτης καὶ Ἀλωιὺς ἐξεγίνοντο
Ἠελίου τε καὶ Ἀντιόπης· τόστι δ' ἄνδιχα χώρην
Δάσσατο ναιετὸν ἰοῖς Τιτηρίοιος ἀγλαὸς υἱός·
Ἣν μὲν ἔχ' Ἀσωπὸς, ταύτην πόρε δίῳ Ἀλωεῖ·
Ἣν δ' Ἐφύρην κτιάτισε', Αἰήτῃ δῶκεν ἅπασαν,
Αἰήτης δ' ἄρ' ἐκὼν Βούνῳ παρίδωκε φυλάσσειν,
Εἰσόκεν αὐτὸς ἵκοιτ', ἢ ἐξ αὐτοῦ τις ἄλλος,
Ἢ παῖς, ἠὲ υἱωνός· ὁ δ' ἥχετο Κολχίδα γαῖαν.

Βούνος δὲ Ἑρμοῦ καὶ νύμφης τινὸς παῖς. Ἀλλως. Μηδείας μέμνηται, ὅτι ἐν Κορίνθῳ κατῴκει, καὶ ἔπαυσε Κορινθίους λιμῷ κατιχομένους, θύσασα Δήμητρι καὶ νύμφαις Λημνίαις. ἐκεῖ δὲ αὐτῆς ὁ Ζεὺς ἠρᾶσθη. οὐκ ἐτελέσθη δὲ ἡ Μήδεια τὸν τῆς Ἥρας ἐκκλίνουσα χόλον. διὸ καὶ Ἥρα ὑπέσχετο αὐτῇ, ἀθανάτους ποιῆσαι τοὺς παῖδας. ἀποθανόντας δὲ τούτους τιμῶσι Κορίνθιοι, καλοῦντες μιξοβαρβάρους. V.

Διατί ἐμνημόνευσε τῆς Μηδείας Κολχίδος οὔσης; καί φασιν, ὅτι ἡ Κόρινθος πρῶτον αὐτῆς ἦν κτῆμα, οὕτως· (Ἱστορία) Ἀλωεὺς καὶ Αἰήτης ὁ Μηδείας πατὴρ ἐγένοντο παῖδες Ἡλίου καὶ Ἀντιόπης. τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαχεν Ἀλωεὺς μὲν τὴν Ἀρκαδίαν, τὴν δὲ Κόρινθον Αἰήτης. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ ἀρχῇ, βουνόμῳ μέν τινι Ἑρμοῦ υἱῷ, παρίδωκε τὴν πόλιν, εἰπὼν φυλάσσειν τοῖς ἰσομένοις ἐξ αὐτοῦ. αὐτὸς δὲ εἰς Κολχίδα τῆς Σκυθίας ἀφικόμενος, καὶ κατασχὼν ἐκεῖ χώραν τινα, ἐβασίλευεν. Ἰάσων οὖν ἐλθὼν εἰς αὐτὸν διὰ τὸ χρυσόμαλλον δέρας, ἠράσθη παρὰ Μηδείας, ἣ παρασκευάσασα αὐτὸν λαβεῖν τὸ χρυσόμαλλον δέρας, συνακῆρυε αὐτῷ πρὸς τὴν Ἑλλάδα, ἄοντος Αἰήτου. ἱερήκαμεν δὲ τὴν ἱστορίαν πλατύτερον ἐν τῇ τοῦ Λυκόφρονος παραφράσει. R.

Μήδειαν] Schol. mss. β. γ. Ἰσέον δὲ, ὅτι τὸ χρυσόμαλλον δέρας ἦν τοῦ κριοῦ ἧς τὸν Φρίξον εἰς Κολχίδα διεκόμισεν. ἐκεῖ δὲ τοῦτο, ὥς φασι, Φρίξῳ Διὶ ἔθυσαν καὶ ἐκρέμασαν ἐν Ἄρεος ἄλσει, καὶ ἐφύλασσε τοῦτο δράκων, ὅσον πεντηκόντορος ναῦς μήκει τι, πάχει τι, ὥς φησι Πίνδαρος. (Pyth. IV. 436. sq.)

Πρεσπόλεις] τοῖς ἐμπορεύουσιν. λέγει δὲ τοὺς Ἀργοναύτας. V. Gl. mss. β. γ. ταύτας. Schol. in his codd. Ἰσέον, ὅτι τίνων ὁ κατασκευάσας τὸν τοῦ Ἰάσονος ναῦν, ὀνομάζεται Ἀργὼς, ὅθεν καὶ ἡ ναῦς ἐκαλεῖτο Ἀργὼ, καὶ κλίνεται, τῆς Ἀργόος καὶ Ἀργοῦς, τῇ Ἀργόϊ καὶ Ἀργοῖ. ἀπὸ τούτου καὶ Ἀργοναυτικὰ Ἀπολλωνίου.

78. Τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ] λείπει, τὰ γίνη. οἱ Κορίνθιοί, φησιν, ἐπ' ἀμφότερα τὰ μέρη ἠρίστευσαν ἐν Ἰλίῳ. καὶ γὰρ τοῖς Τρωσὶ συνεμάχησαν καὶ τοῖς Ἕλλησι· Τρωσὶ μὲν Γλαῦκος, τὸ γένος εἰς Βελλεροφόντην ἀνάγων τὸν Γλαύκου, τοῦ Σισύφου, τοῖς δὲ Ἀχαιοῖς Εὐχήνωρ Πολυείδου τοῦ μάντεως. V.

Τὸ ποτὶ πρὸς τὸ ἰδόκησαν συναπτέον, τὸ δὲ τάδε πρὸς τὸ ἀλκᾶ, οὕτω τάδε ἐν ἀλκῇ ἰδόκησάν ποτι. οἱ Κορίνθιοι ἐπ' ἀμφότερα ἠρίστευσαν ἐν Ἰλίῳ· καὶ γὰρ τοῖς Τρωσὶ συνεμάχησαν καὶ τοῖς Ἕλλησι· Τρωσὶ μὲν Γλαῦκος τὸ γένος εἰς Βελλεροφόντην ἀνάγων, τὸν Γλαύκου τοῦ Σισύφου· τοῖς δὲ Ἀχαιοῖς Εὐχήνωρ ὁ Πολυείδου τοῦ μάντεως. ὅτι δὲ Εὐχήνωρ Κορίνθιος ἦν, καὶ Ὅμηρος μαρτυρεῖ λέγων· (Iliad. ν'. 663. sq.)

Ἦν δέ τις Εὐχήνωρ Πολυείδου μάντιος υἱὸς,
Ἀφνειός τ' ἀγαθός τε Κορινθόθι οἰκία ναίων. R.

Τὰ δὲ καί ποτε] τὰ δὲ ἀντὶ τοῦ κατὰ τὸ δὲ, τουτέστι, καὶ κατὰ τὸ ἕτερον μέρος, ἤγουν, καὶ κατὰ τὸν πόλεμον δὲ πρὸ τῶν τειχῶν τοῦ Ἰλίου ποτὲ, ἤτοι πάλαι, ἴδεξαν οἱ Κορίνθιοι, ἐπ' ἀμφότερα τὰ μέρη τῶν πολεμίων, ἐν ἰσχύϊ τίμιον τίλος, ἀντὶ τοῦ ἴσχυν τὸ ἴδεχον. οἱ μὲν, οἱ περὶ τὸν Εὐχήνορα δηλονότι, σὺν τῷ γένει τοῦ Ἀτρέως, τῷ περσφιλεῖ αὐτῷ, δηλονότι τῷ Ἀτρεῖ, τουτέστι, σὺν τοῖς παισὶ τοῦ Ἀτρέως, τῷ Ἀγαμέμνονι καὶ τῷ Μενελάῳ, τὴν Ἑλένην κομίζοντες, ἀντὶ τοῦ ζητοῦντες κομίσασθαι· οἱ δὲ, ἤγουν οἱ περὶ τὸν Γλαῦκον, ἀκτίργοντες, τουτέστι κωλύοντες πάμπαν. ἐκ τῆς Λυκίας γὰρ τὸν Γλαῦκον ἐλθόντα σύμμαχον τοῖς Τρωσὶν ἴσχεμον οἱ Ἕλληνες. τούτοις μὲν, ἤγουν τοῖς Λυκίοις, ἦν χιτὸ, τουτέστι διηγεῖτο φιλοτιμούμενος, ἐν τῇ πόλει τῆς Πειρήνης τῆς πηγῆς, ἤτοι, ἐν τῇ Κορίνθῳ, εἶναι τὴν βασιλείαν τοῦ σφετέρου πατρὸς, ἀντὶ τοῦ ἑαῦ, ἤγουν τοῦ ἑαυτοῦ πάππου, τουτέστι τοῦ Βελλεροφόντου καὶ μεγάλην πληρονομίαν καὶ μίγαρον, ἤτοι οἰκίαν, καθίδρυε. Ἀπὸ Πειρήνης λέγει τὴν Κόρινθον, ἀπό τινος γυναικὸς οὕτω καλουμένης. Ἡ τοῦ Περσέως γυνὴ ἐρασθεῖσα Βελλεροφόντου, ὡς οὐκ ἴσχυε αὐτὸν πεισθόμενον, κατεψεύσατο αὐτοῦ πρὸς τὸν ἴδιον ἄνδρα Περσέα. καὶ ὃς πρὸς τὸν τῆς Λυκίας βασιλέα, κηδεστὴν ὄντα αὐτοῦ, ἐξέπεμψε, ἀποστίλλει, ὑπ' αὐτοῦ τιθηξόμε-

νου. Ἴσθμιος οὖν ἱστόμησι αὐτὸν κατὰ τῆς Χιμαίρας, ὑπ' αὐτῆς νομίζων αὐτὸν διαφθαρήσεσθαι. Βελλεροφόντης δὲ, θέλων μετὰ τοῦ Πηγάσου ἵππου τὸν περὶ τὴν Χίμαιραν ἀγῶνα ἀγωνίσασθαι πρῶτος, ἐπεὶ πολλὰ παθὼν οὐκ οἷός τ' ἦν αὐτὸν ὑποστάξαι, παρ' ὕππους ἰδὼν τὴν Ἀθηνᾶν, ἐγχωρίζουσαν αὐτῷ χαλινὸν, καὶ ἀναπηδήσας ἄνω ἵππου τὸ ὄναρ. ὄθεν χαλινώσας τὸν Πήγασον, καὶ καταπολεμήσας Χίμαιραν, ἔλαβεν ἄθλον τὴν θυγατέρα τοῦ Ἰοβάτου, ἀφ' ἧς ἴσχυεν Ἱππόλοχον, τὸν τοῦ Γλαύκου πατέρα. R.

81. Τοὶ μὲν γένει φίλῳ] οἱ μὲν γὰρ περὶ τὸν Εὐχήνορα (Κορίνθιος δὲ ὁ ἀνὴρ) ἅμα τοῖς Ἀτρεΐδαις ἐβούλοντο τὴν Ἑλένην ἀναπομίσασθαι, ἁρπασθεῖσαν ὑπὸ Ἀλεξάνδρου, τοῦ Ἰλιώνου. ὅτι δὲ Εὐχήνωρ Κορίνθιος ἦν, καὶ Ὅμηρός φησιν· Ἦν δέ τις Εὐχήνωρ—(iidem versus qui supra.) V.

82. Οἱ δ' ἀπὸ πάμπαν ἱζηγοῦντες] οἱ δὲ ἀντικύλυον καὶ ἀνθίσταντο πανστιλῶς, οἱ περὶ τὸν Γλαῦκον. λέγεται δὲ καὶ οὗτος Κορίνθιος. πῶς δὲ Κορίνθιος; (Οὐ μόνον ἡ σὺν Εὐχήνορος ἀνδρεία τοῦ συγκατώσαντος τοῖς Ἀτρεΐδαις διὰ τὴν Ἑλένην, ἀλλὰ καὶ ἡ τοῦ Γλαύκου, ὃς ἀντισπάστινα καὶ ἀνθίστατο αὐτοῖς*.) ὅτι τὸ γένος ἐξ ἀρχῆς Ἑλληνικὸν ἴσχι, καὶ ἐκ τῆς Κορίνθου ὁ Γλαῦκος. πῶς δέ; ὁ γὰρ Γλαῦκος γίνεται τοῦ Ἱππολόχου, τοῦ Βελλεροφόντου, τοῦ Γλαύκου, τοῦ Σισύφου, τοῦ Αἰόλου, τοῦ Ἕλληνος, τοῦ Διός. Βούλεται οὖν δεῖξαι, ὅτι οἱ παρ' Ἕλλησιν ἄριστοι καὶ οἱ παρὰ Τρωσὶν ἔχουσι κατὰ τὸ ἀληθὲς Κορίνθιοι ἐντύγχανον. πῶς δὲ ὁ Γλαῦκος γόνου Αὐκιος; ὅτι ὁ Βελλεροφόντης πιμφθεὶς εἰς Λυκίαν, Κορίνθιος ὤν, ἀπὸ τοῦ Περάσου, ὡς ὀφείλων ἐπεβουλοῦθαι διὰ τὴν ἐπιψευσαμένην (?) μοιχείαν παρὰ τῆς γυναικὸς, ἠρίστευσέ τι τὰ μίγιστα, καὶ τὸν προσδοκώμενον αὐτῷ ἔσεσθαι φονέα, τὸν βασιλέα τῶν Λυκίων, τὸν πενθερὸν τοῦ Περάσου, καὶ αὐτὸς πενθερὸν ἴσχι, γαμήσας τὴν αὐτοῦ θυγατέρα, Ἀντίκλειαν· ἐξ οὗ Λυκίων οἰκοῦντος, ὡς βασιλέως, υἱὸς γόγονε Ἱππόλοχος, οὗ Γλαῦκος. οὗτος ἄρα Κορίνθιος Γλαῦκος τῷ γένει. ὅπερ δὲ τῷ Λυκίων βασιλεῖ Ἰόβατος. καὶ Ὅμηρος τοῦτο μαρτυρεῖ· (Iliad. Ζ'. 191.)

Ἀλλ' ὅτε δὴ γίγνωσκε θεοῦ γόνον ἦεν ἐόντα. V*.

83. Ἐκ Λυκίας δὲ] ὁ δὲ σύνδεσμος ἀντὶ τοῦ γὰρ κεῖται, καὶ ἔστι· ἱστόμιον γὰρ οἱ Ἕλληνες τὸν Λύκιον Γλαῦκον. V.

85. Τῶσι μὲν ἐξεύχετο] παρὰ τοῖς Τρωσί, φησι, πέχει καὶ διηγεῖτο, ὅτι ἐν τῷ τῆς Πειρήνης ἄστι, τῇ Κορίνθῳ, τοῦ πατρὸς αὐτοῦ ἴχι τὴν ἀρχὴν καὶ τὸ γένος καὶ τὴν βασιλείαν καὶ τὴν περιουσίαν, καὶ εἶτι τοῖς Λυκίοις ηὔχει καὶ διηγεῖτο, ἢ τοῖς Τρωσίν. ἀπὸ Λυκίων δὲ τοὺς Τρῶας δεῖ νοεῖν. V.

86. Πειράνας] Πειρήνη πρήνη ἐν Κορίνθῳ. V.

Σφιτέρου δὲ πατρὸς] ἀντὶ τοῦ προγόνου. οὐ γὰρ ὁ πατὴρ αὐτοῦ Ἱππόλοχος ἠγεμονίαν εἶχεν εἰς Κόρινθον, ἀλλ' ὁ πρόγονος αὐτοῦ ὁ Σίσυφος. V.

89. Ὅς τᾶς ὀφιώδεος] ὅτις τῆς Γοργόνος, τῆς ὀφιώδους λεγομένης εἶναι, τὸν υἱὸν, Πήγασον, ἵππον ὄντα πτερωτὸν, θέλων ὑποζωῦξαι τῷ χαλινῷ, ἀληθῶς πλεῖστα ἵππαθε καὶ ὑπέστη παρὰ τοῖς πρώτοις καὶ ῥύμασι τῆς Πειρήνης, ὅ ἐστιν ἐν τῇ Πειρήνῃ, λέγει δὲ ἐν τῇ Κορίνθῳ, περὶ τοῦ πομίσαι αὐτῷ τὸν Ἀθηνᾶν χρυσοῦν χαλινὸν παρασᾶσαν καθεύδοντι. ὃ οὖν εἶδεν ὄναρ, τοῦτο, διανοηθεὶς ἐκ τοῦ ὕπνου, δι' ἔργων ἔφερεν. Ἄλλως. ὅστις πρόγονος ἰανοῦ, καὶ περὶς πατρὸς ὢν πάσσος· λέγει δὲ τὸν Βελλεροφόντην, ὅτι δὲ τᾶς Γοργόνος, ἀποτμηθείσης τὴν κεφαλὴν ὑπὸ τοῦ Περσέως, ἀνεδόθη ὁ Πήγασος ἵππος, καὶ Ἡσίοδος (Theog. 280, seq.) μαρτυρεῖ·

Τᾶς ὅτε δὴ κεφαλὴν Περσεὺς ἀπεδειροτόμησεν

Ἐξέθορε (l. ἐκθορε) Χρυσάωρ τε μέγας καὶ Πήγασος ἵππος. V.

Ὅς, ἤγουν ὁ Βελλεροφόντης, πάλαι τὸν Πήγασον ἵππον, τὸν υἱὸν τῆς Γοργόνος τῆς ὀφιώδους, τουτέστι, τῆς ἀμείωτόν τινα ὄφιν ἐχούσης, πεθὼν ζεῦξαι, ἀντὶ τοῦ ὑπαγαγεῖν, τῷ χαλινῷ ὑποστάξαι, οὕτω πολλὰ ἵππαθεν ἐπὶ τοῖς ῥύμασι τῆς Πειρήνης, δηλονότι τῆς ἐν Κορίνθῳ πηγῆς, ἕως ἐπιγνοῦσα Ἴδμακτι αὐτῷ ἡ παρθένος ἡ Ἀθηνᾶ χαλινὸν χρυσόμυκνα, ἀντὶ τοῦ χρυσᾶ φάλαρα ἔχοντα, ἐν ὕπνῳ δηλοῦσι. ἐστάγται γάρ· ἐξ ὀνείρου δ' αὐτίκα ἦν ὕπαρ, τουτέστιν, ἦν δὲ ἡ δόσις αὐτίκα ἐκ τοῦ ὀνείρου ἐν τῷ φανερῷ. ἐφόρησε δὲ ἡ Ἀθηνᾶ τῷ Βελλεροφόντῃ ἐν τῷ ὕπνῳ δηλοῦσι· καθεύδοντες, ἤγουν ὑπνώττοντες, ὦ Αἰολίδη βασιλεῦ· τουτέστιν, ἀπόγονε τοῦ Αἰόλου. ἔγε, δίχα τῶδε τὸ φίλτρον τὸ τῶν ἵππων, ἤγουν τὸ φάρμακον τὸ θεραπευτικὸν τῶν ἵππων, καὶ τῷ πατρὶ τῷ σῷ, τῷ Ποσειδῶνι, τῷ δαμασιπᾷ τῶν ἵππων, ἤγουν τῷ ἱππικῷ, δεῦξαι αὐτὸ, θύων αὐτῷ ταῦρον περιφανῆ, εὐτεραφῆ. R.

91. Ζεῦξαι παθὼν ἵππαθεν] ὃς πολλὰ ἵππαθε χαλινῶσαι καὶ ζεῦξαι τὸν Πήγασον βουλόμενος παρὰ τοῖς πρώτοις τῆς Πειρήνης. υἱὸς δὲ τῆς Μεδούσης ὁ Πήγασος. V.

* Alieno loco hæc inserta; etiam in Gott.

93. Ἤνιγε] Gl. γ. ἵφιτι αὐτῷ τῷ καμμονίῳ.

94. Ἐξ ὀνείρου δ' αὐτίκα ἦν ὕπαρ, καὶ τὰ ἐξῆς. τοῦτο ἔστιν ὡς καθεύδοντι αὐτῷ τῆς Ἀθηνᾶς ἐνηνοχυίας τὸν χαλινόν, ᾧ ἔμελλε χαλινώσειν τὸν Πήγασον. εἶπε δέ, φησι, παρεστῶσα κατ' ὄναρ αὐτῷ ἡ Διὸς· κοιμᾷ, ὦ βασιλεῦ, ὃς κατάγεις τὸ γένος ἀπὸ Αἰόλου; μὴ φείσῃ δὲ καταζεῦξαι, πρὶν μαντεύσασθαι αὐτῷ Πολυΐδου, τὸ δύνασθαι τόνδε τὸν χαλινὸν αὐτῷ Ποσειδῶνι παρασχεῖν. V.

97. Ἵππιον φίλτρον τὸν χαλινόν φησιν, ὅτι τούτῳ οἱ ἵπποι πείθονται. πικρότερον δὲ τῇ μεταφορᾷ. ὁ δὲ νοῦς· ἄγε δὴ οὖν δίχου τοῦτον τὸν χαλινόν, ὃς ἰσχυρὸν καὶ φίλτρου αἴτιος τοῖς ἵπποις, καὶ τῷ δαμάζοντι Ποσειδῶνι, τῷ πατρί σου, Διὸν ταῦρον εὐθαλῆ καὶ μέγαν, οὕτως ἐπίδιξον αὐτόν. V.

Φίλτρον ἵππιον λίγει τὸν χαλινὸν τὸν διὰ μακρὸν ἴδος ὡσανεὶ προσφιλῆ τοῖς ἵπποις ὄντα, ἢ τὸν πεθούμενον ὑπό σου καὶ φιλούμενον· ζητεῖς γὰρ εὑρεῖν ἱππικὸν δεσμὸν τὸν κατὰ Πηγάσου. R.

98. Καὶ Δαμασίῳ] τῷ δαμαστικῷ. ἵππιος γὰρ ὁ Διός· ἢ Δαμάσιος λίγεται Ποσειδῶν ἐν Κορίνθῳ ἀπὸ τῆς τῶν ἵππων δαμάσεως. ἀργᾶντα (sic) δὲ νῦν, τὸν ἐκδηλον τῷ μιγίθει. πατρὶ δὲ, τῷ Ποσειδῶνι. τῷ μὲν γὰρ λόγῳ ὁ Βελλεροφόντης Γλαύκου ἐστὶ, τοῦ Σισύφου, τῇ δὲ ἀληθείᾳ Ποσειδῶνος, ὅσπερ Ἡρακλῆς Ἀμφιτρύωνος. ἐπιλαμβάνονται δέ τινες τοῦ ἐπιθέτου, ἐπειδὴ ταῦρον εἶπε Διὸς Ποσειδῶνι ἀργήεντα, ὅπερ δηλοῖ λευκὸν, τοῦ Ὁμήρου (Odyss. γ'. 6.) εἰπόντος, ὅτι χρὴ Διὶ ταύρους μαμαίλανας Ἐνοσίχθονι κυανοχαίτῃ· ἀλλὰ βοηθεῖται τὸ ἀργᾶντα. οὐ γὰρ λευκὸν τῇ χροιᾷ βούλεται λίγειν, ἀλλὰ τὸν ἐκλάμποντα τῷ μιγίθει, καὶ ἐπιφανῆ ἐν τῇ ἀγέλῃ. V.

99. Πατρὶ δείξον] ὅτι τῇ ἀληθείᾳ Βελλεροφόντης Ποσειδῶνος ἦν υἱὸς, δοκῶν εἶναι Γλαύκου. R.

Ἀργὸν] Gl. ms. γ. λιπαρόν.

100. Κυαναιγὶς ἐν ὄρφνᾳ] ἀντὶ τοῦ, μέλαιναν καὶ φοβερὰν αἰγίδα ἔχουσα. αἰγὶς δὲ τὸ ὅπλον. V.

Τοιαῦτα ἔδοξεν εἰπεῖν αὐτῷ ἐν νυκτὶ ὑπνώττοντι ἡ παρθένος, τουτέστιν ἡ Ἀθηνᾶ, ἡ κυαναιγὶς, ἤγουν, ἡ μέλαιναν ἔχουσα αἰγίδα. ἀνιστᾶσι δὲ ὁ βελλεροφόντης, γινόμενος δηλονότι ἐν ὀρθῷ ποδὶ· παρ' ἑαυτῷ δὲ εἰπόντος εὑρὼν τέρας, ἤτοι θαῦμα, τουτέστι τὸν χαλινὸν οὕτω θαυμασίως φαινόντα, τὸν ἱππόχωρον μάντιν τὸν Πολυΐδου τὸν υἱὸν τοῦ Κοιρήνου ζητήσας, εὗρεν ἐσμένως, ἤγουν μετὰ περιχαρείας, καὶ ἔδειξεν, ἀντὶ τοῦ ἐδήλωσεν αὐτῷ πᾶσαν τὴν τελευτὴν, ἤγουν τὴν ἀπόβασιν τοῦ πράγματος, ὅπως τε ἐν τῷ ναῷ τῆς Θεᾶς, ἤτοι τῆς Ἀθηνᾶς, ὕπνωσε κατὰ τὴν νύκτα, μετὰ τὴν μαντείαν ἐκείνου· ἐκεῖνος γὰρ, ὡς ἔοικεν, ἔχρησεν αὐτῷ ἀμηχανοῦντι περὶ τῆς κατασχέσεως τοῦ Πηγάσου ἀπελθεῖν καὶ καθευδῆσαι ἐκεῖ· ὅπως τε παρέσχεν αὐτῷ τὸν χαλινὸν, τὸν δαμάζοντα τὰ φρονήματα τῶν ἵππων, αὐτὸ ἡ παῖς τοῦ Διὸς, τοῦ τῷ πιραυνῷ ὡς ἴγχυι χρωμένου, ἤγουν ἡ Ἀθηνᾶ. ἐπέλευσε γὰρ αὐτὸν ὁ μάντις πιεσθῆναι τῷ ἐνυπνίῳ ὅτι τάχιστα. R.

102. Ἀνὰ δ' ἵππιον ἐρθῷ ποδί] λοιπὸν ὁ ποιητὴς ταῦτά φησιν· ἀπήλλακτο δὲ ἐκ τῆς κοίτης καὶ ἔστι ἔσμενος. τίνας δὲ τὸν χαλινὸν εἶπεν, ὅτι ὄναρ φανὶς ὕπαρ ἄφθη. παρακείμενον δὲ εὑρὼν τὸν χαλινὸν καὶ ἀναστάσας αὐτὸν πρὸς τὸν μάντιν ἤλθεν εὐθέως τὸ ἱππόχωριον. V.

104. Ἄσμενος] Gl. ms. γ. χαίρων.

105. Σύναστι τὸ Κοιρανίδᾳ πρὸς τὸ, μάντιν. ὁ γὰρ Πολυΐδου οὗτος μάντις, Κοιράνου υἱὸς ἦν, ὃς καὶ πρωτεύσαντα Βελλεροφόντην κατεβαρθύνε παρὰ τῷ τῆς Ἀθηνᾶς βωμῷ, ὡς ἐκείθεν ἰσομίνης αὐτῷ τῆς τοῦ ζητουμένου λύσεως. R.

106. Ὡς τ' ἀνὰ βωμῷ] ὅπως, ἔστιν, ἐπὶ τοῦ βωμοῦ τῆς Ἀθηνᾶς ἐκαθέδησεν ἐκ τῆς τοῦ Πολυΐδου προμαντείας καὶ συμβουλῆς, ὡς αὐτοῦ συμβουλεύσαντος αὐτῷ διὰ μαντείας, ἀγανιῶντι περὶ τῆς κατοχῆς τοῦ ἵππου. Δαμασίφρονα δὲ ἐκάτι χρυσοῦν, ἵν' ᾖ τὸν τίμιον, ἢ ὅτι διέχρυσος ἦν τῇ κατασκευῇ ὁ χαλινὸς, δαμάζοντα δὲ τὸ φρόνημα τῶν ἵππων καὶ ἥμερα φρονεῖν ἀναγκάζοντα. καὶ αὐτὸς δὲ ὁ χρυσὸς δαμασίφρων, ἐπεὶ ἱκανὸς ἀσπῆσαι. Κυρανίδαο τὸν Κοιράνου παῖδα Πολυΐδου. ἸΑθὴν οὖν πρὸς τὸν μάντιν, ἵδιξε καὶ διεσαφήνισεν αὐτῷ τὴν ὅλην ἀπόβασιν τοῦ πράγματος καὶ κατάστασιν. V.

107. Κωτάξατο] Gl. ms. γ. ἐκοιμήθη.

110. Ἔπαρε] Gl. ms. γ. ἐχάρισεν.

111. Δαμασίφρονα λίγει δι πρόσθεν εἶπε χρυσάμπυκα χαλινὸν, ὡς τὰς φρένας τῶν ἵππων δαμάζοντα καὶ ὑπεισθεῖς ἐργαζόμενον. R.

Ἐνυπνίῳ δὲ τάχιστα πιθέσθαι] τοῦ Βελλεροφόντου δὲ τὸ ὄναρ δηγησαμένου, εἶπεν ὁ Πολυΐδος, ὡς τάχιστα καὶ ἐνυπνιοθέντως πιθέσθαι τῷ ἐνυπνίῳ. ᾧ ταῦτα αὐτῷ ἱστάντος τοῦ μάντεως, ὡς, πείσας τὸν ταῦρον Διὶ τῷ Ποσειδῶνι, τότε δὴ τῇ ἱππιοστάτῃ Ἀθηνᾷ ἱδρύσασθαι βωμὸν, ἤτοι ἄγαλμα. Κρεσφόντα δὲ τὸν ταῦρόν φησιν οὗτος δὲ Διὸς ἐκ Διλφοῦ ἴδιος ἐκάλεσεν. Αὐτρύῃ δὲ, ἀντὶ τοῦ σφάξῃ, ἀπὸ τοῦ αὐ-

ραπολουθοῦντος, ὡς Ὅμηρος· (Iliad. α'. 459.) " Αὖ ἴρυσαι μὲν ὦρῶτα." V.

113. Ὅσαν δ' ἰὺρυσθενεῖ] ὅταν δὲ ἀτρύη, ἀντὶ τοῦ ἀνιερύη, ἤγουν ἀνατρίπτῃ, ἀντὶ τοῦ σφάζῃ, θύῃ, ἀπὸ τοῦ παρακολουθοῦντος, τὸν πραταιὸν τοὺς βοῦας ταῦρον, τῷ Ποσειδῶνι τῷ συνίχοντι τὴν γῆν, τῷ καταπολὺ ἰσχυρῷ, ἐκίλισεν αὐτίκα ποιῆσαι τῇ Ἀθηνᾷ τῇ ἱππικῇ, πολιμικῇ, νικόν. Πληροῖ δὲ ἡ δύναμις τῶν θεῶν κούφως, τουτέστιν ἰσχυρῶς τὴν κτίσιν, ἀντὶ τοῦ τὴν πρᾶξιν, καὶ τὴν παρ' ὅρκον, ἤγουν τὴν μὴ δεμένην βεβαιώσεως ὅρκων εἰς τὸ μὴ πραχθῆναι, ὡς ἀνέλπιστον δηλονότι οὖσαν καὶ ἀδύνατον, καὶ τὴν παρὰ ἐλπίδα, τουτέστι, καὶ ἣν οὐκ ἂν τις ἐλπίσαι ποτὲ πρᾶξιν. οἱ θεοὶ καὶ τὰ νομιζόμενα ἀδύνατα ῥᾷστα ποιοῦσι, περὶ ὧν ἄν τις καὶ δι' ὅρκου ἀπαγορεύσειεν, ὡς οὐχ οἷά τε γενέσθαι. ἴσι δὲ τὸ παρ' ἐλπίδα, καὶ τὸ παρ' ὅρκον, ταυτόν. τὰ γὰρ ἀδύνατα, καὶ ἀνελπιστά. R.

116. Πληροῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον] ἐπιτελοῦσι δὲ καὶ παρίχουσιν οἱ θεοὶ καὶ τὰ νομιζόμενα ἀδύνατα, περὶ ὧν ἄν τις καὶ τὴν ἐλπίδα δι' ὅρκων ἀπαγορεύσει. Ἄλλως. οὐχὶ τὴν ἐξ ἐπιορκίας, ἀλλὰ καὶ εὐόρκως ἀπελπισθεῖσαν. ἢ οὕτω δύναται δὲ θεὸς τελίσαι καὶ τὸ μεθ' ὅρκου ἀδύνατον νομιζόμενον εἰς περίπτησιν, οἷον εὐχερές. τοῦτο δὲ γνωμολογεῖ, ὅτι δὴ καὶ Βελλεροφόντης ὁ μίγας, μηδίστοτι ζευχθήσεσθαι τὸν Πήγασον, δι' ἐπιορκίας θέμενος, δι' Ἀθηνᾶς ὑπὸ ζυγὸν ἐποίησεν. ὁ δὲ ποῦς· καὶ δὴ ἐκ τούτων ὁ γενναῖος Βελλεροφόντης μετὰ σπουδῆς ἔλαβε τὸν χαλινὸν, καὶ φὼν περιφοῦτο ἵππον, τὸν Πήγασον, ἐχαλίνωσεν (τοῦτό γάρ ἐστι τὸ, τείνων ἀμφὶ γένυ) πραΰνοντα καὶ ἡμεροῦντα, ὡς ἀντιφέρμενον ἰατρικόν. λέγει δὲ τὸν χαλινόν. V.

118. Ἦτοι καὶ ὁ πρότερος] τὸ ἦτοι ἀντὶ τοῦ δὴ, ἤγουν, καὶ δὴ καὶ ὁ ἰσχυρὸς Βελλεροφόντης ὁρμαίνων, ἦτοι προθυμούμενος, ἔλαβεν ἵππον ὑπόπτερον, τουτέστι τὸν Πήγασον, φέρμενον πρεῦ, ἀντὶ τοῦ πραϋντικὸν, ἤγουν τὸν παρὰ τῆς Ἀθηνᾶς χαλινὸν, τείνων, ἀντὶ τοῦ ἁρπαλώσας, ἐπενίγκαν, ἀμφὶ τῇ γένυϊ, τουτέστιν, ἐπὶ τῷ γόμφῳ αὐτοῦ δηλονότι. ἀναβὰς δ' εὐθὺς ἐπ' αὐτὸν ἔπαιζεν ἐνόπλιον παιδιὰν, χαλκωθεὶς, ἦτοι ὁπλισάμενος. (κρατερὸς ποινὸν, κρατερὸς ποινητικὸν, τὸ αὐτὸ δὲ κατὰ μετάθεσιν τοῦ ρ καρτερός.) σὺν ἑκείνῳ δὲ, ἦτοι τῷ Πηγάσῳ, ποτὶ ἰρόνυσε καὶ τὸν στρατὸν τὸν γυναικεῖον τῶν Ἀμαζόνων τὸν τοξότην, βάλλων αὐτὸν, τουτέστι, βολαῖς ἐπετιθέμενος αὐτῷ ἄνωθεν ἀπὸ τῶν ποιλωμάτων τῆς αἰθέρος τῆς ψυχρᾶς, ἀντὶ τοῦ ἀέρος τοῦ ψυχροῦ, τοῦ ἠρέμου, ἤγουν, ὑφ' ᾧ οὐ διασρίζει πτηνὰ διὰ τὴν ψυχρότητα, καὶ τὴν Χίμαιραν τὴν πτίουσαν πῦρ, καὶ τοὺς Σολύμους. ἔθνος δὲ ἦσαν οἱ Σόλυμοι μεταξὺ Λυκίας καὶ Παμφυλίας, πολιμικώτατον. R.

119. Ὀρμαίνων] προθυμούμενος. V.

123. Χαλκωθείς] ἤτοι χαλκοῦν πτερόθεμενος θώρακα, ἢ ὅπλα ἐνδὺς χαλκᾶ.

Ἔπαιξεν] ἤτοι ἐπιεῖτο, ἐγυμνάζετο, εὐκόλως, ὥσπερ παιδιᾶς τρόπον· ἢ ἐπετέρπετο· ἢ ἐνόπλιον ἔρχησιν ἐποιεῖτο· ἢ σὺν τοῖς ὅπλοις ἰσχυρῶς ἐμάχετο. V.

124. Σὺν δ' ἐκείνῳ] μετὰ δὲ τοῦ ἵππου ὤν, ἢ σὺν αὐτῷ ποτὶ καὶ τὸν στρατὸν τῶν Ἀμαζόνων, τὸν ἐκ τοῦ ἀέρος τῆς ἐρήμου, καὶ τῶν ψυχροτάτων τόπων τῶν Ταρταρίων ἐνίπησεν, ἤτοι τῶν ἐν Σκυθίᾳ. V.

125. Αἰθέρος ψυχρᾶς] τῆς ἐν Σκυθίᾳ. κρυώδης γὰρ καὶ δυσχείμερος. μετέωρος γὰρ ὢν ἀπήρει καὶ ἐνέπα. V.

Αἰθέρος εἶπε θηλυκῶς ὁ ποιητής· ψυχρᾶς δέ, ἐπεὶ καὶ ὁ ἀὴρ αἰθὴρ λέγεται. ψυχρότερον δὲ τὸ βόρειον μέρος, ἔνθα οἰκοῦσιν αἱ Ἀμαζόνες. ἐρήμου δέ, διὰ τὸ τοῦ ἀέρος κενόν. λέγει δὲ, ὡς σὺν τῷ Πηγάσῳ τὰς ἀπὸ τοῦ ὑπερβορέου κλίματος Ἀμαζόνας, καὶ τὴν Χίμαιραν καὶ τοὺς Σολύμους ἔθνος ἀπώλεσε. R.

128. Καὶ Χίμαιραν πῦρ πτίουσαν] ἐνίκησε δὲ σὺν αὐτῷ καὶ τὴν πυρίπνουν Χίμαιραν, καὶ τοὺς Σολύμους ἀπέλε. Σόλυμοι δὲ, ἔθνος πρὸς τῇ Λυκίᾳ, μεταξὺ Λυκίας καὶ Παμφυλίας πολεμικώτατον. εἶπε δὲ ταῦτα καὶ Ὅμηρος περὶ τοῦ Βελλεροφόντου. (Iliad. ζ'. 155, sq.) V.

130. Διασιγάσομαι αὐτῷ μόρον] τουτέστι, τὸν θάνατον αὐτοῦ σιγήσομαι. ὑποσίλλεται γὰρ τὸ κατὰ τὴν σιλευτὴν ἐκδεδηκὸς αὐτῷ εἶπεῖν, ὅτι πτσὸν ἐκ τοῦ Πηγάσου χωλὸς ἐγένετο. Ἄλλως. Τὸν θάνατον αὐτοῦ σιγήσομαι. ὑποσίλλεται γὰρ τὸ κατὰ τὴν σιλευτὴν ἐκδεδηκὸς αὐτῷ κακόν. λέγεται γὰρ, ὅτι ἀναστᾶναι βουληθεὶς, τῷ Πηγάσῳ κούφως παρακινδυνεύσας, κατὰ βούλησιν τοῦ Διὸς εἰσρυῆντος τοῦ Πηγάσου, ἐκπέπτει, καὶ χωλοῦται, καὶ πλανᾶται κατὰ τὸ Ἀλήϊον χωλὸς, ὡς Ὅμηρός φησιν. (Iliad. ζ'. 201, s.)

Ἦτοι ὁ πακτεδίον τὸ Ἀλήϊον ὃς ἐλᾶτο

Ὃν θυμὸν κατίδων.

Ἄλλως. Καταζηλῶν γὰρ τὸν Βελλεροφόντην ὁ Πήγασος ἀκτιόσησιν εἰς οὐρανὸν, τοῦτον δὲ αἱ οὐρανίαι φάτναι τοῦ Διὸς ὑπεδέξαντο. κατηστερίσθη γάρ. καὶ Ἄρατος μέμνηται, ὅτι εἰσὶ φάτναι ἐν οὐρανῷ καὶ ἄστρα καλούμενοι ἀγίριες (Arat. Diosem. v. 160. 166.) V.

Διασιγάσομαι οἱ μόρον. G. cum Schol. ἐγὼ σιωπήσω. ὑποσίλλεται τὰ κατὰ τὴν σιλευτὴν ἐλπίν, ὅτι πτσὸν ἐκ τοῦ Πηγάσου χωλὸς ἐγένετο.

Τὸ διασιγάσεσθαι εἶπε διὰ τὸ συμβὰν αὐτῷ ἐν τῇ τιλιυτῇ κακόν. οὐ γὰρ ἄξιον, πολλοὺς καὶ μεγάλους ἐπαίνους ὑπὲρ αὐτοῦ διόντα καὶ τῶν συμβάντων αὐτῷ μνησθῆναι κακῶν. φασὶ γὰρ, ὡς βουληθεὶς πρὸς οὐρανὸν ἀναπτῆναι σὺν τῷ Πηγάσῳ, ἐξεπρωθίντος τοῦ ἵππου παρὰ τοῦ Διὸς, πίπτει καὶ χωλεύεται· κατὰ δέ τινας καὶ τυφλοῦται· καὶ ἐκπλανᾶται κατὰ τὸ Ἀλήϊον χωλός. φησὶ δὲ καὶ Ὅμηρος περὶ αὐτοῦ· (l. l.) Ἦτοι ὁ καὶτιδίων etc. ut supra. R.

Διασιγάσομαι, ἤγουν σιγήσω τὸν θάνατον αὐτοῦ, τοῦ Βιλλεροφόντου δηλονότι. τοῦτο δέ φησιν, ἐπεὶ δυσχὶς αὐτῷ τὸ τίλος ἐγίνιτο, πισόντι ἀπὸ τοῦ ἵππου καὶ χωλωθέντι. τόνδε, ἤγουν τὸν ἵππον, αἱ φάσται τοῦ Διὸς αἱ ἀρχαῖαι ἐδέξαντο ἐν οὐρανῷ. ἕτερα λέγοντα εἶναι ἐν οὐρανῷ ἀρχῆθεν φάσται καλούμινα καὶ ὄντι. ἐμὲ δὲ χρὴ εἶντα, ἤγουν βάλλοντα ῥόμβον, ἀντὶ τοῦ βολὴν ἀκόντων εὐθεῖαν, οὐκ ἴζω τοῦ σκοποῦ ἰριδὸν τὰ πλείω βίλη διὰ τῶν χιιρῶν. συμβολικὸς ὁ λόγος, ἀντὶ τοῦ, ἐμὲ δὲ χρὴ προσήκουσαν ποιούμινον τὴν ὁρμὴν τῶν λόγων, τουτέστι, διὰ τὸ κατὰ τὸ προσῆκον ποιεῖσθαι τὴν ὁρμὴν τῶν λόγων, οὐκ ἴζω τῆς προσηκούσης ὑποθέσιως ποιεῖσθαι τοὺς πλείονας λόγους. R.

133. Ἐμὲ δ' εὐθὺν ἀκόντων εἶντα ῥόμβον] ἀλλ' ὁ μὲν φησιν οὕτως· ἐμὲ δὲ οὐ χρὴ παρὰ σκοπὸν τὰ βίλη μου τὰ πολλὰ ταῖς χιρσὶν ἰσχυρῶς ἔχιιν, ἀλλ' ὀξύν τινα τὸν ἀκοντισμὸν αὐτῶν ποιεῖσθαι. τὸ δὲ ἑξῆς· ἐμὲ δὲ εἶντα πολλὰ παρὰ σκοπὸν βίλη οὐ χρὴ ῥόμβον, τουτέστι ῥίψιν καὶ ὁρμὴν, ποιεῖσθαι. λέγει δὲ, ὅτι οὐ χρὴ περιττολογεῖν περὶ ἄλλων καὶ ἐκτρατῆναι τοῦ προκιιμένου. τὸ δὲ ἀκόντων ῥόμβον, τὴν δίνησιν καὶ τὴν βολὴν μετὰ ἀκοντίων λέγει, τροπικῶς δὲ, τῶν ἐγκωμιαστικῶν λόγων. ὡς καὶ ἐν ἄλλοις (Ol. ii. 149.) "πολλά μοι ὑπ' ἀγκῶνος ὠκία βίλη "ἔνδον ἐντὶ φαρέτρας." ἀλληγορικῶς οὖν φησιν· ὅτι οὐ χρή με περὶ ἄλλων πολυλογεῖν ἰάσαντα τὸν προκείμινον ἔπαινον. ἀφίμινος γὰρ τοῦ νικηφόρου, εἰς τὰ πάτρια ἀναδραμὼν, πλείονι τῇ παρεκβάσει κέχρηται. διὸ καὶ ἐπιτρέψει ἑαυτόν. V.

Τὰ μὲν τοῦ Βιλλεροφόντου καὶ τοῦ Πηγάσου οὕτως ἔσχιν. ἐμὲ δὲ εἶντα εὐθὺν ῥόμβον ἀκόντων, ἤγουν σκοπὸν θέμινον ἐπαινεῖν Ξινοφῶντα, οὐ χρὴ κρατύνιν τὰ πολλὰ βίλη ἐν ταῖν χιρσῖν παρὰ σκοπόν· ἤγουν οὐ δεῖ παρεκβάσει πολλῇ χρῆσθαι, καὶ τοὺς πλείονας τῶν ἐπαίνων εἰς ἑτέρους ἀναλίσκιιν. R.

Εὐθὺν] Gl. ms. γ. ἰσχνὸν. Ἀκόντων] Gl. γ. κονταρίων. Εἶντα] Gl. γ. σκξιύοντα. Ῥόμβον] Gl. γ. πίμψιν.

Ῥόμβος ἡ κοινῶς στρουμβα, ἥτις καὶ βίμβιξ λέγιται καὶ στρόμβος, ἀφ' οὗ καὶ τὸ στρομβηδόν· ἐντεῦθα δὲ ῥόμβον λέγει ἀντὶ τοῦ στρόμβησιν. λέγει δὲ οὕτω τὴν βολὴν τῶν ἀκόντων διὰ τὸ μετὰ δινήσιως αὐτὴν γίνισθαι. R.

135. Κρατύνιι] Gl. γ. πίμπτιν, ἰριδίιν.

136. Μοίσαισι (sic) γὰρ ἀγλαοθρόνοις ἦκεν (sic)] οὐ γὰρ ἦλθόν, φησι, δι' ἄλλο τι, ἀλλὰ ταῖς Μούσαις ὑπίκουρος καὶ ὑπηρέτης, ἵνα τοὺς Κορινθίους τούτους, τοὺς ἀπὸ τῆς φατρίας τῆς Ὀλιγαιθίδος καλουμένης ὄντας, ἐπαινέσω, καὶ τὰ πραχθέντα ὑπ' αὐτῶν ἐν τῷ Ἰσθμῷ καὶ τῇ Νιμέᾳ. οἱ γὰρ περὶ τὸν Ξινοφῶντα τοῦτον τὸν ἐπαινούμινον Ὀλιγαιθίδαι λέγονται κατὰ φατρίαν, ὡς τὸ ἀνίκαθεν ὄντις ἀπὸ Ὀλιγαιθίδου τινὸς ἀρχαίου. V.

Ταῖς Μούσαις γὰρ ταῖς ἐπὶ λαμπρῶν θρόνων ἱδρυμέναις, ἤγουν ταῖς τιμίαις καὶ ἐνδόξῳ τάξει τεταγμέναις εἶκεν, ἤτοι ὑπηρέτης, ἦλθον ἐπίκουρος ταῖς Ὀλιγαιθίδαις, τουτέστι τῇ φατρίᾳ τοῦ Ξινοφῶντος, ἀντὶ τοῦ ταῖς Κορινθίοις, διὰ τὰ ἐν Ἰσθμῷ αὐτῶν ἔργα καὶ διὰ τὰ ἐν Νιμέᾳ. ἐν βραχεῖ δὲ λόγῳ ποιήσας φανερὰ πολλὰ ὁμοῦ, καὶ ὅρκος ἔστω ἐμοὶ ἐπὶ τούτοις ἀληθής. ἑξηκοντάκις γὰρ ἀμφοτέρωθεν, ἤγουν ἀπὸ τῆς Ἰσθμοῦ καὶ τῆς Νιμέας, βοὴ κήρυκος ἀγαθοῦ κατὰ τὸ κηρύττιιν δηλονότι ἠδύφωνος ἀνικήρυξεν αὐτοὺς δηλονότι. ἡδύγλωσσον δὲ λέγει τὴν βοὴν οὐ διὰ τὸ ἰμιτλὶς αὐτῆς ἀλλὰ διὰ τὸ τιρπνὴν παρέχιιν ἀνακήρυξιν τοῖς ἀνακηρυττομένοις. τὰ δὲ ἔργα αὐτῶν τὰ ἐν Ὀλυμπίᾳ, τουτέστιν, αἱ νῖκαι δὲ αὐτῶν αἱ ἐν Ὀλυμπίᾳ δοκοῦσιν ἤδη πρότερον εἰρῆσθαι, (ἴδε γὰρ αὐτοὺς ἐν τῇ ἀρχῇ τρὶς νινικηκέναι ἐν τῇ Ὀλυμπίᾳ) καὶ τὰ ἰσόμινα, ἤγουν καὶ τὰς ἰσομίνας αὐτοῖς νίκας τότε ἄν, ὅτι ἔσονται δηλονότι, φαίην σαφῶς· νῦν δ' ἐν ἱλαρίσιν ἔχω τὸ τίλος τῆς νίκης αὐτῶν, ὁμῶς ἐν τῷ Θιᾷ. R.

Ἔκων] Gl. γ. ὑποτασσόμινος.

137. Ὀλιγαιθίδαισιν] Gl. γ. σοῖς παισὶ τοῦ Ὀλιγαίθου.

Ὀλιγαιθίδαι φατρία ἐν Κορίνθῳ ἀπό τινος Ὀλιγαίθου, ἧς ἦν Ξινοφῶν. R.

Ἐπίκουρος] ἤγουν βοηθός· βοήθεια γὰρ τῶν ἀγαθῶν ἔργων τὰ ἴπη, οὐκ ἰῶντα τοῦ λοιποῦ λήθην αὐτῶν καταπαυχήσασθαι. R.

138. Παύρῳ δ' ἐπιθήσω (sic)] ἀντὶ τοῦ ἐν ὀλίγῳ καὶ συντόμῳ λόγῳ διεξελθὼν καὶ φανερὰ πλεῖστα πράγματα καὶ ἐξρέα ἐπιθήσω καὶ ποιήσω, ἤτοι, ἐν ὀλίγῳ φανερὰ τὰ πολλὰ ποιήσω· ἀληθὴς δὲ περὶ τούτων καὶ ἐξαίρετος ὅρκος ἔστω. ἐμνύιιν δὲ βούλεται ὡς ἀληθεύων ἐν τοῖς ἐπαίνοις. Ἄλλως. ἰδίως ἴρη ἔζορκος, ἢ ἐντίορκος.

ἐμέσω οὖν αὐτός, φησι, τοὺς ἀπὸ τῆς φατρίας Ὀλιγαιθίδος ἑξηκοντάκις νενικηκέναι ἀμφοτέρωθεν, τουτέστιν, ἓν τι Ἰσθμῷ καὶ Νεμέᾳ κεκηρύχθαι αὐτούς. V.

140. Ἀλαθής τι μοι ἔσχετο] ἦγουν, ἵνα χρήσωμαι ὡς κατὰ ἀλήθειαν καὶ οὐ πρὸς χάριν ἐπαινῶ αὐτόν. ἀληθεύσω. R.

143. Βοὰ κάρυκος ἐσλοῦ] λείπει τὸ, ἀνεκήρυξεν αὐτοὺς ἡ τοῦ κήρυκος βοή, ἑξηκοστὸν νικήσαντας. ἑξηκοντάκις γὰρ ἀμφοτέρωθεν τοῖς ἀγῶσιν, Ἰσθμίοις καὶ Νεμέοις, ἀνεκηρύχθησαν οἱ Ὀλιγαιθίδαι, τριάκοντα ἐν ἑκάστῳ ἀγῶνι. V.

144. Τὰ δ' Ὀλυμπίᾳ αὐτῶν ἤοικεν ἤδη πάροιθε λελίχθαι] εἴωθε γὰρ ἐν ἀρχῇ τοῦ ὕμνου οὕτω· τρὶς Ὀλυμπιονίκαν. ὁ δὲ νοῦς· τὰ δὲ ἐν τῇ Ὀλυμπίᾳ αὐτῶν νικητήρια ἤδη, ὡς ἔοικε, πρεσίεηται ἐν τοῖς ἔμπροσθεν λόγοις. τὰ δὲ μέλλοντά, φησι, τουτέστιν, ἐὰν δὲ πάλιν νικήσῃ Ὀλύμπια, αὐδὶς σαφέστερον ἐπαινέσω αὐτόν. νῦν δὲ ἐγὼ ἐλπίζω καὶ προσδοκῶ νικῆσαι αὐτόν. ἐν δὲ τῷ περισσοῦ τὸ τοιοῦτο, τὴν προσδοκίαν δοῦναι. V.

148. Εἰ δὲ δαίμων ὁ γενέθλιος ἕρπει] εἰ δὲ τὸ συγκληρωθὲν δαιμόνιον καὶ ἡ τύχη ἐπὶ τὸ πλεῖστον πρεῖσι, νικητὰς αὐτοὺς μενόν, ἀναθήσομαι τὸ τοιοῦτον ἐνεργούμενον τῷ Διΐ καὶ τῷ Ἄρει. Διατί δέ φησι τῷ Διΐ καὶ τῷ Ἐνυαλίῳ ἐπιτρέψειν; ὅτι ὁ μὲν Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε, καὶ Ὀλύμπια τοῦ Διὸς ἱερά· τὸν δὲ Ξενοφῶντα οὐ μόνον ἀθλητὴν γενέσθαι φασὶν, ἀλλὰ καὶ τὰ πολεμικὰ ἀγαθὸν, ἢ ὅτι τοῦ Οἰνομάου πατήρ ἐστιν ὁ Ἄρης, ᾧ μιτέσχε τῆς Ὀλυμπίας. Ἄλλως. τῷ μὲν Διΐ, ὅτι ὁ ἀγὼν αὐτῷ ἀνάκειται καὶ τελεῖται, τῷ δὲ Ἄρει, ἐπειδὴ ἐπιχώριος καὶ πατρῷος τῶν Ἠλείων ὁ Ἄρης. μιχθεὶς γὰρ Ἀρκάδι, θυγατρὶ Ἀαιμονος τοῦ Θηβαίου ποταμοῦ, ἐπέκνωσε τὸν Οἰνόμαον ὁ Ἄρης, ὃς ἦν βασιλεὺς τῶν τόπων. ἐς χάριν οὖν τοῦ παιδὸς ποιῆσαι ἴσως τῆς χώρας τῶν Ἠλείων. V.

Ἕρπει] Gl. γ. ἔρχεται τὴν χάριν αὐτοῦ.

Εἰ δὲ δαίμων γενέθλιος] εἰ δὲ ὁ δαίμων ὁ γενέθλιος, ἤγουν ὁ Διὸς ὁ ἐμοὶ τοῦ Πινοφῶντος τὸν βίον ἀπὸ γενέσεως, ἕρπει, τουτέστι προκόπτει, ἐπιδοίη, τῷ Διΐ καὶ τῷ Ἐνυαλίῳ, ἤγουν τῷ Ἄρει, δώσομεν πράττειν τοῦτο· τῷ μὲν Διΐ, ὅτι ὁ ἀγὼν ἦν αὐτῷ ἀνατεθειμένος, τῷ δὲ Ἄρει, ἐπειδὴ ἐπιχώριος καὶ πατρῷος τῶν Ἠλείων ὁ Ἄρης. τὰ δὲ ἐπὶ τῇ ὀφρύϊ, ἀντὶ τοῦ τῇ Παρνασσοῦ, τουτέστιν ἐν τοῖς Πυθίοις, ἔργα αὐτοῦ, καὶ τὰ ἐπὶ τῷ Ἄργει, ἵνα ἐτελεῖτο τὰ Ἥραια, τὰ καὶ Ἑκατόμβαια· ἐδίδοτο δὲ τῷ νικήσαντι ἀσπὶς χαλκῆ· καὶ ἐν ταῖς Θήβαις, ἵνα ἄγετο τὰ Ἡράκλεια, τὰ καὶ Ἰολάεια, βαθεῖ τοῦ πλήθους, ὅσα ἐστί. καὶ ἐν τοῖς Ἀρκάσιν ἀνάσσων, ἤγουν πασῶν φιῦ τοῦ πλήθους, ὅσα ἐστὶν ἔργα αὐτοῦ. Μαρτυρήσει Λυκαίου. μαρτυρήσει τὰ ἔργα αὐτοῦ ὁ βωμὸς τοῦ Λυκαίου Διὸς, ὁ ἀναξ.] ἐν Ἀρκαδίᾳ, καὶ ἡ Πελλήνη· πόλις δὲ ἦν αὕτη τῆς Ἀχαΐας, ἵνα ἐτελεῖτο τὰ Θεοξένια καὶ τὰ Ἕρμαια· τὸ δὲ ἄθλον ἦν χλαῖνα· καὶ ἡ Σικυών, ἵνα ἄγετο τὰ Πύθια· τῆς Βοιωτίας δὲ ἦν αὕτη πόλις· καὶ τὰ Μέγαρα, ἐν οἷς ἐτελεῖτο τὰ Διόπλεια, καὶ τὸ ἄλσος, ἀντὶ τοῦ καὶ ἡ καθίδρα, τῶν Αἰακιδῶν, ἡ καλῶς τῇ θαλάττῃ περιειλημμένη, ἤγουν ἡ Αἴγινα, ἵνα ἐτελεῖτο τὰ Αἰάκια. μαρτυρήσει καὶ ἡ Ἐλευσὶς τὰ ἔργα αὐτοῦ, ἵνα ἄγετο τὰ Δημήτρεια, τὰ καὶ Ἐλευσίνια, καὶ ἡ πόλουσα Μαραθών, ἵνα ἐτελεῖτο τὰ Ἡράκλεια· ἦν δὲ τὸ ἄθλον ἀργυρᾶ φιάλη· καὶ αἱ πόλεις αἱ καλλίστλουτοι, ἤγουν αἱ πλούτῳ νομῶσαι, αἱ ὑποκάτω τῆς Αἴτνης τῆς ὑψηλὴν ἰχούσης κορυφὴν, τουτέστιν αἱ Συρακοῦσαι, ἵνα ἐτελεῖτο ἀγὼν Ἰσθμια καλούμενος. καὶ ἡ Εὔβοια μαρτυρήσει αὐτοῦ τὰ κατορθώματα, καὶ κατὰ πᾶσαν τὴν Ἑλλάδα ἱερονῶν ἐπιφήμους ἔργα αὐτῶν μείζονα ἢ ὡς ἰδιῶν ἀντὶ τοῦ νικῆσαι. Ἀλλὰ δὲ Ζεῦ τέλει, ἤγουν ποίει ἐκπονῆσαί με, ἅπερ ἐξελθεῖν, ἀνύσαντα ἤδη τὸν ὕμνον ἐλαφρῶς ποσὶ, τουτέστιν ἀπταιστῶς, ἐλαφρῶς, ὑπ' οὐδενὸς βαρούμενον, ἀλλὰ διδοὺς, ἀντὶ τοῦ δύναμιν παθεῖν. καὶ εὐτυχίαν ἡδίαν (πραγμάτων) γλυκεῖαν. R.

150. Τὰ δ' ἐπ' ὀφρύϊ Παρνασίᾳ, ἐν Ἄργει δ' ἔσσα] ἀντὶ τοῦ, τὰ δὲ ἐν Διλφοῖς Πύθια. ἐκ τοῦ παρακειμένου ἔρους λέγει· ἔ ἐστι Πύθια. ἔσα σ' ἐν Ἄργει δὲ καὶ ἐν Θήβαις ἄλλα. καὶ ἐν Ἀρκαδίᾳ δὲ ὅπως διεστώς γέγονε τοῦ στράτου, ὁ βωμός ἐστι μάρτυς ὁ τοῦ Λυκαίου Διός, καὶ ἡ ἐπὶ ἀγομένη πανήγυρις. ἐπεὶ γὰρ νικήσας ἐτίφθη. V.

155. Πελλάνα τε καὶ Σικυὼν] ἡ Πελλήνη τῆς Ἀχαΐας πόλις, (ὅπου τὰ Φιλαξίνια, καὶ αἱ χλαῖναι δίδονται. abs. G.) ἡ δὲ Σικυὼν Βοιωτίας, ἐν ᾗ τὰ Πύθια ἄγεται. καὶ ἐν Αἰγίνῃ τὰ Διλφίνια καὶ Αἰάκεια, ἐν δὲ Μεγάροις, τὰ Διόπλεια καὶ Πύθια, καὶ ἐν Ἐλευσῖνι τὰ Δημήτρεια ἢ Ἐλευσίνια. ἐνιοχὶς δὲ ἄλσος φησὶν, διὰ τὸ πύλαι ὑπὸ Σκιλάσσης, ὅστις ὑπὸ ἵππων καὶ τύχους περιελίχθη. (ἢ διὰ τὴν φιλοξενίαν. abs. G.) V.

156. Ἐνιοχὶς, ἄλσος] Gl. γ. χωρίον τὸ ἔχον καλὸν ἔρνος.

158. Ταί θ' ὑπ' Αἴτνας ὑψιλόφου] καὶ αἱ ὑπ' Αἴτναν, τὸ Σικελικὸν ὄρος, πόλεις, λέγει τὰς Συρακούσας, μαρτυροῦσιν αὐτοῦ τῇ ἀνδρείᾳ. Ἰσθμια γὰρ καὶ ἐν αὐταῖς τελεῖται, ἃ καὶ ἐνίκησε Ξενοφῶν. Ἄλλως. Ταί θ' ὑπ' Αἴτνας. τῆς Σικελίας πόλεις.

ἐπεὶ γὰρ ἔσχατα ἀγὼν Νέμεα καλούμενος. ἢ οὕτως· ἐν Συρακούσαις ἄγεται, φησίν, Ἰσθμια ὡς καὶ ἐν Κορίνθῳ. ἔστικεν γὰρ Κορινθίων Συρακούσιοι. V.

159. Α σ' Εὐβοίᾳ] καὶ ἐν τῇ Εὐβοίᾳ δὲ πάσῃ, φησι, καὶ τῇ Ἑλλάδι ζητῶν τὰ εὑρήσεις τὰ μείζονα λόγου πάντοθι καὶ πάσης γνώσεως ὑπερῆρεα. ὑπερβολικῶς δὲ εἶπεν. Ἄλλως. ἐν Εὐβοίᾳ Γεραίστια ὑπὸ πάντων Γεραιστίων ἄγεται τῷ Ποσειδῶνι, διὰ τὸν συμβάντα χειμῶνα περὶ Γεραιστόν. καὶ ἐν Ἀμαρύνθῳ τῆς Εὐβοίας Ἀμαρύνθια νενικήκασιν. ὁ δὲ νοῦς· καὶ πᾶσαν τὴν Ἑλλάδα ἱστορευόμενος εὑρήσεις μείζονα ἔργα πεποιηκότα αὐτὸν, ἢ ὡς δύνασθαι ἰδεῖν. ἢ οὕτω· τὸ πλῆθος τῶν στεφάνων, φησὶν, ἐκπέφευγε τὴν τῆς ἐράσεως μετάληψιν. V.

163. Ἀλλὰ νεῦσιν ἐκπῦσαι ποσὶν] εἶπε τοῦτο πρὸς ἑαυτὸν παρακελευόμενος ἐκδραμεῖν ἀπὸ τούτων καὶ καταπαῦσαι τὸν ὕμνον. ἐπαύσατο γὰρ τῶν ἐπαίνων. καὶ περὶ ἑαυτοῦ λέγει, ὅτι χρὴ ἀπεχθῆναι πεύθεσι ποσὶν ἀντικαχθῆ φαίνεται. δίδου μοι οὖν, φησὶν, Δὶ Ζεῦ, τελεσικυδέστερον τὴν παρὰ σοῦ αἰδῶ τε καὶ εὐτυχίαν, ἐξ ἧς ἴσει στέφεσθαι καὶ ἥδιόν· ἤτοι αἰδέσιμόν με ποίει καὶ τιμῆς ἄξιον. ἢ οὕτως· αἰδεσικούς τε καὶ αἰδεσίμους αὐτοὺς ποίει ἐπιμελῶς προαρξάμενος. V.

Carmen XIV.

Περὶ τῶν κώλων τοῦ τεσσαρεσκαιδεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τὸ τεσσαρεσκαιδέκατον εἶδος μονοστροφικὸν ἴσχει κώλων ιη' καὶ ιζ'. Τὸ α', Σαπφικὸν ἐνιπασύλλαβον. Τὸ β', Φαλαίκιον. Τὸ γ', ἐκ χοριάμβου, διϊάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος, τρίμετρον ἀπατάληκτον. Τὸ δ', Φερεκράτειον ἀτελές. Τὸ ε', ἰωνικὸν ἀπ' ἐλάσσονος, τρίμετρον καταληκτικόν. Τὸ ϛ', δακτυλικὴ δισυλλαβον. Τὸ ζ', ἐκ παιώνων δύο, καὶ ἀντισπαστικοῦ πενθημιμερεῦς. Τὸ η', τροχαϊκὸν ἡφθημιμερές. Τὸ θ', ἐκ δακτυλικῆς δισυλλαβος καὶ τροχαϊκῆς βάσεως πενθημιμερεῦς. Τὸ ι', ἐξ ἀντισπάστου πενταμέτρου καὶ τροχαϊκῆς κατακλίδος. Τὸ ια', Ἰωνικὸν ἀπὸ μείζονος ἡφθημιμερές. Τὸ ιβ', δακτυλικὸν πενθημιμερές. Τὸ ιγ', τροχαϊκὸν δίμετρον ἀπατάληκτον. Τὸ ιδ', ἐξ Ἰωνικῆς βάσεως ἀπ' ἐλάττονος καὶ τροχαίου πενθημιβρεῦς. Τὸ ιε', Ἰωνικὸν ἀπ' ἐλάσσονος ἡφθημιμερές. Τὸ ις', ἐξ Ἰωνικῆς βάσεως ἀπ' ἐλάσσονος ἡφθημιμερές. Τὸ ιϛ', ἐξ Ἰωνικῆς βάσεως ἀπ' ἐλάσσονος καὶ ἰαμβικοῦ ἡμιολίου ἀτάκτου. Τὸ ιζ', ἐκ χοριάμβου καὶ ἰαμβικοῦ πενθημιμερεῦς. Τὸ ιη', ἰαμβικὸν ἡφθημιμερές.

Τὰ δὲ λοιπὰ ἑπτακαίδεκα, οὕτως· Τὸ α', Φαλαίκιον. Τὸ β', ἐκ χοριάμβου καὶ ἰάμβου ἡφθημιμερεῦς. Τὸ γ', Ἀλκμανώνειον δικασύλλαβον. Τὸ δ', ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ε', ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς βάσεως. Τὸ ϛ', χοριαμβικὸν ἡφθημιμερές. Τὸ ζ', ἐξ ἀντισπαστικῆς καὶ ἰαμβικῆς κατακλίδος. Τὸ η', ἐκ χοριαμβικοῦ εἰς ἀντισπαστικόν. Τὸ θ', ἐξ Ἰωνικῆς βάσεως, καὶ τοῦ πενταμέτρου, καὶ χοριαμβικοῦ, καὶ Ἰωνικοῦ ἀπὸ μείζονος. Τὸ ι', Ἀσκληπιάδιον. Τὸ ια', δακτυλικὸν τρισωδία. Τὸ ιβ', δακτυλικὸν πενθημιμερές. Τὸ ιγ', ἐξ ἀντισπάστου καὶ ἰαμβικοῦ ἡφθημιμερεῦς. Τὸ ιδ', Γλυκώνιον. Τὸ ιε', ἰαμβικὸν δίμετρον ἀπατάληκτον. Τὸ ις', ἐκ χοριάμβου καὶ ἰαμβικοῦ ἡφθημιμερεῦς. Τὸ ιϛ', ἰαμβικὸν πενθημιμερές.

Ἀσωπίχῳ Ὀρχομενίῳ.] Οὗτος ἐνίκησε τὴν ογ' Ὀλυμπιάδα ἀδίῳ. Κηφισοὺς δὲ ποταμὸς ἐν Ὀρχομενῷ, ἔνθα καὶ αἱ Χάριτες τιμῶνται. ταύταις γὰρ Ἐτέοκλος ὁ Κηφισοῦ, τοῦ ποταμοῦ, πρῶτος ἵδρυσιν, ὥς φησιν Ἡσίοδος. διὸ δὴ τοῦ Ὀρχομενοῦ ὁ μὲν Μινύ-

σιος ὁ ἐν Βοιωτίᾳ, ὁ δὲ πολύμηλος ὁ ἐν Ἀρκαδίᾳ. Τοῦ δὲ Μινυείου νῦν μέμνηται.

1. Καφισίων ὑδάτων λαχοῦσαι] ἐπειδὴ χαρίεντως ἀπίζη τοῦ ἀγῶνος τὸ ἐπιχείρημα, προσφωνεῖ ταῖς Χάρισι τιμωμέναις κατὰ τὸν Βοιωτικὸν Ὀρχομενόν, αἷς λέγεται πρῶτος Ἐτέοκλος ὁ Κηφισσοῦ παῖς τιθυκέναι. ὁ δὲ Κηφισὸς τοῦ Ὀρχομενοῦ ποταμός. ὁ δὲ νοῦς οὗτος· ὦ ἀοίδιμαι βασίλειαι Χάριτες, αἵ τὰ τοῦ Κηφισσοῦ ὕδατα ἐκληρώσασθε, καὶ κατοικεῖτε τὴν εὔγυιον Ὀρχομενὸν, τυγχάνουσαι καὶ τοῦ τῶν Μινυῶν γένους ἐπίσκοποι, ἐπακούσατέ μου νῦν εὐχομένου. V.

Ὦ Χάριτες ἀοίδιμοι ἦγουν περιβόητοι, βασίλισσαι τῆς πλουσίας Ὀρχομενοῦ. ἔφοροι τῶν Μινυῶν, τῶν ἀρχαίων τὴν γένεσιν, αἵτινες οἰκεῖτε ἕδραν, ἥτοι καθίδραν, τόσον καλλίπωλον, τουτέστιν ἵππους κομῶντα, ἢ καλλίβωλον, ἤτοι εὔγειον τῶν τοῦ Κηφισσοῦ ποταμοῦ ὑδάτων τὸν πλῆρον ἰσχνηναι, (τοῦτο γὰρ δύνασται τὸ λαχοῦσαι) κλῦτε, ἀντὶ τοῦ ἐπακούσατε, ἡμοῦ δηλονότι, ἐπεὶ εὔχομαι ὑμῖν, ἦγουν, ἐπικαλοῦμαι ὑμᾶς. σὺν ὑμὶν γὰρ, ἀντὶ τοῦ, δι' ὑμῶν γίνεται τοῖς ἀνθρώποις πάντα τὰ τέρπειν καὶ τὰ γλυκέα· λίγω, εἴτις ἀνὴρ ἐστὶ σοφὸς, ἦγουν φρόνιμος, καὶ ψυχικὴν ἀρετὴν ἔχων, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τῆς φρονήσεως· εἴ τις ἐστὶ καλὸς ἢ εὐμορφος καὶ σωματικῇ ἀρετῇ χρῆται, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τοῦ κάλλους· εἴτις ἐστὶν ἀγλαὸς, τουτέστι λαμπρὸς, περιφανὴς τὰ ἐκτὸς, καὶ εὐδοξίαν ἔχων, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τῆς λαμπρότητος. καὶ γὰρ καὶ οἱ θεοὶ χωρὶς τῶν σεβασμίων Χαρίτων οὔτε χορεὺς ποιοῦνται, ἀντὶ τοῦ διατάττοντες διατάττουσι (χορεὺς δὲ λέγει οὓς οἱ ἄνθρωποι αὐτοῖς στήσουσιν) οὔτε δαῖτας, ἦγουν ἑορτὰς, θυσίας, ἀνθρώπων δηλονότι ἐπ' αὐτοὺς, διασκόζοντες διατάττουσιν. R.

Λαχοῦσαι] Gl. γ. εἰς κληρονομίαν λαβοῦσαι.

2. Αἴ τι ναίετε] ἐπικοὶ λίγονται οἱ Ὀρχομένιοι. Ἐργῖνος γὰρ ἵππῳ νικήσας Θηβαίους φόρου ὑποστολεῖς ἔσχεν, ἄχρις οὗ Ἡρακλῆς αὐτοὺς ἠλευθέρωσε. V.

5. Παλαιγόνων Μινυάν] τὸ τῶν Μινυῶν γένος ἀρχαῖον ἀπὸ Μινύου τοῦ Θεσσαλοῦ. Μινύας δὲ ἐκ Καλλιῤῥόης τῆς Ὠκεανοῦ καὶ Ποσειδῶνος, καὶ τοῦ γένους τῶν Ἀργοναυτῶν. πλησιόχωροι δὲ καὶ γείτονες οὗτοι οἱ Μινυῖδαι (f. Μινυάδαι) Ὀρχομενίων. ὁ γὰρ Μινύας πρῶτος ἦρξεν Ὀρχομενίων. V.

7. Σὺν γὰρ ὑμὶν τὰ τέρπειν] μεθ' ὑμῶν γὰρ, ὦ Χάριτες, τὰ ἐπιτερπῆ τι καὶ ἡδέα γίνεται καὶ συμβαίνει τοῖς ἀνδράσι, καὶ εἴτις σοφὸς, ὡς Ὅμηρος, δι' ὑμᾶς· οἱ γὰρ ἐπιχαρεῖς δι' ὑμᾶς πᾶσι μόνιμοι (?) διὰ παντός· ὥστε ἀγλαὸς ἢ ἀνδρεῖος. αἱ γὰρ τρεῖς ἀρεταὶ δι' ὑμᾶς, ἡ σοφία, τὸ κάλλος, καὶ ἡ ἀνδρεία. V.

Schol. ms. γ. δι' ὑμῶν ἔστιν αὐτοῖς τὰ πρωτιερήματα πάντα.

12. Κοιρανίοντι χορεὺς] ἤτοι ὑπὸ τὴν ἐξουσίαν ἔχουσι τοὺς χορεύς, ἢ βασιλεύουσι τῶν χορῶν· ἵνα πτῶσις ἀντὶ πτώσεως, αἰτιατικὴ ἀντὶ γενικῆς. τὸ δὲ, οὔτε δαῖτας, ἀντὶ τοῦ, οὔτε τῶν ἱερουργιῶν καὶ θυσιῶν ἀλλὰ καὶ τῶν ἐν οὐρανῷ πάντων προστάττουσι (leg. προστατοῦσι) καὶ κρατοῦσιν αἱ Χάριτες. V.

Κοιρανίοντι] Gl. γ. διακοσμοῦσι.

13. Ἀλλὰ πάντων ταμίαι ἔργων] ἀλλὰ πάντων τῶν ἔργων ταμίαι, ἦγουν διεξαγωγεῖς, αἱ Χάριτες οὖσαι δηλονότι, τὴν αἰδῶ τιμὴν τοῦ πατρὸς αὐτῶν τοῦ οὐρανίου, ἦγουν τοῦ Διὸς, σέβουσιν, ἀντὶ τοῦ δεξάζουσιν ἐν οὐρανῷ, θίμιναι, ἦγουν θεῖσαι, τοὺς ἑαυτῶν θρόνους, πλησίον τοῦ Ἀπόλλωνος τοῦ χρυσοτόξου τοῦ ἐν τῷ Πυθῶνι τιμωμένου. ἐκεῖ γάρ, φασιν, ἦσαν αὗται ἱδρυμέναι ἐν τοῖς δεξιοῖς τοῦ Ἀπόλλωνος. Ταῦτά εἰσι τῶν τριῶν Χαρίτων τὰ ὀνόματα Ἀγλαΐα, Εὐφροσύνη καὶ Θαλία. ποιεῖται δὲ πρῶτον τὸν λόγον πρὸς τὰς δύο, ἔπειτα πρὸς τὴν Θαλίαν. R.

Ταμίαι] Gl. γ. διεξαγωγεῖς. β. βασίλειαι.

16. Παρὰ Πέθιον Ἀπόλλωνα] παρὰ τῷ Ἀπόλλωνι, φησι, καθίζεσθαι τὰς Χάριτας διὰ τὴν εἰς αὐτὸν οἰκειότητα. ἐν γοῦν Δελφοῖς ἐπὶ τῆς δεξιᾶς εἶσιν ἱδρυμέναι τοῦ Ἀπόλλωνος. ὁ δὲ γοῦς πλησίον γάρ τοῦ χρυσοτόξου Ἀπόλλωνος ἀπεθέμεναι τοὺς ἑαυτῶν θρόνους, καὶ ἐγγὺς αὐτοῦ ἱδρυμέναι, φάτναι καὶ ἄφθαρτον οὖσαν τὴν τοῦ πατρὸς αὐτῶν τιμὴν Διὸς σέβουσιν. φάτναι δὲ, κυρίως μὲν τὸ ἀεὶ ἐν τῷ ῥεῖν καὶ νάειν ὄν, νῦν δὲ τὸ αἰώνιον. ἤ, ἀντὶ τοῦ, ἀπλλιπῶς καὶ αἰωνίως παρὰ τῷ πατρὶ Διὶ τιμῶνται τῷ ἔν οὐρανῷ ὄντι. V.

19. Πόσνι' Ἀγλαΐα] ἀπὸ τοῦ περὶ αὐτῶν λόγου μετῆλθεν ἐπὶ τὸν πρὸς αὐτάς. ῥ δὲ λόγος· ὦ σεμνὴ καὶ τιμία Ἀγλαΐα καὶ Εὐφροσύνη, ἡ τοῖς ὕμνοις χαίρουσα, τῶν τῶν θεῶν κρατίστου παῖδες Διός. V.

Ὦ σεβασμία Ἀγλαΐα, καὶ ὦ Εὐφροσύνη, ἡ φίλη τῶν μελπῶν, συγκατοίκησε τοῦ κρατίστου τῶν θεῶν, ἦγουν τοῦ Διὸς, ἐπήκοος νῦν γένεσθε δηλονότι· καὶ ὦ Θαλία ἐραστὰ μολπαὶ, ἦγουν ἡ τῶν μολπῶν ἐρῶσα, ἐπήκοος γενοῦ, ἰδοῦσα τόνδε τὸν πόμον, ἀντὶ τοῦ, ἐπήκοος γενομένη ἐπίσκεψαι σοῦτον τὸν σὸν ὕμνῳ χορὸν, τὸν μετεώρως στρεφόμενον, ἐπὶ μοίρᾳ εὐμενεῖ, ἦγουν ἀγαθῇ φρονούσῃ· τὸν Ἀσώπιχον γὰρ ἦλθον αἰδῶν, ἀντὶ τοῦ ἄσων, ἦγουν ὑμνήσων, Λυδίᾳ ἐν τρόπῳ, τουτέστι μιξολυδίῳ Λυδίοις, καὶ ἐν μελίταις, ἀντὶ τοῦ συνθήκαις ἐσῶν, διότι Ὀλυμπιόδωρος

ἐγίνετο δηλονότι ἡ τῶν Μινυῶν πόλις, τουτέστιν, ἡ πατρὶς τοῦ Ἀσωπίχου. σοῦ χάριν, ὦ Θαλία, ἀ Μινύεια Ὀλυμπιόνικος, γίγονε δηλονότι. δίον δὲ, καὶ ἡ Μινύεια, εἰκεῖν, ἀσυνδέτως εἶπε. R.

20. Κρατίστου παῖδες] οὐχ ὅτι κρατίστους ἔχουσι παῖδας, ἀλλ' ὅτι αὐταὶ κράτιστοι παῖδές εἰσι νίκαι γάρ. αἱ κράτισται τῶν παίδων τῶν Θιῶν, ἢ τῶν κρατίστων Θιῶν. V.

21. Θαλία τι] Θάλεια ἡ Χάρις, παρὰ τὸ τιθηλίναι τὴν μνήμην τῶν εὖ πεποιηκότων. τὸ δὲ ἰδοῦσα, κοινὸν ἐπὶ ὅλων. ἰδοῦσα, ὦ Εὐφροσύνη, ἰδοῦσα ὦ Θάλεια. ἰδοῦσά σ' Ἀγλαΐα, θιασάμεναι τοῦτον τὸν χορὸν σὺν εὐμενεῖ τύχῃ εὐκόλως χορεύοντα, ἀπὸ κοινοῦ, ἐπήκοοι γίνεσθε. ἔνιοι δέ φασι, πρὸς τὴν τρίτην Θάλειαν τοῦτο λέγεσθαι. ὅτι δὲ τρεῖς εἰσὶ, καὶ Ἡσίοδος ἐν Θεογονίᾳ λέγει V.

Ἑσπέροι νῦν] λείπει γίνεσθε, ἐπὶ εὐδαιμονίας καὶ εὐμοιρίας. τὰ δὲ ὀνόματα τῶν τριῶν καταλέγει Ἡσίοδος· (Theog. 906. 908.)

Τρεῖς δέ οἱ Εὐρυνόμη Χάριτας τέκε κάλλισταρήους,
Ἀγλαΐην τε καὶ Εὐφροσύνην, Θαλίην τ' ἐρατεινήν. V.

26. Ἐν μελίσσαις ἀείδων] ἤτοι ἐπιμελείσαις. ἵνθεν καὶ ἡ μέλισσα, τὸ ζῶον ἐπιμελέστατον. ἦλθον οὖν, φησιν, ὑμνήσων τὸν Ἀσώπιχον εὐμελῶς καὶ ἡδέως. ὁ δὲ Ἀρίσταρχος ἰδίως, φησὶ, προτάξας τὰ ὀνόματα τῶν Χαρίτων, ἐνικῶς ἐφώνησε· σεῦ ἕκατι, ὦ Χάρι. προσφωνοῦσι δὲ οἱ ποιηταὶ τοὺς χορεύοντας ἐκ πλήθους συνεστῶτας, ἐνικῶς. βεβιασμένον οὖν, νυνὶ προστάξαντα τὰ ὀνόματα, λέγειν, ἕκατί σου, ἐνικῶς· ἢ ὅτι πρὸς αὐτὸν λέγει τὸν νικηφόρον. ὁ δὲ νοῦς· διότι τούτου ἐρεμόντος ἴδεξε Ὀλυμπιόνικος ἀναγορεύεσθαι ἡ τῶν Μινυῶν πόλις. τὸ δὲ, σοῦ ἕνεκεν, ὡς πρὸς ἐκέφην ἰδίᾳ. καὶ τοῦτο μὲν, κοινὸν ὅλων. ἔνεκα δὲ τὸ σεῦ ἕκατι, ἀντὶ τοῦ, σοῦ ἕνεκεν, ὦ νικηφόρε. ἢ πρὸς μίαν τῶν Χαρίτων ἀπὸ τοῦ πλήθους μετέζη. V.

28. Μιλαντιχίᾳ νῦν δόμον Φερσεφόνας Ἵδι Ἀχοῖ] παραγενοῦ νῦν, φησιν, εἰς τὸν σκοτεινὸν τῆς Περσεφόνης οἶκον, ὦ Φήμη καὶ Ἀχὼ, διηγησομένη καὶ ἀγγελοῦσα τὴν καλλίστην ἀγγελίαν τῷ πατρὶ Ἀσωπίχου, Κλειδήμῳ, περὶ τοῦ υἱοῦ αὐτοῦ, ὅτι ὁ υἱὸς αὐτοῦ ἐστεφάνωσε τὴν χαίτην, τουτέστιν, ἵν' ἴδῃς αὐτῷ, τὸν υἱὸν αὐτοῦ πεπεκίνας, καὶ νεώτερον ὄντα, ἐν τῇ ἐνδοξοτάτῃ Ὀλυμπίᾳ ἐστέφθαι τοῖς τῆς ἀθλήσεως στέμμασι τὰς πόλας τὰς νεωτέρας αὐτοῦ· ἀπὸ μέρους δὲ τὸ τῆς ἡλικίας νέον λέγει. V.

Μιλαντιχίᾳ νῦν δόμον ἐλθὲ (Ἀχοῖ) νῦν, ὦ Ἠχοῖ, τουτέστι φήμη, ἄπιθι εἰς τὴν καθέδραν τῆς Περσεφόνης τὴν μίλακα τοίχῳ ἔχουσαν, ἥγουν εἰς τὸν Ἅδην, φέρουσα ἀγγελίαν περιφερομένην τῷ τοῦ Ἀσωπίχου πατρὶ, τῷ Κλειδήμῳ, ὅτως ἰδοῦσα τὸν Κλειδήμου εἶπῃς τὸν υἱὸν αὐτοῦ ὅτι ἐστεφάνωσε τὴν χαίτην, ἀντὶ τοῦ τὴν κόμην αὐτοῦ παρὰ ταῖς καλάσι τῆς ἐνδόξου Πίσης, ἥγουν ἐν τῇ ἐνδόξῳ Ὀλυμπίᾳ, στεφάνοις ἐνδόξων ἀγώνων, ἀντὶ τοῦ, στεφάνοις ἐπαίρουσι καὶ οἷον στεφοῦσι τοὺς στεφανουμένους. ἐπὶ τοῦ πράγματος δὲ ὀφείλων θεῖναι τὸ εἶπῃς, ἵν' ᾖ ὁ λόγος οὕτως· ὅπως ἰδοῦσα τὸν Κλειδήμου εἶπῃς, ὅτι ὁ υἱὸς αὐτοῦ τὴν νέαν κόμην αὐτοῦ ἐν τῇ Ὀλυμπίᾳ ἐστεφάνωσεν· ὁ δὲ ἐπὶ τοῦ ὀνόματος αὐτὸ τίθησιν, εἶτα ἐπάγει τὸ πρᾶγμα, καὶ ποιεῖ τὸν λόγον ὅμοιον τῷ· (Eurip. Hec. 986. sq.) " εἰπέ μοι τὸν " Πολύδωρον, εἰ ζῇ." κατ' αἰτιατικὴν δὲ λέγεται ἐν τούτοις τὸ ὄνομα. τὸ γὰρ λέγειν αἰτιατικὴν ἀεὶ λαμβάνει, ὅτι πρὸς τὸ λεγόμενον ἀποτείνει. R.

29. Ἴδι] Gl. β. γ. στερεύου.

31. Τὸ Κλειδήμου πρὸς τὸ ἰδοῦσα, τὸ δὲ υἱὸν πρὸς τὸ εἶπῃς. ἵνα ἰδοῦσα Κλειδήμου εἶπῃς αὐτῷ τὸν υἱὸν, ὅτι ἐστέφανωσεν οὗτος ὁ Ἀσώπιχος τὴν νέαν αὐτοῦ χαίτην, ἤτοι τὴν κιφαλὴν ἐν ταῖς πόλαις τῆς Πίσης, ἥγουν ἐν τῇ Ὀλυμπίᾳ, ἐν ταῖς στεφοῖς τῶν κυδίμων ἀέθλων, τοῖς δίκην στεφῶν αἴρουσι τὸν νικήσαντα. τοιαύτη δὲ καὶ ἡ παρὰ Ἀριστοφάνει σύνταξις· (Nub. v. 95. sq.) " Οἳ τὸν οὐρανὸν λίγοντις ἀνα-
" στείδουσιν, ὡς ἐστι στιγνὸς, ὥστε στρὶ
" ἡμᾶς." καὶ πάλιν· (Nub. 145. sq.)
" Ἀνήρισ' ἄρτι Χαιρεφῶντα Σωκράτης
" ψύλλαν, ἐπόσους ἄλλαιτο τοὺς αὑτῆς πό-
" δας " R.

Mss. β. γ. addunt: Ἄλλοι δέ τινες οὕτω συντάσσουσιν· ὅπως ἰδοῦσα αὐτὸν τὸν Κλειδήμου εἶπῃς διὰ τὸν υἱὸν αὐτοῦ τὸν Ἀσώπιχον, ὅτι ἐστεφάνωσεν αὐτὸς τὴν αὐτοῦ χαίτην τὴν νέαν, παρὰ ταῖς πόλαις τῆς ἐνδόξου Πίσης, στεφοῖς, ἤτοι στεφάνοις ἐπαίρουσι τοὺς στεφανουμένους, οἷα στεφοῖς κυδίμων ἀέθλων.

SCHOLIA

IN PINDARI PYTHIA.

Ὑποθεσις τῶν Πυθίων.

Ο ΤΩΝ Πυθίων ἀγὼν ἐτέθη μὲν πρότερος τῶν Ἰσθμίων πολλοῖς ἔτεσιν. ἡ δὲ αἰτία τοιαύτη μυθολογεῖται περὶ αὐτῶν. Λητὼ γὰρ ἡ Κοίου, τοῦ Οὐρανοῦ καὶ Γῆς, καὶ Φοίβης, τῆς Κρόνου, ᾗ ὁ Ζεὺς ἐμίγη ὄρτυγι εἰκασθείς, ἔγκυος γενομένη, ὠδίνειν ἐπὶ τοῦ Ζωστῆρος τῆς Ἀστερίας· τίκτει τε Ἄρτεμιν καὶ Φοῖβον ἐν Δήλῳ, τῇ πρότερον Ὀρτυγία καλουμένῃ. ἡ μὲν οὖν Ἄρτεμις αὐξηθεῖσα ἦλθεν εἰς Κρήτην, καὶ τὸ Δικτύνιον ὄρος κατέσχεν· Ἀπόλλων δὲ ἐν Λυκίᾳ. τῇ δὲ μητρὶ τὴν Δῆλον ἀπένειμαν. ἔρχεται τοίνυν εἰς Δελφοὺς ὁ Ἀπόλλων, Πυθῶνι τὰς βοῦς νέμων. Ἑρμῆς δὲ χέλυν εὑρὼν τετράχορδον, λίνα ἀντὶ χορδῶν ἐνημμένην, ἐκιθάρισεν οὕτω· ἡ τῶν νέων χρῆσις εὗρεν, καὶ ἄλους τὰς τοῦ Ἀπόλλωνος βοῦς κλέπτων, ἀντὶτῆς πλοκῆς τὴν χέλυν δίδωσι τῷ Ἀπόλλωνι, λαβὼν παρ' αὐτοῦ τὸ κηρύκειον. ἐπτάφθογγον δὲ αὐτὴν ἐποίησεν, ἁρμοσάμενος πρὸς τὴν τοῦ Πανὸς σύριγγα, οὐ τοῦ Ἑρμοῦ καὶ Πηνελόπης, ἀλλὰ τοῦ Διὸς καὶ Θύμβριος· ἢ τάχα ἐπτὰ φθόγγοις αὐτὴν ἐκίρασε διὰ τὸ αὐτὸν ἐπταμηνιαῖον γεγενῆσθαι. δοκεῖ δὲ οὗτος τὰ λίνα ἐξελὼν, τοῖς νεύροις ἐντεῖναι τὴν λύραν. ὅθεν καὶλίγεται Λίνου ᾠδεῖναι. ἔμαθε δὲ καὶ τὴν μαντικὴν τέχνην ὑπὸ τοῦ Πανός. οὗτος γὰρ τοῖς Ἀρκάσι θεμιστεύει πᾶσινἐπιμελῶς. εἶτα ἔρχεται ἐπὶ τὸ μαντεῖον, ἐν ᾧ πρώτη Νὺξ ἐχρησμῴδησεν, εἶτα Θέμις. Πυθῶνος δὲ τότε κυριεύσαντος τοῦ προφητικοῦ τρίποδος, ἐν ᾧ πρῶτος Διόνυσος ἐθεμίστευσε, καὶ ἀποκτείνας τὸν ὄφιν τὸν Πυθῶνα, ἀγωνίζεται τὸν Πυθικὸν ἀγῶνα κατὰ ἐνιαύσιον ἡμέραν*· πεῖραν μὲν, ὅτι ἀπεπειράθη τῆς κατὰ τὸ θηρίον μάχης. ἔαμζεν δὲ, διὰ τὴν λαιδορίαν τὴν γινομένην αὐτῷ πρὸ τῆς μάχης· λέγεται γὰρ ἰαμβίζειν τὸ λαιδορεῖν· δάκτυλον δὲ, ἀπὸ Διονύσου, ὅτι πρῶτος οὗτος δοκεῖ ἀπὸ τοῦ τρίποδος θεμιστεῦσαι· Κρητικὸν δὲ, ἀπὸ Διός· μητρῷον δὲ, ὅτι Γῆς ἐστι τὸ μαντεῖον· σύριγμα δὲ, διὰ τὸν τοῦ ὄφεως συριγμόν. οὕτω μὲν οὖν πατέρα πρῶτον ὁ τῶν Πυθίων ἀγών. μετὰ δὲ ταῦτα, Κρίσσης πτισθείσης ἐπὶ τὸ στενὸν τῆς εἰς Δελφοὺς ἀγούσης ὁδοῦ, καὶ πολλὰ τῶν Κρισσαίων ἐρᾳζομένων (ἐστὶ) τοὺς Ἕλληνας, καὶ ἀσυλοῦντων τοὺς ἐπὶ τὸ χρηστήριον βαδίζοντας, οἱ Ἀμφικτύονες ἐλθόντες εἰς τὴν Κρίσσαν μετὰ τῶν ἄλλων συμμάχων, καὶ αὖριοι αὐτῶν γινόμενοι, διέθηκαν ἔτειρον ἀγῶνα, ἐν ᾧ καὶ αὐληταὶ ἠγωνίσαντο. οἱ δὲ τὸν γυμνικὸν ἀγῶνα νικήσαντες, εἰσὶν οὗτοι, ὅτι Ἀπόλλων ἴθηκε Πύθια, ἐν τῷ τοῦ Πυθῶνος ἀγῶνι· Κάσπις σταδίου, πυξ Πολυδεύκης, δολιχὸν Καλαΐς, ἁπλίτην Ζήτης, δίσκον Πηλεύς, πάλην Τελαμών, παγκράτιον Ἡρακλῆς. οὓς τῷ φυτῷ τῆς δάφνης ἐστεφάνωσεν.

Ἄλλως.

Εὐρύλοχος ὁ Θεσσαλὸς κατασταλεὶς Κιρραίους ἀνεκτήσατο τὸν ἀγῶνα τοῦ Διοῦ· οἱ δὲ Κιρραῖοι ληστρικῇ ἐφόδῳ χρώμενοι ἐφόνευον τοὺς παραβάλλοντας εἰς τὰ τοῦ Διοῦ ἄλση. περιεγένετο δὲ αὐτῶν ἐπὶ ἔρχοντος, Ἀθήνησι μὲν Σιμωνίδου, Δελφοῖς δὲ Γυλίδου†. οἱ μὲν οὖν Κιρραῖοι εἰς τὴν παραπεμπίνην τῷ Παρνασσῷ Κίρφιν, ὄρος οὕτω καλούμενον, ἀπέφυγον, ὅσοι δὲ ἐκ περιελειφθέντες ἐτύγχανον. καταλιπὼν δὲ ὁ Εὐρύλοχος ἐνίους τῶν Θεσσαλῶν μετὰ Ἱππίου τοῦ στρατηγοῦ, ὅτι τοὺς ὑστολοίπους χειρώσασθαι, ἤρχετο ἀναπτησόμενος τὸν ἀγῶνα, καὶ δὴ τοῦτον χρηματίτην μόνον ἴθετο, μετὰ δὲ χρόνον ἐξαιτῆ, καταγωνισαμένων τῶν λοιπῶν τοὺς ὑστολειλιμμένους τῶν Κιρραίων, ἐπὶ μὲν Ἀθήνησιν ἄρχοντος Δαμασίου, ἐν δὲ Δελφοῖς Διοδώρου ‡, ὕστερον καὶ στεφανίτην ἴθυντο καταρθώσαντες. τὸν δὲ Εὐρύλοχον νίον ἐπάλουν Ἀχιλλέα, ὡς Εὐφορίων ἱστορεῖ·

Ὀκλοτέρου σ' Ἀχιλῆος ἀπούρισε Εὐρυλόχοιο,

* Exciderunt pauca. † Ol. xlvii. 3. ‡ Ol. xlviii. 3.

Διλφίδις ᾧ ὕπο καλὸν Ἰήϊον ἀνέδησαν*.

μόνων δὲ κιθαρῳδῶν ἀγωνιζομένων τοπαλαιὸν ἱστόησιν ὁ Εὐρύλοχος καὶ τὰ ἕτερα ὑπάρχειν ἀγωνίσματα.

Ἄλλως.

Τὰ Πύθια ἐτίθη, ὡς μέν τινες, ἐπὶ τῷ δράκοντι, ὃν φύλακα ὄντα τοῦ ἐν Διλφοῖς μαντείου ὁ Ἀπόλλων ἔκτεινεν· ἐκλήθη δὲ ὁ ἀγὼν ἀπὸ τοῦ τόκου· τῷ δὲ τόκῳ ὢν τὸ ὄνομα Πυθὼ, ἤτοι ἀπὸ τοῦ τοὺς φοιτῶντας ἐπὶ τὸ μαντεῖον τοῦ Διοῦ πυνθάνεσθαι, ἢ διὰ τὸ σακῆναι τὸ ᾐρίον αὐτόθι ἀναιρεθέν. πύθεσθαι γάρ ἐστι τὸ σήπεσθαι, ὡς παρ' Ὁμήρῳ· (Odyss. α'. 161.) "Λιὺς' ὀφία "πύθεται ὁμβρῳ." καθαρθεὶς δὲ ὁ Ἀπόλλων τὸν τῆς δρακοντοκτονίας φόνον ἐν Κρήτῃ παρὰ Χρυσοθέμιδι, ἐκεῖθεν ἦλθεν εἰς τὰ Θεσσαλικὰ τέμπη. ἔνθεν μετακομίσατο τὴν δάφνην. μέχρι δὲ πολλοῦ ἡ εἰς τοὺς τῶν νικώντων στεφάνους χορεῦσα δάφνη ἐντεῦθεν ἐκομίζετο ὑπὸ παιδὸς ἀμφιθαλοῦς. ἐτελεῖτο δὲ ὁ ἀγὼν καταρχὰς μὲν διὰ ἐνναετηρίδος· μετέπειτα δὲ εἰς πενταετηρίδα διὰ τὸ τὰς Παρνασσίδας νύμφας Ἀπόλλωνι κλίναντι τὸ θηρίον τὰς ἐν ταῖς χερσὶν ὀπώρας προσενεγκεῖν δῶρα. ἔκτισαν δὲ τὸν ἀγῶνα αἱ Ἀμφικτύονες, Εὐρυλόχου τοῦ Θεσσαλοῦ θέντος αὐτόν.

Ἄλλως.

Τὸν Πυθικὸν ἀγῶνα διέθηκεν Εὐρύλοχος ὁ Θεσσαλὸς σὺν τοῖς Ἀμφικτύοσι τοὺς Ἐμφαίους κατοικοῦντας, ὁμούς τινας ὄντας ἐβιαζομένους τὸν περίοικον, ἐπὶ ἄρχοντος Διλφοῖς μὲν Γυλίδα, Ἀθήνησι δὲ Σίμωνος. καὶ νικήσας ἔθετο χρηματικὸν (?) ἀγῶνα· χρήμασι γὰρ μόνοις τοὺς νικήσαντας ἐτίμων, οὕτω στεφάνου ὄντος. ἔθετο δὲ ἀγῶνα κιθαρῳδικὸν ὥσπερ καὶ πρότερον· προσέθηκε δὲ αὐλητὴν καὶ αὐλῳδόν· καὶ τοῦ τῶν Ἀμφικτυόνων στρατεύματος ἀναχωρήσαντος ὀλίγοι περιελείφθησαν, ὅτε τὴν Κίρραν διαφθεῖραι. ἠγωνοθέτει δὲ τῶν περιλειφθέντων Ἱππίας ὁ Θεσσαλός. καὶ ἔστι ἔκτη μετὰ τὴν τῆς Κίρρας ἅλωσιν, ἀνεκήρυξαν τῷ Διῒ τὸν στεφανίτην, ἐπὶ Διοδώρου μὲν ἄρχοντος Διλφοῖς, Ἀθήνησι δὲ Δαμάσιδος. ἀντίκειται δὲ ἐκ μεσημβρίας τῷ ὄρει τοῦ Παρνασσοῦ Κιρραῖον πεδίον καὶ ὄρος, ὃ Κίρφιν καλοῦσιν, ἐν ᾧ μέσος ὁ Πλειστὸς ὀνομαζόμενος ῥέεται ποταμός. καὶ ὅτι Εὐρύλοχος ὁ Θεσσαλὸς τοὺς Κιρραίους ὑπέδησε, μαρτυρεῖ καὶ Εὐφορίων.

Ὀπλοτέρου σ' Ἀχιλῆος ἀκοντιστῆρα Εὐρυλόχοιο,

[Διλφίδις ᾧ ὕπο καλὸν Ἰήϊον ἀνέδησαν . . . . σεθήσαντι Λεπαρίης οἰκία Φοίβου †.]

Carmen I.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πρώτου τῶν Πυθίων εἴδους.

Ἡ στροφὴ καὶ ἀντίστροφος κῶλων ιϛ'. Τὸ α' σύγκειται ἐκ διμέτρου τροχαίου ἀκαταλήκτου. Τὸ β' ποσθημιμερὲς δακτυλικὸν, ὅμοιον τῷ· (Hom. Iliad. α'. 1.) "Μῆνιν "ἄειδε θεά." Τὸ γ' ἐπτασύλλαβον Σαπφικὸν, οὗ τὸ πρῶτον ὅλον ἐκ Σαπφοῦς γέγραπται. ἔστι δὲ μονόμετρον τροχαϊκὸν ἀκατάληκτον καὶ χοριαμβικόν. Τὸ δ' Πινδαρικὸν ἐκ Σαπφικοῦ. σύγκειται δὲ ἐκ τροχαϊκῆς συζυγίας, καὶ χοριαμβικῆς καὶ Ἰωνικῆς ἀπ' ἐλάσσονος, καὶ συλλαβῆς. Τὸ ε' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. τοῦ πρώτου ποδὸς τῆς πρώτης συζυγίας διαφερούσης. Τὸ ϛ' σύνθετον ἐκ τοῦ λεγομένου προσοδιακοῦ καὶ ἰαμβικῆς συζυγίας. Τὸ ζ' Πινδαρικὸν ἐκ Σαπφικοῦ, διαφέροντος τοῦ τετάρτου, ὅτι ἐκεῖνο μὲν ὑπερκατάληκτον, τοῦτο δὲ καταληκτικόν. Τὸ η' τροχαϊκὸν τρίμετρον καταληκτικόν. Τὸ θ' ποσθημιμερὲς δακτυλικὸν, ὅμοιον τῷ· Μῆνιν ἄειδε θεά. Τὸ ι' ὅμοιον τῷ ζ'. Τὸ ια' προσοδιακὸν, παρὰ τὴν ἰαμβικὴν συζυγίαν. Τὸ ιβ' τροχαϊκὴ διποδία, ὃ ἴσον μονόμετρον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ια'. Τὸ α' δακτυλο-

* G. ἀντηγώνισαν προέθησαν (σι) Λυκωρίος οἰκία Φοίβου. † [ ] abs. Gott.

ἓν ἑρίμιστρον καταληκτικόν. Τὸ β' τροχαϊκὸν δίμιστρον καταληκτικὸν Εὐριπίδιον. Τὸ γ' προσοδιακὸν δίμιστρον ἀκατάληκτον, τῆς τιλιυταίας ἀδιαφόρου οὔσης. Τὸ δ' κατὰ τὸ Πινδαρικὸν ἐκ Σακρικοῦ, διαφέρον τοῦ τετάρτου, ὅτι ἐκεῖνο μὲν ὑστερακατάληκτον, τοῦτο δὲ καταληκτικόν, ὅμοιον τῇ ζ' καὶ τῇ ι' τῆς τροφῆς. Τὸ ε' δίμιστρον τροχαϊκὸν ἀκατάληκτον, ὅμοιον τῇ α' τῆς τροφῆς. Τὸ ϛ' δίμιστρον τροχαϊκὸν βραχυκατάληκτον. Τὸ ζ' προσοδιακὸν, ὅμοιον τῇ ϛ' τῆς τροφῆς. Τὸ η' ὅμοιον τῇ γ' τῆς τροφῆς. Τὸ δ' δίμιστρον Ἰωνικὸν ἀπ' ἐλάσσονος καταληκτικόν. Τὸ ι' ὅμοιον τῷ δ' τῆς τροφῆς, ἐκείνου ὑστερακαταλήκτου ὄντος. Τὸ ια' δίμιστρον τροχαϊκὸν ἀκατάληκτον, ὅμοιον τῇ α' τῆς τροφῆς. Τὸ ιβ' ὁμοίως. Τὸ ιγ' πενθημιμερὲς δακτυλικὸν, ὅμοιον τῷ· Μῆνιν ἄειδε Θεά. Τὸ δ' προσοδιακὸν, ἢ σύγκειται ἐξ Ἰωνικῆς ἀπ' ἐλάσσονος καὶ χοριαμβικῆς συζυγίας. Τὸ ιε' δίμιστρον τροχαϊκὸν ἀκατάληκτον, ὅμοιον τῇ α' τῆς τροφῆς.

Πινδάρου Πύθια. Πύθια μὲν οὖν ἐκλήθη ὁ ἀγὼν ἀπὸ τόπου. τῷ δὲ τόπῳ ἦν τὸ ὄνομα Πυθώ, ἤτοι παρὰ τὸ πυθέσθαι τοὺς ἀφικνουμένους, ἢ παρὰ τὸ σήπεσθαι τὸν Πυθῶνα ἐν αὐτῇ. ἐκαλεῖτο δὲ πρότερον Νάσα, εἶτα Πιερήεσσα, εἶτα Κρῖσσα, εἶτα Πυθώ.

Ἱέρωνι Αἰτναίῳ. Γέγραπται μὲν ὁ ὑπὸ τινὶ Ἱέρωνι, λέγεται δὲ ὁ Πίνδαρος οὗτος ὑπὸ ἐκεῖνον ἐκδεδόσθαι, κατὰ Ἀρτέμωνα τὸν ἱστορικὸν, ὅτι δὴ αὐτῷ ὁ Ἱέρων χρυσῆν ὑπέσχετο κιθάραν. τὰ δὲ τοιαῦτα πιθανολογίας ἐστὶ πλήρωσαι. εἰκότατα γάρ, Πυθίου ὄντος τοῦ ἀγῶνος, τὸν Θεὸν προτάττειν ὄντα ἀνυμνεῖ. Ὁ δὲ Ἱέρων ἄνωθεν Συρακουσίων ἦρχε. τὴν δὲ Κατάνην ἀνακτίσας, ὁμωνύμως τῷ παρακειμένῳ ὄρει Αἴτναν προσηγόρευσε, καὶ Αἰτναῖον ἑαυτὸν, κατὰ τοὺς ἀγῶνας πᾶσιν, ἀνεκήρυξεν. ἐνίκησε δὲ ὁ Ἱέρων τὴν μὲν ἱππικὴν ἵππῳ Πυθάδι * καὶ τὴν ἐξ ἵππων κέλητι, τὴν δὲ κελητικὴν ἀπήνῃ ἅρμασι, εἰς ἣν ὁ ὑποκείμενος ἐπινίκιος ἐτέλεσεν†. ἔσχε δὲ ὁ Ἱέρων τὴν τῶν Συρακουσίων ἀρχὴν μετὰ τὸν τοῦ Γέλωνος, τοῦ ἀδελφοῦ, τελευτὴν τῇ ἑβδομηκοστῇ πέμπτῃ Ὀλυμπιάδι. εἴφθησαν δὲ δάφνῃ οἱ νικῶντες.

1. Χρυσία φόρμιγξ] τινὲς χρυσῆν ὑποσχέσθαι φασὶ κιθάραν τὸν Ἱέρωνα τῷ Πινδάρῳ. διὸ καὶ ὁ ποιητὴς ὑπομιμήσκων αὐτὸν τῆς ἐπαγγελίας, ἀπὸ τῆς κιθάρας ἤρξατο τοῦ προοιμίου. ἢ χρυσία φόρμιγξ, ἀντὶ τοῦ, τιμία κιθάρα, ὡς· (Hom. Iliad. χ'. 470.) " χρυσῇ Ἀφροδίτῃ."

Ἀπόλλωνος] οὐ μάτην αὐτῷ παρῴδηται, τὸ Ἀπόλλωνος (κτῆμα εἶναι) τὴν κιθάραν· ἀντὶ γὰρ τῆς τῶν βοῶν κλοπῆς παρ' Ἑρμοῦ παρῶντος ἐκτήσατο τὸ ὄργανον· ἢ Ἀπόλλωνος, διὰ τὸν Ἀπόλλωνα προπατάρχειν τοῦ χοροῦ τῶν Μουσῶν.

3. Σύνδικον] συνῳδὸν, οἱονεὶ σὺν ἰσαντίον. ὁ δὲ Ἀπολλώνιος σύντροφον ἤκουσε τὸ σύνδικον. δίκη γὰρ ὁ τρίτος. ὡς καὶ Ὅμηρος· (Odyss. σ'. 43.) "Αὐτὴ τοι δίκη ἐστὶ Διὸς, οἳ Ὄλυμπον ἔχουσιν." ὁ δὲ νοῦς· ὦ χρυσῆ κιθάρα, καὶ τοῦ Ἀπόλλωνος κτῆμα καὶ τῶν μιλανοπλοκάμων Μουσῶν σύνδικον, ἤγουν, συνῳδὸν καὶ σύντροφον, παρέσου ὁ μὲν Ἀπόλλων τῇ κιθάρᾳ τῶν ᾠδῶν προκαθηγεῖται τῶν Μουσῶν, αὗται δὲ χορεύουσι.

4. Τᾶς ἀκοὺαι μὲν βάσις] βάσιν ἴνιον τὸν ῥυθμόν φασι· πρὸς γὰρ τὸν ῥυθμὸν ἡ ἁρμονία τῶν μελῶν διατυποῦται· οἱ δὲ τὴν τῶν ᾠδῶν προῶσιν προπατάρχουσαι γὰρ αἱ ᾠδαὶ παρὰ τῆς κιθάρας· ἐξ ἧς οὖσης ἵσταται ὁ τῶν χορευτῶν ῥυθμός. [ἡ βάσις, ὁ ῥυθμὸς, παρὰ τὸ βαίνειν εἰς τὸν ῥυθμὸν τοῖς προύουσι τὴν γῆν τοῖς ποσίν.] abs. G.

Ἀγλαΐας ἀρχὰ] ἀμφίδολον, πότερον ἡ βάσις ἀγλαΐας ἀρχὴ οὖσα, ἢ σὺ, ὦ κιθάρα, ἀγλαΐας συγχάνυς ἀρχή; κἀντεῦθεν δὲ ἄδηλον· ἦτοι ἀγλαΐαν τὴν κατὰ τὰς παννυχίους φησὶ, καθ' ἃς πάντες γαννύμενοι τιερτόμβα, ἢ τὴν διάχυσιν ᾗ εὐφροσύνην, ἢ ἀγλαΐας ἀρχὰν, τὴν ἀρχὴν καὶ τὰς προπαιρούσεις.

5. Πείθονται δ' ἀοιδαὶ] ἀοιδαὶ ἦτοι ἐν τῷ παθόλου οἱ χορευταὶ, ἢ οἱ κιθαρῳδοὶ, ἢ οἱ ποιηταὶ, ἢ ἐκ τῶν Μουσῶν ὁ λόγος. ὡς γὰρ ἔφην, Ἀπόλλων μὲν προπατάρχει τῶν Μουσῶν· πρὸς δὲ τὰ προύματα εὐρύθμως αἱ Μοῦσαι χορεύουσι. σάμασι δὲ, τοῖς σημείοις, τοῖς συνθήμασιν, ἢ τοῖς πειλώμασιν, ἀντὶ τοῦ σημῆναι διὰ τῆς προπαιρούσεως.

7. Ἀμβολὰς στόμαχος] τὰς προαναφωνήσεις παντοπανούργως. ὡς καὶ Ὅμηρος· (Odyss. α'. 155.) " Ἤτοι ὁ φορμίζων ἐπιδέξιος καλὸν ἀείδειν," ἱλιλιζόμενα δὲ, διαπτυομένη. ὁ δὲ νοῦς· ἦς, σου, ὦ κιθάρα, παυσούσι μὲν ἡ τῶν ᾠδῶν προοῦσις, τῆς εὐφροσύνης καὶ τῆς διαχύσεως ἀρχὴ οὖσα. πειθονται δὲ καὶ οἱ ἀοιδαὶ ταῖς σαῖς συνθήμασιν, ὅταν τῶν προοιμίων, τῶν ἡγουμένων τῶν χορῶν, τὰς προαναφωνήσεις καὶ προθέσεις διακινουμένη παντοπανούργως.

8. Καὶ τὸν αἰχματὰν κεραυνὸν] κατὰ τὸ ἐναντίον προήγαγεν. ἴδιος γὰρ ἐστὶν, αἰχμήεσσα κεραυνοῦ βοή. τὸ δὲ τοιοῦτο σχῆμα τοῦ λόγου καὶ παρ' Ὁμήρῳ· (Iliad. β'. 535.) " ὁ δὲ χαλεπαίνων τιλιμίχθη." στιλιμιχθὶς γὰρ ἀνιχάρησιν.

9. Αἰνέου πυρὸς] τὸ αἰνεῖσθαι πυρίως ἐπὶ τῶν ὑδάτων εἴθιλαι. παθαχρηστικῶς δὲ ὁ Πίνδαρος νῦν ᾗ ἐπὶ τοῦ κεραυνοῦ εἴθησε, ἀντὶ τοῦ ἄσβεστον. σπάσαν δὲ Δωριακῶς, τῷ σπάσαντι.

* Olymp. lxxiv. iii. † Olymp. lxxvii. iii.

10. Διὸς αἰετὸς] σάνυ γὰρ διατείνουσιν, ὅτι δὲ ὁ ἀετὸς ἱστιαπλάθμιος τῷ τοῦ Διὸς σκήπτρῳ, καὶ καταπελλόμενος ταῖς μουσικαῖς ᾠδαῖς εἰς ὕπνον κατάγεται, ἀμφοτέρας χαλάσας τὰς πτέρυγας, καὶ ταλαντευόμενος καὶ ζυγοστατούμενος, ὥσπερ διὰ τὴν τοῦ σκήπτρου στάσιν, ὅτι αὐτὸν μὴ ἐξολισθαίνειν τῇ ᾠδῇ, ἀλλ' ἀσφαλῆ τὴν βάσιν διάρχειν. ἡ δὲ Σαπφὼ ἐπὶ τοῦ ἑαυτοῦ, ἐπὶ τῶν στρουθῶν· " Ταῖσι ψυχρὸς μὲν ἰμέρωτο θυμός, πὰρ δ' ἰέρει τὸ πτερόν." ὁ δὲ νοῦς· καὶ τὸν ἰσχυρότατον καὶ πολεμικώτατον παρασὼ σδυνάμις τοῦ διὰ παντὸς ὄντος πυρός. ἀφυπνοῦ δὲ, τῇ ᾠδυῇ συσχεθείς, ἐπὶ τοῦ σκήπτρου τοῦ Διὸς ὁ ἀετός, τὴν ταχῦαν ἑαυτοῦ πτέρυγα ἐξ ἀμφοτέρων τῶν μερῶν χαλάσας ὁ τῶν ὀρνίων βασιλεύς.

13. Κιλαινῶπιν δ' ἐπὶ οἱ νηφίλαν] ἤτοι παρ' αὐτῆς τῆς νηφίλης τὸ ἐπίθετον, ἵνα σωματικώτερον ἀνασλάσῃ τὴν νηφίλην, τὴν μέλαιναν ἔχουσαν ὀφθαλμούς, ἢ τὴν μελαίνουσαν τοὺς ὀφθαλμοὺς νηφίλην, ἢ κιλαινῶπιν νηφίλαν, τὴν ἐπίχυσιν τοῦ ὕπνου φησὶ, παρ' ὃσον ἀφογγής ἐστι κατέχουσα, φησὶν, ὃ κἀθάρα, ἀσαλὲς καὶ ᾠδὺ κλιθρον κατὰ τῶν βλιφάρων, ἀντὶ σοῦ, εἰς ὕπνον καταφερόμενος ὑπὸ σοῦ, ὃ κἀθάρα, ὁ ἀετὸς αἰωρεῖται τὸν νῶτον ἐπὶ θάτερα μέτων.

15. Ἀγκύλῳ κρατὶ] ἄγουν τῷ ἐπιπαλμένῃ μοὶ τοῦ ἀετοῦ. οὕτω δὲ εἶπε διὰ τὸ ἐπικαμπὲς τῆς μυὸς αὐτοῦ. ἀκρὸ μέρους τὸ πᾶν. καὶ "Ομηρος (Odyss. ε'. 338.) ἀγκυλοχείλην τὸν ἀετόν φησι. τὸ δὲ πλαῖστρον ἀντὶ τοῦ πλεῖστον.

17. Τὸν δ' ὑπὲρ νῶτον αἰωρεῖ] ἀντὶ τοῦ εἰς ὕπνον φερόμενος ὑπὸ σοῦ, ὃ κἀθάρα, αἰωρεῖται τὸν νῶτον ἐπὶ θάτερα μέτων. Ἄλλως. ὑγρὸν νῶτον αἰωρεῖ, τὸν ὑδατόχυτον, ὑπὸ τῆς ᾠδυῆς. γραφικώτατα δὲ συνδιατίθεται τῇ ᾠδυῇ καὶ ὑπολύμενον τὸν ἀετὸν ὑπτιάσωσι.

18. Ῥιπαῖσι] ταῖς βολαῖς. λέγει δὲ, τοῖς μέλεσιν. ὁ δὲ νοῦς· ὁ ἀετὸς εἰς ὕπνον τῇ ᾠδυῇ καθελόμενος τὸν ὑδατόχυτον αὐτοῦ νῶτον ἐπαίρει, τοῖς σοῖς βέλεσι θελχθείς.

Βιατὰς Ἄρης] ὁ γὰρ ἰσχυρότατος Ἄρης τὴν τραχυτάτην τῶν θοράκων ἀσπίδα καταλιπὼν, τουτέστι τὸν πόλεμον, ὑφραίνει τὴν καρδίαν τῇ τῆς κἀθάρας κόμαις ἄγουν θέλγματι.

21. Κῆλα δὲ] κῆλα μὲν Ὅμηρος τὰ τοξικὰ βέλη· (Iliad. κ'. 53.) " Τὰ δ' ἐπὶ " χϑιτο κῆλα θεοῖο." δυνατὸν δὲ ἀκούειν καὶ οὗ τραυματώτερον βέλη, τὰ θελκτικὰ τῆς μουσικῆς πάθη· κῆλα δὲ κατὰ συναίρεσιν τὰ κηλήματα, ἄγουν τὰ ὑπὸ τῆς μουσικῆς θέλγματα. ὁ δὲ νοῦς· τὰ δὲ τῆς μουσικῆς κηλήματα καὶ τῶν θεῶν θέλγει τὰς φρένας παρὰ τῇ σοφίᾳ τοῦ Ἀπόλλωνος καὶ τῶν ἐυκλεάων Μουσῶν.

25. Ὅσσα δὲ μὴ πτίλησι] τοῦτο ἴσως, ἵνα ἴσωμαι ὅσον οἱ ἀκροατὰ ἀφῇ" ὅλην ἀερόασιν. ὁ δὲ νοῦς· ὅσα δὲ μέτεστι πτῆναι γῆν, μήτι κατὰ τὴν ἄπειρον θάλασσαν φιλεῖ ὁ Ζεὺς, ἀστερόφοιτος τὴν ᾠδὴν τῶν Μουσῶν.

29. Ἐν αἰνῇ Ταρτάρου] πάλιν κατὰ τὸ ἴδιον ᾠδης θηλυκὸς τὸν Τάρταρον πρακτικώτερον, ὡς καὶ τὸν Ἰσθμὸν (Olymp. viii. 64.) καὶ τὸ Τυφώς· ἴδιον γὰρ Τυφῶν. "Ομηρος δὲ ἑτέραν ἰδιότητα οἶδεν, ὁ Τυφωεύς· (Iliad. β'. 782.) " Τυφωεῖ γαίων ἐμάσσῃ."

31. Ἀπὸ κοινοῦ τὸ ἀτύζεται, ἀποστρέφεται, φησι, ἡ ὁ Τυφὼν θεὸς τὴν μουσικὴν, ἐν τῷ Ταρτάρῳ κειμένου, ἀπολίμνης τῶν θεῶν.

Ἐκατονταπάρῃσι] οὐκ ἀριθμητικῶς, ἀλλ' ἀντὶ τοῦ πολυκέφαλος.

Τόν ποτε Κιλίκιον θρέψεν] ἤ ποτε, τὸν Τυφῶνα φησὶν, ἤθρεψε μὲν τὸ ἐν Κιλικίᾳ πολυθρύλλητον σπήλαιον, ὑὸν δὲ αὐτῆς Κύμης ἔχθει καὶ ἡ Σικελία τὸ θεῖον αὐτοῦ σῶμα πιέζει. Ἄλλως. ταράττεται καὶ ἡ περὶ τοῦ Τυφῶνος ἱστορία· οἱ μὲν γὰρ αὐτὸν ὄρει τῆς Βοιωτίας καταπεπιέσθαι ἴφασιν, καὶ ὡς εἰσὶν αἰνίσσεται πηγὲς ἀναδύσεις· οἱ δὲ ἐν Φρυγίᾳ· ἔνιοι δὲ ἐν Λυδίᾳ. Ἀρτέμων δέ τις ἱστορικὸς πλανότερον λογοποιεῖ. καθάπαξ γάρ, φησι, πᾶν ὄρος ἔχει πηγὰς ἀναδύσεις ἐπὶ Τυφῶνι κείσεται. ἔστι δὲ τὸ ἀθανὸν ἐξ αὐτῆς τῆς τοῦ ὀνόματος ἱστορίας. σάφειν γὰρ τὸ καίειν. ὁ δὲ Πίνδαρός φησι τὸν Τυφῶνα ἐν Κιλικίᾳ πεπιέσθαι, ὃς καὶ "Ομηρος· (Iliad. β'. 783.) " Εἰν Ἀρίμοις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς." ὑποπτεύεσθαι δὲ τῇ ἴρᾳ καὶ αἰνίσσει πηγὰς πρωτίστας. τολμώμενον δὲ, ἀντὶ τοῦ, πολυθρύλλητον, ἢ τὸ ἀναστρεφόμενον ἐν αὐτῇ τὸν Τυφῶνα.

34. Ταί δ' ὑπὲρ Κύμας] Κύμα, πόσις παραπεμφθὲν τῇ Σικελίᾳ. ἔστι δὲ καὶ ἑτέρα τῶν Αἰολίων. φαίνεται δὲ οὐχ ἡ Κύμη αὕτη ἀναδεδεῦσα, ἀλλ' ἡ καλουμένη Προσβία, (?) ἣν καὶ Πιθηκοῦσσας ἐνοικίζουσι. συμβαίνουσι γὰρ αὐτῇ πυμάτων ἐξαισίων πυθέσθαι, καὶ ἀνίμων σφοδροτάτων ἐπίστασθαι, καὶ πρηστήρων ἐπιφάνειαι, καὶ πηγὰς καταφλίξεις. μυθολογοῦσι δὲ καὶ τὸν Τυφῶνα.

Ἁλιηρὰς ἔχθαί] ἤτοι αἱ τὸν ἅλα ἔχουσαι, ἢ τῆς ἁλὸς αὐτῆς ἔρως οὖσαι, διὰ τὸ μὴ συγχωρεῖν ἐπίκριδον φέρεσθαι τὰ πύματα.

36. Κίων δ' οὐρανίη] ἡ Αἴτνη, τὸ ἔρος, ἣν οὕτως ὀνόμασε, διὰ τὸ ὕψος ὑπερφέρουσαν τὸν οὐρανόν. ὁ δὲ νοῦς· ἡ δὲ αἰφνιδία πίων συνίχει τὸν Τυφῶνα, ἡ κατὰ πᾶσαν ὥραν ἔνους χιονίζουσα καὶ τῆς ἐξαίας χιόνος τροφὸς οὖσα, ἤγουν ἡ Αἴτνη.

38. Πάνιστις] τὸ πάνιστις ἀμφίσελον· ἤτοι γὰρ διατείνει συνίχει τὸν Τυφῶνα ἡ Αἴτνη καὶ δι' αἰῶνος, ἢ ὑπ' ἐξῆς συναπτέον, ἐξαίας χιόνος τιθήνη, ἵν' ᾖ, δι' ἔνους δὲ τιθηνουμένη καὶ τρέφουσα τὸν χιόνα, ἢ ὅτι

οὐ κατὰ πάντας, ἀλλὰ κατὰ πᾶσαν ὄψιν ἴσους, ἵνα εἰς ὑπεροχὴν ἔρῃ τὸν λόγον, λέγων καὶ χιμαῖραι καὶ ὄφεις χιονίζεσθαι τὴν Αἴτνην. ἐξίσας δὲ τὴν χιόνα φησὶν, ἤτοι παρὰ τὴν συνέχειαν τῆς καταφορᾶς, ἢ παρὰ τὴν ψυχρότητα, ὅτι οἱ ἱμαντούμενοι ὁμοίου τι πάσχουσι τοῖς πιεζουμένοις. ἀκλάστου δὲ πυρὸς, ἀπροσπελάστου, ἢ πολλοῦ.

41. Ἀγνόπαται] ἐκ μυχῶν] ἀγνόπατον τὸ τῦφ φησιν, ὅτι ἀγνῳσιόν ἐστιν, ἢ καὶ παρὰ τὸ Θεῖον τὸ αὐτόθι γιγνόμενον, ὃ καθαίρομεν, ὡς καὶ Ὅμηρος· (Odyss. χ. 482.) "ἔρδα θεοῖσιν μέγαρον." τῇ δὲ τροπῇ ἐκπίπτει διάλυσ, πυρὸς ποταμοὺς καὶ πηγὰς λίγων, διὰ τὴν ἄγαν τοῦ πυρὸς ἀνάδοσιν. ὁ δὲ νοῦς· ἀφ' ἧς τινες Αἴτνης ἀναφυσῶνται καὶ ἀναδίδονται ἐκ τῶν μυχῶν ἀπροσπελάστου πυρὸς πηγαί· οἱ δὲ ποταμοὶ τοῦ πυρὸς ἐν μὲν ἡμέρᾳ ῥοῦν καὶ φλογὰν πρὸχουσι καπνοῦ, αἰθάλης, ἤτοι μίλακα, ἢ καυστικόν· ἐν δὲ νυκτὶ ἡ ξανθὴ τοῦ πυρὸς φλὸξ ἐκρήγνυσι τοῦ ὄρους τὰς πίτυρας, καὶ ἐκπυλίει τῇ παρακειμένῃ θαλάσσῃ.

47. Ἀφαίσου ἐρατεινὸν] ὁ Τυφὼν, παρέσου ἐξ αὐτοῦ, ἤτοι δι' αὐτὸν, οἱ τοῦ πυρὸς ἀναδίδονται πρηστῆρες. προυνοὺς μὲν τροπικῶς φησιν ὡς ἐπὶ ποταμῶν. ἐκπαίνει δὲ τὰς τοῦ πυρὸς ἀναφυσήσεις. ὁ δὲ νοῦς· ἐκεῖνο δὲ τὸ τοῦ Ἡφαίστου ἐρατεινὸν προυνοὺς πυρὸς διηνεκέστους ἀναδίδωσι, θαυμαστὸν μὲν ἰδεῖν, θαυμαστὸν δὲ καὶ τῶν παρόντων καὶ ἐπιφανῶν ἀκοῦσαι.

52. Ἐν μιλαμφύλλοις] ταῖς πολυϋδρους. ἡ γὰρ τῶν ὑδάτων συνέντης βαθεῖαν ἀπεργάζεται τὴν ὕλην. Ζηνοδότειον δὲ, φησὶ φησι τὸν Τυφῶνα ἐνιδιάσθαι ταῖς τῆς Αἴτνης κορυφαῖς, ὃν φησιν ὑπ' αὐτῇ κεῖσθαι· ἡ μὲν δὲ, ὅτι ὑπόκειται μὲν αὐτῷ τὸ ὕδωρ ὑπὸ τὸν νῶτον, ἐπίκειται δὲ τῷ στόμι ἡ Αἴτνη ὥστε διεμὲς καὶ σχιστὸν ἐν μέσῳ αὐτὸν συνέχουσα.

54. Καρδάσσουσα] ἐκπέσουσα, ἐκπαύσουσα. ὁ δὲ νοῦς· τὸ ὑπερχυμένον ὕδωρ πυκνοῦσι πάντῃ καὶ ἐκβύει τὸ τοῦ Τυφῶνος νώτου· τῆς δὲ πυκνώσεως αἴτιόν ἐστι τὸ τῇ Αἴτνῃ ἐπικείμενον βάρος. τὸ μὲν πεπλημένον νώτου πάντῃ ἐκπέσουσα ἡ ὑπερκειμένη τοῦ ὕδατος πυκνοῦσθαι τροπή.

56. Εἰς Ζεῦ] ἐκπλὴ τὸν περὶ τοῦ Τυφῶνος λόγον ἐκπίπτει καὶ τὰς ἐμπορίας αὐτοῦ διεξέρχεται, ὥστε φόβῳ ἐκπεπλῆχθαι πρὸς τὰ διηγήματα, πανύχιται τὸν Δία ἴχνη ἰόμενον. ὁ δὲ νοῦς· εἶτα σοί, φησὶ, Ζεῦ, ἀρέσκειν, ὅτις τοῦτο τὸ ὄρος περίκειται, τὸν Αἴτνην, ἢ ὑπὲρ τῆς ὑπερόπου Σικελίας προέσται, ἤτοι διὰ τὸ ἐπιφανὲς, ἢ διὰ τὸ ὕψος. ἐνεῦσας δὲ πικρὰ τὸ ὄρος τῆς Αἴτνης ὁ Ζεὺς. Γαῖος δὲ μέλανα τὸν Αἴτναν μεταφορικῶς φησιν ἀπὸ τῶν ζώων, ἤτοι διὰ τὸ ἐπίκαυμα αὐτὴν εἶναι, ἢ διὰ τὸ ὕψος καὶ τὴν ἀνάζεσιν

58. Τοῦ μὲν ὑπανυμίαν] τούτου οὖν τοῦ ὄρους τὴν ὁμώνυμον πόλιν Αἴτνην ὁ ἐνδεχόμενος ἐπιστὴς Ἱέρων ἐδείμασεν, ἀναπηδήσας κατὰ τὰ Πύθια· ἀντιπέρυξι γὰρ ὑπὸ τὸ παλλίνιον ἅρμα τοῦ Ἱέρωνος ὁ πῆρυξ, οὗπερ αὐτοῦ πατρίδα.

64. Ναυσιφρόνοις] ὡς τοῖς διὰ τῶν φερομένοις ἀνδράσι χάρις καὶ ἡδονὴ πρόσεστι φερομένοις διὰ θαλάσσης, πάμπαν καὶ οὖρον ἱστιοπετοῦσι ἄπνευ, οὕτω καὶ τῇ Αἴτνῃ ἀναπεπταμένον πρῶτον ἐν ἀγῶσιν ἐπιφανέστατα γενέσθαι φησι.

67. Ἐσπόντα γὰρ] ἐσπὸς γὰρ καὶ πρέσπον φησὶ, τὸν ἐξ ἀρχῆς ἀγαθῆς ἀρξάμενον, τοῦτον καὶ τέλους ἐνδέχου τυγχάνειν. οὕτως οὖν καὶ τὴν Αἴτναν ἐν πρώτῃ ἀρξαμένην ἐν τοῖς ἀγῶσιν, ἐκπέπεκτον εἶναι ὑπολαμβάνει καὶ διηνεκῶς εὐπραγήσειν.

69. Ὁ δὲ λόγος] ὁ δὲ ἐμὸς ἐγκωμιαστικὸς λόγος, φησὶ, πομπεῖ καὶ δεξάζει τὴν Αἴτναν ταῖς συντυχίαις ταύταις τῆς νίκης, καὶ εἰς τὸ λοιπὸν αὐτὴν ἵστωσι τι καὶ τυφάνους ἐνδέξειν καὶ σὺν θαλίαις καὶ κώμοις ἡδίστην ὑμεναῖον ἀναδιδύσουσι, ὅτι τὴν μονάμπυκα αὐτῆς διαμένειν ἔσεσθαι.

74. Λύσις καὶ Δάλῳ ἀνάγουσι] ὃ Λύσιν Ἀπόλλωνι καὶ τῇ Δήλῳ βασιλεύουσι καὶ τοῦ Παρνασσοῦ, τοῦ ἐν Φωκίδι ὄρους, τὴν Κασταλίαν πρήνην φιλοῦσι, ἰθιλόουσι ταῦτα, ἃ ἰσχομαι, τῷ σῷ νόῳ πρόσεστιν καὶ συμφεραίνειν, ᾗ εὐανδρον ἀστυπολιῦν τὴν χώραν.

79. Ἐκ Θεῶν γὰρ μαχαναὶ] ἐκ Θεῶν γάρ, φησι, ταῖς ἀνθρωπίναις ἀρεταῖς σῶσαι μηχαναὶ διορῶσιν. κατὰ δαίμονα γάρ τινα σοφὰ, καὶ ταῖς χερσὶν ἀνδρεῖοι, καὶ ἄγαν εὐγλωσσοι, καὶ δυνατοὶ κατὰ τὸ λέγειν ἐγένοντο.

82. Ἀνδρα δ' ἐγὼ πεῖσαι] τὸν δὲ Ἱέρωνα ἐγκωμιάσας προθυμούμενος ἰλαρίζειν παρὰ σκοπὸν μὴ βίψειν τὸν ὕμνον, ἀντὶ τοῦ, κατὰ σκοπὸν δοὺς βαλεῖν τοὺς ὕμνους, καὶ ἔξειν ὄντα τὸν Ἱέρωνα ἀνυμνῶν.

84. Μὴ χαλκοπάρᾳσαν] τὸ ὑπερῴζασαν, οὕτω· μὴ ὥστε χαλκοπάρᾳσαν ἔλασσα παλάμᾳ δονίων ἀγῶνος ἕξω βαλεῖν.

86. Μαιρὰ δὲ βίψαις] ἰλαρίζει δὲ μαιρῶς καὶ δυνατῶς ἀκουτίσας παρειλθὼν καὶ νικήσας τοὺς ἐναντίους.

87. Εἰ γὰρ ὁ πᾶς χρόνος] τὸ εἰ τοῦτο νῦν ἐπαινεῖν ἔφη, ἀντὶ τοῦ ἐπεὶ. εἰδὼς γάρ, φησὶν, ὁ πᾶς χρόνος τὸν τι εὐδαιμονίαν καὶ τὸν πλοῦτον ἐν εὐθείᾳ ἀγάγοι, καὶ τῶν παρόντων τῶν τῆς λαμπρότητος ἐπίλοιπον ἀγάγοι, ὡς ἐγὼ τοὺς ἐναντίους νικῶσα προσδοκῶ.

89. Καμάτων δ' ἐπίλασεν παραύχοι] καμάτων, φησὶ, τῶν συνεχόντων τὸν Ἱέρωνα

ἐκ τοῦ ποιήσαντος τῆς λιθουργίας. φασὶ γάρ ποτε καὶ Ἀριστοτέλης, ἐν τῇ τῶν Γιλάνων πολιτείᾳ, Γίλαντα τὸν τοῦ Ἰέρωνος ἀδελφὸν ἐθέρει νοσήματι τὸν βίον τελευτῆσαι, αὐτὸν δὲ τὸν Ἰέρωνα, ἐν τῇ τῶν Συρακουσίων πολιτείᾳ, δυσωρίᾳ δυτυχῆσαι.

91. Ἢ πιν ἐν μνάσιαν] καὶ τάχα ἦν εἰς ὑπόμνησιν ἀγάγοι, ἱστόρηκε δ' Ἱέρων ἐν τοῖς πολέμοις, τῇ πολεμικῇ ἑαυτοῦ καὶ ὑπομονητικῇ ψυχῇ, ὑπέμεινε μάχας, ἡνίκα ἑαυτὸν τὴν Σικελικὴν συρακοῦδα, ἣν αὐτοῖς οἱ Θεοὶ ταῖς ἑαυτῶν μηχαναῖς ἐδωρήσαντο, ἱστόρει οὐδεὶς τῶν ἄλλων Ἑλλήνων δρέπεσθαι, τοῦ πλούτου οὖσαν στεφάνωμα τίμιον. φασὶ δὲ τὸν Ἱέρωνα καὶ πρὸς Γίλαντα τὸν ἀδελφὸν ἐρασικλέναι, τῆς ἀρχῆς ἕνεκα. Ἄλλως. Ἢ πιν ἐν μνάσιαν] ἀναμνήσειεν ἄν ὁ χρόνος, εἰ ἐπίδηλος γένοιτο τῶν καμάτων, ὅτι φανερὰν αὐτοῦ γενέσθαι τὴν ἀρετὴν, ἣν εἶχεν ἐν πολέμοις.

94. Ἀνίχ' εὑρίσκοντο Θιῶν] ὁ μὲν λόγος ἐστὶ περὶ Ἱέρωνος καὶ Γίλωνος, τῶν συρακουσέων ἐν Συρακούσαις, τὸ δὲ σημαινόμενον· ὅτι σὺν τῇ τῶν Θιῶν μηχανῇ ἀνεσώσαντο τὴν βασιλείαν. τιμὴν γὰρ εἶχεν ὁ θεὸς τὴν βασιλείαν ἀναμένειν.

96. Νῦν γε μὰν τὰν Φιλοκτήταο δίκαν] ἐπὶ δὲ τοῦ παρόντος τὸν Φιλοκτήτου τρόπον ὁ Ἱέρων μιτιερχόμενος ἐρεατιύθη καὶ τὴν μάχην ἐνίκησεν. φορτίῳ δὲ φερόμενος ὁ Ἱέρων διὰ τὴν λιθουργίαν, κατηγωνίζετο τοὺς ἐναντίους. παραβάλλων δὲ αὐτὸν, τῷ Ποίαντος Φιλοκτήτῃ παρίκασε.

98. Σὺν δ' ἀνάγκᾳ φίλοι] σὺν δὲ τῇ ἀνάγκῃ τῆς νόσου καί τις ὑπηρέτης ἔσαν καὶ ἐκολάκευσεν αὐτὸν, τὸν Ἱέρωνα δηλονότι. βούλεται δὲ λέγειν, ὅτι καὶ νοσοῦντα αὐτὸν πολλοὶ τῶν ὑπηρετῶν ἐκολάκευσαν. Ἄλλως. αἰνίττεται δὲ τοῦτο εἰς Ἀναξίλαον, τὸν τῶν Ῥηγίνων βασιλέα, βουληθέντα λεοντὸς κατασκλιμῆσαι τοὺς ἐν Ἰταλίᾳ, καὶ μιμοδισθέντα τῇ τοῦ Ἱέρωνος φωνῇ. ὅτι δὲ Ἀναξίλαος λεοντὸς ἠθέλησεν ἄρδιν ἀκολάσας, καὶ ἐκωλύθη πρὸς Ἱέρωνος, ἱστορεῖ καὶ Ἐπίχαρμος ἐν Νάσοις. ἱστορεῖ δὲ τὸν Θήρωνα λέγειν ἔφασαν, ὡς τοῦ Θήρωνος μεγάλα μὲν δυναμένου, πελαπιόντος δὲ τὸν Ἱέρωνα.

100. Φαντὶ δὲ Λαμνίθιν] ταύτῃ τῇ ἱστορίᾳ καὶ Βακχυλίδης συμφωνεῖ ἐν τοῖς Διθυράμβοις, ὅτι δὴ οἱ Ἕλληνες ἐκ Λήμνου μετεστείλαντο τὸν Φιλοκτήτην, Ἑλένου μαντευσαμένου. εἱμαρτο γὰρ, ἅπαν τῶν Ἡρακλείων τέκνων μὴ πορθηθῆναι τὴν Ἴλιον.

101. Μεταλλάσσοντας] ἐπιζητήσαντας, ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰ μέταλλα ἐπιζητούντων. ἐπιδὴ δὲ διὰ τὸ πάθος τῷ Φιλοκτήτῃ τὸν Ἱέρωνα ὕμνει, τῇ ἐπιξηρμαίῃ χρήμενος ἐπιστάλῳ αἴρει (G. συνίρει) τὸ ἐγκώμια. ὁ δὲ νοῦς· φασὶν ἐκ Λήμνου τῷ Ἕλλει παρασπεσόμενον τὸν τοῦ Ποίαντος υἱὸν τοξότην ἐπιζητήσοντας ἐλθεῖν τοὺς ἐκ Θέους ἥρωας.

105. Ὅς Πριάμοιο πόλιν πίρσεν] ὃς τὰς Φιλοκτήτης τὴν Ἴλιον ἐκπέρθησε, καὶ ἐκεῖ τέλος ἤγαγε τοῖς Ἕλλησι τοὺς πόνους· ἀσθμὰ γὰρ τὸν Πάριν· ἀσθενεῖ μὲν καὶ ἀδυνάτῳ σώματι βαδίζον, ἀλλὰ μεμισοπαμένον ἦν τὸ τὴν Ἴλιον ἁλῶναι τοῖς Ἡρακλείοις τόξοις.

109. Οὗτοι δ' Ἱέρωνι Διὶ] οὗτοι δέ, φασὶ, τῷ Ἱέρωνι ὁ Διὸς ἐρθωτὴρ καὶ ἑστὴρ γόνοντο, ὡς καὶ τῷ Φιλοκτήτῃ. φασὶ γὰρ Διονύσιος, χρησμοῖς Ἀπόλλωνος ἀκολουθήσαντα τὸν Φιλοκτήτην ἀφυστᾶσαι. τὸν δὲ Μαχάονα ἀφιλόντα τοῦ Ἴλιους τὰς διασπίσας σάρκας, καὶ ἐκκλύσαντα οἶνῳ τὸ τραῦμα, ἐστάσαι βοτάνᾳ, ἣν Ἀσκληπιὰς εἰλήφει παρὰ Χείρωνος καὶ οὗτος ἰήσασθῆναι τὸν ἥρωα. Ἄλλως. Οὗτοι δ' Ἱέρωνι Διὶ] οὗτος οὖν καὶ τῷ Ἱέρωνι, ὡς τῷ Φιλοκτήτῃ, ὁ Διὸς ἐρθωτὴρ καὶ ὑγιίας αἴτιος γένοιτο εἰς τὸν ἐσόμενον χρόνον, ὃν ἐκτήσατο, εὐχέρειαν παρεχόμενος. Ἄλλως. οὗτοι δὲ τῷ Ἱέρωνι ἐρθωτὴρ καὶ σῳστικτὴρ καὶ ἑστὴρ ὁ Διὸς γένοιτο, ὡς καὶ τῷ Φιλοκτήτῃ.

112. Μοῖσα καὶ πὰρ Διωμήνι] ὦ Μοῦσα, πεύθου μοι χαρεῖσα καὶ παρὰ τῷ Ἱέρωνος υἱῷ, Διωμήνει, ποιητὴν καὶ ἀντίστασιν τῷ νικηφόρῳ ἅρματι παρεχομένῃ τὸ ἐγκώμιον. οὐ γὰρ ἀλλοτρία ἦδονὴ τῷ παιδὶ ἡ τοῦ πατρὸς νίκη. Διωμήνης δὲ υἱὸς Ἱέρωνος ἐκ τῆς Νικοκλέους τοῦ Συρακουσίου θυγατρὸς, κατὰ Φίλιστον καὶ Τίμαιον. ἐκ γὰρ τῆς Ἀναξιλάου θυγατρὸς, καὶ τῆς Θέρωνος ἀνεψιᾶς, οὐκ ἐκαδοστώσιον ὁ Ἱέρων, πρεσγάμας ταύτην. ὄθεν ἴσι καὶ ὁ παῖς, ὁμώνυμος τῷ πάππῳ. Διωμήνης γὰρ ὁ πατὴρ Ἱέρωνος.

116. Ἀγ' Ἴστιε' Αἴτνας] ἄγε ταίνυν, ὦ Μοῦσα, ἐπὶ τῷ τῆς Αἴτνης βασιλεῖ Διωμήνει πρεσφιλίσαντον ἀνύσσωμεν ὕμνον.

118. Τῷ φίλιν πείνας] ᾧ τινι Διωμήνει, ὁ Ἱέρων δηλονότι, τὴν Αἴτνην ἵδρυσι καὶ δωμεῖν ἔδωκε τὸν Διὸς ἱλιοθρέφ, καὶ τοῖς νόμοις τῆς Δωρίου δικαιοσύνης, ἐπὶ πανοῦ τὸ, δωμεῖν ἔδωκεν. Ἄλλως. ἀναστίσας τὴν Κατάνην ὁ Ἱέρων καὶ Αἴτνην μετοικίσας, δωμεῖν Διωμήνει τῷ υἱῷ ταύτην δέδωκεν, ἐν νόμοις τῆς Δωρίδος φάθμας. τοῦτο δὲ λέγει, ὅτι τραφεὶς αὐτὸς πατέστασεν αὐτὸν, ἱλιοθρέφους ἀφιξ τοὺς Αἰτναίους καὶ τοῖς Δακεδαιμονίοις τρόπους ἢ νόμους χρωμένους.

120. Τἀλλίδος φάθμας] νόμῳ Δωρίδος δικαιοσύνης ἀπὸ Τάλλου τοῦ ἐκτραφέντος τῶν Δωριέων, ὃς ἐβασίλευσε τῶν περὶ Ἰταλίαν οἰκησάντων. ἴσως δὲ τὸ Τἀλλίδος φάθμας τῆς Δυκούργου φασὶ νομοθεσίας, οὗ-

Ἑλλήνων φρονοῦντας, πλεῖν ἐπὶ Πελοπόννησον. ἀμφοτέρων δὲ τὸν λόγον ἀναδεξαμένους γὰρ ἐνδίκανός ἐστιν ἀπὸ Ἡρακλείους, ὡς Ἔφορος ἱστορεῖ· ὁ οὖν Ἴέρων Γελώους καὶ Συρακουσίους, ὄντας τῶν Δωρίων ἀποίκους, ὑφίστι τῇ Αἴτνῃ. καὶ οὕτως ἂν ὁ λόγος ἀπολουθίαν ἔχοι, ὡς, Δωριῆσιν οὖσιν Αἰτναίοις, καὶ Λακωνικοὺς νόμους θέσθαι τὸν Ἴέρωνα.

121. Θίλοντι δὲ Παμφύλου] Πάμφυλος καὶ Δύμας καὶ Δῶρος, υἱοὶ Αἰγιμίου, ἀφ' ὧν Παμφυλὶς καὶ Δυμανὶς φυλαὶ ἐν Λακεδαίμονι. ὁ δὲ νοῦς· Θίλοντι δὲ οἱ Ἡρακλίδαι, τουτέστιν οἱ Λακεδαιμόνιοι, ἀπὸ Ἡρακλείους καὶ Παμφύλου κατάγεσθαι. Ἄλλως. οἱ Δωριῆς οἰκοῦντες πρότερον τὴν Πίνδον, μίαν οὖσαν τῆς τετραπόλεως τῆς ἐν Περραιβίᾳ, ἀφικνοῦνται εἰς τὴν μεταξὺ Οἴτης καὶ Παρνασσοῦ Δωρίδα, ἐξάπολιν οὖσαν. ἐπὶ δὲ Ἐρινεὸν, Κύτινον[a], Βοιὸν, Λίλαιαν, Κάρφειαν, Δρυόπην. ἐκ δὲ τούτων τὸν εἰς Ἡρακλείδαις εἰς Λακεδαίμονα κατέρχονται. ὁ δὲ νοῦς ἐκαμφοτερίζει. Θίλοντι δὲ οἱ ἀπὸ Παμφύλου Ἡρακλίδαι ἀπόγονοι, Δωριῆς, οἱ παρὰ ταῖς ὄχθαις τοῦ Ταϋγέτου μένοντες, ἐμμένειν τοῖς Αἰγιμίου νόμοις.

123. Ὄχθαις ὕπο Ταϋγέτου] Ταΰγετον, ὄρος Λακωνικὸν, οὗ καὶ Ὅμηρος μέμνηται· (Od. ζ. 103.) " Ἣ κατὰ Ταΰγετον " περιμήκετον."

125. Ἔσχον δ' Ἀμύκλας] κατέσχον τὴν Σπάρτην. ἀπὸ μιᾶς γὰρ πόλεως τὴν πᾶσαν ἐμφαίνει Λακωνικήν.

126. Πινδόθεν λίγυι, ὅτι οἱ Δωριῆς, διὰ Πίνδου τὴν κάθοδον ποιησάμενοι, ἐκράτησαν τῆς Πελοποννήσου ἐγένοντο ἐγκρατεῖς. Πίνδος δὲ Περραιβίας ὄρος. Ἄλλως. Πίνδος δὲ Περραιβίας ὄρος. Ἄλλως. Πινδόθεν τοὺς Ἡρακλείδας θέλει λέγειν ἐρμῆσαι, καθ' ὃν χρόνον ἀνεστήσαντο τὴν Πελοπόννησον καὶ Λακωνικήν.

127. Βαθύδεξα γένοντες] Ἦθος σύνηθες εἰπεῖν. ἀλλὰ ῥητέον, ὅτι ἰσοροθοῦσι τινὲς τοὺς Διοσκούρους μετοικῆσαι εἰς Ἄργος. γενομένῃ δὲ τὸ Ἄργος τῇ Λακεδαίμονι. καὶ οὕτως ὁ Πίνδαρος κατὰ λόγον γενόμενός φησι τοὺς Λακεδαιμονίους τῶν Διοσκούρων.

130. Ζεῦ τέλειε] ὦ Ζεῦ τέλειε, διὰ παντὸς τοῖς Αἰνείαις, τοῖς περιοικοῦσι τὸν Ἄμβην[b] ποταμὸν, τοιαύτην μερίδα βασιλεῦσί τε καὶ δημόταις παράσχου, ἥτις τὸν τῶν ἀνθρώπων λόγον διαφέρειν τούτου καὶ ἀληθὴς ἀποφαίνῃ, ὅτι ἐν ἐλευθερίᾳ εἰσίν. οἱ δὲ τοιαύτην μοῖραν τοῖς Αἰνείαις ἐνδοίης θείαν καὶ Λακεδαιμονίοις κατὰ πόλεμον ἔχουσι. δίδου τοῖς βασιλεῦσι καὶ ἀσφῆ, μοῖραν ἐυτυχίας.

134. Σύν τοι τίν περ ἀγητὴρ] σὺν σοὶ, ὦ Ζεῦ, ὁ τῆς Σικελίας ἡγητὴρ, ἦγουν βασιλεὺς, Ἴέρων, τῷ ἑαυτοῦ υἱῷ Δεινομένει ἐστελλόμενος τὸν τῶν Αἰτναίων δῆμον ἐκτερίσαι διὰ παντὸς εἰς σύμφωνον καὶ εἰρηναίαν ἡσυχίαν.

137. Λίσσομαι, νεῦσον Κρονίων] παθητικῶς σε, ὦ Κρόνου παῖ, Ζεῦ, ἐκέτευσον, ἵνα ὅ τι τῶν Φοινίκων, καὶ ὁ τῶν Καρχηδονίων, καὶ Τυρσηνῶν δέρκος, ἥσυχον καὶ εἰρηναῖον ἔχῃ τὸν οἶκον. ἢ ἐκέτευσον θιασάμενος τὴν περὶ τῆς Κύμης ναυμαχίαν, ἣ κατασταλμαθέντες ὑπὸ τῷ Ἴέρωνι ἐπιτάσσειν. Ἄλλως. χαρίσασθαι ἐκ τοῦ θορύβου τὸν τῶν βαρβάρων ἀκορεμίαν ὑπεστήσατο, ὡς καὶ Ὅμηρος· (Iliad. δ'. 436.) " Ὡς " Τρώων ἁλαπτὸς ἀπὸ φρασὶν ὦρτο μάχεσθαι." Ἄλλως. Τυρσηνοὶ καὶ Καρχηδόνιοι, οἱ εἰσὶ Φοινίκων ἀπόγονοι, διεμάχοντο περὶ Κυμαίους· μελλόντων οὖν ἄρδην ἀπόλλυσθαι τῶν Κυμαίων, Ἴέρων συμμαχήσας, τοὺς μὲν Κυμαίους διέσωσε, τῶν δὲ Τυρσηνῶν τοὺς πλείστους ἀπώλεσε. κατύχησεν οὖν ὁ Πίνδαρος εἰρηνικὰ καὶ ἀσινίσσα μένειν λαοὺς τὰ πράγματα Καρχηδονίοις καὶ Σικελιώταις.

142. Οἷα Συρακοσίων] ἀσυῖα γὰρ ὑπὸ τῷ ἄρχοντι καὶ βασιλεῖ τῶν Συρακουσίων Ἱέρωνι ἀναιρεθέντες πεπόθασιν οἱ Καρχηδόνιοι καὶ Τυρσηνοί.

145. Ὅς σφιν ἐν πόντῳ] ὅτις Ἴέρων ἀπὸ τῶν ταχυῶν νεῶν ἐνίκησε τῇ θαλάσσῃ πᾶσαν τὴν ἡλικίαν.

146. Ἑλλάδ' ἐξέλων] ἵνοι μὲν Ἑλλάδα τὴν ἐν Σικελίᾳ ἤκουσαν. ἵνοι δὲ Ἑλλάδα τὴν Ἀστικήν. ἱστορεῖται γάρ τι τοιοῦτον, ὅτι Μήδου μέλλοντος στρατεύειν ἐπὶ τὴν Ἑλλάδα, πρίσβεις ἦλθον πρὸς Καρχηδονίους κελεύοντες πλεῖν ἐπὶ Σικελίαν, καὶ τοὺς τὰ τῶν Ἑλλήνων φρονοῦντας κατοικίσασθαι, καὶ οὕτως ἁρμᾶν ἐπὶ τὴν Πελοπόννησον. οἱ μὲν οὖν Καρχηδόνιοι ὑπήκουσαν. κατὰ δὲ τὸν αὐτὸν χρόνον πρὸς Ἱέρωνα πρίσβεις ἦλθον παρ' Ἀθηναίων ἀξιοῦντες συμμαχεῖν τοῖς Ἕλλησιν. οἷς ὑπήκουσεν οἱ περὶ τὸν Γέλωνα, καὶ κατασκευασάμενοι διακοσίας ναῦς καὶ δισχιλίους ἱππέας καὶ μυρίους πεζοὺς τὸν τῶν Καρχηδονίων στόλον κατεναυμάχησαν κατὰ τῆς Σικελίας ἐρ- μῶντα, ὅτι καὶ τοὺς Σικελιώτας καὶ τοὺς ἄλλους Ἕλληνας ἐλευθερώσαι. Ἄλλως. Εἰκὸς δὲ ταῖς Ἐφόρου ἱστορίαις ἐυτυχόντα (?) τὸν Πίνδαρον ἐξακολουθηκέναι αὐτὸν αὐτῷ. ἱστορεῖ γὰρ Ἔφορος τοιοῦτον, ὅτι παρακινεύ- ζομένου Μήδου τὸν ἐπὶ τῇ Ἑλλάδι στόλον, πρίσβεις παραγενέσθαι πρὸς Γέλωνα τὸν τύραννον, ἱκετεύοντας, εἰς τὸν τῶν Ἑλλήνων σύλλογον ἐλθεῖν· ἐκ δὲ Περσῶν καὶ Φοινίκων πρίσβεις πρὸς Καρχηδονίους, προσάσσοντας ὡς πλεῖστον δίκαι στόλον εἰς Σικελίαν τι βαδίζειν, παντοιοτρόπως τοὺς τὰ τῶν

[a] l. Ἐρινεὸν, Κυτίνιον. [b] l. Ἀμένα.

νον, καὶ τοῦ μὲν Ἰάονος συμμαχῆσαι τοῖς Ἕλλησι πραθυμουμένου, τῶν δὲ Καρχηδονίων ἑτοίμων ὄντων συμπεράξαι τῷ Μίξῃ, Γίλωνα διαπειρᾶσαι παῖς ἐντρεπίσαντα καὶ δακτιλίους ἑπτὰς καὶ σπιζοῦς μηρίνους κατασπεῦσαι φίλον Καρχηδονίων πλίοντα ἐπὶ Σικελίαν καὶ διαμαχησάμενον οὐ μόνον τοὺς Σικελιώτας ἱλιοθιρῶσαι, ἀλλὰ καὶ τὴν Ἑλλάδα σύμπασαν. εἰκὸς οὖν ταύτῃ τῇ ἱστορίᾳ ἐντετυχηκέναι τὸν Πίνδαρον.

147. Λίξομαι πὰρ μὲν Σαλαμῖνος] αἰρεῦμαι καὶ ἀποδίξομαί, φησι, τὴν παρὰ Σαλαμῖνος καὶ Ἀθηναίων χάριν καὶ μισθόν, ὅτι ἐκινδύνευσαν ὑπὲρ πάσης τῆς Ἑλλάδος· ἵστε λαμβάνων καὶ λογίζομαι εὐεργέτιν τῆς Ἑλλάδος, τὴν τῶν Ἀθηναίων νίκην· ἢ αἰρεῦμαί, φησι, τὴν τῆς Ἑλλάδος εὐεργέτιν, τὸν παρ' Ἀθηναίων μισθόν· εὐεργέτιν ἢ παρὰ Σαλαμῖνος χάριν. λαμβάνω τὴν χάριν, εὐεργέτιν τῆς Σαλαμῖνος τὴν μάχην, εἰς μισθὸν καὶ εἰς εὐεργέτιν τῆς Ἑλλάδος παρὰ Ἀθηναίων· οἱ γὰρ Ἀθηναῖοι εἰς Σαλαμῖνα ναυμαχήσαντες πρὸς τοὺς Πέρσας ἔσωσαν τὴν Ἑλλάδα.

149. Ἐν Σπάρτᾳ δ' ἰρίον] αἰρεῦμαι καὶ ἀποδίξομαί, φησι, τὸν περὶ Κιθαιρῶνος μάχην τῶν Σπαρτιατῶν, καθ' ἣν οἱ ταύτῃσι τῶν πιζικῶν ἡγεμόνευον πιρὶ Πλαταιὰς τὸν πιζικὸν ἀντιρίψαντο δόναμιν.

152. Πὰρ δὶ (sic sine γε) τὰν εὔυδρον ἃ τὰν Ἰμέρα] Ἰμέρας ποταμὸν Σικελίας, περὶ οὗ καὶ Αἰσχύλος φησὶν ἐν Γλαύκῳ. (T. ii. p. 639. ed. Pauw.)

Καλοῖσι λουτροῖς λαλίλυμαι (μὲν) δίμας (f. -λουμένοις δ.)
Εἰς ὑψίπεμπτον Ἰμέρας δ' ἀφικόμην. (del. δ')

λέγει τοίνυν· παρὰ δὲ τὸν εὔυδρον ἀκτὸν τοῦ Ἰμέρα ποταμοῦ τὸν ὕμνον τοῖς τοῦ Διωκμίνους παισὶ τιλίσας, ἀπὸ ταυτοῦ τὰ αἰρίσιμα, ἅ ἐστι διαθυμῶ.

155. Τὸν Ἰξίονα] ἦγον ὃν τινα ὕμνον Ἰξίονα παρὰ τῇ ἰαυτῶν ἀρετῇ τῶν τελεμίων ἀνδρῶν ἀναιρεθέντων. φασὶ δὲ τὸν Γίλωνα τοὺς ἀδελφοὺς φιλοφρονούμενον ἀκαθεῖναι τῷ Διῒ χρυσοῦν τρίποδα ἐπιγράψαντα ταῦτα· inter Simonidis Fragm. T. i. Brunck. Analect. n. 45. p. 134.)

Φαμὶ Γίλωνʼ, Ἰάονια, Πελόψιδαι, Θρασύλεων,
Παῖδας Δεινομένους τοὺς τρίποδας Σίμωνα,
Βάξαντα νικήσαντας Ἴδην, πάλλιν δὲ παρασχεῖν
Σύμμαχον Ἕλλησιν χεῖρ' ἐς ἱλιοθιρίην.

ἃ οὕνως· ὕνινα ὕμνον ἰδίξαντο ποιήσαντες τοὺς Καρχηδονίους.

157. Καιρὸν εἰ φθίγξαις] οἱ μέν φασι τὴν κατὰ περίοδον λίγειαν, ἵν' ᾖ· κατὰ καιρὸν εἰ φθίγξαις, ἤ καιρίως λίγεια, τῆς πολυλογίας τὰ περίεργα εἰς ἓν συντείνας καὶ συμπλέξας. ἐκφύγοις ἂν τὸν φθόνον. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν δικτύων. τὸ δὲ ἰξᾶς· εἰ ἐν βραχεῖ φθίγξαις, κατὰ καιρὸν, πολλῶν περίεργα συμπλακέντας, μέσον ἔσονας μέρος ἀνθρώπων. Ἄλλως. αἰνιθέσεται ἑαυτοῦ ἐπιστυπούσης. ἡ δὲ τοῦς· εἰ τὰ καίρια λέγεις τῶν πολλῶν εἰς ἓν συντείνων καὶ συμπλέξας, οὐκ ἀκολουθήσει μέμψις, οὐδὲ φθόνος. ἀγαθαίνεις πέρας, ἀγωνιαίσεις καὶ διαπεπᾶς, καὶ ἡ μακρολογία, ἐμβλύνει τὴν τῶν ἀκουόντων ταχυτέλειαν ἀκοήν, ἀντὶ τοῦ διαπεπᾶς.

162. Ἀγῶν δ' ἀκοὴ] ὁ δὲ τῶν προλεγόντων φησὶν, ἀκοὴ προφέρις λοιπὸν τὸν ψεγεῖν ἐπὶ τοῖς ἀλλοτρίοις τῶν πολιτῶν κατορθώμασιν. ἀλλήλοις γὰρ ὡς ἐπὶ τὸ πλεῖστον φθονοῦσιν. ἤτοι ἀντὶ τοῦ, λοιδοῦνται οἱ πολῖται ἐφ' τοῖς τῶν ἀλλοτρίων παλαῖ καὶ ἐπὶ τοῖς σοῖς, Ἰάονι, παλαῖς φθονοῦσί σοι.

164. Ἀλλ' ὅμως, πρίσσων γὰρ] ἀλλ' ὅμως βίλτιον φθονεῖσθαι ἤπερ αἰσχύνεσθαι.

165. Μὴ παρίει καλὰ] μὴ οὖν παρίεσο, μηδὲ παρέρα τὰ καλὰ, ὦ Ἰάονι, διὰ τὸν φθόνον, ἀλλὰ τὸν τῶν συναγμίνων σὺν ἔργοις δικαίῳ καὶ ἀγαθῷ πυκίρια πιθαλίφ. τὸ νόημα γὰρ ἐπὶ τοῦ πυκίρια.

166. Ἀψαυδεῖ δὲ πρὸς ἄκμονι] ἄκμονα, τὸ σῆμα, ἀπὸ μεταφορᾶς τῶν χαλκευόντων ἔργα. πρὸς ἄκμονα δὲ ἀψαυδῆ χάλκεον τὴν γλῶσσαν. ἴδιον, φιλαλήθης ἴσο, ἤγουν ἀλήθεια. ἴσως δέ τι ἐσυγγλίπτο τῷ Πινδάρῳ ὁ Ἰάων.

169. Ἐ. τι καὶ φλαῦρον] λύπει ὁ γὰρ λέων γάρ τι καὶ εὐτελὲς παρὰ σοῦ λιχθῇ καὶ ἐρεύξῃ, τοῦτο μέγα καὶ δεὰ πάντων φέρεται. φασὶ δὲ μεγάλα εἶναι τὰ τῶν ἀρχόντων ἁμαρτήματα, κἂν εὐτελῆ συγχάνῃ. εἰ καί τι οὖν εὐτελὲς ἁμάρτῃς, καὶ τοῦτο μέγιστον ἔσται.

171. Πολλῶν ταμίας] πολλῶν γὰρ βασιλεὺς ἐντυγχάνεις, καὶ ἐστιάτης, καὶ διαιρετής. βασιλεὺς γὰρ εἶ.

172. Πολλοὶ μάρτυρες ἀμφοτέροισι] τῷ τι ἀληθεῖ καὶ τῷ ψευδεῖ· ἢ σε καὶ τῷ ὑφ. ὁ δὲ Σαλάμιος, σοὶ καὶ τοῖς ὑποστασιαζομένοις.

173. Εὐπαθεῖ δ' ἐν ἐργᾷ] εὐγενεῖ· ὁ δὲ μεταφορὰ ἀπὸ τῶν εὐγενῶν φυτῶν. εὐγενεῖ δέ, φησι, τρόπῳ παιρημένον, εἰ δέ τι φλαῦρον τὴν ἰδιότητα τῶν ἐγκειμίων ἀκαίρως, μὴ ἀπόπεμπε πρὸς τοὺς δεσπόσας. ἐν δὲ τούτοις παρεσχίτευε τὸν Ἰάονα, μισθὸν αὐτῷ παρασχών, τοῦ ἐπαινίου χάριν.

176. Ἔξίει δ' ὅστ (sic) εὐκιρόσπολος] ὅστις δὲ εὐκιρόντος ἔρπει, ἵνα πρὸς πτισμὰ τὸ ἰσθλὸν. τρυσιμῶς δὲ οὕτω φησὶν, ἵνα ὡς ἰσίου μὲν τὸν μισθὸν, πτῶμα δὲ τὸ ἐγκάμιον ἀποῦσαμαι.

178. Μὴ δολωθῇς] μὴ δολωθῇς, φησὶν, ὃ πρεσβίλιστε Ἰάονι, τῇ ἰχθροτάτῃ φιλοκερδείᾳ.

179. Ὀτισθόμβροτον] τὸ φροντίδος ἀξιούμενον ὑπὸ τῶν ἀνθρώπων, τὸ μετὰ ταῦτα καὶ μετὰ θάνατον λεγόμενον ἐγκώμιον, ἤτοι, τὸ μετὰ ταῦτα ἰσόμενον τῆς δόξης παίχνιμα.

181. Οἷσι ἀσυχοῦντος] ἔστιν μόνοι τῶν σιδηρέων ἀνθρώπων τὸν βίον καταμυθοῦσι τοῖς τε λογίοις καὶ ποιηταῖς. οἱ δὲ οὗτος· τὸ μετὰ ταῦτα ἰσόμενον τῆς δόξης παίχνιμα, μόνοι τῶν σιδηρέων ἀνθρώπων τὸν βίον καταμυθοῦσι τοῖς τε λογίοις καὶ ἀοιδοῖς· λογίοις μὲν, τοῖς πεζογράφοις, ἀοιδοῖς δὲ, τοῖς ποιηταῖς.

184. Οὐ φθίνει Κρόνου] οὐδαμῶς φθείρεται, φησι, καὶ λήθην λαμβάνει ἡ τοῦ Κρόνου φιλοφροντιστὴ ἀρετή. ὅτι δὲ πλούσιος καὶ φιλόφρων ὁ Κρόνος ἦν, δῆλος ὁ λόγος.

185. Τὸν δὲ ταύρῳ] κατὰ δὲ τοὐναντίον, φησὶ, Φάλαριν τὸν ἐν τῷ χαλκῷ βοῦ κατακαύσαντα τοὺς ἀνθρώπους αἰσχρὰ φάσις ἔχει. τὸν δὲ τοῦ Φαλάριδος ταῦρον οἱ Ἀκραγαντῖνοι παθεῖν φασιν, ὡς φησι Τίμαιος. τὸν γὰρ ἐν τῇ πόλει διωκύμονι μὴ εἶναι τοῦ Φαλάριδος, παθεῖν ἡ πολλὰ κατίχει δόξα, ἀλλ' εἶναι ἔστι Γίλωνος τοῦ πεταμοῦ. κατασκευάσαι δὲ αὐτὸν φασι Περίλαον καὶ πρῶτον ἐν αὐτῷ κατακαῦσαι, καὶ Καλλίμαχος· [Fragm. 119. p. 487. T. i. Ern.)

Πρῶτος ἔστι τὸν ταῦρον ἐπαίνεσεν, ὃς τὸν ὄλιθρον
Εὗρε τὸν ἐν χαλκῷ καὶ πυρὶ γιγνόμενον.

ὁ δὲ τοῦς· τοῦ μὲν Κρόνου οὐδαμῶς φθείρεται ἡ φιλοφροντιστὴ ἀρετὴ, τὸν δὲ χαλκῷ ταύρῳ τῶν ξένων καυτῆρα καὶ ἀπλῆ τὸν γοῦν, Φάλαριν, αἰσχρὰ πανταχοῦ κατίχει φήμη.

188. Οὐδέ μιν φέρμιγγες] οὐδὲ αὐτὸν, φησι, τὸν Φάλαριν αἱ ἐγκωμίδιαι ᾠδαὶ παρὰ συμποσίοις καὶ δείπνοις εἰς κοινωνίαν ἰδεῖν δίχονται (λείπει γὰρ τῷ λόγῳ ἡ εἰς περίθεσις) ταῖς τῶν παίδων ἐμελίαις. καὶ τοῖς ὕμνοις, τουτέστι, οὐδέποτε τὸν Φάλαριν ἐν συμποσίοις παῖδες ὑμνοῦσιν.

191. Τὸ δὲ παθεῖν εὖ] τὸ δὲ ἐπιτυχεῖν εὐῴλων καὶ ἀγῶνος, καὶ εὖ πράξαι, πρωτεύειν· ἀνυμνεῖσθαι δὲ νικήσαντα, δευτέρα μοῖρα. ἀμφοτέροις δὲ τούτοις ὃς ἂν ἐπιτύχῃ καὶ κρατήσῃ, σίφανον ὑψηλότατον δίκτυαι.

Carmen II.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δευτέρου τῶν Πυθίων εἴδους.

Τῆς δευτέρας ᾠδῆς ἡ μὲν στροφὴ καὶ ἀντίστροφος κώλων ιδ'. Τὸ α', δίμετρον τροχαϊκὸν καταληκτικὸν, λελυμένους ἔχον τοὺς δύο πόδας. Τὸ β', ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ γ', τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. Τὸ δ', ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ε', χοριαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ς', ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ζ', Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν, τῆς πρώτης συλλαβῆς διαφόρου οὔσης. Τὸ η', χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. Τὸ θ', τρίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ ι', Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ια', μονόμετρον ἀναπαιστικόν. Τὸ ιβ', δίμετρον Ἰωνικὸν χοριαμβικὸν ἀκατάληκτον. Τὸ ιγ', τρίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ ιδ', δίμετρον τροχαϊκὸν καταληκτικὸν Ἐλεγειδιον. Τὸ ιε', πενθημιμερὴς ἰαμβικόν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων δ'. Τὸ α', δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ β', δίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ γ', δίμετρον χοριαμβικὸν καταληκτικόν. Τὸ δ', τρίμετρον ἀντισπαστικὸν ἀκατάληκτον, ἀπὸ ἰαμβικῆς ἀρχόμενον καὶ καταλῆγον ἰαμβικῇ. Τὸ ε', παιωνικὸν δίμετρον καταληκτικόν. Τὸ ς', Γλαυκώνιον, τοῦ πρώτου ποδὸς ἐδιαφέρου, εἶτα τροχαίου, εἶτα διιάμβου. Τὸ ζ', ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν Πηδαρικὸν, ἀπὸ τροχαίου εἰς τροχαῖον. Τὸ η', σύνθετον ἀπὸ παίωνος καὶ διμέτρου Ἰωνικοῦ ἀκαταλήκτου, τοῦ δὲ ἀκαλλομένου καὶ τοῦ ἀπὸ μείζονος. Τὸ θ', πενθημιμερὴς ἰαμβικόν. Τὸ ι', Ἰωνικὸν δίμετρον καταλλιόμενον, ἐκ τροχαϊκῆς διποδίας. Τὸ ια', χοριαμβο-

μὲν τρίμετρον πανελληνικόν. Τὸ ιβ', ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ιγ', Πινδαρικὸν, διὰ τὸ πολλάκις τὸν Πίνδαρον αὐτῷ κεχρῆσθαι. σύγκεινται δὲ ἐξ ἀντιστρόφου καὶ χοριάμβου καὶ ἰάμβου καὶ συλλαβῆς. Τὸ ιδ', Ἰωνικὸν ἀπὸ μείζονος ἀκατάληκτον.

Τῷ αὐτῷ Ἴδρωτι ἄρμασι] καὶ οὗτος ὁ Ἱππόλυτος Ἴδρωτι ἐστεφάνωται, νικήσαντι ἅρμασι. ἄδηλον δὲ, εἰς ποῖον ἀγῶνα. διετυσίασαι γὰρ οὐ μετρίως τοῖς περὶ ἡμῶν. οἱ μὲν γὰρ οὐδὲ ὅλως αὐτὸν φασιν ἱππόλυτον εἶναι· Τίμαιος δὲ, χαριστήριον· Καλλίμαχος δὲ, Νιμμαιόν· Ἀμμώνιος δὲ καὶ Καλλίστρατος, Ὀλυμπιακὸν *, ὡς καὶ Ἀσκληπιάδης ὁ εἰδογράφος. ἴνιοι δὲ Παναθηναϊκόν. αὐτίκα γοῦν Διονύσιος ὁ Φασηλίτης οὐκ εἶναι δεῖν γράφεσθαι (v. 6.) τῶν λιπαρῶν ἀπὸ Θηβῶν, ἀλλὰ, τῶν λιπαρῶν ἀπ' Ἀθηνῶν, διὰ τὸ Παναθηναϊκὸν εἶναι τὸν ἱππόλυτον. καταβρίσθαι γάρ φησί πως τὸν Πίνδαρον εἰς τὸ, τὰς μὲν Ἀθήνας λιπαρὰς πρεσαγορεύειν, τὰς δὲ Θήβας χρυσαρμάτους, καὶ ἰοπλοκάμους, καὶ ἰοστεφάνους, καὶ κυανάμπυκας, τίλιον ἰσχυρής τις ὤν. καὶ γὰρ καὶ ἄλλας πολλοὺς λιπαρὰς καλεῖ, οἷόν τε τὴν Σμύρναν· " καὶ " λιπαρῷ Σμυρναίῳ ἄστει·" καὶ τὸν Αἴγυπτον, ἐν Διθυράμβοις· (Fragm. p. 50.) " Τὰν λιπαρὰν μὲν Αἴγυπτον ἀγχίπεν- " μνον †." καὶ τὰς Θήβας δέ που εἶπε λιπαράς· λιπαρῶν τι Θηβῶν μίγαν σπόστ- " λον." ἄλλως τι ἐθνθεὶς, ἀπὸ τῶν Ἀθηνῶν φάναι τῷ Ἴδρωνι τὸ μέλος φέρεσθαι. οὐ γὰρ τὸ μέλος, ἀλλ' ἡ νίκη αὐτῷ Ἀθήνηθεν ἀφικνεῖται. ὁ δὲ Πίνδαρος οὐκ Ἀθηναῖος, ἀλλὰ Θηβαῖος, ὅθεν, ἀπὸ Θηβῶν, δεῖ γράφεσθαι, ὅθεν ἦν ὁ Πίνδαρος, ὁ τὸ ποίημα ποιήσας.

1. Μιγαλοστόλιες] μιγαλοστόλιας εἶπε τὰς Συρακουσίας, ἀπὸ Ἀρχίου τίνος ἢ ἄλλου τινὸς μεγάλης πολυτελοῦς στολῆς κατασκευάσαντος εἰς μίαν συνήγαγεν. εἰσὶ δὲ αὗται· Ἀρχεδίνη, Νικάσιλις, Ἐπισθεναὶ, καὶ Τύχη· οὐκ ἐκ τοῦ παρατυχόντος οὖν μεγαλοστόλιας εἶπε τὰς Συρακουσίας. ἢ δὲ νοῦς· ὦ μεγαλοστόλιες Συράκουσαι, τοῦ μεγαλοστολίμου Ἄρεως τίμιονες οὖσαι, ἀντὶ τοῦ, ἀνδρεῖοι ὄντες.

3. Ἀνδρῶν ἴστων τι] ἀνδρῶν σοφῶν καὶ ἵππους χαιρόντων καὶ πολιμικῶν τρεφοὶ οὖσαι δαιμόνιαι. τοῦτο δὲ εἴρηκε διὰ τὸ νικᾶν Καρχηδονίους ἢ Λίβυας ἢ Τυρηνοὺς ὑπὸ τῶν περὶ Γίλωνα ἢ Ἱέρωνα μὴ μόνον τῇ νήσῳ ἰσχυλύσαντας καθηρῆσθαι, ἀλλὰ καὶ ὑπ' αὐτοῖς τὴν Καρχηδόνα γενέσθαι, ὥστε καὶ ὑπακούειν. τὸ γοῦν ἀνθρωποθυτεῖν φησιν ὁ Θεόφραστος ἐν τῷ περὶ Ταρεντίνων παύσασθαι αὐτοὺς, Γίλωνος πρεσβεύοντος. ὅτι δὲ καὶ ἐπίλεκτοι. αὐτοὺς χρήματα εἰσφέρειν, Τίμαιος διὰ τῆς τεσσαρεσκαιδεκάτης ἀναγέγραφε.

6. Τῶν λιπαρῶν ἀπὸ Θηβῶν] λιπαρὰς φησι τὰς Θήβας διὰ τὸν Διόνυσον, καὶ τὸν Ἡρακλῆ, καὶ αὐτόν. οὐκ αὐτὸς δὲ ὁ Πίνδαρος ἦκεν εἰς τὰς Συρακούσας ταῦτά φησιν. οὐ γὰρ ἀφῖκται πρὸς τὸν Ἱέρωνα, ἀλλ' ἡ φδὴ ἐπιτελεμαία ἐστίν. ἅτε οὖν ἐκ τοῦ διακομίσαντος τὴν φδὴν πρὸς τὸν τύραννόν ἐστι ὁ λόγος, ἢ ἐκ τοῦ χοροῦ. διὰ γὰρ χοροῦ ἵστασι τοὺς ἐπινικίους. ὁ δὲ νοῦς· ἀπὸ τῶν ἰδιαιμόνων Θηβῶν παραγίνομαι τὸ μέλος φέρων.

8. Ἀγγελίαν στεφανοείας] ἤγουν ἀναπέρυξιν τοῦ ἅρματος τοῦ κατὰ τὸν χθόνα ἱλιλίζοντος καὶ ἀναπεσόντος.

9. Εὐάρματος Ἱέρων ἐν ᾧ] ἐν ᾧ ὁ εὐάρματος Ἱέρων ναῶν ἐνδυσάντων καὶ διαγιτάντων στεφάνους ἀνέθηκε τὸν Ὀρτυγίαν. ἐν τῇ Ὀρτυγίᾳ γὰρ ἦν τὰ ἐπωτοτροφῖα τοῦ Ἱέρωνος. Ὀρτυγίαν δὲ τὴν ἐπὶ τῆς Σικελίας χεῤῥόνησόν φησιν. αὕτη γὰρ νῆσος οὖσα τὸ πρότερον συνῆφθη τῇς Συρακούσης.

12. Ποταμίας ὕδος] τῆς Ἀλφειαίας. φασὶ γάρ τινες τὸν Ἀλφειὸν ἐρασθῆναι τῆς Ἀρτέμιδος καὶ διώξαντα ἔχει τῆς Ὀρτυγίας παύσασθαι. ἔθυν Ἀλφειαίας Ἀρτέμιδος ἱερὸν ἐπὶ παθιδρύθη. τὸν δὲ ποταμίας εἶπεν. Ἄλλως. ὕδρευται γὰρ ἄγαλμα Ἀρτέμιδος ἐπὶ τῇ Ἀρεθούσῃ· ἡ δὲ Ἀρέθουσα ἐξ Ἀλφειοῦ τοῦ ποταμοῦ δίχεται τὰ ῥεύματα. διὰ τοῦτο εἶπε ποταμίας Ἀρτεμιν αὐτὴν κατοικίσασι.

13. Τᾶς οὖν ἅτις] ἧς τινος ἐπαίνης, τῆς Ἀρτέμιδος δηλονότι, οὐ χωρὶς, τὰς ποτὲ κιλλίνας ἡνίας ἐχούσας ποῶλον ταῖς ἀγαναῖς ἐαυτοῦ χερσὶν ἐδάμασε καὶ ὑπέζευξε. (τὸ δὲ κιλλινας τῷ πώλου συναιτίαν.) ἐπὶ ἐστικὴ ᾗ ἡ Ἀρτεμις. καὶ Ὅμηρος· (Iliad. ζ, 205.) " Τόνδε χαλκασπὶς χρυσάορος " Ἄρτεμις ἔπεφ."

16. Ἐπὶ γὰρ ἰοχίαιρα] τὸ ἐπὶ τῷ τίθησι συναπτέον ἐκθέμα δὲ ἡ Ἄρτεμις καλεῖται. ἡ δὲ νοῦς· ἡ δὲ παρθένος Ἄρτεμις ἀμφοτέραις αὐτῆς ταῖς χερσὶ, καὶ ἡ ἐναγώνιος Ἑρμῆς, τὸν λαμπρὸν ἱππονθοτα πόσμον τῷ ἅρματι.

18. Ὁ σ' ἐναγώνιος] ἐναγώνιος δὲ ὁ Ἑρμῆς, ὡς τῶν ἀγώνων προστάτης, ὡς καὶ Αἰσχύλος· (in Fragm. vid. Stanlei. ad Agam. 524.) " Ἐναγώνιε Μαῖας καὶ Διὸς " Ἑρμᾶ."

* G. ἴνιοι Ποθικὸν, ὡς Α.

† Erat ἄγει πνέων.

20. Μιγὲν ὅταν δίφρον] ὅταν τὸν δίφρον καταζευγνύῃ, φησὶ, καὶ τὰ ψυσιχάλινα ἅρματα, τὰς στιρὰς δηλονότι καὶ τὰ ζυγά. ψυσιχάλινα δὲ πῶς τὰ ἅρματα; χαλινοῖς γὰρ οὐ χρῶνται πρὸς τὴν καταζεύξιν. ἦτοι οὖν τὰς ἡνίας δυσὶν χαλινοὺς ἱρῆσθαι, διὰ τὸ χαλᾶσθαι αὐτὰς καὶ πάλιν ἵλκεσθαι, ἢ καὶ ἐπὶ τῶν πολήτων δυσὶν. ἀγόμεναι γὰρ καὶ πίλησιν. ὅταν οὖν ὁ Ἴφιτος εἰς τὸν ἀγῶνα παρασκευάζῃ τὰ ἅρματα, ἡ Ἄρτεμις προσάπτεται αὐτοῦ τῶν ἡνιοχικάτων, κατὰ τὸ Ὁμηρικόν· (Iliad. ε'. 799.)

Ἡνιόχου δὲ θεὰ ζυγοῦ ἅψατο φώτησίν τι.

ἢ οὕτως· ἐπιτίθησί, φησι, τὰς χεῖρας ἡ Ἄρτεμις καὶ ὁ Ἑρμῆς τῷ Ἴφιτι, ὅταν εἰς τὸν ἐξῆτον δίφρον καὶ τὰ ψυσιχάλινα ἅρματα, ἵ ἐστι τὰς ἡνίας, καταζευγνύῃ τὸ ἅρματον σθένος, ἀντὶ τοῦ, ὅτι τοὺς ἵππους ζεύγνυσιν ὁ Ἴφιτος, παλαὸν τὸν Ποσειδῶνα, ὡς ἵππιον θεόν.

21. Ἓν δ' ἅρματα] ἢ ἐν ἀντὶ τῆς εἰς, ἵν' ᾖ· ὅταν εἰς τοὺς δίφρους καὶ χαλινοὺς ζευγνύῃ τὸ ἅρματον σθένος, τουτέστι, τοὺς ἵππους.

24. Ἄλλαις δέ τις ἐπίλεται] ἄλλαις βασιλεῦσιν ἄλλος ψυσητὴς ὕμνον εὔηχον καὶ εὐρυθμον, ἢ ἐφ' ᾧ ἐστι αἰχμὴν, καταπαύσω, ὅτια τὸν ὕμνον ἀμοιβὴν καὶ λύτρα τῆς ἀρετῆς. εἶτα ἡ ἀντακόλουσις τοῦ νῦν· ἐγὼ δέ σε, ὦ Ἴφιτε· καὶ ἐπισυνάπτει ἱρμηνείαν.

37. Κιλαδίοντι μὲν ἀμφὶ Κυνόραν] περὶ μὲν τὸν Κυνόραν, τὸν τῶν Κυπρίων βασιλέα, οἱ ὕμνοι γίνονται, ἐγὼ (f. ἐμὲ) δὲ περί σε. οὗτος δὲ ἦν Ἀπόλλωνος υἱὸς καὶ Πάφου, ἀπ' ἐνίων Ἐφορίδοντος καὶ Παφίας νόμφης. ἐγένετο δὲ βασιλεὺς τῶν Κυπρίων καὶ ἱρεὺς τῆς Κυπρίας Ἀφροδίτης. ὁ δὲ νεὼς χαρέσσασι μὲν περὶ τὸν Κινύραν πολλάκις οἱ τῶν Κυπρίων ὕμνοι, ὅτινα ὁ χρυσοπάμπις ἠγάσατο Ἀπόλλων, ἱερία καὶ σύντροφον καὶ συνέδρη τῆς Ἀφροδίτης ὄντα. ἡ δὲ ἀντακόλουσις τοῦ λόγου αὕτη· περὶ μὲν τὸν Κινύραν οἱ τῶν Κυπρίων ὕμνοι, περὶ δὲ σὲ ὁ ἱμὸς καὶ τῶν Σαμπασσούσιων. Διασαφοῦνται δὲ, τί ποτε ἐν τῷ τοῦ Ἰόφιτος ὕμνῳ τοῦ Κινύρα ἐμνημόνευσεν; καί φασί τινες, ὅτι ὁ Κινύρας οὗτος ἱεροφάντης ταῖν Θειαῖν ἀνεδείκνυτο. Διτομένους γὰρ ὑπὸς εἶσιν οἱ περὶ τὸν Ἴφιτον, τοῦ τὰ ἱερὰ ἐν Τρεσίτοις (G. Τρεσίοις) τῆς Κύπρου εἰς Σικελίαν ἀφικόμενος. ὁ δὲ Κινύρας οὗτός ἐστιν, ἀφ' οὗ οἱ ἐν Κύπρῳ Κινυρίδαι τῇ Θεᾷ ἀνίερωνται. ἢ οὗτος· εἰσὶν οἱ λέγοντες τὸν Διτομένην, τὸν πατέρα Ἴφιτον, ἀνέπαθον συγχόσιον Κύπριον. διὸ τῶν ἐθέλοντα γράφων εἰς τὸν Ἴφιτον μέμνηται Κινύρου, οὗ καὶ Ὅμηρος μέμνηται· (Iliad. λ'. 20.)

Τὸν ποτε οἱ Κινύρης δῶκε ξεινήϊον εἶναι.

31. Ἱερία πτίλον] Ὅμηρος μὲν τὸν προσγενόμενον τῆς ψοίμνης κριὸν πτίλον ὀνομάζει (Il. γ'. 196. υ'. 492.) ἡ δὲ τοῦ ῥήματος ἱστορία αὕτη οὐχ οὕτως ἔχει παρὰ Πινδάρῳ. ἴστι γὰρ παρὰ τὸ πτίσαι, ἵ ἐστι θρίψαι. καθάπερ φησὶ καὶ ἐν ἄλλοις ὁ Πίνδαρος· " Ὠμηστίσαν συὸς," τοῦ ἐν ἔρεσι στιθραμμένου (Fragm. p. 86.). τῶν οὖν πτίλων εἰσὶ τὸν συστιθραμμένον καὶ συνῃθη λίγυι καὶ εὐθισμένον τῇ χυρί. καὶ αὐτὸς γὰρ ὁ Πίνδαρος τὸ στιθασσεύεσθαι καὶ πτιλεύεσθαι λέγυ· (Fragm. p. cad.) " Ἐνθα ψοιμίνες * πτιλεύονται πάσσαν " λεύσσων τι." ἀγαπᾶσθαι δὲ τὸν Κινύραν φησὶν ὑπὸ Ἀπόλλωνος, οὐχ ὅτι ἱερόμενος αὐτοῦ ἦν, ἀλλ' ὅτι ὑπὸ τῶν μουσικῶν ἴγκαυμαζόμενος.

221. Ἔγγυς μὲν Φέρης] ἐγγὺς ἀντὶ τοῦ ἐγγύθεν, ἐκ τοῦ σύνεγγυς τόπου. τῶν Φερῶν ἐγγὺς κειμένων τοῦ Ἰωλκοῦ. Τιτρεία δὲ κρήνη ἐν ταῖς Φεραῖς, ὡς Σοφοκλῆς· (ibid. t. iii. p. 486. Br.)

Ὦ γῆ Φεραία χαῖρε· σύγγονόν θ' ὕδωρ
Τιτρεία κρήνη, νᾶμα διαρρίζατον.

Φασὶ δέ τινες, ἀπὸ Τιτρήτος λαβεῖν αὐτὴν τοὔνομα, ὡς Φερεκύδης. φησὶ γὰρ οὕτω· (Fragm. p. 175. Sturz.) "Μίλας ὁ Φρί-"ξου γαμεῖ Εὐρύκλειαν. τῶν δὲ γίνεται "Τιτρῆς, ὃς ἦκε ἐπὶ τὴ κρήνη τῇ ἀπ' "αὐτοῦ κληθείσῃ Τιτρείᾳ." παρ' ἐνίοις δὲ καὶ ἔκδοσις παρ' Ὁμήρῳ οὕτως ἔχει· (Iliad. β'. 711.)

Οἳ δὲ Φερὰς ἐνέμοντο, ἰδὲ κρήνην Τιτρείην.

εἶναί δέ φασι καὶ ἐν Λακωνικῇ Τιτρείαν κρήνην.

243. Ἐκ δὲ Μισάνης Ἀμυθάων] ἐκ δὲ τῆς Μισάνης τῆς Λακωνικῆς πόλεως ὁ Ἀμυθάων παραγίνεται. καὶ ὅτι οὗτοι Αἴσονος ἀδελφοὶ, καὶ Ὅμηρός φησι· (Odyss. λ'. 253.)

Τοὺς δ' ἐτίρευς Κρηθῆϊ τέκεν βασίλεια γυναικῶν
Αἴσονά τ' ἠδὲ Φέρητ' Ἀμυθάονά θ' ἱπποχάρμην

Ταχίος δ' Ἄδμητος ἦεν καὶ Μίλασος] οὗτος ἐκείνων ἦσαν υἱοί, καὶ σὺν τοῖς πατράσιν αὐτῶν ἦλθον. Ἀμυθάονος γὰρ Μιλάσσους, Φέρητος δὲ Ἄδμητος, ἀνεψιοὶ τοῦ Ἰάσονος.

220. Ἐν δαιτὸς δὲ μοίρᾳ] ἐν δὲ τῇ συμποσιακῇ καιρῇ καὶ τῇ μερίδι τῆς εὐωχίας προσηνέσι λόγοις αὐτοὺς ὁ Ἰάσων διξούμενος, ξένια ἁρμόζοντα κατασκευάζων, πᾶσαν εὐφροσύνην καὶ ἡδονὴν αὐτοῖς ἐξέτεινεν.

228. Ἰάσων δίγμινος] οὐχ ὡς πάντας ὑποδιδιγμένου τοῦ Ἰάσονος τοὺς περὶ Φέρητα δεῖ νοεῖν, ἀλλ' ἐπειδὴ διὰ τὴν παρουσίαν αὐτοῦ ἐγένετο ὑπὸ Αἴσονος τοῦ πατρὸς ἡ ξένια τοῖς ἀδελφοῖς, διὰ τοῦτο εἶπεν αὐτὸν ὑποδέχεσθαι. ἡ γὰρ ἀναφορὰ τῆς ξενίας εἰς αὐτὸν ἀνήγετο.

231. Ἀδρόκαις πίνει δρεπάνοις] ἀδιαλείπτως διὰ νυκτὸς καὶ ἡμέρας τὸ ἄνθος τῆς ζωῆς ἀποδρέπεται, αὐτοῖς τὰ πρὸς εὐωχίαν παρεχόμενος. ὁ δὲ νοῦς· ἐν πίνει δὲ ἡμέρας δρεπόμενος τὸ ἱερὸν τῆς ζωῆς ἀπάνθισμα, τὴν εὐφροσύνην, ἐξένιζε τοὺς συγγενεῖς.

234. Ἀλλ' ἐν ἕκτᾳ] ἀλλ' ἐν τῇ ἕκτῃ ἡμέρᾳ τὸν ὅλον λόγον τὸν σπουδαῖον ἐξ ἀρχῆς ὁ Ἰάσων τοῖς συγγενέσιν ἑαυτοῦ ἐκοινώσατο· οἱ δὲ ἀνύσαντες ἐπίστευσαν καὶ ἠκολούθησαν, ἀντὶ τοῦ, συνήσεσαν αὐτῷ καὶ τὴν αὐτὴν γνώμην ἀνέλαβον. Ἄλλως. εἶδον ἐπηκολούθησαν αὐτοῦ τῇ προαιρέσει εὐωχηθέντες.

237. Αἶψα δ' ἀπὸ κλισιᾶν] ταχίως δὲ ἀπὸ τῶν σκηνῶν σὺν τοῖς πρόβρηθεῖσιν ὥρμησεν ὁ Ἰάσων, καὶ δὴ παρεγίνοντο εἰς τὸν τοῦ Πελίου οἶκον· σπουδαίως δὲ ἴσω τοῦ οἴκου κατίσησαν.

242. Τυρσῆς γενεὰ] Ὅμηρος· (Odyss. λ'. 253.)

Ἣ δ' ὑποκυσαμένη Πελίαν τέκε καὶ Νηλῆα.

ὁ δὲ νοῦς· ἡ δὲ Τυρσῆς γενεὰ, τουτέστιν ὁ Πελίας, τούτων ἀκούσας καὶ αἰσθόμενος τὴν ὕδρωδον, ἀπήντησεν αὐτοῖς.

243. Πραΰν δ' Ἰάσων] μαλθακῇ δὲ καὶ οὐ τραχείᾳ φωνῇ ἀπὸ τοῦ γόματος λόγον ἤρξων κατεβάλετο βάσιν καὶ ἀρχὴν τῶν σοφῶν λόγων. Ὄαρον δὲ, τὴν ὁμιλίαν, ἐξ οὗ καὶ ὑαρίζω, τὸ ὁμιλῶ, καὶ ὑαριστὺς, ἡ ὁμιλία.

246. Παῖ Ποσειδᾶνος (sic) Πιτραίου] Πιτραῖος τιμᾶται Ποσειδῶν παρὰ Θετταλοῖς, ὅτι διαιτιμὸν τὸ ἕρη τὰ Θετταλικὰ, λίγω δὴ τὰ Τέμπη, πεποίηκε δ' αὐτῶν ἐπεισέχειν τὸν ποταμὸν Πηνιὸν, πρότερον διὰ μέσης τῆς πόλιος ῥέοντα καὶ πολλὰ τῶν χωρίων διαφθείροντα. καὶ Καλλίμαχος· (Hymn. in Del. 105.)

Φεῦγε δὲ καὶ Πηνειὸς ἐλισσόμενος διὰ Τεμπέων.

οἱ δὲ, ὅτι ἐσί τινες πέτρας πεπηθεῖς ἀπεσκεμάσεις, καὶ τὸν ῥοῦν διξαμένη ἡ γῆ ἐνίδρυται ἔσσω πρώτου, ἐν ἐπικλίσει Σπύφιον. Ἄλλως. ἐπίθετον Ποσειδῶνος ὁ Πιτραῖος. φασὶ δὲ καὶ ἀγῶνα διατίθεσθαι τῷ Πιτραίῳ Ποσειδῶνι, ἔσου ἀπὸ τῆς πέτρας ἐξεκινήθησαν ὁ πρῶτος ἵππος. διὸ καὶ Ἵππιος ὁ Ποσειδῶν.

249. Πρὸς ἐπίσθαι] ἐπίσθαι συρίσσι καλοῦνται αἱ ἰχθύσιναι τῶν ἰορτῶν ἡμέραι, αἱ μιθίορτοι, ἐπισάδες τινες οὖσαι, οἷον ἐπαγόμεναι τῇ ἑορτῇ. τινὲς δέ φασι, παρεμπεσλῆσθαι τὸ βῆτα. τὰς γὰρ ἐπὶ δαιτὶ λίγουσιν ἐπίσδας, ὡς τὴν σίδην, σίσδην, καὶ ἔασον, ἔσασον. οἱ δὲ, μιτῆχθαι ἀπὸ τῶν ἐπισδαλομένων πρεσβέων. βδάλλοντες γὰρ οἱ πομπίνες ἅπαξ, αὖθις ἐπισδάλουσι. νῦν δὲ σημαίνει τὸ μίλλειν, καὶ τὸ μιτὰ ταῦτα. ὁ δὲ λόγος· αἱ τῶν ἀνθρώπων φρένες πρὸς τραχεῖαν ἐρετόντων ἐπίσδαν, ὡς ἂν τις εἴπῃ, παίπερ τοῖς τοιούτοις, μετὰ τὴν παροῦσαν εὐφροσύνην τοῦ κέρδους, τραχείας ἐπιούσης ἐπίσδης, ἤ, παίπερ τοῦ τοιούτου πράγματος τοῦ ἀδίκου ἢ ἐπικερδοῦς τραχεῖαν ἔχοντος τὴν ἐπίσδην, τουτέστι, τὴν μετὰ ταῦτα ἀπόλαυσιν οὐ στρωτὴν ἔχοντος. ὁ δὲ νοῦς· ὦ τοῦ Πιτραίου Ποσειδῶνος παῖ Πελία, αἱ μὲν τῶν ἀνθρώπων φρένες ταχύτεραι ἐπαινέσαι καὶ ἁπλῶσθαι τὸ παρὰ τὸ δίκαιον κέρδος· παίπερ ἐρετόντων ἐκ τῆς ἀδικίας πρὸς τὴν ἐξῆς τραχεῖαν ὁδὸν, ὅμως τὸ κέρδος τοῦ δικαίου πρεσπερίσσωσιν.

250. Ἀλλ' ἐμὲ χρὴ καὶ σὺ θυμοσαμένου] ἀλλὰ πρόσπαυε ἐμὲ καὶ σὺ ἀφιμένους τῶν ἀγαναιτήτων συντιθέναι εἰς τὸ λοιπὸν τοῦ βίου τὴν εὐδαιμονίαν, ἢ δικαίως διαπερίναντας τοὺς τρόπους ἐπιτελεῖν τὴν λοιπὴν εὐδαιμονίαν.

252. Εἰδότι σε ἰρίω· μία βοῦς] βοῦν καταχρηστικώτερον τὴν τοκάδα φησὶ, τουτέστι, τὴν μητέρα. λίγεται δὲ μήτηρ Κρηθεῖ καὶ Σαλμωνεῖ Ἐνάρεια. Ἄλλως. Μία βοῦς. μεταφορικῶς οὖν φησὶ, μία βοῦς, ἀντὶ τοῦ, μία γυνή. Ἴδιος δὲ, οὐκ ἀπὸ ἀνδρογυνίας εἴληφεν ἀπὸ τοῦ Αἰόλου, ἀλλ' ἀπὸ τῆς γυναικός· εἰ μὴ ἄρα οὕτω οἱ πάντων ἀλλήλοις ὁμογάστριοι, ὅ τε Κρηθεὺς καὶ Σαλμωνεὺς, ὁ μὲν Αἴσονος, ὁ δὲ Πελίου. φησὶ τοίνυν· ἴν ἔχομεν γίνος. καὶ Ἡσίοδος· (Fragm. p. 443.)

Αἰολίδαι δ' ἐγένοντο θυμοτρόλοι βασιλῆες,
Κρηθεὺς ἠδ' Ἀθάμας, καὶ Σίσυφος ἀλολαμήτης,
Σαλμωνεύς θ' ὕβρις, καὶ ὑπερθύμου Περιήρης.

ὁ δὲ νοῦς· γινώσκοντί σου λίγω. μία μήτηρ, ἡ Ἐνάρεια, τῷ Κρηθεῖ καὶ Σαλμωνεῖ· ἐν δὲ τρίταις γενεαῖς ἐξ ἐκείνων φυτευθέντες ἡμεῖς, τὴν χρυσῆν δύναμιν τοῦ ἁλίου ὁρῶμεν, τουτέστιν, ἐν ζωῇ διάγομεν.

255. Τρίτατοι δ' ἐν γενεαῖς] ἡ γενεαλογία οὕτω· Σαλμωνεὺς Τυρὼ, Τυρσῆς Πελίας, τρίτος οὖν ἀπὸ Σαλμωνέως ὁ Πελίας. ὁ δὲ Ἰάσων καὶ αὐτὸς οὕτω τρίτος· Κρηθεὺς ἦν Σαλμωνέως ἀδελφὸς, Κρηθέως δὲ Αἴσων, Αἴσονος δὲ Ἰάσων. τρίτος οὖν ἀπὸ Κρηθέως. ὁ μὲν οὖν Πελίας ἀπὸ Σαλμωνέως κατὰ μητέρα ἀριθμούμενος, Ἰάσων δὲ κατὰ πατέρα ἀπὸ Κρηθέως.

259. Εἴ τις ἴχθρα] ἐὰν δέ τις ἴχθρα ὁμογόνως γεννηθῇ, ὥστε καλύπτειν τὴν αἰδῶ καὶ ἀποκρύπτειν, τουτέστι μὴ αἰδεῖσθαι, τοῦ τοιούτου πράγματος ἀφίστανται αἱ Μοῖραι· ὃς ἂν τις εἴπῃ, οὐκ ἐυμοιρεῖται, οὐκ ἀγαθῇ μοίρᾳ χρῶνται. ὁ δὲ Χαῖρις προσθεὶς τὸ ἰ, γράφει, ἀφίσαντο, ἵν' ᾖ ὑπτιασὸς ὁ λόγος· ἀφίσαντο αἱ Μοῖραι, εἰ μίλλοι ἐν τῷ γένει ἡμῶν διαφορὰ γενέσθαι, ὥστε πρὸς ἀναίδειαν τραπῆναι. καὶ οὐκ ἀπιθάνως ὁ Χαῖρις τοῦτό φησι.

261. Οὐ πρίσαι νοῒν] οὐ προσῆκεν δὲ, οὐδὲ δίκαιον ἡμῖν ἀμφοτέροις, χαλκοτύποις ξίφεσιν, ἤγουν τοῖς τῷ χαλκῷ τετρώσθαι δυναμένοις, οὔτε μὴν ἀποτίσαι, τὴν μεγάλην καὶ περίσημον τῶν προγόνων βασιλείαν διαμερίσασθαι.

263. Μᾶλά τι γάρ τοι] τὰ μὲν γὰρ πρόβατα καὶ τὰς τῶν βοῶν ἀγέλας ἁρπάσαι καὶ συγχωρῶ, καὶ πάντας τοὺς ἀγροὺς, ὡς τινας ἀφιλόμενος τῶν ἡμῶν γονέων νέμῃ, τὸν δὲ οἶκον καὶ πλοῦτον ἐκ τῆς ἐπικαρ-

πίας αὖξων. μᾶλλ δὲ νῦν καταχρησικώτερον πᾶσαν τὴν τῶν τετρακόλων κτῆσιν ἀρχαΐζων φησί. καὶ "Ομηρος· (Iliad. ϱ'. 350.)

Διὸς δ' ἀπίπαυσεν ἰκὼ χθονὶ, μᾶλλα δὶ κήδει.

266. Ἀμυτίρων τοκίων] ἀντὶ τοῦ τοκίως, τοῦ πατρός. ὁ γὰρ Αἴσων τοῦ Πελίου κατὰ μητέρα ἀδελφός.

268. Κοὔ μι φωτὶ] οὐκ ἀλγύνει με ταῦτά, φησι, τὸν σὸν υἱὸν αὔξοντα, ἀλλὰ σὺ σαφέστερον τῆς μοναρχίας καὶ ὁ θρόνος τῆς μοναρχίας, ἀπὸ καινοῦ τὸ, φωτὶ μι

271. ᾧ φωτι] ᾧ φωτι θρόνῳ ὁ τοῦ Κρηθέως παῖς Αἴσων ἱσταμβιζόμενος ἰκ' ἐλθείας ἦγε τοῖς ὑπηκόοις τὰς δίκας.

274. Τὰ μὲν ἄπυ] ταῦτα μὲν οὖν καὶ χωρίς τινες ἀνίας καὶ λύπης διάλυσον τῷ δικαίῳ, μά τι πώτιρον ἡμῖν καὶ ἱστίλαξις ἐξ αὐτῆς ἀναφαίη παλύν. ἰὰν δὲ ᾖ, ἀναστήσω, ἴσως ὁ νῦς ταῦτος· μὴ ὁ πωτιρισμὸς ἡμῖν παλὺν ἀναστήσῃ.—Ἄλλως. τινὲς κατὰ συναλοφὴν θέλουσι τοῦτο ἐξηγεῖσθαι, ὡς παρ' Ὁμήρῳ· (Iliad. α'. 203.) " Ἵνα ὔζυρι ἴδῃ " Ἀγαμέμνονος Ἀτρείδαο" ἀντὶ τοῦ, ἴδηται. οὕτως οὖν ἀναστήσῃ ἀντὶ τοῦ ἀναστήσηται.

277. Ὡς ἄρ' ἔειπεν] οὕτως εἶπεν ὁ Ἰάσων. ὁ δὲ Πελίας ἡρέμα καὶ ἡσύχως ἀνταπεκρίθη αὐτῷ.

278. Ἔσσομαι τοιοῦτος (sic)] γενήσομαι τοιοῦτος, οἷος μηδὲν ἀναστῆσαι ἄδικον καὶ πώτιρόν, φησιν. ἀλλὰ θέλω με τὸ γηραιὸν μέρος τῆς ἡλικίας περικυκλεῖ καὶ περιέχει.

281. Σὸν δ' ἄνθος ἥδας ἄρτι κυμαίνει] μεταφορικῶς ἀντὶτοῦ κυμάτων ἡ μεταφορά. πρὸς τί δὲ ταῦτα λέγει; ἐγὼ μὲν εἰς ἱκανόρθωσιν τοῦ γήνους οὐκέτι ἰσχύω τι λοιπὸν, γέρων ὤν· σὺ δὲ νέος ὢν δύνασαι ἀσφαλῶσαι τὸν ἐκ τῶν χθονίων γεγονότα κόσμον τῷ γένει ἡμῶν. ἴδιος δὲ ἦν καὶ ἐνταῦθα ὁ Πίνδαρος μιτὰ τοῦ δέρεος καὶ τὴν ψυχὴν τοῦ Φρίξου πελιδνὸν τῷ Ἰάσονι ἐκ τῆς Αἴας πομίσαι καὶ ἀναπαλίσασθαι. ἐπὶ γὰρ τούτῳ μηνίειν τοὺς χθονίους δαίμονας. τῶν ἄλλων ἐπὶ μόνῃ τὴν πομπὴν τοῦ δέρεος αὐτὸν ἐπιμφθῆναι λεγόντων. ἴσι δὲ τὰς ψυχὰς ἀναπαλῶντο τῶν ἐπὶ ταῖς ἀλλοδαπαῖς ἀποιχομένων, "Ομηρος δηλοῖ· (Od. i. 64. 65)

Οὐδ' ἄρα μοι πρότερον τῆς νίον ἀμφιέλισσαι,
Πρίν τινα τῶν διλῶν ἑτάρων τρὶς ὕπασεν ἀΰσαι.

Ἄλλως. ἐπειδὴ γὰρ ἐν Κόλχοις σίδηρον ὁ Φρίξος, πελιδνὸν μὲν δι' ὀπίρων ἀναπαλίσασθαι τὴν ψυχὴν αὐτοῦ εἰς Θεσσαλίαν παραγινόμενον εἰς τοὺς τοῦ Αἰήτου οἴκους. μελιδνὸν δέ μι καὶ τὸ δέρμα τοῦ κριοῦ ἀφηγεῖν, ᾧ τινί ποτι ἐκ τοῦ πόντου διεσώθη, καὶ ἐκ τῶν τῆς μητρυιᾶς ἀθλίων βιλῶν, τῶν ἰατροσόλων. Ἦθος δὲ ἦν τῶν τελευτησάντων ἐκ' ἀλλοδαπῆς, εἰ καὶ μὴ τὰ σώματα εἶη παρ' αὐτοῖς, τὰς γοῦν ψυχὰς διά τινων μυστηρίων ἀναπαλίσθαι, καὶ ὥστις συμπλεύσας εἰς τὴν πατρίδα διασῴζοιτο.

784. Κομίζαι] ἤγουν ἀναπομίσαι, ἢ ἱστορικῶς ἀξιῶσαι· ἡρωϊκώτερον δὲ τὸ πρῶτον καὶ ἄξιον τοῦ πλοῦ.

288. Ἔκ τι ματρυιᾶς ἀθλίων βιλέων] ἐκακώθη γὰρ διὰ τὴν μητρυιὰν ἐρασθεῖσαν αὐτοῦ, καὶ ἐπιζουλεύθη, ὅστι φυγεῖν. ταύτην δὲ ὁ μὲν Πίνδαρος ἐν Τρωικῆς Διμωτικῆς φησιν, Ἱππίας δὲ Γοργῶσιν, Σοφοκλῆς δὲ ἐν Ἀθάμαντι, Νεφέλῃ, Φερεκύδης Θεμιστώ ἣς καί φησι, τῶν παρῶν φθειρομένων ἐκ ταυτομάτου ἐθελούσιον δοῦναι ἑαυτὸν εἰς σφαγήν. τὸ δὲ ἀθλίων βελέων ἀλληγορικῶς ἀντὶ τοῦ βουλευμάτων, ἢ λόχων, ἢ πραγμάτων. οὐ γὰρ ἐνόησεν αὐτοῦ πρὸς ἃ ἡ μητρυιὰ παρεσκεύαζε, ἐπιζουλεύθη εἰς τὰ τεθυλλημένα. Ἄλλως. ἀθλίων βελέων, τῶν ἐπιζουλῶν φησι, καὶ τὴν κατ' Ἰωὼ ἱστορίαν ἐκτίθεται.

289. Ταῦτά μοι θαυμαστὸς ὄνειρος] ταῦτά μοι ὁ θαυμαστὸς ὄνειρος παραγινόμενος ἔλεγεν.

290. Μεμάντευμαι δ' ἐπὶ Κασταλίᾳ] ἐμαντευσάμην δὲ εἰς Δελφοὺς, εἴ τι ἐγενήσεταί τι τούτων, ὧν ὁ ὄνειρος πρὸ ὕπνου ὑπέθετο, τοιοῦτον, εἰ πραχθεῖν· καὶ ὡς τάχιστα πελιδνὸν ναῦν παρασκευάσασθαι καὶ πλεῖν εἰς τὸν ἐπὶ Σκυθίᾳ ἀκόλουθον.

293. Τοῦτον ἔιθλον] τοῦτον τὸν ἔθλον, φησιν, ἐκὼν ἐκτίλεσεν, καί σοι πρόθημι ἀρχειν καὶ βασιλεύειν τῆς Θεσσαλίας. περὶ δὲ τῶν λεγομένων καὶ τῆς ἀποδόσεως τῆς βασιλείας ὅρκος ἰσχυρὸς καὶ βίαιος ἡμῖν Ζεὺς ἔστω. γενέθλιος δὲ ἀμφοτέρους, Πελίᾳ τε καὶ Ἰάσονι. Σαλμωνεὺς γὰρ καὶ Κρηθεὺς εἰς Δία τὸ γένος ἀνῆγον.

299. Σύνθεσιν ταύταν] ταύτην τὴν συνθήκην τῶν ὅρκων καὶ τῆς βασιλείας πρὸς ἑαυτοὺς ἐποιήσαντες διεχωρίσθησαν.

301. Αὐτὰρ Ἰάσων] ὁ δὲ Ἰάσων αὐτὸς παρεύρυνε τὸν ὄντα καὶ δόξαντα πλοῦν εἰς Σκυθίαν ἀναφανεῖσθαι ταναχυῦ.

303. Τάχα δὲ Κρονίδαο Ζηνὸς υἱοὶ σεμεῖς] φάσκας Σοφοκλῆς ἐν ταῖς Λημνιάσαι τῷ δράματι κατελέγει τοὺς εἰς τὸ Ἀργῶον ἐσελθόντας σκάφος, καὶ Αἰσχύλος ἐν Κιβήρεις*. ὁ δὲ Πίνδαρος συγκαλέσαι τὸν Ἡρακλέα τοῖς Ἀργοναύταις φησίν. ὡς δὲ ἐν Μυσίᾳ ἐξῆλθεν ἐφ' ὕδρισμα, κατελείφθη παρὰ τῶν Ἀργοναυτῶν. οἱ δὲ νιώτερα διὰ τὰ κατὰ

* l. ἐν Καβείροις.

φὴν εἰρεσίαν ἄστιρον αὐτὸν εἶναι καὶ συντρέξειν τὰς πώτας, ὡς καὶ Ἀπολλώνιός φησι· (Argon. i. 1167.)

Δὴ τότ' ἀνοχλίζων τετρηχότας ἄδματος ὀλκοὺς

Μισσόθεν ἄξειν ἐρετμόν.

οἱ δὲ, ὅτι ἐφ' οὗ ἂν ἐκαθίσθη μέρους, ἐκεῖ ἡ ναῦς ἔπλεινεν. ὁ δὲ νοῦς ἐστὶ τοιοῦτος· ταχίως δὲ οἱ τοῦ Κρόνου παιδὸς Διὸς τρεῖς παῖδες τὸν ἀριθμὸν, οἱ ἀποστάσαι κατὰ τὴν μάχην, παρεγένοντο. καὶ ἐκ μὲν Ἀλκμήνης Ἡρακλῆς, ἐκ δὲ Λήδας οἱ Διόσκουροι. πάλιν δὲ συλληπτικῶς ἐχρήσατο τῷ τρόπῳ. φαίνεται γὰρ Ἡρακλῆς Ἀλκμήνης καὶ Λήδας υἱὸς ὤν, κατὰ τὸ ἀδιαχώριστον τοῦ λόγου· ἀλλὰ προσήκει ὑποδιαιρεῖσθαι ἑκάστῳ τὸ οἰκεῖον τῆς γενέσεως προσάπτειν. τὸ χωρὶς οὖν συμζεῦκτικὸς τῷ Ἡρακλεῖ καὶ ἐπὶ τῶν Διοσκούρων καινῶς εἴρηκεν. οἱ μὲν γὰρ Διὸς καὶ Λήδας, ὁ δὲ Ἀλκμήνης μόνος.

306. Δοιοὶ δ' ἀνέρες, Ἐννοσίδα γόνοι] δύο δὲ ἄνδρες παρεγένοντο, ἐκ Ποσειδῶνος ἔχοντες τὸ γένος, τὴν ἑαυτῶν αἰδεσθέντες δύναμιν, τουτέστιν, οὐκ ἀνάξια τῆς ἑαυτῶν ἀνδρείας λογισάμενοι· καὶ ὁ μὲν Περικλύμενος ἐκ Πύλου, ὁ δὲ Εὔφημος ἐκ Ταινάρου, ἅ ἐστιν ἀπροσπήρικτον τῆς Λακωνικῆς. παρεγένοντο· πάλιν συλληπτικώτερον. οὐ γὰρ ἀμφότεροι ἀπὸ Ταινάρου καὶ Πύλου, ἀλλ' ὁ μὲν Περικλύμενος, ἐκ Χλωρίδος καὶ Νηλέως, ἐκ Πύλου φίλλεται, Εὔφημος δὲ ἐκ Ταινάρου, ὡς αὐτὸς προσῆκεν. πῶς δὲ Ἐννοσίδα εἶπε τοὺς δύο; Νηλέως γὰρ ὁ Περικλύμενος, ὁ δὲ Νηλεὺς Ποσειδῶνος υἱός· ὁ δὲ Εὔφημος Ποσειδῶνος ἐκ Ταινάρου, ὡσαὐτὸς δὲ ὁ Περικλύμενος ἐκ Πύλου.

308. Αἰδεσθέντες ἀλκὰν] ἐντραπέντες ἢν εἶχον ἀλκὴν καταισχῦναι, εἰ μὴ ὑπακούσειαν τοῖς παλοῦσι, διὰ τοῦτο ὑπέμειναν πλεῦσαι, ἵνα μὴ καταιδεσθῶσιν ὡς ἀπαίδευτοι.

310. Τῷ (sic) μὲν κλέος ἴσλον] τοῦτον μὲν οὖν ἐξ ἀμφοτέρων τῶν Ποσειδῶνος παίδων δόξα τις ἀγαθὴ συνεπεράνθη κατὰ τὸν ἀπόπλουν τῶν Ἀργοναυτῶν.

313. Ἐξ Ἀπόλλωνος δὲ, φορμικτὰς] παρεγένετο δὲ καὶ ὁ τῶν ἀοιδῶν πατὴρ, ἐξ Ἀπόλλωνος ὤν, καὶ κιθαρισὴς, ὁ εὐαίνητος Ὀρφεὺς, τουτέστιν, ὁ διὰ πάντων ἐπαινούμενος. Ἀπόλλωνος τὸν Ὀρφέα φασὶν εἶναι, ὃν καὶ αὐτὸς ὁ Πίνδαρος καὶ ἄλλοι Οἰάγρου λέγουσιν. Ἀμμώνιος δὲ σύμφωνον τὴν ἱστορίαν θέλων εἶναι, οὕτως ἀποδίδωσιν· " ὁ δὲ " τοῦ Ἀπόλλωνος μουσικός.

Ἐκ γὰρ Μουσάων* καὶ ἑκηβόλου Ἀπόλλωνος

Ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθονὶ καὶ κιθαρισταί. (Hom. hymn. in Mus. et Apoll. 2 sq.)

ὥσπερ οὖν ἐκ Διὸς λέγουσιν εἶναι τοὺς βασιλεῖς, οὐχ ὅτι γόνος εἰσὶ τοῦ Διὸς, ἀλλ' ὅτι τὸ βασιλεύειν ἐκ Διὸς ἔχουσιν, οὕτως ἐξ Ἀπόλλωνος φορμικτὴν αὐτὸν εἶναι. ἠγημὼν γὰρ ὁ Ζεὺς τῆς κιθαρῳδίας." ὁ μέντοι Χαῖρις οὐκ ἀπιθάνως τούτους φησὶν ὀνομάσθαι τοὺς ἐκ Θιῶν γεγονότας, οἷον Διοσκούρους καὶ Ἡρακλέα, οὗτον δὲ καὶ Ὀρφέα, διὰ τὸ Ἀπόλλωνος εἶναι υἱὸν γόην. παρανέθεται δὲ καὶ χρησμόν τινα, ὃν φησι Μίναχμον ἀναγεγράφειν ἐν τῇ Πυθικῇ. ἔχει δὲ οὕτω·

Πίερες αἰνοπαθεῖς, συγγνὸν ἀποτίσετε λώβην

Ὀρφεῖ ἀποκτείναντες, Ἀπόλλωνος φίλεν υἱόν.

καὶ Ἀσκληπιάδης ἐν Ἴλιακῷ Τραγῳδουμένων ἱστορεῖ Ἀπόλλωνος καὶ Καλλιόπης Τμίναιον, Ἴάλιμον, Ὀρφέα.

316. Πίμπλη δ' Ἑρμᾶς] ὁ νοῦς· συνίστιλε τοῖς ἥρωσιν ὁ χρυσῆν μεταχειριζόμενος ῥάβδον Ἑρμῆς, τοὺς διδύμους ἑαυτοῦ παῖδας ἐπὶ τὸν δεινότατον ἆθλον, Ἐχίονα καὶ Εὔρυτον, τῷ τῆς ἀκμῆς ὑπεραίροντας θερμῷ. τὸ δὲ σχῆμα τῆς φράσεως Ἀλκμανικόν. πρὸν γὰρ εἰσὶν τὰ δύο ὀνόματα, μέσην ἔταξε τὴν μετοχήν.

317. Ἐσ' ἄτρυτον πόνον] τὸν ἀκατασβέστον, ἐκ δὲ τούτου τὸν ὑπερζεζλημένον ὡς δεινὸν ἐμφαίνει.

318. Κιχλαδόντας ἥδε] ἀντὶ τοῦ κλήθοντας. κυρίως δὲ χλῆδος ἡ μετὰ ἥδυνου τῶν ὑδάτων ῥύσις, μεμετρικῶς εἰρημένη, ὡς ᾧ βρόμος ταυρός. τῷ δὲ σχήματι τῆς ἑρμηνείας Ἀλκμὰν κέχρηται. ἐσὰν γὰρ περὶ δυοῖν ποιεῖται τὸν λόγον, τὸ ἕτερον ὄνομα προθεὶς περὶ ἀμφοῖν ποιεῖται τὸν λόγον, εἶτα οὕτω τὸ ἕτερον προσαποδίδωσιν, οἷον· " Κέκτωρ " τε, πόλων ταχέων δμητῆρες ἱππόσται σοφοί " καὶ Πολυδεύκης πυδρός." καὶ Ὅμηρος· (Iliad. ε'. 774.)

Ἦχι ῥοὰς Σιμόεις συμβάλλετον ἐς Σκάμανδρος.

Οἱ δὲ περὶ τὸν Εὔρυτον, Ἀντιμενίδας τῆς Μιτύνου.

319. Ταχίως δ' ἀμφὶ Παγγαίου] ὁ νοῦς· ταχύτατα δὲ περὶ τὴν ἐξόρμησιν οἱ περὶ τὸ Πάγγαιον ὄρος οἰκοῦντες Βερεκύδαι τοῖς ἥρωσι συνεπίλλοντο.

321. Καὶ γὰρ ἐκὼν] καὶ γὰρ αὐτοὶς ἐκὼν ψυχὴ προσκνισέτη ταχίως ἐκίλιυσιν ὁ τῶν ἀνέμων βασιλεὺς Βορέας.

324. Ζήταν Κάλαΐν τε] ἵστως δὲ τὰ ὀνόματα στιγμηρὰ ἀπὸ τοῦ πατρὸς, οἷον Ζηθέην, τὸν ἄγαν ὄντα καὶ στίγματα, καὶ Κάλαϊν, οἷον καλῶς ὄντα. τινὲς δὲ ἀναιροῦσι τὸν τῶν Βορεαδῶν μῦθον, οὐ βιαίμε-

* G. in γὰρ τοι Μούσαι.

σι αὐτοὺς εἶναι στερεοτέρους, ταχυτάτους δὲ εἶναι καὶ ἀκύτητι τῶν ποδῶν διαφέροντας, καὶ τὴν Ὠρείθυιαν, οὐχ ὅτι Βορέας ἥρπασεν, ἀλλ' ὅτι ἀνὴρ ὢν ἐν Θράκῃ ἐνεδέξατο. Βορείους δὲ ἐκάλουν οἱ Ἕλληνες τοὺς τὴν Θράκην οἰκοῦντας διὰ τὸ τοῦ Βορέου πνεύματα. ἐτιμήγυντο δὲ τοῖς Ἕλλησιν οἱ περὶ Ζήτην καὶ Κάλαϊν, καὶ ἠγωνίζοντο διὰ τὴν πρὸς Ἀθηναίους συγγένειαν, καὶ ἐπαλαίοντο ἀπὸ τῶν τόπων Βορεάδαι. τὸ δὲ στεροπότας, ἀντὶ τοῦ διακινοῦντας. φρὶξ γὰρ πυρίως ἡ ἀριμαία πίνησις τῶν πυμάτων. μυθικῶς δέ τι ἀνίστασιν, ἱστορεῖσθαι φάσας τοὺς Βορεάδας, καὶ ἕως ἀλληγορικώτερον ὁ μῦθος ἔχει διὰ τὰς ταχίας τοῦ πικροῦ πνεύματος.

328. Πόθεν ἴνδαλεν Ἥρα] ἐπίκλησιν δὲ καὶ ἐνίσχλιν ἐπιθυμίαν ταύτῃ ἥρωσιν ἡ Ἥρα τοῦ Ἀργόου σκάφους, ὥστε μή τινα ἀπολιπόμενον ἀκινδύνως καὶ ἀδήλως τὸν αἰῶνα παρὰ μητρὶ μίσντα διαπᾶσθαι.

329. Μή τινα λιπόμενον] τὸ ὅλον· ἴσως δὲ ἐν ἐπιθυμίᾳ ἐστίν ἡ Ἥρα μὴ ἴζωσιν κινδύνου ἕκαστον παρὰ τῇ μητρὶ μίσντι ἀδήλως, ἀλλὰ καὶ ἐπὶ τῷ θανάτῳ τῆς ἰδίας ἀρίστης πάλλιστον φάρμακον, τὴν μετὰ ταῦτα εἰδοξίαν σὺν τοῖς ἄλλοις ἐμηλιξεν ἰφίσθαι. φάρμακον οὖν θανάτου τὴν ἀριστὴν καὶ τὴν εὐπλειάν φησιν, ἀντὶ τοῦ, παραμυθίαν τοῦ θανάτου ταύτην εὑρεῖν, τὴν ἀπὸ τοῦ διασωθῆναι ἀριστῆν.

334. Ἐς δ' Ἰωλκὸν ἐπὶ κατίδα] ἐκιυδὴ δὲ κατίδη εἰς τὴν Ἰωλκὸν τὸ τῶν ναυτῶν ἀσάνθισμα, τουτέστιν οἱ Ἀργοναῦται. τὸ δὲ κατίδα, ἀντὶ τοῦ κατῆλθε, καὶ συνηθῶς αὐτῷ χρῆται τῇ κατοικῆσαι, ἀντὶ τοῦ παραγενέσθαι. τὸ δὲ λίξατο, ἀντὶ τοῦ κατέλιξε, καὶ κατελίχισεν, ἢ ἀρίθμησεν. " (b) " δ' ἀμφὶς πρώτους λίγε πέτεσθαι" (Hom. Od. δ'. 452.) καὶ τὸ ὠρολόγιον ὡράριθμὸν ἐστιν, ἐν ᾧ τὰς ὥρας ἀριθμοῦμεν.

337. Καὶ ῥά οἱ μάντις] καὶ δὴ τῷ Ἰάσονι ὁ μαντικώτατος Μόψος, ὄρνισί τε καὶ πλήρεις μαντινόμενος, προθύμως ἐνέβησε τῷ σκάφει τοὺς Ἀργοναύτας, αἴσιον γενέσθαι φήσας δηλονότι τὸν ἀπόπλουν. Ἄλλως. ταῖς μαντείαις χρησάμενος ὁ Μόψος ἐνεβίβασε τὸν ῥᾳστὸν προθύμως. εἰώθασι δὲ διὰ πλήρων μαντεύεσθαι τοπρῶν, ᾧ ἦσαν ἐπὶ τῶν ἱερῶν τραπεζῶν οἱ ἀστράγαλοι, οἷς ῥίπτοντες ἐμαντεύοντο. οἷον, ἐὰν βάλλοντός μου τρὶς ἀνοιξῇ, ἀποβλεσθήσεῖαι τόδε, εἰ δὲ μή, οὐκ ἀποβλεσθήσεται. παρ' ἐνίοις δὲ, τρισὶ ἐχρήσαντο μάντεσιν οἱ Ἀργοναῦται, Μόψῳ τῷ Ἀμπυκος, Ἰδμονι τῷ Ἀβαντος, καὶ Ἀμφιαράῳ τῷ Οἰκλέους.

341. Ἐπεὶ δ' ἐμβόλου] ἰδίως τοῦτό φησιν ὁ Πίνδαρος. οὐ γὰρ ταῖς ἀγυρίαις ἐκέχρηντο σίτοι, ἀλλὰ λίθοις, ὡς φησι καὶ Ἀπολλώνιος. Ἔμβολον δέ φησι τὸ ξύλον, ᾧ ἀναδεσμοῦσι τὴν ἄγκυραν. κινότατον δέ ἐστι, ὅτι ἀποπλεῖν μέλλοντες ἀνέλκουσι τὰς ἀγκύρας καὶ τῇ ναυῒ ἐξερτῶσιν. ὁ δὲ νοῦς· ἐκιυδὴ δὲ τοῦ ἐμβόλου ἀνωθεν τὰς ἀγκύρας ἐκρίμασαν, ἀποπλεῖν λοιπὸν μέλλοντες, χρυσῆν φιάλην ἐν χειρὶν ἔχων ὁ τῆς ναὸς ἡγεμὼν Ἰάσων κατὰ τὴν πρύμναν ἐστεφάνωσεν τὸν τῶν Θεῶν πατέρα Δία καὶ τὰς τῆς θαλάσσης ὁδούς, ᾗ τὰς τῆς εὐφροσύνης αἰτίας ἡμέρας ἐκάλει, ᾗ τὴν προσφιλεστάτην ἡμέραν τῆς ἐπανόδου, τυτέστιν, ἐπανατρέψασθαι ἐξέσης.

344. Πατρὶ' Οὐρανιδῆι] τὸν Δία. Διατί δὲ πρῶτον ἐπεστέφθη τῇ θαλάσσῃ, Διΐ καὶ οὐ Ποσειδῶνι ἔθυσεν ὁ Ἰάσων; καὶ φασιν εἰκότως παρὰ τὸ Ἀράτειον· (Phænom. 2. sqq.)

—μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
Πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεσταὶ δὲ θάλασσαι
Καὶ λιμένες.

ἐγχειρίσαντες δὲ Ζῆνα, τὸν τῷ πειρατῇ ἀντὶ ἔγχους χρώμενον. βίλος γὰρ τοῦτο τοῦ Διὸς διδόασιν, ὡς τοῦ Ποσειδῶνος τὴν τρίαιναν, καὶ Διονύσου τὸν θύρσον.

350. Ἐκ νηΐων δέ σ'] ἐκ τῶν νηῶν δὲ ἰζρύντησιν αὐτῷ ὁ Ζεὺς αἴσιον, τουτέστι, σύμβολον αὐτῷ ἰδίδου τῆς ὁδοῦ· ἐκ δὲ τῆς βροντῆς ἀντιλάμψεις καὶ λαμπηδόνες ἐγίνοντο. ὅταν γὰρ βροντήσῃ, ἀστράπτει. Ὅμηρος· (Iliad. β'. 353.)

Ἀστράπτων ἰπιδίξ', ἐναίσιμα σήματα φαίνων.

354. Ἀμπνοὰὶ δ' ἥρωες] ἐκαστπύσαντες δὲ οἱ ἥρωες ἔστησαν ταῖς τοῦ Διὸς σημείοις πειθόμενοι, δῆλον ὡς περὶ τούτου ἀγωνιώντων αὐτῶν. τὸ γὰρ, ἀμπνοὰὶ ἔστησαν, περιφρασικῶς ἀνέπνευσαν δηλοῖ.

356. Κάρυξε δ' αὐτοῖς] ἀνεκήρυξε δὲ αὐτοῖς ὁ μάντις σταυδαιότερον ἐμβαλεῖν ταῖς κώπαις καὶ ἐρίττειν, ἡδίας ὑπεμφαίνων ἐλπίδας. ᾗ δὲ κωπηλασία ἐχώρει ἐκ τῶν ταχιῶν χειρῶν τῶν Ἀργοναυτῶν, ἄπορος οὖσα. ἐκ δὲ τούτου τὸ ἄγαν αὐτῶν κατὰ τὴν ἐρεσίαν περίθυμον ἐμφαίνει.

361. Σὺν Νότου δ' αὔραις] σὺν δὲ ταῖς τοῦ νότου πνοαῖς εἰς τὸ ἄξιον τοῦ νότου σῶμα παρεγίνοντο, ἤδη καὶ προκαθειρομένου ὑρίνεις βωμὸν ἵστασαν καὶ αὐτοὶ Ποσειδῶνος τέμενος, καὶ διξάμενοι Θρακικοὺς ταύρους πυῤῥοὺς τὴν χροιὰν, ἱερούργησαν τῷ Διΐ. Ὅμηρος μέντοι οἰκείως τῇ τοῦ ὕδατος φύσει καὶ τῷ Ποσειδῶνι ἀκουίμει τὰ θύματα· (Hom. Odyss. γ'. 6.)

Ταύρους παμμέλανας Ἐνοσίχθονι πουλυποίτῃ.

μεταφορικῶς δὲ λέγει βωμοῦ θίνας, τὸ πλάτος αὐτοῦ· τῶν γὰρ χειρῶν θίνας καλοῦσι τὸ πλάτος, ἤτοι τὸ πλατύ· τοῦτο δὲ ἀπὸ τοῦ θινῶν πεποίηται τὸ ὄνομα, ἢ ἀπὸ τοῦ θινίου ἐν αὐτῷ. Ἄλλως. Βωμοῦ

Θίνας, τὸ τοῦ βωμοῦ πείλημα, τὸ ὑπαδιχόμενον τὰ θύματα. ἀπὸ κοινοῦ δὲ τὸ ὑπῆρχεν ἀκουτίον· ὑπῆρχε βωμῷ θίνας, κατὰ περίφρασιν, ὁ βωμός, καὶ ὑπῆρχεν ἀγίλη Θρακικῶν ταύρων.

368. Ἐς δὲ κίνδυνον βαθὺν] εἰς δὲ τὸν ὑψηλότατον κίνδυνον προθυμίαν ἔχοντες καὶ σπουδὴν, τὸν τῶν νεῶν ἵφορον καὶ διστότην καθιπίστιον, τῶν συνδρομάδων πιστῶν ἀφυγεῖν τὴν ἀπασμάχητον κίνησιν, καὶ μὴ καταληφθῆναι ὑπ' αὐτῶν. φασὶ δὲ τὰς Κυανέας πίτρας πάλαι ἰπτιπετεῖσθαι τῷ πιλάγει καὶ συμπίπτειν ἀλλήλαις.

370. Συνδρόμων κινηθμὸν] Ὅμηρος μὲν ἱπποπείζει τὸν Ἰάσονος πλοῦν·

Οἵη δὴ πίτνη γε παρίπλω ποντόπορος νηῦς
καὶ τε ἰξῆς (Odyss. μ'. 69). οἱ δὲ νεώτεροι πόντου ὑφίστανται δύο νησίδια σπουπιλιάδη ἀλλήλαις συμπηγνύμενα. καὶ ἴσως Ὅμηρος οὐδὲ αὐτὰς τὰς πίτρας ἱστιπυλίσθαί φασιν, ἀλλὰ τὰ κύματα ἰγκειρόμενα μεταξὺ ταῖς πίτραις προσρήσσειν τὰς ναῦς. φησὶ γοῦν· (Odyss. μ'. 71.)

Καί νυ κι τὴν ἔπιθ' ἅπαν βάλεν μεγάλας ποτὶ πίτρας,

ὅτι τὴν ναῦν προσίμπιξεν ἐν τῇ πίτρᾳ τὸ κῦμα, καὶ οὐκ αὐτὴ ἡ πίτρα συπερίστησι τῇ ἰπίρᾳ. οἱ δὲ νεώτεροι συπερίχειν φασίν. ὁ δὲ Πίνδαρος προστριβόμενόν τι, λίξαν ὅτι δίδυμα ἦσαν ζωαί. ζώσας δὲ αὐτὰς ὅπως διὰ τὴν πίνησιν. ἔτι δὲ διλυραμβικὸν τὸ τῆς παιάνος ἰρμηνίας. πολλάκις γὰρ ἐπὶ τὸ κοῦφον ἀπάγουσι. ἱστιπυλίσθη δέ, φησιν, ἀθλήλαις αἱ πίτραι ταχύτερον, ἤπερ αἱ τῶν ἠχητικῶν ἀνίμων πνοαί.

373. Ἀλλ' ἤδη τιλιυτὰν] ἀλλὰ λοιπὸν πλιυτὴν καὶ θάνατον αὐταῖς ταῖς πίτραις ὁ τῶν Ἀργοναυτῶν πλοῦς ἰπήγαγιν. οἰκείως δὲ τιλιυτὴν ἰπήγαγιν, ὡς πρὸς τὸ ζωάς. καὶ γὰρ εἵμαρτο, διαπλυσάσης νύμφης ῥιζωθῆναι τὰς πίτρας τῷ πιλάγει. ὥσπιρ γὰρ διὰ τὴν πίνησιν ζωὰς αὐτὰς εἶπιν, οὕτω διὰ τὴν τάσιν τὴν ἀπὸ τῆς πινήσιως πλιυτὴν ἰπήγαγιν.

376. Ἐς Φᾶσιν δ' ἵκυσ' ἅλυθον] ἵκυσα εἰς τὸν Φᾶσιν ποταμόν, φησιν, ἅλυθον παρ' αὐτῷ τῷ ταχεῖ (?) Αἰήτῃ, ἵνθα τοῖς καταπλησσομένοις Κόλχοις τὴν ἑαυτῶν ἰσχὺν προσήγαγον καὶ προσίμιξαν· στιφρασικῶς, παριγένοντο. τὸ δὲ πιλαιώτισσιν οἱ μὲν τοῖς καταπλησσομένοις τὴν ὄψιν φασί· τὸ γὰρ πιλαιτὸν ἰκὶ τῆς καταπλήξιος λαμβάνειν εἰώθασιν· οἱ δὲ, ὅτι Αἰγυπτίων ἄποικοί εἰσιν οἱ Σπύθαι. διὸ τοῦτο καὶ μιλανόχροας αὐτοὺς εἶναι λέγουσιν. ἔχουσι δὲ καὶ λιπυργοῦσι τὴν καλάμην, ὥσπιρ Αἰγύπτιοι. Καλλίμαχος· (Fragm. 265. Bentl.) " Καλχίδος ἐκ καλάμης. Φᾶσις δὲ ποταμὸς Σπυθίας, τῆς κατὰ τὴν Ἀσίαν. [ἔστι γὰρ καὶ ἕτερος Εὐρώπης, del.] πλησίον τῆς Μαιώτιδος λίμνης καὶ τοῦ Τανάϊδος ποταμοῦ. τούτου καὶ Ἀπολλώνιος μιμησάμενος (Arg. ii. 403.)

Φᾶσις διπλοίς ἰγχὺ ῥόον εἰς ἅλα βάλλει.

380. Πόντια δ' ἀκυτάτων (sic)] ὕγρᾳ, ἤγουν πιπαιλμένον τῇ τριχώσει, μακροτράχηλον, γλῶσσαν ἔχον ἱστικὸν ἱστιταμένην, πυκνῶς πιριστριφόμενον καὶ πιριδινοῦν τὸν τράχηλον. τοῦτο τὸ ἕρπον δολοῦσαι αἱ φαρμακίδες ἰώθασιν αὐταῖς εἰς τὰς ἐρωτικὰς ἐστιάδας· λαμβάνουσαι γὰρ αὐτὸ διασμιύουσιν ἐκ τροχοῦ τινος, ὃν πιριφέρουσιν ἅμα ἐστιάδουσαι. οἱ δέ φασιν, ὅτι τὸ ἔντερα αὐτοῦ ἐξιλυόσασαι καθάπτουσι τῷ τροχῷ· ταύτην, φησὶ, τὴν ἴυγγα πρώτη Ἀφροδίτη ἐκ τοῦ Ὀλύμπου ἤνεγκεν εἰς ἀνθρώπους, καὶ ἔδωκεν Ἰάσονι, καὶ ἐδίδαξεν αὐτὸν τὰς ἐστιάδας τὰς ἐρωτικάς, ἵν' ἐκμήνας τὴν Μήδειαν ποιήσῃ συμμαχῆσαι αὐτῷ. κεῖται δὲ τὰ μέσα τῶν τροχῶν ξύλα. ἔστι δὲ καὶ μεταφορικῶς ἀκοῦσαι τετράκυκλον, τὰς πτέρυγας καὶ τοὺς πόδας κύκλους ἐκπεμπόμενον, κατὰ τὸ ἀνάλογον δηλονότι. οὐ γὰρ ἁπλῶς ἐκδιπεμπόμενα ἐκ τοῦ τροχοῦ, τετρακύκλου ὄντος, ἀλλ' ἄνωθεν μὲν τῶν δύο πτερύγων, κάτωθεν δὲ ἐκ τῶν δυοῖν ποδῶν. τινὲς δὲ τετρακύκλου· ἀνίγνωσαν, ἵν' ᾖ, ἐν τῷ τετρακύκλου κύκλῳ. ἡ δὲ νοῦς οὕτως· ἡ δέστοινα δὲ τῶν ἐξυτάτων βιλέων, τουτέστι τῶν ἱρώτων, τὴν ποικίλην τῇ τριχώσει ἴυγγα τὸν τετράκυκλον ἐξαγαγοῦσα τοῦ οὐρανοῦ καὶ καταγαγοῦσα, ἐν τῷ ἄλυτῳ ὑποζεύξασα τροχῷ, συνίστατο τῷ Ἰάσονι. Ζητοῦσι δὲ, πῶς τετράκυκλον τὴν ἴυγγά φασιν; οὐδὲ γὰρ λόγου ἔχιται κατὰ τοῦ τροχοῦ ἀκούιιν. οὐδὲ γὰρ τετρακύκλῳ κύκλῳ φησὶ. ῥητέον οὖν, ὅτι κατά τινας, ὁμωνύμως ὁ τροχὸς τῷ ζώῳ ἴυγξ λέγιται, ὃν φασιν ἔχιιν τέσσαρας πτέρας. ἔστι δὲ καὶ μεταφορικῶς νοῆσαι, ὡς πρόκιται.

385. Λιτάς τ' ἐπαοιδάς] τὰς δὲ φαρμακυτικὰς ἐπαοιδὰς ἐξεδίδαξεν ἡ Ἀφροδίτη τὸν σοφὸν Ἰάσονα· ἡ λιτὰς, τὰς λιταπιυτικὰς φησιν, καθὸ οἱ τοῖς ἐπαοιδοῖς χρώμινοι λιταπεύουσι τοὺς θεούς, καὶ εὔχονται τινα γινέσθαι αὐτοῖς. πρὸς τί οὖν ἐδίδαξε τὰς ἐπαοιδάς; ἵνα ἡ Μήδεια, ἣν προστρίψιται αἰδῶ πρὸς τοὺς γονεῖς, ταύτην μὴ κατίχῃ, ἀλλ' ἀναιδὴς γινομένη καταλίπῃ μὲν αὐτούς, προσθῆται δὲ τῷ ξίνῳ.

388. Παθοῦσα δ' Ἑλλὰς] ἡ παθοῦσα δὲ Ἑλλὰς αὐτὴν τῇ τῆς Πιλιάδου μάσιγι κατὰ τὴν φρίνα καιομίνην διανοίᾳ καὶ παρασκινάσῃ συναφθραι τοῖς Ἀργοναύταις.

391. Καὶ τάχα πίτρας' ἀίθλων] καὶ ταχέως τῷ Ἰάσονι ἡ Μήδεια ὑπ[ί]δυσε τὰ πέρατα καὶ τὰ τέλη τῶν ἄθλων, ὃν ἤμελλεν αὐτῷ ἐπιτάττειν ὁ πατὴρ αὐτῆς Αἰήτης.

398. Σὺν δ' ἰλαίῳ] ἡ Μήδεια παρίκρουσε τὸν Ἰάσονα διὰ τοὺς πυρσεύοντας ταύρους,

πρῶτον γὰρ ὁ Αἰήτης ζεύξας αὐτοὺς καὶ καταγαγὼν ἐμέλλησε τῷ Ἰάσονι· ἵν' οὖν μηδὲν ὑπὸ τοῦ πυρὸς πάσχῃ, φάρμακα ἐλαίῳ μίξασα ἔδωκεν Ἰάσονι ἡ Μήδεια. ἀντίτομα δὲ εἶπε τὰ ἐλιξιφάρμακα, κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ῥιζοτόμων. ἀνλούστερον δὲ τῇ ἰατρικῇ χρώμενοι, τὰ πολλὰ τῶν παθημάτων ῥίζαις ἀντιδιράσαντες, ἐξ ὧν ἔπινον τοὺς ἰατρίσθησαν, ὡς Πάτροκλος· (Hom. Iliad. λ'. 845.)

— ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν
Χερσὶ διατρίψας. —

395. Καταίνησέν τι] πατήσαι δὲ καὶ συνίθεντο κοινὸν ποιῆσαι τὸν γάμον τὸν γλαυκὸν καὶ ἀλλήλοις μιγῆναι.

398. Ἀλλ' ὅτ' Αἰήτας ἀδαμάντινον] οἱ μὲν ὡς ἐκ τῆς τοῦ ἀδέμαντος φύσεως τὸ ἰσχυρὸν ἤκουσαν, οἱ δὲ ὅτι ἀληθῶς ἐξ ἀδάμαντος ἦν. εἶχε γὰρ ὁ Αἰήτης χαλκόπουδας ταύρους, οἳ τοὺς προσπελάζοντας κατέκαιον, προχέοντες πῦρ ἐκ τῶν μυκτήρων, οὓς ὁ Αἰήτης καταζεύξας εἰς μέσον ἤγαγε καὶ ἠροτρίασε τὴν γῆν, εἶτα λύσας, ἐκέλευσε τὸν Ἰάσονα ζευγνύειν. Ἄλλως. τοὺς πυρίπνους ταύρους Ἀντίμαχος ἐν Λύδῃ (Schellenberg. Reliqu. Antimachi p. 87.) Ἡφαιστοτύπτους λέγει. καὶ σοφο [Σοφοκλῆς] δὲ χαλκοῦς βοῦς ἀδιαμάτους φ [φησὶν]

Χαλκοσπιλεῖς γὰρ . . .
. . . ἰσανίουσι πτισσόμενον ἄπο·

Φλέγει δὲ μυκτὴρ, ὡς . . . .
καὶ Ἀπολλώνιος· (Arg. iii. 409. sq.)

— δύω πιδίον τὸ Ἀρήϊον ἀμφιέπουσαι
Ταῦροι χαλκόποδες, φύσαι φλόγα φυσιόωντες.

ὁ δὲ νοῦς οὕτως· ὅτι δὲ ὁ Αἰήτης ἐν μέσοις τὸ ἀδαμάντινον κατέθηκεν ἄροτρον καὶ τοὺς βοῦς, αἴτιαι φλόγα ἀπέπνεον τῶν ξυλῶν γενόμενον παμφίνοον πυρὸς, καὶ ταῖς χαλκαῖς ὁπλαῖς ἐκαυῶν ἐπέζεον καὶ ἐπιχάσκοντον τὴν γῆν ἐπιγρεφόμενοι καὶ κατὰ τὴν πορείαν πρεσβεύοντες. τὸ γὰρ ἀμαιδόμενοι αὖσαν ἀκουσίαν, τοὺς πόδας ἐναλλάσσοντες κατὰ τὴν πορείαν.

404. Ὀρθὰς δ' αὖλακας ἐντανύσας] ἐντείνας δὲ ἤλαυνε, καὶ ἐκ' εὐθείας ἔτεμνε τὰς αὔλακας, τουτέστι τὰς εὐθείας τοῦ ἀρότρου τομάς. αὔλακες δὲ εἴρηνται παρὰ τὸν αὐλόν· πᾶν γὰρ ἐνίμηκες οὕτως εἴρηται. καθ' ἃς αὔλακας ἀργυῖαι μέτρον ἴσχυσι στὴν γῆν εἰς βάθος κάτω τῷ ἀρότρῳ. φησὶν οὖν, ὅτι διέτεμε τὰς αὔλακας, ἀργυιὰς μέτρον ἐχούσας κατὰ τὸ βάθος. ὁ δὲ λόγος· τῆς δὲ ἀναζωλακίας γῆς τὸν νῶτον ἴσχιζεν ἐκ' ἀργυιάν. ἀναζωλακίας δὲ, τῆς ἐν τῇ τριπόλῳ τοὺς βόλους ἄνω πιμπούσης.

407. Εἵνεκ' ὄδε] οὕτω δὲ ἔλεγεν ὁ Αἰήτης· τοῦτο τὸ τῆς γεωργίας ἔργον ἐμοὶ τελεισάσας, ἐς τῆς νεὸς προηγεῖτε, τὴν ἄφθαρτον τροφὴν, τὸ πῶμα, ἀφαιρεῖσθε, τὸ κάλλιστον ὂν τῇ χρυσῇ μαλλάσσω. ἄφθαρτον δὲ τροφὴν εἶπε τὸ δέρος, τοῦ προῶ τὸ παίδιον· οἱ γὰρ ἀρχαῖοι ὑποτρόπουσι τὰ κάδια, ἀφ' οὗ καὶ κῶμα ὁ ὕπνος, διὰ τὸ ἐπὶ παιδίων αὐτοὺς κοιμᾶσθαι. Ἀριστοφάνης (Fgq. 400.)

Ἢν σε μὴ μισῶ, γινοίμαν ἐν Κρατίνῳ κάδιον.

ἄφθιτον δὲ αὐτὸ εἶπε, καθὸ χρυσοῦν ἦν. ἢ διὰ χρυσὸς ἄφθαρτος. καὶ ἡ Σαπφώ· (Brunck. Anal. i. p. 57. v. in Fragm. Pind. p. 94.)

Ὅστι Διὸς παῖς ὁ χρυσὸς,
Κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει,
Βροτέαν φρένα κάλλιστ' ἰὼ φράσσων.

Θυσάνῳ δὲ, τῷ μαλλῷ φησί. θύσανα γὰρ οἱ πρόσω, ἀπὸ τοῦ θύεσθαι καὶ παραπωμεῖσθαι. νῦν δὲ ἐπὶ τῶν μαλλῶν τετύχαται· καὶ γὰρ οὗτοι θύονται διὰ τὸ εὐτραφές.

412. Ὡς ἅρ' αὐδέσαντος, ἀπὸ κρίσεως] ἢ τὸ προκαθῆς, ἢ τὸ ὑφαντὸν, παρὰ τὴν κρίκην. ὁ δὲ νοῦς· ἀποβλέψας δὲ ὁ Ἰάσων τὸ προσταχθὲν ἐμέλησε, πιθόμενος δὲ καὶ πιστωθεὶς τῇ Ἀφροδίτῃ, εἶχε τοιοῦ ἔργου τοῦ ἀροτριᾶν. ἦν δὲ Διὸς πίστις, τῷ Ἔρωτί φησιν, ἢ τῇ Ἀφροδίτῃ, ἢ τῷ Διΐ· τὸ δὲ πᾶς αὐτὸν οὐκ ἐπάρασι, ταῖς ἐντολαῖς τῆς Μηδείας πιστεύσας. αἰόλλειν δὲ, τὸ ταράσσειν, καὶ αἰόλλησις, ἡ πίνησις. ὡς καὶ Ὅμηρος. (Odyss. ε'. 27.)

Αἰόλλει, ῥάλα δ' ὧπα λιλαίεσθαι ἐπιπνεῦσαι.

Ζητεῖται δὲ, πῶς τὸ πᾶς οὐκ ἐπάρασι τὸν Ἰάσονα; ὁ μὲν Πίνδαρος οὐκ ἐξίστησι, ἡ δὲ ἱστορία οὕτως· ἐπέλιπεν ἡ Μήδεια τῷ Ἰάσονι μὴ ἀλαύειν πρὸς τὸν ἀντιπίπτοντα ἄνεμον τοὺς βόας, ἵνα μὴ τὸ πᾶν, ἀντιπιμπάντος τῆς πνοῆς. βλάψῃ τοῦτον, ἀλλ' ὅπισθεν φερομένης, ἅπερ συντρέχουσης καὶ ἐξωθούσης εἰς τοὔμπροσθεν τὴν τῆς φλογὸς ἀποφόρησιν. ἐπέλιπεν δὲ καὶ συμπεράσαντα τὴν αὔλακα, ἀπὸ τοῦ ἐπίνης τέλους μὴ δρχίσθαι, ἵνα μὴ ἴθος τοῖς ἀροτριῶσιν, ἀλλ' ἀναπεδίσαντα οὕτω πάλιν ἄρχισθαι, διὰ τὸ πνεύματα τὰ ἀντιπίπτοντα, ὡς ἔφαμεν. ἰφτιμαῖς δέ φησιν, ἀντὶ τοῦ, ταῖς μαγείαις, ἃς ἐπιτέλεστο τῷ πυρί, ἢ ὅτι ἐπετέλεστο αὐτῷ, τούτοις τοῖς φαρμάκοις ἀλειψάμενον, οὕτως ἴσχισθαι, καὶ ἰσάζειν αὐτῆς ταῖς ἐντολαῖς.

416. Σπασάμενος δ' ἄροτρον, βοίους δύσας ἀνάγκας] τουτέστι, τοὺς ἐκ βοείων δερμάτων λώρους, ἅπερ ἀνάγκας ἔνιοι, ἵν' ᾖ περιφραστικῶς, τῇ ἀνάγκῃ, ἢ ἀνάγκῃ, ἵνα λέγῃ, τῇ ἰσχύϊ, τῇ ἐκ τῆς ἰσχύος ἀνάγκῃ. ἐρρῶς δὲ τὸ ἀνάγκας. οὐ γὰρ ἐκύκλου τοῦτα τὰ ζῶα ἀροῦ καὶ πονεῖ, ἀλλὰ μετὰ τῆς ἐξ ἡμῶν ἀνάγκης, ἐπιτιθεμένης αὐτοῖς. ὁ δὲ νοῦς· σπασάμενος δὲ ὁ Ἰάσων τὸ ἄροτρον, καὶ δήσας ταῖς βοείοις λώροις, καὶ σπεῖς τοῦ

ζυγοῦ ἀνάγκαις τοὺς αὐχίνας αὐτῶν ἰμελαλὼν, ἤλασιν.

422. Ἠΰξι δ' (sic) ἀφωνήσῃ] καί τις τοιοῦτῳ ἄχει φησὶ, πληγὶς ἀφώνῳ, καθ' ὃ οὐκ ἄν τις φωνὴν ἀφίῃ, ἀλλ' ἰκταίη, ὅμως ἀνιόσησι θαυμάσας. ὁ δὲ νοῦς· ἰσίνακξι δὲ λαθραίως κατὰ τὴν ψυχὴν ὁ Αἰήτης, τὴν τοῦ Ἰάσονος δύναμιν θαυμάσας.

426. Στιφάνοισίν τέ μιν] ἰσίον, ὅτι τοπαλαιὸν ἰφυλλοβόλουν τοὺς νικηφόρους τοῖς τῆς γῆς χλωροῖς. κυρίως δὲ τὸ ἱρίστιον ἐπὶ τῶν ἀλόγων ζώων τάττεται, ὅτι ἐπὶ τῇ ἕρᾳ, τουτέστι, τῇ γῇ, ἐσθίουσιν. ὡς Ὅμηρος· (Iliad. Ψ'. 560.)

Ἵπποι δὲ περὶ λιπαὶ ἱριστόμενοι καὶ ἀλύοντες.

νῦν δὲ καὶ ἀντὶ τοῦ ἕρεφον ἴλαδι, τουτέστιν, ἐστέγουν, ἐστέφανον

428. Αἰνέτα δ' Ἀιλίου θαυμαστὸς υἱὸς] οὐθέως δὲ ὁ τοῦ Ἡλίου, φησὶ, παῖς Αἰήτης τὸ χρυσόμαλλον κῶας ὑπιδέκνυι τῷ Ἰάσονι, ἔνθα αὐτὸ ἐξέστιναν αἱ τοῦ Φρίξου μάχαιραι, τουτέστιν, ἡ περὶ τὸ ἐνδέρυμα τοῦ Φρίξου ἐνέργεια. Φυξίῳ γὰρ Διὶ τὸ δέρος ἀνέρωσιν. ἴνιοι δέ φασιν ὑπὸ τοῦ Φρίξου ἀνατεθῆναι τῷ Ἄρει τὸ τοῦ χρυσομάλλου κριοῦ δέρος.

434. Κεῖτο γὰρ λόχμᾳ] τῷ δασεῖ τῆς ὕλης. λόχμα γὰρ τὸ δάσος. καὶ παρ' Ὁμήρῳ· (Odyss. σ'. 439.)

Ἐνθα δ' ἄρ' ἐν λόχμῃ πυκινῇ κατέκειτο μίγας σῦς.

λείπει δὲ ἡ ὑπό. ὑπερῦχε δέ, φησιν, ὁ δράκων, πεντηκόντορον ναῦν, ἐνίκα τῷ μεγέθει, μείζων ἦν αὐτῆς· ἦ οὕτως· εἰ ἐνίκαλις αὐτὸν εἰς τὴν πεντηκόντορον ναῦν, πλήρωμα ἂν αὐτῆς ἐγένετο, ὅσοι περιττεύουν τινὰ μέρη αὐτοῦ καὶ ὑποκεῖσθαι. ὁ δὲ νοῦς· κατίσχυτο δέ, φησι, τὸ κῶας ὑπὸ τῶν δεινοτάτων τοῦ δράκοντος γινύων, ἃς καὶ τῷ πάχει καὶ τῷ μήκει τοῦ σώματος πεντηκόντορον ναῦν κατέχειν, ἤ, ὡς ἴνιοι, ἰμελληθεὶς ἐπλήρου ναῦν πεντηκόντορον.

438. Ἂν πληγαὶ σιδήρου] ἦν τινα ναῦν συνιστέρνον αἱ τοῦ σιδήρου πληγαί. πάλιν τῷ συνήθει σχήματι καὶ τρόπῳ κέχρηται τὸ ἐνικὸν τῇ πληθυντικῇ συζυξίᾳ, καίτοι παρὸν εἰστῖν, τίλισσαν. γεάφεται δὲ καὶ φίλισσαν.

439. Κατ' ἀμαξιτὸν] ἀντὶ τοῦ μακρῶς λέγω, καὶ τὰ ποιήματα ἐστιστίνω, (f. τῷ) κατὰ τὴν ὁδὸν ταύτην τῶν ἐγκωμίων τοῦ Ἰάσονος πορεύεσθαι καὶ λέγειν. καιρὸς γάρ μοι ἐστίγει, ὅστε πρὸς τὸν Ἀρκεσίλαον ἀναδραμεῖν, καί τινα οἶδα ὁδὸν βραχεῖαν, τουτέστιν, οἶδα κατὰ τὰς ἐξηγήσεις καὶ βραχέα λέγειν.

442. Σοφίας ἱσίρεις] ἤτοι ταύτης τῆς σοφίας, τῆς περὶ τὸ συντόμως λέγειν, καὶ ἄλλαι γέγονα παιδηγητὴς, ἢ ἴσι διδάσκαλος, ἢ πολλοῖς περιέσχον ἄλλοις ὡς ἐν συντομίᾳ, ὥστι ταχέως αὐτὰ ἐξεπεῖν.

448. Κτεῖνε μὲν γλαυκῶπα] ἐστεινέστυ τῆς ἱστορίας τὸ συμπέρασμα καί φησιν· ὁ δὲ Ἰάσων ἀνεῖλε ταῖς τῆς Μηδείας σίχναις τὸν γλαυκόφθαλμον καὶ στεπτιπλεμένον ἔχοντα κῶτον ὄφιν, Ἀρκεσίλαε.

445. Κλίψεν τε (sic) Μήδειαν] ἔκλεψε δὲ καὶ τὴν Μήδειαν ἰκοῦσαν, τὴν τὸν Πελίαν φονεύσασαν. ὁ δὲ νοῦς· κατεργασάμενος μὲν γὰρ τὸν ἆθλον ὁ Ἰάσων, λάθρα τοῦ Αἰήτου καὶ τῶν Κόλχων ἀπέκλεψε τὴν Μήδειαν ἰκοῦσαν καὶ αὐτὴν τὴν τῷ Πελίᾳ φόνον γενομένην. εἶτα ναυτιλλόμενοι ἐνεμίγησαν τῇ τε τοῦ Ὠκεανοῦ πελάγει, καὶ τῇ Ἐρυθρᾷ θαλάσσῃ, καὶ τῶν Λημνίων γυναικῶν τῶν ἀνδροφόνων τῇ ἴδνει· ἀπὸ κοινοῦ τὸ ἐμίγησαν.

446. Πελίαο φόνου] ὁ Χαῖρις οὐ βούλεται συνθέσως ἀναγινώσκειν τὸ, Πελιαοφονῶν, ὡς Δίδυμος. (cf. Iliad. σ'. 143.)

447. Ἐν τ' Ὠκιανοῦ πελάγεσσι μίγεν] προσεπίλασαν δὲ καὶ τῷ Ὠκεανῷ, καὶ τῇ Ἐρυθρᾷ Θαλάσσῃ. καινῶς δὲ ὁ Πίνδαρος εἰς ταῦτα τὰ πελάγη ἱστορεῖ πεπλανῆσθαι τοὺς Ἀργοναύτας. Ἄλλως. Ἐν τ' Ὠκιανοῦ πελάγεσσιν. ἴνιοί φασι τὴν περίθεσιν περιττεύειν τοῦ λόγου. εἴληφε δὲ ὁ Πίνδαρος τὸ πρῶτον πάντων γινόμενον, καὶ ἀντιγραμμίνως ἰσχατον σίθεικεν. εἰς μὲν γὰρ τὸν Ὠκεανὸν καὶ τὴν Ἐρυθρὰν εἰσέβαλον, φεύγοντες ἐκ Κόλχων· ταῖς δὲ Λημνίαις ἐμίγησαν, πρὶν εἰς τὸν πόντον ἐκπλεῦσαι, ἀλλ' ἵνα ἐπὶ τὴν τοῦ γένους ἀρχὴν ἐκανέλθῃ, τὸ πρότερον ἀντιγραμμίνως ὕστερον ἴθηκεν, οὐκ ἀκολούθως. οὐ γὰρ ὑποτρέφοντες προσέβαλον τῇ Λήμνῳ, ἀλλ' ἐκπόντες.

449. Ἀνδροφόνων γυναικῶν] ἀνδροφόνου γυναικῶν φησιν ἐξ ἰδιότητος τῆς ἱστορίας. αἱ τῶν Λημνίων γυναῖκες ἀστεβήσασαι εἰς τὴν Ἀφροδίτην, δικαίως ἔσχον μηνῶσαν τὸν Θόαντα μόσος γὰρ αὐταῖς πρὸς τοὺς ἄνδρας προσεπεφύκει. καὶ οὕτως ἐκεῖνοι πρὸς τοὺς Θρᾴκας πολεμοῦντες, κἀκ τοῦ πολέμου τὰς αἰχμαλώτιδας λαβόντες, παρεκομίσαντο· ἐφ' ᾧ ζηλοτυπήσασαι αἱ γυναῖκες ἐψηφίσαντο ἐκ Θρᾴκης τοὺς ἄνδρας ὑποτρέψαντας ἀπελθεῖν, ὅπερ καὶ πεποιήκασιν.

450. Ἔνθα καὶ γυίων ἀθλοις] αἱ μὲν τῶν ἱστορικῶν βούλονται τοὺς Ἀργοναύτας ἀγωνίζεσθαι ἐπὶ τοῖς ἀναιρεθεῖσιν ἀνδράσιν, αἱ δὲ ἐπὶ τῷ Θόαντος φόνῳ. τὸ δὲ ἶνδα, ἐν τῇ Λήμνῳ· ἐν τοῖς ἀγῶσιν ἐστιθέξαντο τῶν μελῶν τὴν ἀθρίαν καὶ τὴν κρίσιν, ἀγωνιζόμενοι περὶ ἐσθῆτος. τὸ δὲ, ἐσθῆτος ἀμφὶς, ἀμφίζαλον, πότερον τῆς ἐσθῆτος χωρὶς ἠγωνίσαντο, τουτέστι γυμνοί; ἢ τὸ ἀμφὶς ἀντὶ τῆς περὶ διετέον· χρῶνται γὰρ τῇ λέξει καὶ ἐπὶ τούτων. ἴν' ἢ τὸ ἕκαθλον ἐσθῆτα, ὅστε περὶ ἐσθῆτος αὐτοὺς ἠγωνίσθαι, ἃ καὶ

ὀγτής ἐστι. ᾗ γὰρ καὶ παρὰ Σιμωνίδῃ ἐστὶν ἡ ἱστορία, ὅτι περὶ ἐσθῆτος ἠγωνίσαντο. καὶ Πίνδαρος ἐν Ὀλυμπιονίκαις. (ix. 146.)

45ϑ. Τουτάκις ὑμετέρας ἀπτῖνας] σημαίνων δὲ τοῦ σοῦ γένους τὰς λαμπηδόνας καὶ καταβολὰς σὺν εὐδαιμονίᾳ διοδεύσας μεμεριμένον ἦμαρ, ἢ νύκτις. ὁ δὲ νοῦς· τὸ σημαινόμενον τοῦ σοῦ γένους ἢ καταβολὴ γίγνεται ἐν ἡμέρᾳ, ἢ ἐν νυκτί. Ἄλλως. τοῦτο λέγει, ὅτι ἢ νυκτὸς ἢ ἡμέρας συνιλθόντες ταῖς Δαρυάσι γυναιξὶν οἱ ἥρωες, ἴσχυον ἡμᾶς.

455. Τόϑι γὰρ γένος Εὐφάμῳ] ἀστοχεῖ φησὶ τὸν λόγον περὶ τὸν Ἀρκεσίλαον, ἐπεὶ Ἀριστοτέλης, ὁ μέγογονος αὐτοῦ ἀπὸ τῶν Λημνίων γυναικῶν ἦν. οἱ γὰρ Ἀργοναῦται ἐν τῇ Λήμνῳ ταῖς Λημνιάσιν ἐπλησίασαν, ἐν οἷς καὶ Εὔφημος Μαλάχῃ συνιλθὼν Λιτυοφάνην ἐτοίησεν, ἀφ' οὗ Ἀριστοτέλης ὁ μέγογονος Ἀρκεσιλάου. Ἄλλως· Τόϑι γὰρ γένος Εὐφάμου φυτευϑέν. διὰ τούτων τὴν ἐν ἀρχῇ μέμψιν συγκεφαλαιοῖ, καϑ' ἣν εἶπε τὸν Ἀρκεσίλαον ταῖς Μούσαις ἀποδόσιν, καὶ τὸ πάγχρυσον νάος κριοῦ. μετὰ γὰρ ἐκεῖνο πλευσάντων Μινυῶν Ἰάσιμοι σφίσι τιμαὶ φύτευϑεν, τοῦ Εὐφήμου γεννήσαντος ἐκ τῆς Λημνίας τὸν τούτων ἀρχηγὸν τοῦ γένους. οἱ γὰρ ἀπὸ τούτων ἐπισύντες ἐκ Λήμνου εἰς Λακεδαίμονα παρ.γένοντο, ἐκεῖϑεν δὲ ἀπάραντες εἰς τὴν νῦν καλουμένην Καλλίστην νῆσον. Θήρα τὴν ἀποικίαν ἀγαγόντος, ἀφ' οὗ Θήρα μετωνομάσϑη. Διατρεῦσαι δέ τινες, διατί μόνου Εὐφήμου μεμνημένοι, πολλῶν ταῖς Λημνίαις πλησιασάντων; ἐπιλύεται δὲ ὁ Δίδυμος ταύτην τὴν ἀπορίαν, φάσκων, ὅτι ἀπὸ Εὐφήμου τούτου ἐγένετό τις καὶ ἕτερος Εὔφημος, ὁ σὺν Βάττῳ τὴν Κυρήνην κτίσας, ὃν, διὰ τὴν ὁμωνυμίαν, ἐκείνου τὶς ὑποστατάσιαν εἶναι. ἐγένοντο δὲ καὶ πλείους Εὔφημοι· πρῶτος ὁ Μηκιονίκης καὶ Ποσειδῶνος· δεύτερος ὁ Σάμου παῖς, ἀπόγονος τοῦ πρώτου Εὐφήμου· τρίτος ὁ σὺν Βάττῳ· τέταρτος ὁ κατὰ τὸν Ἀρκεσίλαον, ὃν ξενολογήσαντα ἔπεμψεν ὁ βασιλεὺς, ᾗ τὸν Πυθικὸν ἀγῶνα ἀγωνιούμενον.

459. Ἂν ποτε Καλλίσταν ἀφίκηται χρέοσ πᾶσιν] Καίρεις βούλεται γράφειν, ἵν ποτε, ἀντὶ τοῦ, ἂν ποτε, κατὰ τὴν Πινδάρου συνήϑειαν. τὸ δὲ ἰξῆς· οἱ δὲ ἀπὸ τῶν ἡρώων γεγενημένοι παῖδες καὶ τοῖς Λακεδαιμονίοις μιχϑέντες, κατὰ τὴν ζήτησιν τῶν πατέρων, παρίσαλον εἰς τὴν Ἑλλάδα, καὶ εἰς τὴν Καλλίστην ποτὲ χρέον ἀφίκοντο. Καλλίστην δὲ τὴν Θήραν φησὶ Καλλίμαχος· (Fragm. 112. p. 484. t. i. Ern.)

Καλλίστη τὸ πάρος μέν, τὸ δ' ὕστερον οὔνομα Θήρη.

461. Ἐνϑεν δ' ὕμμι Λακεδαῖδαι ἔσονται] ἐντεῦϑεν δέ, φησιν, ἐκ τῆς Θήρας τῷ σῷ γένει, Ἀρκεσίλα, ὁ Ἀπόλλων χρησμοῖς καὶ μαντείαις δίδωσι τὸν ϑεῖον τιμαῖς αὔξειν, καὶ διαπαῦν τὸ ϑεῖον πόλισμα τῆς τίμιον ἰχούσης ϑρόνον Εὐρέων; (ἴνα ἐπὶ τὴν νόμφην τὸν λόγον ἀνάγωμεν) τοῖς συνετὴν γνῶσιν εὑρεῦσι.

467. Γνῶϑι νῦν τὸν Οἰδιπόδα σοφίαν] πρεσβεύεται τὸν Ἀρκεσίλαον ὁ Πίνδαρος συνορᾶν αὐτοῦ τὸ αἴνιγμα. τὸ γὰρ, τὸν Οἰδιπόδα σοφίαν, τοῦτο βούλεται, ὅτι παπαῖνες τὸ τῆς Σφιγγὸς αἴνιγμα ἔλυσεν. ἢ δὲ αἰνίττεται, τοιοῦτόν ἐστι. ἐπαισάτό τινες τὸ τῇ Κυρήνῃ κατὰ τοῦ Ἀρκεσιλάου, βουλόμενοι αὐτὸν μεταστῆσαι τῆς ἀρχῆς· ὁ δὲ ἐπιφανέστερος αὐτῶν γενόμενος ἐφυγαδευσεν αὐτοὺς τῆς πατρίδος. ἐν τοῖς οὖν φυγαδευσαις ἦν καὶ ὁ Δημόφιλος, ὃς καὶ αὐτὸς ἀνάστατος γέγονε τῆς πατρίδος, καὶ φυγαδευϑεὶς ἔρχεται εἰς Θήβας, καὶ ἀξιοῖ τὸν Πίνδαρον. τινὲς δέ, ὅτι καὶ τὸν μισϑὸν τοῦ ἐπινικίου δίδωσι τῇ Πινδάρῳ αὐτὸς, ὅπως τῇ τοῦ ἐπινικίου γραφῇ διαλλάξει αὐτὸν πρὸς τὸν Ἀρκεσίλαον. ἢ δὲ αὐτῷ καὶ πρὸς γένους.

468. Εἰ γάρ τις ἔζους] περὶ Δημοφίλου ἀπολογεῖται τὸ αἴνιγμα. εἰ γάρ τίς, φησι, περικόψει δρῦν, ὅμως δὲ καὶ τὸν παρὸν ἀποδιδλησεῖ φέρει περὶ ἑαυτῆς ψῆφον, γεγαμένη ἢ οὐδὲς, ἢ τι ἄλλο τοιοῦτον. ὡς καὶ Ὅμηρος· (Odyss. φ'. 43.)

Οὐδέ τι δούπον πρωτιδόωσα.

ἢ τὸ πανίσχιον, εἴ ποτε πυρὸς χειμερίου χρεία γίνηται, πρὸς ἁλίαις χρήσεσι, ὅτου χρήσιμός ἐστιν. ὁ δὲ νοῦς τοιοῦτος· εἰ γάρ τις μεγάλας δρυὸς ἐκπέψει κλάδους ᾗ πανισχύνει αὐτῆς τὸ ϑαυμαστὸν εἶδος τῇ τῶν ἀκρεμόνων περικοπῇ, ὅμως καὶ ῥιζόπορος οὖσα ψῆφον περὶ αὐτῆς δίδωσιν, ὅτι δύναται εἴς τι χρησιμεῦσαι καὶ ἄκαρπος οὖσα, ὅταν αὐτὴ κατὰ τὸν χειμῶνα πῦρ λοίσϑιον γίνηται.

480. Ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος] οὐχ ὅτι ἰατὴρ, ἤτοι ἰατρὸς, ἦν ὁ Ἀρκεσίλαος, ἀλλ' ὅτι ἐνίσει τὴν φυγὴν ὁ Δημόφιλος. φησὶ γοῦν· δεῖ αὐτὸν πρὸς σοῦ ϑεραπεύεσϑαι· τουτέστι, ϑεραπευτικὸς εἶ τῆς παρεούσης κατασέσεως. τοῦτο γὰρ δηλοῖ τὸ ἐπικαιρότατος.

481. Παιὰν σί σοι τιμᾷ] ὁ δὲ Ἀπόλλων σοι τετίμηκε τὸν ζωὸν. τῇ μέντοι τροσῇ ἐπιμένει διόλου· ἰατρικῆς γὰρ προσώτης ὁ Διός. Ἄλλως. Παιὰν τί σοι. καὶ αὐτός σοι ὁ Παιὰν τὴν εἰς τοῦτο δύναμιν παρέχεται· ποιεῖται δὲ τὸν λόγον ὑποψίας ἐπιτρόπης τοῖς Κυρηναίοις πρὸς τὸν Ἀρκεσίλαον, καὶ, ταραττομένων αὐτῶν ὑπ' ἐκείνου, ἢ ἰλαττουμένων, παραινεσάμενος κατασῆσαι τὴν πόλιν ἐπὶ τὸ ἀρχαῖον.

482. Χρὴ μαλακὰν] τροσάπτει τὸ τραπεῖαν ἐπιφέρουσα τὴν χεῖρα ϑεραπεύειν τὸν τοῦ ἕλκους τρῶσιν, καὶ μὴ τὰς ἀλγηδόνας τρίβειν. Καὶ ταῦτα μεταφορικῶς ἀπο-

φίσι. δεῖ, φησιν, αὐτὸν μαλακὴν προσφέροντα τὴν χεῖρα τὴν τοῦ ἵλεως τρῶσιν θεραπεύειν.

484. Ῥᾴδιον μὲν γὰρ πόλιν σιῶσαι] τὸ μὲν γὰρ διασεῖσαι πόλιν καὶ τοῖς ἀσθενεστέροις ῥᾴδιόν ἐστι, μή τοι γε δὴ τοῖς ἐν δυνάμει κειμένοις. οἷον εἰώθαμεν λέγειν· τὸ καλὸν ῥᾴδιον ποιῆσαι. ἀλλὰ διασεισθεῖσαν πόλιν ἐπὶ χώρας καταστῆσαι δυσχερές ἐστιν, ἐὰν μὴ θεὸς ἡγῆται τοῖς δυναστεύουσιν, εἰς τὸ αὐτὸ πειρωμένοις ἀγαγεῖν κατάστημα.

489. Τὶν δὲ τούτων] διπλῆ ἐστιν ἡ διάνοια, καὶ οἱ μὲν οὕτως ἀποδιδόασι· σοὶ δὲ τούτων αἱ χάριτες κατακράττονται, ἐὰν τῆς Δημοφίλου φυγῆς φροντίσῃς. οἱ δὲ οὕτως· ὅτι μάλιστα παρὰ σοῦ αἱ τοιαῦται χάριτες γίνονται καὶ πράξεις περὶ τῶν διοικουμένων ἐν τῇ βασιλείᾳ. Ἢ ἄλλως· σοὶ δὲ τοῦ κυβερνᾶσθαι ὑπὸ θεῶν ἐκπεπλοῦνται χάριτες. ἢ οὕτω· σοὶ δὲ καὶ τοῦ καταρθῶσαι ὑπὸ θεῶν αἱ χάριτες ὑπόκεινται. ἢ καὶ οὕτω· σοὶ δὲ καὶ τοῦ κατορθῶσαι τὴν πόλιν αἱ χάριτες ἐξυφαίνονται ὑπὸ θεῶν, ἢ παρὰ τῶν θεῶν κατασκευάζονται· φευτέον, ἔχεις παρὰ θεῶν διδομένου τὸ δύνασθαι τὴν πόλιν εἰς τὸ ἀρχαῖον ἀποδοῦναι κατάστημα.

491. Τλᾶθι] ἰδίως τῷ τλᾶθι κέχρηται ἀντὶ τοῦ, ὑπόμεινε καὶ πράως φέρε τὰ ἡμαρτημένα. ἢ, τλᾶθι φᾶς ἰὼδαίμονος, ὑπόμεινον περὶ τῆς εὐδαιμονός, φησι, Κυρήνης πᾶσαν ἔχειν σκουδήν, ὡς καὶ τῆς πόλεως λυτουμένης καὶ ζητούσης τοὺς φυγαδευθέντας πολίτας, καὶ ὀφείλοντος αὐτοῦ τιμῆσαι τὸ δαιμόνιον.

493. Τῶν δ' Ὁμήρου καὶ τόδι] τῶν δὲ Ὁμήρου καὶ τόδε σύντε τὸ ῥῆμα, οἷον, κατὰ μνήμην ἔχει καὶ τίμα. διὰ γὰρ τοῦ, πόρσυνε, καὶ τόδε ἀκουστέον. ἐκείνου δὲ τοῦ ἕπους μέμνηται, τοῦ· (Iliad. σ'. 207.)

Ἐσθλὸν γὰρ τὸ τίστυται, ὅτ' ἄγγιλος αἷσιμα εἰδῇ.

τοῦτο δὲ πρὸς ἑαυτὸν Πίνδαρος ἀνάγει, ὅτι ὀφείλεις μοι πιεσθῆναι περισεύοντι, ὡς ἀγαθῷ ἀγγίλῳ.

496. Αὔξεται καὶ Μοῖσα] ἀντιστρόφως εἶπε. θέλει γὰρ εἰπεῖν· αὔξεται δ' ἡ ἀγγιλία, διὰ μουσικῆς τῆς ἑαυτοῦ. αὔξεται καὶ ὀρθὴ γίνεται ἡ ἀγγιλία, τουτέστι, διὰ τῆς ποιήσεως. αὕτη γὰρ ἡ ἀγγίλλουσα καὶ συμβουλεύουσα τῷ Ἀρκεσιλάῳ διαλύσασθαι πρὸς τοὺς πολίτας. ὁ δὲ νοῦς· αὔξεται καὶ ἡ ποίησις δι' ὀρθῆς ἀγγιλίας καὶ πειθοῦς.

497. Ἐστίγνω μὲν Κυράνα] ἀντὶ τοῦ ἐπειράθη, γνῶναι ἔσχεν. ὁ δὲ νοῦς· ἐστίγνω μὲν καὶ ἡ Κυράνη, καὶ ὁ τοῦ Βάττου εἶπες, τουτέστι, τὸ σόν, ὦ Ἀρκεσίλαε, εἶπεμα, τὴν δικαιοσύνην τῶν Δημοφίλου φρενῶν. τὸ δὲ δικαίαν παροξυτόνως, ἵν' ᾖ, τὴν δίκην, ὡς καὶ τὴν ἀρχήν, ἀρχαίαν παραγώγως. ἢ περισπωμένως, ἵν' ᾖ, δικαιῶν Δημοφίλου πρακτέων.

501. Κεῖνος γὰρ ἐν παισὶ νέος] ἐκεῖνος γὰρ ὁ Δημόφιλος ἐν μὲν παισὶ τὴν ἡλικίαν νεώτερός, φησίν, ἐστιν, ἐν δὲ φρεσὶ περισσύτερος τὸ φρόνημα, ὥσπερ ἂν ἑκατονταετεῖ τῷ χρόνῳ ἐπιτυχών· οἱονεὶ οὕτω φρόνιμός ἐστιν, ὡσπερεὶ ἑκατονταέτης ἀνήρ. τοῦτο δέ, ἐὰν κυρίως ἀκούηται, ἀπιμφαίνει. ὁ γὰρ ἑκατονταέτης ἀνὴρ παραφρονεῖ. διὸ οὖν μεταλαμβάνειν τις τὸ, πολυίτης. ὡς τό· (Hom. Iliad. υ'. 247) "Οὐδ' ἂν νηῦς ἑκατόζυξ "γος." ἡ πολύζυγος. τουτέστι, φρόνιμός ἐστιν, ὡς πολυίτης ἀνήρ.

504. Ὀρφανίζει μὲν] ἐρημοῖ, ἀποχωρίζει, τουτέστιν, ἥκιστα καπολογεῖ· οἷον, τῆς ἰλιοθερσίου φωνῆς τὴν κακὴν καὶ λοίδορον γλῶσσαν χωρίζει, ἤτοι οὐκ ἔστιν ὑβριστής· ὁ δὲ νῦν τοιοῦτος· ἀποχωρίζει μὲν τῆς ἰλιοθερσίου αὐτοῦ φωνῆς τὴν κακολογωσσίαν, ἔμαθε δὲ βδιλύττεσθαι τοὺς ὑβριστάς, οὔτε μὴν τοῖς ἀγαθοῖς ἐξιανταίας φιλονικεῖ· οὐδὲ τὸ τῶν πραγμάτων σῖλας πρὸς ἄνυσιν μηκύνει· ὁ γὰρ ἐν ἀνθρώποις καιρὸς, οἱονεὶ βίας, βραχὺ ἔχει τὸ μίτρον. οἱονεί, ἡ τῶν πραγμάτων εὐκαιρία ῥᾳδίαν ἔχει τὴν παραδρομήν. Ἄλλως. τῆς ἑαυτοῦ φατρᾶς καὶ ἑκλάμπρου φωνῆς ὀρφανίζει τὴν κακὴν γλῶσσαν, ἤ ἐστι τὴν καπολογίαν. ἢ οὕτω· τὴν κακὴν γλῶσσαν τῆς φατρᾶς φωνῆς ὀρφανὴν ποιεῖ, οἷον· οὐδὲν φθέγγεται κακὸν, κακὴν γλῶσταν ὀρφανὴν φωνῆς ἔχει.

507. Οὐκ ἰοπλόκων ἀντία] ταῦτα δὲ ἐκ τῶν Ἡσιόδου Ἔργων εἴληπται. ἐκεῖνος γὰρ παραινεῖ μὴ ὁμιλεῖν τοῖς κακοῖς, μηδὲ ἐπιστήσειν, μηδὲ ψέγειν τοὺς ἀγαθούς· (Opp. et D. 714.)

Μηδὲ κακῶν ἑτάρου, μηδ' ἐσθλῶν νικητῆρα.

Ὅμηρος δὲ τὸν Θερσίτην εἰσήγαγε φιλόκαλον καὶ μισάγαθον. ὅσους γὰρ ὁ ποιητὴς ἐγκωμιάζει κατ' ἀρετὴν, τούτους ἔψεγε. διὸ καὶ ἔλεγεν· (Iliad. β'. 220.)

Ἔχθιστος δ' Ἀχιλῆϊ μάλιστ' ἦν δὲ Ὀδυσῆϊ.

508. Ὁ γὰρ καιρὸς] καιρὸς ὁ χρόνος· ἡ εὐκαιρία βραχὺ μίτρον ἔχει, οὐκ ἐπιτολὺ τοῖς ἀνθρώποις παρατεῖνον ἔχει τὸ μίτρον, ἀλλὰ σπάνιόν ἐστι, καὶ βραχὺς ὁ χρόνος. διὸ καὶ δεῖ, ὅτι ἔξεστιν αὐτὸν λαμβάνειν. [ἐκτὸς ἔχειν τῶδα τῶν καλῶν ἂν γινώσκει.]

510. Εὖ νιν ἴσχουσι] πολλαὶ κατὰ τοῦτο τὸ ῥητὸν ἐξηγήσεις προσεχώρησαν. τῷ καιρῷ ἕπεται, φησιν, ὁ Δημόφιλος, οὐχ ὡς δράσας, ὃ ἐστι δραστήρις, οὐ ποιοῦργων, οὐδὲ τὰ παρ' αὐτοῦ προσκασόμενα ὑπεραιθόμενος, καὶ ἀναβαλλόμενος τὰ προσπίπτοντα.

Ἄλλως. ἐκ ἀσεβεῖς ἐποίησεν τὸν καιρὸν ὁ Δημόφιλος· ἀπολουθεῖ δέ, φησιν, αὐτῷ ὁ καιρὸς θεράπων, οὐ δρᾶστης, ἀλλὰ παράμενος, τοιοῦτος, οὐ παρέρχεται αὐτόν, ἀλλὰ πάντα τὰ καίρια γινώσκει.

511. Φασὶ δ' ἔμμεν] φασὶ δὲ τοῦτ' ἀναμφόντατον εἶναι, τὸ, γινώσκοντά σπα τὰ καλὰ, τῇ ἀνάγκῃ, ἤτοι δι' ἀνάγκαν, τούτων ἐκτὸς εἶναι, καὶ μηδὲν ἀπολαύειν αὐτῶν δύνασθαι, ἐφ' ὅσον βούλεται. ὅτι καὶ ὁ Δημόφιλος εἰδὼς τὰ τῆς πατρίδος καλὰ, ἀνάγκῃ τῆς φυγῆς, οὐκ ἐχρήσατο αὐτοῖς. Ἄλλως. χαλεπόν ἐστι, φησὶ, τὸ γινώσκειν ὅ τι καλὸν μὲν, μὴ πράσσειν δὲ αὐτό. τὸ γὰρ ἔμ πόδας ἔχειν, τοιοῦτόν ἐστι, μήτε ἐν αὐτῷ εἶναι τὸ εὖ πράττειν, ἀλλ' ἐξ ἀνάγκης αὐτὸ πρᾶσσεσθαι*. ἢ οὕτω· λυπηρὸν, τὸν καλῶς ποιοῦντα κακῶς ἀκούειν.

514. Καὶ μὰν κεῖνος Ἄτλας] τοῦτό φησιν ἀντὶ τοῦ, καὶ παρὰ θεοῖς τὰ πράγματα ποικίλας ἔχει τὰς μεταβολάς. ὁ γοῦν Ἄτλας κακῶς πάσχει τὸν οὐρανὸν βαστάζων, πρότερον εὐτυχῶν. διὰ δὲ τούτου βούλεται σημαίνειν, ὅτι οὐκ ἀεὶ τὰ αὐτὰ μένει τῶν πραγμάτων, οὐχ ὅτι παρὰ ἀνθρώποις, ἀλλ' οὐδὲ παρὰ θεοῖς. Ἄλλως. καὶ μὴν καὶ ὁ Δημόφιλος τοσοῦτον ἔχει τὸ τῆς φυγῆς ἄχθος, ὅσον καὶ ὁ Ἄτλας, τῷ βάρει πιεζόμενος, δικαίως προσκαλεῖται τὸν οὐρανόν. φέρει δὲ τῷ Ἄτλαντι ὅμοιον ἄχθος Δημόφιλος, τῆς πατρίδος καὶ τῶν κτημάτων μακρὰν χωρισθείς.

518. Λῦσι δὲ Ζεὺς ἄφθιτος] τοῦτο πρὸς τὴν παράκλησιν ἁρμόζει, ὅτι καὶ τοὺς Τιτᾶνας Ζεὺς ἴλυσιν, ὑπὸ τοῦ Κρόνου διδύντας. τοῦτο δὲ εἴρηται πρὸς τὸ μὴ δεῖν ἐν ταῖς τιμωρίαις ἀδιάλλακτον ἔχειν τὸ ἔχθος, μηδὲ ἀθανάτους ἔχειν τὰς λύπας. ἀστίλωσι δέ ποτέ, φησι, καὶ ὁ Ζεὺς τοὺς Τιτᾶνας τῆς τιμωρίας, παίσας ἐκπεμπόντας αὐτοῦ τῇ ἀρχῇ, καὶ μετασῆσαι βουλομένους. ἰγκαλοῦσι δέ τινες τῷ Πινδάρῳ, ὅτι οὐκ εἰκότως ἐπὶ τῆς διαλλαγῆς τὸν Ἄτλαντα παρείληφε. δικαίως γὰρ μοχθεῖ.

519. Ἐν δὲ χρόνῳ μεταβολαὶ] μεταβολαὶ δὲ γίνονται ἀνίκμων ἐν χρόνῳ· ἐν χρόνῳ καὶ τὸ ἰσχνὸν τῆς νεὸς ὑδατώδη ἔχει μεταβολὴν, τοῦ χειμερινοῦ λαφύσσοντος ἀνίκμου.

521. Ἀλλ' ἐῦχεται εὐλαμένων νόσων] ἀλλὰ κατεύχεται Δημόφιλος, τοιούτου τὸν ἐνεστῶσαν ἀλεθρωτάτην νόσον τῆς φυγῆς διαπλήσας καὶ ἀσορυγῶν, τὸν κατὰ Κυρήνην οἶκον διέσασθαι, ᾧ ἐπὶ τῇ τοῦ Ἀσάλανος κρήνῃ πάλαι συπήθως συμπασιάσαι, καὶ τὴν ψυχὴν ἐκδῦναι πρὸς φιλοφροσύνην καὶ συμπόσια.

526. Πολλάκις ἔν τι σοφοῖς] δόλον ἀπὸ ποιοῦ λαπτέον τὸ, ἰῦχίαι. ἰδχίαι, φησι, πολλάκις, τὴν πεποικιλμένην πιθάραν ἐν σοφοῖς βαστάζων καὶ μουσικευόμενος ἐν τοῖς πολίταις, λοιπὸν ἐν ἡσυχίᾳ εἶναι, μήτε τινὶ παιὸν προσερψάμενος, καὶ αὐτὸς δὲ ἀζηλωθεὶς ὃν τὸ λοιπὸν πρὸς τοὺς πολίτας. Ἄλλως. δαιδαλίαν φόρμιγγά, φησι, βαστάζων, ὅτε ἀπαγγείλαι τὰ ὑπὸ Πινδάρου αὐτῷ δεδραμένα ποιήματα. θέλει δὲ εἰπεῖν, ὅτι καὶ μουσικός ἐστι.

530. Καί κε μυθήσαιτο] καὶ δὴ εἶπε ἔπος, ἐοικὸς ὕμνοις τῶν θείων ἐπῶν. ὡς πρὸς ἑαυτὸν τοῦτο λέγει, ὅτι θαυμαστῶς γράφει.

533. Πρόσφατον Θήβᾳ] ἀρτίως ἐπεξενωθεὶς καὶ ἐπιδημήσας ταῖς Θήβαις. παραγέγονε γὰρ πρὸς τὸν Πίνδαρον ὁ Δημόφιλος, ἵνα αὐτὸν ἐξιώσῃ διὰ τοῦ ὕμνου διαλλάξαι αὐτὸν πρὸς τὸν Ἀρκεσίλαον.

Carmen v.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πέμπτου τῶν Πυθίων εἴδους.

Τῆς πέμπτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ'. Τὸ α' χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ β' ιωνικὸν· ἢ λίγιστα δισκλοῦς ἴαμβος. ἔστι δὲ δίμετρον (ἰαμβικὸν)

* L. πρεῖσθαι et τῷ εὖ πρ.

ὑπερκατάληκτον. Τὸ γ' ὅμοιον τῷ αὐτῷ. Τὸ δ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ε' παιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς' ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ζ' ὅμοιον τῷ· Τίς νὰς παρήιρε φρένας ; Τὸ η' χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ θ' ὅμοιον τῷ α' (immo ἰαμβικὸν δίμετρον ἀκατάληκτον.) Τὸ ι' παιωνικὸν δίμετρον ἀκατάληκτον διὰ πρητικοῦ, ὅ ἐστι παιὼν τέταρτος. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ' ἰαμβικὸν δίμετρον καταληκτικὸν, ὅ ἐστιν ἰφθημιμερίς. Τὸ ιγ' τροχαϊκὸν δίμετρον καταληκτικόν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὴ κώλων ἐστὶ ιδ'. Τὸ α' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ β' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ γ' ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ δ' παριαμβικὸν [δίμετρον], διπλοῦς τροχαῖος, ἀκατάληκτον. Τὸ ε' τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ς' παριαμβικόν· ἢ λίγιστα διπλοῦς ἴαμβος. ἔστι δὲ τρίμετρον καταληκτικόν. Τὸ ζ' Γλυκώνιον. Τὸ η' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ θ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Ἴδιος δὲ ἰκτήνιγκιον αὐτῷ τοὺς τροχαίους. Τὸ ι' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ια' παιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ιγ' ὅμοιον τῷ αὐτῷ. Τὸ ιδ' χοριαμβικὸν δίμετρον καταληκτικὸν, ὅμοιον τῷ α' τῆς τροφῆς.

Sub finem carminis hæc adjecta sunt: Εἰ τὸ περὶ τῶν κώλων τῆς τροφῆς καὶ ἀντιστροφῆς τοῦ παρόντος εἴδους ἐν ἀρχῇ γεγραμμένον* διωρίσατο τὰ κῶλα αὐτῶν εἶναι τριακαίδεκα, ἡμεῖς δὲ εἰκότως ταῦτα ιδ' ἐποιήσαμεν, μὴ θαυμάσητε περὶ τούτου, ἀλλὰ τὴν μετὰ πολλοῦ πόνου ἐπιμέλειαν, ἣν εἰς τὴν τοῦ Πινδάρου ἐπιδόρθωσιν ἔχων διατελῶ· δ' ἧς τὰ κῶλα τοσαῦτα εὑρὼν, ὡρθῶς διεχώρισα, μὴ πισθεὶς τῷ παλαιῷ ἀντιγράφῳ, καὶ ἀγαθῷ ὄντι. ἴλιγε γὰρ ἐν τῷ τίλει τῆς ἐξηγήσιος. " Γίρας ἐπὶ Βάτ- " του γίνει· ἰρέον ὅτι οὐκ ἔχει τὴν ποσότη- " τα τῶν κώλων." ἐγὼ δὲ οὐχ οὕτως, ἀλλ' οὐδὲν ἐκλείπει, ὡς δέδεικται ἐν τῇ ὑφ' ἡμῶν γενομένῃ ἀψευδεῖ τῶν κώλων διαίρεσει τοῦ αὐτοῦ εἴδους.

Ἀρκεσιλάφ Κυρηναίῳ.] Γέγραπται καὶ αὕτη ἡ ᾠδὴ ὑπάρχοντι τῷ αὐτῷ Ἀρκεσιλάφ ἅρματι τὴν τριακοστὴν πρώτην Πυθιάδα. ἐστιδὴ δὲ διήγημα μᾶλλον ἐν τῷ πρώτῳ ἐστὶν ἐπινίκιον, ἥπερ ἐγκώμιον, πιστέονται τῷ Πινδάρῳ, καὶ παρίπλασις διηγηματικὴ τῶν κατὰ Ἰάσονα, ἰδίησεν αὐτῷ καὶ διύπερον γεάψαι ἐπινίκιον.

1. Ὁ πλοῦτος εὐρυσθενὴς] τὸν μετὰ ἀρετῆς πλοῦτόν φησιν εὐρυσθενῆ εἶναι. τὸ γὰρ ἴτιρον ἄνευ τοῦ ἰτίρου οὐκ ἀσφαλίς ἐστιν, ὡς καὶ Καλλίμαχός φησιν· (Hymn. in Jov. 95. sq.)

Οὔτ' ἀρετῆς ἄτερ ἶλβος ἰκίσατο ἄνδρας ἀέξειν,
Οὔτ' ἀρετὴ ἀφίνοια.

καὶ ἡ Σαπφώ· " ὁ πλοῦτος ἄνευ ἀρετᾶς " οὐκ ἀσινὴς πάρκειται." μόνον οὖτος ὁ πλοῦτος εὐρυσθενὴς ἐστιν ὄντως, καὶ μέγα ἰσχύει, ἢν μιγεμένος ἀρετῇ ὑπάρχῃ. Πολύφιλον δέ φησιν αὐτὸν ἐκίσαι, ἐπειδὴ τῷ πλουτοῦντι πολλοὶ ἕπονται. οὕτω δὲ Ἀρίσαρχος. ἔστι μὲν χωρὶς τὸ, πολύφιλον, λίγειν, χωρὶς δὲ τὸ, ἐκίσαν. τοιοῦτός ἐστι τῷ ἔχοντι ὀπαδούς, ὅστι πολλοὺς φίλους ποιῶν. ἔστι δὲ καὶ συναμφότερα ἀκούειν· ᾧ πολλοὶ φίλοι ἕπονται. τὸ δὲ ἀνάγῃ τὸ αὐτὸ τῇ αὔξει· ἢ ἐν τῷ καθόλου, τὸν πολύφιλον πλοῦτον, ἢ ὅταν πολυφίλως αὐτὸν ἀνάγῃ, ὅτι πολύφιλοι οἱ πλούσιοι. Τὸ δὲ ἐκίσαν, τὸν τοῖς ἐν χρείᾳ καθιστηκόσιν ἐπόμενον. ὁ δὲ νοῦς· ὁ πλοῦτος ἄγαν ἰσχυρότατός ἐστι, ὅταν τις ἀνθρώπων ἀρετῇ συγκιπραμένον καθαρᾷ τῆς τύχης αὐτὸν παραδιδούσης ἀνάγῃ, πολύφιλον ὄντα, καὶ διδῷ τοῖς ἐν χρείᾳ καθιστηκόσιν.

6. Ὦ Διάμοιρ' (sic) Ἀρκεσίλα σὺ τοίνυν] σύ, φησιν, ὦ ἐκ Διὸς ταύτην ἔχων τὴν μοῖραν. Ἀρκεσίλαε, ὅ ἐστι, ἐκ Διὸς εἰληφὼς τὴν βασιλείαν, αὐτὸν τὸν πλοῦτον ἀπ' ἄκρων βαθμίδων τῆς αἰῶνος, τουτέστιν, ἀπ' ἀρχῆς τοῦ βίου, καὶ ἀφ' οὗ ἐγνωρίσθης τῷ βίῳ ἢ κόσμῳ, σὺν εὐδείᾳ μετέρχῃ, ὅτι οὐκ εἰς ῥαθυμίαν αὐτῷ χρώμενος εἶ, ἀλλ' εἰς τὰ δεξάζειν δυνάμενα, ἐπιστροφίας καὶ τὰ τοιαῦτα. Διατί δὲ σὺν Κάστορι ; ἢ ὅτι ἐπιτηδειὸς ὁ Διός· Ὅμηρος. (Iliad. γ'. 237.) " Κά- " στορά θ' ἱππόδαμον" ὁ δὲ Ἀρκεσίλαος ἐπιστερίφει· ἢ ὅτι δοκεῖ πρῶτος συναρίδα καταζεῦξαι Κάστωρ· ἢ ὅτι ἄνωθεν οἱ Βαττιάδαι καὶ Ἀριστοτέλης Λάκαινες ἦσαν, ἔθεν καὶ οἱ Τυνδαρίδαι· ἀπὸ γὰρ Λακώνων εἰς Θήραν ἦλθον, ἀπὸ δὲ τῆς Θήρας εἰς Κυρήνην· ἢ ὅτι ἐπιφανῶς ἄγουσι Κυρηναῖοι τὰ Διοσκούρια, Βάττου πρῶτου καταδείξαντος τὴν ἰσχύν. (?) Ἄλλως. κίλητα καὶ χαλινὸν πρῶτος Βελλεροφόντης κατέζευξε, συναρίδα Κάστωρ, ἅρμα Ἐριχθόνιος ὁ Ἀθηναῖος, ἁρπάζην Ὄξυλος ὁ Αἰτωλός.

12. Εὐδίαν δὲ μετὰ χιμερίου] ὁ Κάστωρ σοι εὐδίαν παρασκευάζει. ἐπαινίττεται δὲ

* sc. σχόλιον.

τὸν τῶν Κυρηναίων νικητηρισμὸν (τάσις γὰρ ἐνίκησεν αὐτῷ πρὸς τὸν δῆμον), ὃν δὴ χιμαῖρα ἔφη. διχόθεν ὁ Κάστωρ εὐμενής σοι ἐστίν, εἴς τε τὴν εὐδαιμονίαν ἐκ χιμαίρας κατάστασιν, καὶ εἰς τὴν ἱππικὴν νίκην. Ἄλλως. Εὐδίαν ὅς. Ὅσις ὁ Κάστωρ μετὰ τὸν χειμερινὸν ἐκεῖνον ὅμιλον τῶν πραγμάτων περὶ τὴν σὴν μακαρίαν ἑορὴν καταλάμπει. τοῦτο δέ φησιν, ὅτι ἑστασίαζε τὰ περὶ τὴν Κυρήνην πράγματα τῷ Ἀρκεσίλᾳ, κατ' ἐκεῖνον καιρόν.

15. Σοφοὶ δ' ἔτι (sic) κάλλιον] τοῦτό φησιν, ὅτι διδάσκειν οἱ Θεοὶ τοῖς ἀνθρώποις ἀγαθὰ, οἱ δὲ σοφοὶ καλλίονα ποιοῦσιν αὐτὰ περιεπικοσμοῦντες διὰ τὴν αὐτῶν ἀρετήν.

16. Φέρτατ καὶ τὸν Διόδοτον] ἀντὶ τοῦ φέρουσι καὶ ποιοῦσι. τὸ δὲ Διόδοτον, ἀντὶ τοῦ Διόδοτον εἶπε.

17. Σὲ δ' ἐρχόμενον ἐν δίκᾳ] σὲ δὲ δικαίως βαδίζοντα καὶ ζῶντα πολὺς σὺν εὐδαιμονίᾳ πλοῦτος περιέχει.

19. Τὸ μὲν, ὅτι βασιλεὺς ἐσσί] τοῦτο Ἀττικὸν τὸ σχῆμα. τοῦτο μὲν, ὅτι βασιλεὺς εἶ μεγαλῶν πόλεων, ἔχει σου ὁ συγγενὴς ὀφθαλμὸς γέρας αἰδοίεστατον, τουτέστιν, ὁ ἴυγξ σου ὀφθαλμὸς βλέπει περισσὸν τὸ γέρας τῆς βασιλείας αἰδοίεστατον, οἷον, βλέπει σεαυτὸν τιμώμενον. ξύνεσται γὰρ ἀπὸ τοῦ ὀφθαλμοῦ τὸ ὅλον σῶμα σημαίνεσθαι. καὶ κατὰ τοῦτο δὲ μακάριος εἶ, ὅτι τὰ Πύθια ἐνίκησας.

24. Μάκαρ δὲ καὶ νῦν κλεινῆς] μακάριος δὲ συγχάνεις καὶ ἐπὶ τοῦ παρόντος, ὅτι τῆς ἰυδόξου Πυθιάδος τὴν δόξαν τοῖς ἵπποις λαβὼν ἰδίᾳ καὶ τοῦτον τὸν κῶμον καὶ ὕμνον παρὰ τῶν χρεωτῶν, ὅτε Ἀπόλλωνος παίγνιον ἦτοι ὅτι μουσηγέτης ὁ Διὸς· καὶ διὰ γὰρ Ἀπόλλωνος ἡ χορεία· ἢ Ἀπόλλωνος ἄθυρμα, τὴν νίκην· Ἀπόλλωνι γὰρ ἀνίενται ὁ ἀγών. λέγει δὲ, ὅτι Πύθια νενίκηκε.

29. Τῷ μή σε (sic) λαθέτω Κυράνα] διὸ μή σε λαθανέτω ἡ Κυρήνη ἀνυμνουμένη.

31. Ἀμφὶ κῦμα] κῆπον Ἀφροδίτης τὴν Κυρήνην φησὶν, ὡς καλλίκαρπον καὶ διὰ τοῦτο ἐράσμιον καὶ ἐπαφρόδιτον. εἰ μὴ ἄρα τὸν τῶν Χαρίτων λόφον ὀνόμασεν οὕτως Ἀφροδίτης κῆπον. Καλλίμαχος· (Fragm. 266.) "Ἡ ὑπὲρ αὐχαλίοιο Χαρίτων λόφου."

33. Παντὶ μὲν Διὶ αἴτιον ὑπερτιθέμεν] ἐπὶ παντὸς πράγματος διῖ, φησὶ, τῷ Διῒ τὴν αἰτίαν ἀνάπτειν, ὑπερτιθέναι σε καὶ φιλεῖν· οὕτως Ἀρίσταρχος ἀντὶ τοῦ, φίλει· καὶ σὲ τοίνυν πρὸ μὲν πάντων τῷ Διῒ ἀναπτέον καὶ ὑπερτιθέναι προσήκει, φιλεῖν δὲ μετὰ τοὺς ἄλλους ἑταίρους Κάρρωτον. ἰσῖ δὲ ὄνυμα κύριον, περὶ οὗ μέμνηται πρὸς τὸν Ἀρκεσίλαον· οἱ δὲ τὸν ἡνίοχον τοῦτον, ὃν φησιν ὁ Πίνδαρος τῆς Πυθικῆς νίκης αἴτιον γενέσθαι τῷ Ἀρκεσιλάῳ, κατάγειν δὲ αὐτῷ καὶ χρατιστικὸν ἀπὸ τῆς Ἑλλάδος ἀθροίσαντα. ταῦτα δὲ πιστοῦται παρατιθέμενος τὰ Θεοτίμου ἐκ τοῦ πρώτου περὶ Κυρήνης, ἔχοντα οὕτως· " διασπουσαν δὲ τὴν πρᾶξιν αἰσθόμενος ὁ Ἀρκεσίλαος καὶ βουλόμενος δι' ἑαυτοῦ τὰς Ἐστιρίδας οἰκίσαι, πέμπει μὲν εἰς τὰς παιηγύρεις ἥκοντας ἀθλήσοντας Εὔφημον ἄγοντα. νικήσας δὲ τὰ Πύθια καὶ τὴν ἑαυτοῦ πατρίδα ἰσοφάνωσε, καὶ ἱκοίκους εἰς τὰς Ἐστιρίδας συνέλιγεν. Εὔφημος μὲν οὖν ἐτελεύτα. Κάρρωτος δὲ, τῆς Ἀρκεσιλάου γυναικὸς ἀδελφὸς, διεδέξατο τὴν τῶν ἱκοίκων ἡγεμονίαν." ὁ τοίνυν Πίνδαρος, τοῖς ἑταίροις συνδημιῶν, τὸ καταπεπτωκὸς τῷ Εὐφήμῳ τῷ Καρρώτῳ προσῆψε· μένει γὰρ κατ' ἐρῶντό, φησιν, αὐτῷ ἀγαγόντι τὸ χρατιστικόν. δόξειε δ' ἂν τούτοις συμφέρειν καὶ τὸ μιζόμενον ἢ καθ' ἡνίοχον τοῖς περὶ αὐτοῦ λόγοις τὸν Πίνδαρον πεποιῆσθαι. ἑταῖρον γάρ φησι καὶ συνεργάτην τοῦ βασιλέως· ὅπερ ἂν εἰκότως ἐπὶ πλείστων λέγοιτο ἢ ἐπὶ ἡνιόχου· (φησὶ γάρ· v. 57. Ἑκόντι τοίνυν περέπει νόμῳ τὸν συνεργάτην ἀντάσαι·) αὐτουργόν τινα τὸν Κάρρωτον γενόμενον ἡνιοχῆσαι τὸ ἅρμα, διὰ τὸ ἐπιπλῆξαι τοὺς Κυρηναίους ἁρματηλάτας εἶναι καὶ ἱππικοὺς, ὥστε ἀμφότερα τῷ Ἀρκεσιλάῳ αὐτὸν κατεργάσασθαι, ἡνιοχῆσαί τε καὶ χρατολογῆσαι.

35. Ὅς οὔτ' ἂν (sic) Ἐπιμηθέως ἄγων] Ἐπιμηθέως λέγουσιν ἐπέσαν Θυγατέρα τὴν Μεταμέλειαν [καὶ τὰ παρακλήσια], καθάπερ καὶ Προμηθέως τὴν Προμήθειαν. τὸν οὖν ὁ Πίνδαρος τὴν Πρόφασιν αὐτὴν Ἐπιμηθέως εἶπε Θυγατέρα. οὐκ ἐπίμεμπτον οὖν σοὶ, ὦ Ἀρκεσίλαε, φησὶν, ὁ Κάρρωτος λόγους καὶ προφάσεις, ἀλλὰ νίκην. εἰώθασι γὰρ οἱ ἡττηθέντες σκήπτεσθαι προιζόμενοι προφάσεις τῆς ἥττης. Ἄλλως. παρεισπέπτωκε ὁ Ἐπιμηθεὺς ἀνόητος καὶ ἀπὸ τῶν ἀποβαινόντων συμπτωμάτων καὶ παθῶν διδασκόμενος τὰ ἀσύμφορα καὶ μεταμελόμενος, ὁ δὲ τούτου ἀδελφὸς, Προμηθεὺς, καὶ σοφὸς καὶ προορώμενος. διὸ καὶ τοὔνομα ἀπὸ τοῦ προμαθεῖν ἔσχε. καὶ Σοφοκλῆς δέ ἐν τῷ Προμηθεῖ, " τοῦ " Προμηθέως, Σίλλων λέγων τῆς φρονήσεως, " ἀντέχεσθαι, καὶ μὴ τῆς Μεταμελείας." ὀψίνουν δὲ τὴν Πρόφασιν εἶπε, διὰ τὸ ὀψέ ποτε καὶ βραδέως τὰ συμφέροντα καὶ ἀσύμφορα καταλαμβάνειν. ὁ δὲ νοῦς οὗτος· ὅς τις Κάρρωτος οὐ τὴν τοῦ βραδέως βουλευσαμένου Θυγατέρα Ἐπιμηθέως Πρόφασιν ἄγων εἰς τοὺς οἴκους τῶν Βαττιαδῶν, τουτέστι τῶν Κυρηναίων, παρεγένετο, τουτέστιν οὐχ ἡττηθεὶς καὶ προφασισάμενος αἰτίαν τῆς ἥττης ἦλθεν εἰς Κυρήνην, ἀλλὰ νικήσας.

39. Ἀλλ' ἀρισθάρματον ὕδατι Κασταλίας] ἀλλ' ἐξοχώτατον ἐκ τῶν ἁρμάτων

γίρας, ἐν Πυθῶνι παραγιγονὼς (ἀπὸ γὰρ τῆς πηγῆς τὸ χωρίον ἀκουσίον) περιείλαλιν ὁ Κάρρωτος ταῖς σαῖς κόμαις, ἀφθάρτοις ἡνίαις κατὰ τὸ τίμιον τῶν δυωδεκαδρόμων ἁρμάτων ἱπαρκῶν, τουτίστι, τὸ ῥάδιον τοῖς ποσὶν ἱπαρκίσας, καὶ τὴν νίκην ἀπεινεγκάμενος. φασὶ δέ τινες, ὅτι δώδεκα δρόμους ἀνύει τὸ τίλιον ἅρμα, τὸ δὲ πωλικὸν ἑκτώ. τοῦτο δὲ μαρτυρήσει καὶ ὁ Καλλίμαχος λέγων· (p. 394. t. i. Ern.)

Δωδεκάκις περὶ δίφρον[a] ἱσήγαγεν ὄθ-
ματα δίρσου.

43. Ἀκηράτοις ἀνίαις] ἀκηράτους ἀνίας παρὰ τὸ ἀδιαφθόρους εἶναι ἔφη· οὐ γὰρ διεφθάρησαν κατὰ τὸν δρόμον, ἀλλὰ διέμεινον ὑγιεῖς· ἴξωθεν δὲ προσληπτέον τὴν κατὰ, ἵν' ᾖ, κατὰ τὸ τίμιονς.

45. Κατίκλασι γὰρ ἱντίων σθένος οὐδὲν] οὐδὲν γὰρ τῶν αὐτοῦ ἁρμάτων ὁ Κάρρωτος κατέκλασεν. ἐν γὰρ τοῖς ἐξῆς αὐτὸς ἱστορεῖ τεσσαράκοντα δίφρους τοὺς συναγωνιζομένους τῷ τοῦ Ἀρκεσιλάου ἅρματι κατιάχθαι κατὰ τὸν δρόμον, μόνον δὲ τὸ τοῦ Καρρώτου ὄχημα ἀπήμαντον ἀνῦσαι τὸ τέλος, καὶ διὰ τοῦτο ἀνατεθῆσθαι τῷ Ἀπόλλωνι. ὁ δὲ νοῦς αὐτῶν· οὐδαμῶς δὲ συνίστησι τῆς τοῦ ἅρματος σκευῆς οὐδέν, ἀλλὰ κρίματα καὶ ἀνίρωται τῷ Ἀπόλλωνι, ὅσα ὧν ταῖς χερσὶν ἁρμοζόντων τεκτόνων ποικίλματα ἄγων, τὸν Κρισαῖον λόφον κατὰ τὸ κοιλότατον πεδίον ἵδρυμι τοῦ Ἀπόλλωνος.

51. Τό σφ' ἔχει (sic) κυταρίσσινον μέλαθρον] ὅτερ τὸ ὄχημα ἔχει τις οἶκος ἰσιγωνωμένος κυπαρισσίνοις δοκοῖς πλησίον τοῦ ἀνδριάντος, ὃν τινα μονόζυλον ὄντα οἱ Κρῆτες παρὰ τῷ Παρνασσίῳ ὄρει καθίδρυσαν, τουτίστιν, ἐν τῇ Πυθοῖ. Μονόδροτον γὰρ τὸ μονόζυλον ἡ μονόξυλον φησι, παρὰ τὸ μόνον αὐτὸ εἰλῆφθαι. δρύπτεσθαι γὰρ τὸ λαμβάνειν.

57. Ἐπόντι τοίνυν πρίτει νόῳ] ὁ λόγος πρὸς τὸν Ἀρκεσίλαον. προσήκει σί, φησιν, ἱκοντὶ τὸν εὐεργέτην Κάρρωτον ἀμείβεσθαι, ἀνθ' ὧν εἰς σὲ διεπράξατο.

59. Ἀλεξιτιάδα, σὶ δ' ἠὐκομοι] ὦ Ἀλεξιδίου υἱὲ Καρρῶτι, σὶ δὲ αἱ εὔκομοι ἐκ (f. διὰ) τῆς μνήμης καταλαμβάνουσι Χάριτες.

61. Μακάρεσσι, ὅς ἴχνεϊ] μακάριος δὲ καὶ εὐδαίμων συγχάνεις, ὅσις καὶ μετὰ τὸν μέγαν κάματον διὰ τῶν ἐμῶν φερετάτων λόγων, τουτέστι τῶν ὕμνων, ἴχνεις μνημεῖα τῶν καμάτων. ταῦτα δὲ ἦτοι πρὸς τὸν Ἀρκεσίλαον λέγει, διὰ τὸ φάσκειν περιχῆσθαι πρὸς τοὺς ὑπηκόους, ἢ πρὸς τὸν Κάρβωτον, διότι περὶ τὴν τῶν ἱπποίκων συλλογὴν πολλὰ ἱπαλαιωπόρησεν.

64. Ἐν τεσσαράκοντα γὰρ περάτεσσι] ὁ νοῦς· ἐν γὰρ τεσσαράκοντα καταστασοῦσιν ἡνιόχοις ἄθραυστον καὶ ὑγιᾶ τὸν δίφρον ἤγαγεν ἀταράχῳ διανοίᾳ, καὶ παρεγένου εἰς τὸ Λιβύης περίδειον ἐκ τῶν ἐνδοξοτάτων ἀγωνισμάτων, καὶ εἰς τὴν ἐπίδοξον πόλιν Κυρήνην.

71. Πόνων δ' οὔ τις ἀπόπλαγξ ἔσ-] τοῦτο καθολικῶς φησι, παραμυθούμενος αὐτόν. ὁ δὲ νοῦς· οὐδεὶς δὲ ἀνθρώπων ἄμοιρός ἐστι πόνων καὶ καμάτων, οὔτε ἔρως τοτέ. ἴσως δὲ τοῦτο εἶπεν, ὡς τοῦ Καρρώτου κιμηκότος ἀζυλαξὶς διασῶσαι τὸ ἅρμα.

74. Ἔμπας τὰ καὶ τὰ νίμων] τουτέστι τὰ ἀγαθὰ καὶ τὰ κακά. ἀμήχανον γάρ, φησιν, ἄνθρωπον ὄντα, τὰ πάντα ἀγαθὰ λαβεῖν. Ὅμηρος· (Iliad. ω'. 527.)

Δεινοὶ γάρ τε μοῖραι παρακείαται ἐν Διὸς
οὔδει.

καὶ αὐτὸς ὁ Πίνδαρος· (Pyth. iii. 145)

Ἓν πᾶρ' ἰσλὸν πήματα σὺν
Δύο δίδονται βροτοῖς.

χρῶνται δὲ τῷ ἔμπας ἀντὶ περισπωμένου τοῦ, ὁμῶς, ὅ ἐστιν ἴσον τῷ ὁμοίως· καὶ γὰρ τὸ ἔμπης ἀντὶ περισπωμένου τοῦ ὁμῶς πίπτει Ὅμηρος· (Odyss. σ'. 353.)

Ἔμπης μοι δοκέει δαίδων σέλας ἔμμεναι
αὐτοῦ

Καὶ κιφαλῆς.

Καὶ πάλιν· (Iliad. ξ'. 174.) "Ἔμπης ἐς "γαῖάν τε καὶ οὐρανόν." καὶ ἐπὶ τῶν ὁμοίων.

76. Κεῖνόν γε καὶ βαρύκομποι λέοντες] Ἀρίστοχος κατὰ τὸν τόπον φησὶ τοῦτον, καθ' ὃν ἔκτισαι ἡ Κυρήνη, λέοντας διατρέφειν πολλούς, τῷ δὲ Βάττῳ τὸν Ἀπόλλωνα δοῦναί τινας ἰκμάδας, δι' ὧν αὐτοὺς ἡμιλλᾶτο ἀποτοξήσειν, καὶ τὸν τόκον ἡμιρώσειν. Τετρακοντίαν δὲ αὐτὸν ἐτενίγκαι γλῶσσάν φησι, παρόσον τὴν τοῦ Ἀπόλλωνος φωνὴν ἐκ Διλφῶν εἰς Λιβύην μετήνεγκε. μήποτε δὲ τοσαύτη κατείληπται φράσει, καί ἐστι δ βούλεται λέγειν, ὅτι ἐνθήρας τῆς Λιβύης οὔσης, ὁ Βάττος οἰκίσας τὴν Κυρήνην παρεσκεύασε φυγεῖν τοὺς λέοντας, δίκι τῷ αὐτοῦ· ὁ δὲ νοῦς· ἐκείνου δὲ τὸν Βάττου καὶ οἱ χαλεποὶ λέοντες τῆς Λιβύης ἔφυγον, γλῶσσαν ἐπί σφισιν ἀπένεικεν ὑπερφυοστίαν. οὐχ ὅτι, φησὶν ὁ Δίδυμος. οἱ λέοντες ἐκ φωνῆς ἔφυγον, ἀλλ' ἐπεὶ τὴν ἀπόφασιν ἐκ Πυθίας ὑπὲρ τὸν τόκτον διεκόμισεν. ἐλθέντι γὰρ αὐτῷ εἰς Διλφοὺς, καὶ χρωμένῳ, ὡς ἀποκταχθῆναι φωνὴν, παραλισσοῦσα τὸ ἰχνηθὲν ἐκέλευσεν αὐτῷ πόλιν κτίζειν ἐπὶ τῆς Λιβύης. τοιοῦτον οὖν ἐστι τό, γλῶσσαν ἐπί σφιν ἀπένεικεν, ἐπὶ τὸν χρησμὸν διεκόμισε. κατὰ γὰρ τὸν χρησμὸν διελίσσειν ὄχλον, καὶ ἔκτισε τὴν Κυρήνην. ἔφυγον δὲ οἱ λέοντες φοβηθέντες τὸ πλῆθος,

[a] f. νόσαν et ὄθματα.

οὐ τὴν φωνὴν τοῦ Βάττου. οἱ δὲ τὸ, γλῶσσαν ἰκτί σφιν ἀπίνυσεν ὑπερφυτίαν, οὕτως ἀποδιδόασιν· ὅτι τοσοῦτον ἰφύπνευσεν, ὅτι τὴν περίττερον ἰδιδιωκυΐαν αὐτῷ (φωνὴν) ὑπερφυτίαν γενέσθαι.

80. Ὁ δὲ ἀρχαγέτας δῶκεν (sic) Ἀπόλλων] ὁ δὲ τῆς ἀποικίας ἀρχηγέτης Ἀπόλλων τοὺς Θήρας εἰς φυγὴν παρώρμησεν, ὅπως ἂν μὴ τῷ βασιλεῖ τῆς Κυρήνης, τῷ Βάττῳ, ἀπειλὴς γένοιτο, καὶ οὐχὶ ἀνοικισθῇ ἡ Κυρήνη. καὶ τοῦτο ἑαυτῷ συνῳδὸν ὁ Δίδυμος οὕτως ἀποδίδωσιν· ἐπεὶ ὁ Ἀπόλλων ἔχρησεν οἰκίσαι τὴν Κυρήνην, αἴτιος ἐγένετο τοῦ φυγεῖν τοὺς Θήρας. οἰκιζομένης γὰρ τῆς πολίως ἔφυγον· μενόντων δὲ τῶν Θηρίων οὐκ ἂν ᾠκίσθη ἡ Κυρήνη.

85. Ὅ καὶ βαρεῖαν νόσων] ὅς τις, φησὶν, ὁ Ἀπόλλων καὶ τῶν βαρειῶν νόσων τοῖς τι ἀνδράσι καὶ ταῖς γυναιξὶν ἄκεσιν δίδωσι· καὶ γὰρ ταῦτα διὰ χρησμῶν διεπαιτεῖτο.

87. Πόρεν τι κἀθαρσιν] τὴν καθαρσικὴν ἐμπειρίαν. Ὅμηρος· (Iliad. β'. 827.) " ᾧ " τάξον Ἀπόλλων," ἀντὶ τοῦ, τὴν τεχνικήν. ὁ δὲ νοῦς οὕτως· ἐχαρίσατο δὲ τῷ τῶν ἀνθρώπων γένει καὶ τὴν καθάρσιον, καὶ διορίσαι τὴν μουσικὴν, οἷς ἂν βούληται, ἀφασίστον ἄγων εἰς τὰς φρένας τῶν ἀνθρώπων δικαιοσύνην.

91. Μυχὸν μαντήϊον λίγυι, ἐπειδὴ καὶ τὸ ἔδαφος αὐτοῦ μαντικόν.

92. Τῷ καὶ Λακεδαίμονι] ᾧ, τῷ χρησμῷ, καὶ τοὺς Ἡρακλείδας καὶ τοὺς Αἰγιμιοῦ παῖδας κατῴκισεν ἐν Λακεδαίμονι, καὶ Ἄργει, καὶ Πύλῳ. ἀπὸ δὲ τῆς Πύλου τὴν Μεσσήνην διέδασι. τερμιερὴς δὲ ἡ τῶν Ἡρακλειδῶν διαίρεσις. οἱ μὲν γὰρ Ἀριστοδήμου παῖδες Προκλῆς καὶ Εὐρυσθένης ἔσχον τὴν Λακωνικὴν, ὁ δὲ Τήμενος τὸ Ἄργος, ὁ δὲ Κρεσφόντης τὴν Μεσσήνην. χρησμῷ δὲ οὗτοι κατῆλθον, προσέξαντος τοῦ Ἀπόλλωνος. δῆλον δὲ ὅτι καὶ οἱ Αἰγιμιοῦ παῖδες Δύμας καὶ Πάμφυλος συγκατῆλθον τοῖς Ἡρακλείδαις. συνέπεσαν δὲ οἱ Θηβαῖοι τοῖς Λακεδαιμονίοις.

93. Καὶ ζαθέᾳ Πύλῳ] ἀπὸ οὖν τῆς Πύλου τὴν Μεσσήνην σημαίνει. οἱ γὰρ νεώτεροι τὴν Πύλον, ἧς ὁ Νέστωρ ἦγεῖτο, οὐ περὶ τὴν Τριφυλίαν τῆς Ἀρκαδίας, ἀλλὰ περὶ τὴν Μεσσήνην δεδάσι.

96. Τὸ δ' ἱμὸν, γαρύετε (sic) ἀπὸ Σπάρτας] ὁ λόγος ἀπὸ τοῦ χοροῦ τῶν Λιβύων, ἢ ἀπὸ τοῦ ποιητοῦ. ὁ δὲ νοῦς· τὸ δὲ ἱμὸν πλέες παυχᾶται εἶναι ἀπὸ Σπάρτης, ὅπου γεγενημένοι οἱ πρόγονοι ἡμῶν οἱ Αἰγείδαι εἰς τὴν Θήραν ἐφίκοντο. ἐκ Λακεδαίμονος γὰρ εἰς τὴν Θήραν ἡ ἀποικία ἐγένετο, ἐκ δὲ Θήρας εἰς Κυρήνην. Αἰγείδας οὖν πίπλαται τοὺς Λακεδαιμονίους, διὰ τὸ πατοικισθῆναι τοὺς παρὰ Θηβαίοις καλουμένους Αἰγείδας ἐν Λακεδαίμονι. συνέπεσαν γὰρ οἱ Θηβαῖοι τοῖς Λακεδαιμονίοις. χρόνῳ δὲ οἱ Λακεδαιμόνιοι συνεξῆλθον τοῖς εἰς Θήρας ἀποικήσουσι, φημὶ δὲ τοῖς ἀπὸ τῶν Λημναίδων καὶ τῶν Ἀργοναυτῶν. ἀπὸ δὲ Θήρας γεγένηται ἀποικία εἰς Κυρήνην. Ἔστι οὖν τὸ πᾶν ἱστουδασμένον τῷ Πινδάρῳ, ὅστε δεῖξαι αὐτὸν συγγενῆ τῶν Λακεδαιμονίων καὶ Κυρηναίων, οὕτω δὲ καὶ τοῦ ναυφόρου.

99. Ὅθεν γεγενημένοι] ἐπεὶ ἐκ Λακωνικῆς ἐλθόντες οἱ περὶ Θήραν, Καλλίστην ᾤκησαν. Καλλίμαχος· (Hymn. in Apoll. 74.) " Ἐκ μέν σε Σπάρτης ἔκτισε " γένος."

101. Αἰγεῖδαι ἰμοὶ πατέρες] Θέλει δεῖξαι τὸν Ἀρκεσίλαον τὸ γένος κατάγοντα ἀπὸ τῶν Ἡρακλειδῶν. δύνανται δὲ αἱ τῶν Θηβαίων Αἰγειδῶν εἰς Σπάρτην ἀφίξεις, πρεσβύτερα μὲν ἡ σὺν τοῖς Δωριεῦσι καὶ Ἀριστοδήμῳ, ἧς μέμνηται Ἔφορος ἐν τῇ πρώτῃ, λέγων, " Τλλον καὶ τοὺς ἄλλους, τοὺς ἀκουσχόντας τῆς ἐπὶ τὴν Σπάρτην στρατείας ἱστιοῦσθαι τὸν Διόν, τίνας τῶν Ἑλλήνων ποιήσονται πρὸς τὴν πόλθεσιν συμμάχους· τὸν δὲ ἀπιλεῖν, τοὺς ὑπὸ Ἡρακλείους εὐεργετηθέντας, πρώτους δὲ τούτους πελάσαι Αἰγείδας παρακαλεῖν. ὑπολαμβάνοντας δὲ ταῦτα εὐλόγως προστεταχέναι τὸν Διόν, ἐλθεῖν εἰς τὰς Ἀθήνας πρῶτον, ἰδόντας Θησέα τὸν Αἰγέως μίγντα πάντων ὑφ' Ἡρακλέους εὐεργετηθέντων, ἵν' δὲ ἔχωσι τὴν μαντείαν νομίζοντες, καὶ πρώτους τοὺς Θησέως τοῦ Αἰγέως ἀπογόνους ἐπάλεσθαι, πρὸς τὸ μὴ τῆς καθόδου διαμαρτεῖν. ἔστι δέ φασι, τὸν Ἀρισόδημον διὰ τῆς Βοιωτίας περιόντα κατελαβεῖν θύοντάς τινας τῶν Θηβαίων παρὰ τὸν ὦδν, καὶ τοῦ πάντας ἀκούσαντα τοῖς Αἰγείδαις ἐχαρίσασθαι τὰ ἀγαθὰ, λαβεῖν περὶ τῆς μαντείας ἔννοιαν, καὶ νομίσαντα δεῖν, ἐπειδὴ τοὺς Ἀθήναθεν Αἰγείδας πρώτους παρακαλοῦντες διεμάρτανον, τοὺς ἐκ τῶν Θηβῶν συμμάχους μαντεῖθεν πρωτίρους. κατὰ τύχην δὲ ταύτῃ τῇ στρατιᾷ τῶν Ἡρακλειδῶν τὴν Πελοπόννησον κατασχόντων, ἡγοῦντο τὸ μαντεῖον ἱερῆσθαι περὶ τῶν ἐν Θήβαις Αἰγειδῶν." ἐστέρα δὲ ἡ σὺν Τιμομάχῳ, ἐν ᾗ πρὸς Ἀμπλακιώτας Λακεδαιμονίοις καθιστάναι πόλεμος. τινὲς δὲ Αἰγίᾳ, ἀφ' οὗ ἡ τῶν Αἰγειδῶν ἐν Θήβαις φατρία τοὔνομα ἴσχει, Σπαρτὸν εἶναι τῶν ἀπὸ Κάδμου.

104. Ἔνθεν ἀναδιξάμενοι] Θεν, ἀπὸ τῆς Θήρας διαδιξάμενοι τὰ πάτρια ἴδια τῆς πατηγυρίως· ἢ ἔθεν τὸ γένος κατάγοντες ἡμεῖς οἱ Θηβαῖοι, ἱκετεύομεν τὸν Κυρήνην, ὦ Ἄπολλον.

106. Καρνεῖ' ἐν δαιτὶ σεβίζομεν (sic)] τοὺς γὰρ Αἰγείδας κατὰ χρησμὸν ἀπὸ Θηβῶν λαβόντες, ἀπὸ ἱερᾶς Καρνείου Ἀπόλλωνος διασωθέντας ἐπήγαγον.

108. Τὰν χαλκοχάρμαι ξίνοι] περὶ τῆς εἰς Κυρήνην ἀφίξεως τῶν Ἀντηνορίδων Λυσίμαχος ἐν πρώτῳ τῶν νόστων ἱστορεῖ, παρ' Ἄμμωνι, βασιλεῖ Λιβύων, αὐτοὺς ἀφηπλίναι, μὴ βουλομένους συνοικεῖν τοῖς τὸ Ἴλιον πεπορθηκόσι, καὶ ὅτι ἔκτισαι μεθ' ἑκατὸν χρόνον τὸν μεταξὺ Κυρήνης καὶ τῆς Θαλάσσης πείμενον λόφον, Ἀντηνορίδων ἐκπεπλημένον. τινὲς δὲ οὕτω τὴν ἱστορίαν ἐκτίθενται· οἱ Ἀντηνορίδαι φιλοφρονητικώτερον διέκειντο πρὸς τοὺς Ἕλληνας. φησὶ γὰρ καὶ αὐτὸς ὁ Ἀντήνωρ· (Hom. Iliad. γ'. 205.) "Ἥδη "γὰρ καὶ δεῦρο τοτ' ἦλυθεν." καὶ ὑποζεύνων· (ibid. 207.)

Τοὺς δ' ἐγὼ ἐξείνισσα καὶ ἐν μεγάροισι φίλησα.

καὶ οἱ Ἕλληνες δὲ κατὰ τὴν πόρθησιν παρδαλέᾳ τῷ Ἀντήνορος εἶπαν παρηνώρησαν, σημεῖον ποιούμενοι τοῖς οἰκείοις τραπεῖσαι, τοῦ μηδένα ὡς πολέμιον εἶκον πορθῆσαι. διαφυγόντες δὲ τὸν πόλεμον συναπῆραν μὲν τῷ Μενελάῳ, κατὰ δὲ τὴν πλάνην τοῦ Μενελάου εἰς Λιβύην ἐλθόντες οἱ Ἀντηνορίδαι, παρακονηθέντες τῷ χειμῶνι καὶ τῇ πολυχρονίῳ πλάνῃ, ἔκτισαν αὐτόθι. ὁ δὲ νοῦς οὕτως· ἦν τινα Λιβύην οἰκοῦσι καὶ κατέχουσιν οἱ πολεμικώτατοι ξένοι, οἱ τοῦ Ἀντήνορος παῖδες*. σὺν γὰρ τῇ Ἑλένῃ καὶ τῷ Μενελάῳ παρεγένοντο, ἐκ διδῆ τὴν πατρίδα πορθηθεῖσαν ἰδιέσαντο κατὰ τὸν πόλεμον.

113. Τὸ δ' ἐλάσιστον ἔθνος] ἀντὶ τοῦ, οἱ Κυρηναῖοι. ἐτίμων, φησὶ, τοὺς Ἀντηνορίδας οἱ Κυρηναῖοι εἰδότες, ὡς ὁ Βάττος ἦγαγεν εἰς τὴν Λιβύην. οἱ γὰρ ἐρχόμενοι πρὸς αὐτοὺς μετὰ τοῦ φέρειν δῶρα, καθαγίζουσιν ἐπιμελῶς καὶ προσδέχονται καὶ διρασεύουσιν, οὓς διπερσαίωσι, τὴν τῆς ἁλὸς πίλιθον ἀνοίγων, τουτέστι σχίζων διὰ τὸν πλοῦν, ἢ ἀντὶ τοῦ, συνήθη ποιῶν. Τὸ μὲν γὰρ πρῶτον οὐκ ἐπλεῖτο, ὡς ἂν τῆς Κυρηναικῆς ἐρήμου οὔσης· ὅτι δὲ ἔκτισαι αὐτὴν, πλοΐμη ἐγένετο διὰ τὴν ἐπιμιξίαν. ὁ δὲ νοῦς οὕτως· τὸ δὲ ἐπιφανέστατον ἔθνος τῶν Κυρηναίων μετ' ἐπιμελείας τοὺς Ἀντήνορος παῖδας τιθηνέσας δεξιοῦνται θυσίαις. παραγίνονται δὲ μετὰ δώρων καὶ ἐπαγισμάτων.

117. Τοὺς Ἀριστίλης ἄγαγεν] ὅτι ὁ Ἀριστίλης ἦν, φησιν, ὁ κτίσας τὴν Κυρήνην, ὁ κληθεὶς Βάττος, ὁ καὶ τὴν λιγομένην Σκυρωτὴν πλατεῖαν αὐτοῖς κατασκευάσας. τὸ δὲ μείζονα ἀντὶ τοῦ μεγάλα ἁπλῶς, οὐ πρὸς ἄλλα συγκρίνων. Ἄλση δὲ, τὰ τῶν θεῶν τεμένη.

120. Εὐθύτομόν τι κατίθηκεν] πάθεσι ἐκείνοις, φησιν, εὐθυτενῆ καὶ λείαν. τῶν γὰρ χωρίων τραχυτάτων ὄντων, λείαν ἀπειργάσατο ὁδόν.

121. Ἀπολλωνίαις] ταῖς τοῦ Ἀπόλλωνος τοίνυν ἀλιξιμβρότοις Θαλίαις καὶ ἵπποις παιδιάδα εἶναι καὶ βαδιστὴν, ἀπὸ κοινοῦ ἐκόπησιν. Ἀλιξιμβρότους δὲ, ταῖς ἀπαλεξούσαις τὰ τῶν ἀνθρώπων φαῦλα. τοὺς γὰρ θεοὺς θεραπεύομεν πρὸς ἀλίξησιν τῶν φαύλων. ἀλιξιμβρότους φησὶ τὰς πομπὰς, παρὰ τὸ ἀλίγειν, ὅ ἐστι φροντίζειν, ὧν φροντίζουσιν, ὡς συντελεσθῶσιν· ἢ ἐπὶ εἰς ἀλίξησιν τῶν κακῶν ὑπὲ τῶν βροτῶν γίνονται. πομπαῖς γὰρ καὶ θυσίαις ἱλάσκονται τὸ δαιμόνιον. τὸ δὲ ὅλον· τὴν Σκυρωτὴν οὖν, φησιν, ὅδὸν κατεσκεύασεν ὁ Βάττος, δι' ἧς αἱ τῷ Ἀπόλλωνι γινόμεναι πομπαὶ κομίζονται εἰς τὸ ἱερόν. Πεδιάδα δὲ κέκληκε τὴν ὁδὸν, ὡς ἐπίπεδον καὶ λείαν. οὕτως οὖν καλεῖται πλατεῖα Σκυρωτὴ ἐπὶ τῆς Κυρήνης. λέγεται δὲ καὶ τὸ ἱερὸν τῶν Διοσκούρων ἐν ἐπίνῃ τῇ πλατείᾳ εἶναι. λέγεται δὲ Σκυρωτὴ ἀντὶ τοῦ λιθόστρωτος.

124. Σκυρωτὰν ὁδὸν] ἀντὶ τοῦ λιθόστρωτον. Σκύρον γὰρ λέγουσι τὴν λατύπην, τὴν ἀπὸ τῆς κατεργασίας τῶν λίθων ἀποπίπτουσαν. Πρυμνοῖς δὲ ἀγορᾶς εἶπεν, ἀντὶ τοῦ, τοῖς ἐσχάτοις ἄκροις. τὸ δὲ ἰσίδιχα, ἀντὶ τοῦ, ἐπὶ θάτερα μέρη.

Ἔνθα πρυμνοῖς ἀγορᾶς] τὸν τάφον αὐτοῦ συνίστησιν, ἐπὶ τοῖς τῆς ἀγορᾶς ὁρίοις ὄντα. φησὶ γὰρ, ἐπ' ἐσχάτοις τῆς ἀγορᾶς δίχα πῦται θανὼν, ἐπὶ τῷ διορίζοντι τὴν ἀγορὰν ἄκρῳ. ἔστι δὲ καὶ οὕτω διαλίσθαι· ἐπὶ πρυμνοῖς τῆς ἀγορᾶς πῦται θανὼν, δίχα τῶν ἄλλων ἡρώων. ἢ διαπεχωρισμένος τῶν ἄλλων βασιλέων ἐν τῇ Κυρήνῃ πρὸς τὰ τελευταῖα τῆς ἀγορᾶς πῦται τιθηπλὴς ὁ Βάττος.

127. Μάκαρ μὲν ἀνδρῶν μέτα] μακάριος μὲν, ὅτι ἐν ζῶσιν ἦν, καὶ μετὰ τοῦτό, φησιν, ὡς ἥρως τιμᾶται σεπτὸς ὢν παρὰ Κυρηναίοις. Τὸ δὲ, ἄτιρδε πρὸ δωμάτων, φησὶν, ἤτοι τοῦ ἥρωος Βάττου, ἢ τῶν βασιλείων, ἢ καὶ πρὸ τῶν τῆς πόλεως πυλῶν. καὶ κατὰ τοῦτο δοκεῖ τῶν ἄλλων διαφέρειν ὁ Βάττος, ὅτι ὁ μὲν ἄκρῃ ἀγορᾷ τέθαπται, οἱ δὲ πρὸ τῆς πόλεως.

132. Μεγάλαν δ' ἀρετᾶν (sic)] τῶν δὲ ἐπισήμων σου, φησὶν, ἀρετῶν κατακούουσιν, ὅ Ἀρκεσίλαι, οἱ πρόγονοι τῇ ἑαυτῶν φρενὶ τῇ ὑποσχίᾳ. τῶν ἀρετῶν δὲ τῶν οἰκείων αὐτοῦ ὅλεον. ὅλεον δὲ λέγει τὸν κῶμον, ἢ ἔστι αὐτῶν ὅλεος. τί γὰρ κατέλιπε τοῖς τιθηνῶσιν, ἢ ὅλεον ἔχειν τοὺς ἐπαίνους τοὺς διὰ τῶν ποιημάτων, τουτέστι, πλουτεῖν ἐπαίνοις. χθονίᾳ δὲ φρενὶ φησι, παρόσον τιθήνησαι καὶ ἐν τῇ γῇ κεῖνται.

136. Τίῳ τι κοινὰν χάριν] τὸν Ἀρκεσίλαον υἱὸν εἶπεν, καθὸ ἀπόγονος ἦν τοῦ Βάττου. ἀκούοντες οὖν τῶν ὕμνων τῶν εἰς Ἀρκεσίλαον κοινὴν ἔχουσι τὴν χάριν οἱ πρό-

* G. εἰς τὴ Γλαῦκος, Ἀπάμας, Ἰσπόλεχος.

γονοι. ἡ οὕτω· τὴν μεγάλην τοῦ Ἀρκεσιλάου ἀρετὴν τοῖς παιήμασιν ἐπιτερμαυμένην ἀκούουσί σου οἱ πρόγονοι τῇ χθονίᾳ αὐτῶν φρενί.

138. Ἐνδικόν τ' Ἀρκεσίλαν (sic)] πρέπει τὸν Ἀπόλλωνα ἐυχαριτίσθαι ὑπὸ Ἀρκεσιλάου, καὶ ὑμνεῖσθαι αὐτὸν ἐν τῇ ᾠδῇ τῶν νίκων, διότι ἐκ Πυθῶνος ἐίληφε τὴν νίκην, καὶ τὸ μέλος, ὅ νῦν γέγραφεν, ὅ ἐστι λυτήριον τῶν δακτυλῶν. ἡ οὕτω· τὸν ἐν ἀοιδᾷ νίκαν, ὃν τινα τὸν Ἀρκεσίλαον ἐν τῷ χορῷ καὶ τῇ τούτου ᾠδῇ πρεσπέπει ἀνυμνεῖν τὸν Ἀπόλλωνα, ἔχοντα (τὸν Ἀρκεσίλαον) καλλίστην παραμυθίαν τῶν δακτυλῶν, τὴν ἐκ Πυθῶνος. λέγει δὲ τὴν νίκην καὶ τὸ ἐπὶ νίκης μέλος. ἰδακάνησι μὲν γὰρ πολλὰ καὶ ἐπόνησεν, οὐκ εἰς κενὸν δέ, ἀλλὰ τυχὼν τῆς νίκης ἀμοιβὴν ἔσχε τῆς δακάνης. ταῦτα δ' εἶπεν, ὡς πολλὰ διδυπόνος καὶ ἀναλώσαντος Ἀρκεσιλάου.

146. Κρίσσονα μὲν ἀλικίας] τουτέστι, κρείττονα τῆς ἡλικίας νοεῖ καὶ λέγει, ὑπὲρ τὴν ἡλικίαν δὲ τὸν νοῦν ἔχει καὶ τὴν φρόνησιν, κατὰ δὲ τὸ θάρσος καὶ τὴν ἀνδρείαν τοσοῦτός ἐστιν, ὅσος ὁ ἄριστος πρὸς τοὺς ἄλλους ὅντως συγκρινόμενος.

151. Οἷον σθένος] θαυμασικῶς· ὁποῖον δὲ ἐν ταῖς ἀγωνίαις καὶ τοῖς ἀγῶσιν ἔχει τὸ ἑαυτοῦ σθένος, ὡς ἂν ἐχύρωμα καὶ στιχίον.

152. Ἔν τι Μοίσαισι πατρῴας ἀπὸ μητρὸς φίλας] ἀμφίβολον, πότερον ἀπὸ μητρὸς πεπαιδευμένος, ἢ ἀπὸ τῆς πρώτης ἡλικίας ἐνδεξὸς ἦν καὶ πατρῴος, τουτέστι, τῇ δόξῃ μετεωριζόμενος, ἤτοι περὶ τὴν παίδευσιν, ἢ οὐχ' ὑπὸ μητρὸς ἐδιδάσκετο, ἀλλὰ φύσει τέλειος ἦν παρ' ἀρετὴν, οὐ πεσὼν ἀλλὰ πατρὸς, τουτέστιν, οὐ τῶν διδασκόντων ἔχρῃζεν. Ἄλλως. ἐν δὲ λόγῳ καὶ ἀρετῇ ὀξὺς καὶ ταχὺς ἀφ' ἑαυτοῦ εὐθὺς τιχθεὶς γέγονεν, ἀντὶ τοῦ εἰστῖν, ἐκ νέας ἡλικίας περὶ παίδευσιν ἐπιθυμητικῶς ἔχειν.

155. Ὅσσα τ' (sic) εἰσὶν ἐπιχωρίαν] ὅσα τέ ἐστι παρὰ Κυρηναίοις τῶν καλῶν ἔθη, ταῦτα ὑπίμνησι καὶ κατώρθωσε πρῶτος. τὸ γὰρ δαιμόνιόν, φησιν, αὐτῷ ἐπί τε τοῦ παρόντος προθύμως τελεῖται κατὰ δύναμιν, καὶ εἰς τὸν μέλλοντα ταὐτὰ χρόνον. Ἄλλως. ἐπὶ ἐυκταίως νῦν ἔχει αὐτῷ τὰ παρὰ τῶν θεῶν, οὕτω καὶ εἰς τὸ μέλλον. ὦ Κρονίδαι οὖν, φησὶ, μὴ ἐάσητε τοιοῦτον ἐλάττωμα περὶ τὸν βίον αὐτοῦ γενέσθαι, ὥστε, καθάπερ ὑπὸ φθονεσώρου στοιᾶς τὰ φύλλα πεῖσαι ἐπὶ τὴν γῆν θᾶν δίνδρων, οὕτω καὶ τὰ πράγματα αὐτοῦ μαραθῆναι, ἀλλ' ἀιθαλὴς αὐτοῦ μίνοι ὁ βίος, μηδίστοτι φθίνων, μηδὲ φυλλοβρόων.

164. Διός τοι νόος] ὁ δὲ τοῦ Διὸς νοῦς τὴν ἑκάστου τύχην κυβερνᾷ καὶ ἐπὶ τὰ βελτίονα ἄγει.

166. Εὔχομαί νιν] εὔχομαί, φησιν, αὐτὸν τὸν Δία, ὥσπερ νῦν ἐν τῇ Πυθῶνι δίδωκε γέρας καὶ τιμὴν τὴν ἀπὸ τῆς νίκης, οὕτω καὶ ἐν Ὀλυμπίᾳ δοῦναι αὐτῷ νίκην, ἤτοι τῷ Ἀρκεσιλάῳ, ὃς τις ἐστὶ Βάττου γένος.

Carmen VI.

Περὶ τῶν κώλων ταυτησὶ τῆς ᾠδῆς.

Τοτ ἔκτου εἶδευς ἡ ᾠδὴ μονόστροφός ἐστι κώλων ϟ'. Τὸ α' σύνθετον ἐκ πενθημιμερῶς καὶ ἑβδημιμερῶς ἰαμβικόν. Τὸ β' τρίμετρον ἀκατάληκτον. ἄδηλον δὲ πότερον ἐκ β' ἰωνικοῦ, ἢ α'. Τὸ γ' ὅμοιον τῷ· τίς σὰς παρήνησι φρένας; Τὸ δ' τρίμετρον ἐπιχοριαμβικὸν ὑπερκατάληκτον. Τὸ ε' ὅμοιον τῷ γ'. Τὸ ϛ' τρίμετρον τροχαϊκὸν καταληκτικόν. Τὸ ζ' ἰαμβικὸν πενθημιμερές. Τὸ η' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ θ' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν Πινδαρικόν.

Ξενοκράτει Ἀκραγαντίνῳ.] Γέγραπται ἡ ᾠδὴ αὕτη Ξενοκράτει Ἀκραγαντίνῳ νεικηκότι κατὰ τὴν κδ' Πυθιάδα. φανερὸν δὲ, ὅτι αἱ ᾠδαὶ οὐ κατὰ χρόνου διέκειντο. ἡ γὰρ πρὸ ταύτης ᾠδὴ Ἀρκεσίλᾳ γέγραπται

πεπήγασιν τὴν λα' Πυθιάδα. ὁ δὲ Σίννοκράτης Θήρωνος ἦν ἀδελφός. Ἔστι δὲ ἡ ᾠδὴ μονόστροφος, αἱ δὲ μονόστροφοι ἀντιστροφούσας ἴσχουσι τὰς τροφὰς ἀλλήλαις, ὥστε ἴσα εἶναι τά τε τῆς τροφῆς καὶ ἀντιστρόφου. διὸ οὐδὲ παρωτίσι χρῶνται ἐν αὐτῶν διὰ μίσου. αἱ δὲ περὶς τριάδα γεγραμμέναι ἴσας ἴσχουσι τὰς τροφὰς καὶ ἀντιστρόφους, τὴν δὲ ἐπῳδὸν διαλλάττουσι τούτων.

1. Ἀκούσατ· ἢ (sic) γὰρ ἱλικώπιδες Ἀφροδίτας] ὁ λόγος ἤτοι ἀπὸ τοῦ χορεῦσαι ἐστιν, ὡς ἐγκωμιάζοντος τὴν πόλιν ὡς εὐφορον, ἤτοι παρὰ τοῦ Πινδάρου πρὸς τοὺς μέλλοντας διακομίζειν τὸν ὕμνον. ἀμφισβάλλεται δὲ τὰ τῆς φράσεως, καὶ οἱ μὲν Χαρίτων καὶ Ἀφροδίτας ἄρεσθαι τὴν Ἀκράγαντα ἀκούουσι, διὰ τὸ ἱστιατορᾶν τὴν πόλιν εἶναι καὶ ἱεράσμιον· οἱ δὲ τὸν Πύθιον ναόν. δύναται δὲ καὶ ἀλληγορῶν ὁ Πίνδαρος τὴν ἑαυτοῦ ποίησιν λίγιν ἄρεσθαι Χαρίτων καὶ Ἀφροδίτης, ἤτοι τὴν ποιητικήν, ἀφ' ἧς θρέπεται τὰ μέλη ὁ Πίνδαρος. ὁ δὲ λόγος ἐκ τῶν χορευτῶν, ἤτοι παρὰ ἀλλήλους διαλιγομένων, ἢ παρὰ τοὺς ἀναληψομένους τὰ ποιήματα. ὁ δὲ ἡ σύνδεσμος ἀντὶ τοῦ δὲ κεῖται. ἅ δὲ βούλεται λίγειν, τοιοῦτόν ἐστιν· ἀκούσατε· ἱλικώπιδες γὰρ Ἀφροδίτης ἢ Χαρίτων ἄρεσθαι ἀναπολοῦμεν εἰς τὴν Πυθὼ παριόντες, ἣ ἐστιν ὀμφαλὸς τῆς γῆς. ὁ δὲ νοῦς· ἀκούσατε· καὶ γὰρ δὴ τῆς εὐφθέγκτου Ἀφροδίτης καὶ τῶν Χαρίτων αὐτῶν ὑπὸ τὸ χωρίον ἀναστρεφόμεθα, τουτέστιν, ἀνυμνοῦμεν τὴν Ἀκράγαντα εἰς τὸν ναὸν παραγινόμενοι, τὸν τῆς ἐριζώρου γῆς ὄντα ὀμφαλόν, τουτέστιν, εἰς τὴν Πυθῶνα.

4. Πυθιόνικος ἵνθ' ἁλίσκεται] οὐκ ἀπὸ φυλῆς, ὁ Ἀρίσταρχος. τοῦ κυρίου γὰρ ὄντος Ἐμμενίδου, οὐκ ἂν γένοιτο Ἐμμενίδαι. ἡ δὲ ποιητικὴ παρέκτασις καὶ οἱ σχηματισμοὶ ἐπὶ τῶν κυρίως πατρωνυμικῶν ἐπὶ τὰ αὐτῶν τρεπόμενα ὀνόματα, οἷον Ἡρακλείδης καὶ Ἀσκληπιάδης, ἐφ' μὲν σχήμασι πατρωνυμικά, κύρια δέ τινων. εἴ τις οὖν τὸν τοῦ Ἡρακλείδου υἱὸν πατρωνυμικῶς βούλοιτο σημῆναι, ὁμωνύμως ἂν πάλιν [πατρὸς] Ἡρακλείδην καλοίη. Ἱστόστρατος δέ, ὁ τὰ περὶ Σικελίας γενεαλογῶν φησιν, ὅτι Ἐμμενίδης καὶ Ξενοδίκης, Τηλεμάχου υἱοί· καὶ Ἐμμενίδου μὲν οἱ περὶ Θήρωνα καὶ Ξενοκράτην, Ξενοδίκου δὲ Ἱπποκράτης καὶ Κάτυς, οἱ φυγαδευθέντες ὑπὸ Θήρωνος, ὕστερον Κάμικον κατασχόντες Σικελωτικὸν πόλισμα· καθ' ἣν καὶ ὁ Μίνως ὑπὸ ταῖς Κωκάλου θυγατράσιν ἀπώλετο, κατὰ ζήτησιν Δαιδάλου ἰλθών. ὁ δὲ νοῦς· ἵνθα, ἐν τῇ Πυθῶνι, τοῖς εὐδαίμοσιν Ἐμμενίδαις, καὶ τῷ Ἀκράγαντι, καὶ τῷ Ξενοκράτει, ὁ υἱὸς τῆς τῶν Ἱππων νίκης Πυθιόνικος Ἡσαυρεύς, τουτέστιν, ὁ ὕμνος περίχυτος καὶ ἕτοιμος ἵσταται καὶ ἀνάκειται ἐν τῇ πολυχρύσῳ Ἀπολλωνίᾳ νάσῳ, τῇ Πυθοῖ. ἡ οὕτως· ἵνθα, ἐν τῷ ναῷ τῷ ἐν Πυθοῖ. ἐκεῖ γὰρ ἡ Ἀπολλωνία νάσος, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται. ἔνιοι δὲ νάσῳ τὸ ᾠδεῖον ἤκουσαν, ἐν ᾧ οἱ ἱππικοὶ ἀγῶνες ἐτελοῦντο. τινὲς δέ φασιν. εἰς τρεῖς μοίρας διῃρῆσθαι τοὺς Δελφούς· καὶ τούτων ἡ μὲν λίγιστα ὑπάτη, ἡ δὲ μέση, ἐν ᾗ ἐστι καὶ αὐτὴ ἡ καλουμένη νάσος.

10. Τὸν οὖ (sic) χειμέριος ὄμβρος] ὄμβρον τὸν ὕμνον φησὶν, ὃν καὶ Ἡσαυρεὺν εἶπε, σκληρᾷ μεταφορᾷ χρησάμενος διϋγραμβωδῶς, παρόσον πολλῶν νηῶν εἰς ταυτὸ συναγομένων ῥήγνυνται οἱ ὄμβροι. τὸν οὖν τῶν ὕμνων Ἡσαυρεὸν ὑπ' οὐδενὸς ἀπαχθήσεσθαι, οὔτε ὑπ' ὄμβρου, οὔτε ὑπ' ἄλλου τινός. ὃ δὲ νοῦς· ὃν τινα τὸν ὕμνον οὔτε ὁ χειμὼν τῆς μεγαλοήχου νιφάδος ἀπηνὴς σφετὸς ἐπιλθὼν, οὔτε ἄνεμοι ταῖς πνοαῖς τύπτοντες καὶ σείοντες τῇ πολυφόρῳ χειρὶ ἄξουσι καὶ ἐμβαλοῦσιν εἰς τὰ βάθη τῆς θαλάσσης. Ἄλλως. Πολυφόρῳ χειρὶ, ἤτοι τῷ πανταχοῦ φερομένῳ· φερομένου δὲ κυρίως, ἡ ἐπὶ τῆς χαράδρας ἀκαθαρσία. Ὅμηρος· (Iliad. φ'. 319.)

Εἰλύσω ψαμάθοισιν, ἅλις χειράδας περιχεύας.

χειρὰς δὲ ὁ μετὰ ἰλύος καὶ λίθων συρφετός.

13. Φάει δὲ πρόσωπον] ἔζωσεν προσλαμπτέον τὸ, ἔχων. ἵν' ᾖ, ἔχων τὸ πρόσωπον ἐν φωτὶ καθαρῷ, τουτέστι, λελαμπρυσμένος τῷ προσώπῳ καὶ ἱππικῆς ὢν ὁ Ἡσαυρεύς. ὁ δὲ Θρασύβουλος υἱός ἐστι Ξενοκράτους. τὰς γὰρ Χείρωνος ὑποθήκας αὐτῷ διὰ τοῦτο λέγει, ἐπειδὴ τὰς περὶ πατρὸς εἰσεισίας περιέχων ἱππικατῖ, ὡς εἰκὸς, τῶν ἱππικῶν ἀγώνων, παρὸ καὶ προδιαλέγεται αὐτῷ ὁ Πίνδαρος, καί φησιν· ὦ τοῦ Ξενοκράτους παῖ. τοῦτον δὲ ὡς φιλοπάτορα καὶ προτρέπων τῆς ἱππικῆς ἐπαινεῖ, οὐχ, ὥς τινες ἐβουλήθησαν, ἡνίοχον. ὁ γὰρ ἡνίοχος Νικόμαχός ἐστιν, ὃς ἐκ τῶν Ἰσθμονικῶν δῆλός ἐστιν. ὁ δὲ νοῦς· ὁ δὲ τῶν ὕμνων ἐν καθαρῷ φωτὶ λελαμπρυσμένος τὸ πρόσωπον Ἡσαυρὸς τῷ σῷ πατρὶ Ξενοκράτει, ὦ Θρασύβουλε, κοινὴν τῷ γένει σου τοῖς πολυθρυλλήτοις τῶν ἀνδρῶν λόγοις ἀπαγγελεῖ τὴν ἐκβόλον τοῦ ἅρματος νίκην, τὴν εὐτυχηθεῖσαν ἐν Δελφοῖς. ἡ γὰρ Κρίσα τῶν Δελφῶν.

19. Σύ τοι σχίθων νιν ἐπιδίξια] σὺ τοίνυν, ὦ Θρασύβουλε, δικαίως καὶ ἀληθῶς ἄγεις τὴν ἐντολὴν καὶ παραίνεσιν, ἣν ποτε ἐν τοῖς ὄρεσι μονωθέντι τῷ Ἀχιλλεῖ τὸν τῆς Φιλύρας υἱὸν Χείρωνα εἰσπεῖν φασιν, ἐξαιρέτως μὲν τὸν μεγαλόφωνον καὶ ἀραστῶν καὶ κιρανῶν διεστόνην Δία παρὰ τοὺς ἄλλους θεοὺς τιμᾶν καὶ σέβεσθαι, ταύτης δὲ τῆς τιμῆς τῆς πρὸς τοὺς θεοὺς μὴ στερίσκειν τῶν γεγενημένων, τοὺς τὸν εὐδαίμονα βίον, ἐφ'

ὧν ζῶσι χρόνων, μιτιόντας. καί ἐστιν ἡ ἀπόδοσις τοιαύτη· οὕτω καὶ σὺ, Θρασύδουλε, περὶ τοὺς Διοὺς καὶ τοὺς γονεῖς φυλάττεις τὴν εὐσέβειαν. τὸ δὲ, ὀρφανιζομένην, ἀντὶ τοῦ χωριζομένην, ἢ ὀρφανὴν γονέων ὄντι παρὰ τῷ Χείρωνι. τὰς δὲ Χείρωνος ὑποθήκας Ἡσίοδος ἀνατιθέασιν, ὧν ἡ ἀρχή· " Εὖ νύ τοι ταῦ ἴκαστα μεταλλᾷ Διοῖς ἀιμιγινέτησιν". (Fragm. Hes. p. 444. Lips.)

28. Ἐγίνετο (sic) καὶ πρότερον Ἀντίλοχος] τοῦ δεῖν περὶ τοὺς πατέρας σκυδαλοῦν εἶναι παράδειγμα τὸν Ἀντίλοχον παρήγαγεν. ὁ δὲ νοῦς· τοιοῦτος· ἐγίνετο καὶ τοπαλαιόν, φησι, γινναῖος ὁ Ἀντίλοχος, τὸ φρόνημα τοῦτο φέρων τὸ περὶ τοὺς γονέας εὐσεβὲς καὶ δίκαιον, ὅς τις ὁ Ἀντίλοχος ὑπερεπάλαιτο τοῦ πατρὸς, τὸν διὸν τῶν Αἰθιόπων ὑπομένας βασιλέα Μέμνονα.

31. Νεστόρεον γὰρ ἵππος ἅρμα] τὸ γὰρ δὴ τοῦ Νέστορος ἅρμα ὁ ἵππος ἐνιπεδίζει τρωσὶ τοῖς τοῦ Ἀλεξάνδρου βίλεσι. μέμνηται τούτου καὶ Ὅμηρος, ἔνθα φησί· (Iliad. Σ'. 86.)

Σὺν δ' ἵππους ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ.

ὅτι δὲ ὑπὲρ τοῦ πατρὸς ἐπιλαύτα ὁ Ἀντίλοχος, λέφαλαιωδέστερον εἶπε· (Odyss. δ'. 188.)

Τὸν ῥ' Ἠοῦς ἔκτεινε φαεινῆς ἀγλαὸς υἱός.

35. Μεσσηνίου δὲ γέροντος] Μεσσήνιον τὸν Νέστορα φασὶν οὗτοι, ὅσοι ὑπέλαβον τὴν Πύλον τῆς Μεσσήνης, ἀλλ' οὐχὶ τῆς κατὰ τὴν Ἀρκαδίαν Τριφυλίας. ὁ μέντοι Ὅμηρος οἶδεν ὑποτεταγμένην τῇ Λακωνικῇ τὴν Μεσσήνην. φησὶ γάρ· (Odyss. φ'. 13. 15.)

Δῶρα τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας·

Τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν. ὁ νοῦς· τοῦ δὲ Μεσσηνίου γέροντος παρεχθεῖσα ἡ φρὴν ἰδέα τὸν παῖδα. Ἄλλως. καὶ ὁ Πίνδαρος τὸν Νέστορα ἐκ τῆς Μεσσηνιακῆς Πύλου φησί. τριῶν γὰρ ὄντων τῶν ἐν Πελοποννήσῳ Πύλων, ἐξ μέν ἐστιν ὁ περὶ Ἀλφειὸν ποταμὸν ἐν Ἠλίδι Πύλος, ὃν καὶ ὑπὸ Ἡρακλέος πεπορθῆσθαί φασιν. ἕτερος ὁ Τριφυλιακὸς Πύλος, ἐν ᾧ ὁ Ἀμαθόεις ποταμός· τρίτος ἐν Μεσσήνῃ, περὶ τὸ Κορυφάσιον. εἰσὶ δὲ, οἵ φασι τοὺς τρεῖς Πύλους ὑπὸ τὸν Νηλέα εἶναι· δοκεῖ δὲ τῷ Διδύμῳ, ἐν τοῦ Τριφυλιακοῦ Πύλου τὸν Νέστορα, ἔνθα καὶ Ἀμαθόεις ἐστὶ ποταμὸς καθ' Ὅμηρον.

37. Χαμαιπετὲς δ' ἄρ ἵππος] χαμαιπετὲς τὸ εὐτελὲς καὶ μάταιον. Διὸς δὲ υἱὸς ὁ Ἀντίλοχος, ὃς δὴ ὑπ' ὀφθαλμοῖς ἔχων καὶ προορώμενος τὸ δεινὸν, ὅμως ὑπὲρ πατρὸς μετὰ προθυμίας ἀπέθανεν.

39. Ἐδέκηστεν (sic) πάλαι] ἔδειξεν οὖν τοῖς ἀρχαίοις πρῶτος γιγονέναι περὶ τὸν πατέρα φιλόστοργος, ἐν τοῖς ἀκλεστέροις. τὸ δὲ ἐξῆς· τῶν πάλαι ἔργον τιλίσας πιλώριον, ἐν τῇ γινιᾷ τῶν ἀκλεστέρων ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν ἰδέκηστεν. ὁ δὲ νοῦς· οὐ μάταιος δὲ τὸν λόγον αὐτοῦ ῥῆψιν. ὑπομένας γὰρ ὁ θαυμαστὸς Ἀντίλοχος, ἡγόρασε τῷ μὲν ἰδίῳ θανάτῳ τὴν τοῦ πατρὸς ἀναλοιμδὴν καὶ ζωήν. ἔδειξε δὲ ἐν τοῖς ἀρχαιοτέροις πρῶτος γιγονέναι.

44. Τῶν δὲ νῦν (sic) καὶ Θρασύδουλος] τῶν δὲ ἀνθρώπων τῶν καθ' ἡμᾶς ὁ Θρασύδουλος πρὸς τὴν τοῦ πατρὸς ἑαυτοῦ εὐθυμιαν καὶ ὀρθότητα μᾶλλον βαίνει, οἱονεὶ τὸν ἑαυτοῦ πατέρα τιμᾷ. τὸ δὲ πάτρωϊ, τῷ πρὸς πατρὸς Διΐῳ Θήρωνι. ἐπιχώριος οὖν πρὸς τὴν τοῦ Διΐου ἀγλαΐαν, καὶ κατὰ τὸν πόσμον ἑαυτὸν ἴσον ἀπέδειξιν. ἢ οὕτως· ἀντὶ τοῦ, Διΐῳ, πάτρωϊ ποιητικῶς λίγει. τὸν γὰρ Θήρωνα λίγειν Διΐλει, τὸν ἀδελφὸν Μενοικεάτους. ὁ δὲ νοῦς· τῶν δὲ καθ' ἡμᾶς ἀνθρώπων τὴν πρὸς τοὺς πατέρας ἑαυτοῦ εὐθυμην, εὐθεῖαν ἔχει ἔννοιαν. πρὸς τὴν εὐθυμην δὲ τὰ πάντα εὐθύνεται.

47. Νέῳ δὲ πλοῦτον ἄγει] τουτέστι, μετὰ λογισμοῦ πλουτεῖ. νέον γὰρ ἄγει τὸν πλοῦτον, τουτέστιν, οὐχ' ὑπὸ τοῦ πλούτου εἰς ἀκρασίαν τρέπεται τὸν νοῦν, ἀλλὰ λογισμῷ κατέχει τὸν πλοῦτον, ἐφ' ᾧ δεῖ, τῆς τι ἥδης ἀπολαύει, οὕτε εἰς πλημμέλειαν, οὔτε εἰς ὑπερηφάνειαν χρώμενος αὐτῷ· ἤτοι, οὔτε εἰς ὑπερήφανον τὴν ἑαυτοῦ ἥδειαν δρεπόμενος, τουτέστιν, οὐ καταχρώμενος τῇ ἑαυτοῦ νεότητι πρὸς ἀλαζονείαν, δρεπόμενος δὲ τὴν σοφίαν, καὶ καταδιδυκὼς εἰς τοὺς ταύτης μυχούς. ἐκ δὲ τούτου, ὅτι ἄγαν σοφὸς ἐστι, δηλοῖ. ἀπὸ κοινοῦ δὲ τὸ, δρέπων.

49. Τίν τι Ἐλίλιχθον] σοὶ δὴ, ὦ Πόσειδον, προσίκεται καὶ προσκεκλεῦσθαι, ὃς εὖρεις ἱππείας εἰσόδους, τουτέστιν, ἱππικὰς ἁμίλλας. ἵππιος γὰρ ὁ Διός. ἡ δὲ φρὴν αὐτοῦ κατὰ τὴν πρὸς τοὺς συμπότας ὁμιλίαν γλυκυτὰ ἐστιν, ὥστε τὰ κηρία παρακαλλόμενα παρατρεπέσθαι τῇ γλυκύτητι τῶν φρενῶν, τουτέστι νικᾷν τὸ μέλι.

* ms. G. Εὖ νῦν μοι τάδ' ἴκαστα μετὰ φρεσὶ πεπταλίμοισι
Φράζεσθαι. πρῶτον μὲν ὅτ' εἰς δόμον ἐσαφίκηαι,
Ἔρδειν ἐπὶ καλὰ Διοῖς αἰνιγινέτησι.

Carmen VII.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑβδόμου εἴδους.

Της ἑβδόμης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστά. Τὸ α' ἰαμβικὸν τρίμετρον καταληκτικόν. Τὸ β', Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ γ' σύνθετον ἐκ διμέτρου βραχυκατάληκτον ἰαμβικὸν καὶ τριθημιμερὶς ἰαμβικόν. Τὸ δ' προσοδιακόν. Τὸ ε' Φερεκράτειον ἀπὸ βραχέων ἀρξάμενον. Τὸ ϛ' δίμετρον Ἰωνικὸν καταληκτικόν. Τὸ ζ δίμετρον τροχαϊκὸν ὑπερκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων θ'. Τὸ α' τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ β' τὸ αὐτὸ, ὁμοίως. Τὸ γ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ δ' τὸ αὐτὸ, ὁμοίως. Τὸ ε' ψαωνικὸν δίμετρον καταληκτικόν. Τὸ ϛ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ζ ὅμοιον τῷ· τίς σὰς παρῆιρε φρένας; Τὸ η' χοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ θ' ἰαμβικὸν τριθημιμερές.

Μιγαπλεῖ Ἀθηναίᾳ] γίγραπται ἡ ᾠδὴ Μιγαπλεῖ Ἀθηναίᾳ, νικήσαντι τὴν ἐπινίκιον ᾠδήν.* Πυθιάδα τριθρίαμβ. ἔστι δὲ οὗτος οὐχ ὁ τὰ Ὀλύμπια νενικηκώς, ἀλλ' ἕτερος. τὴν δὲ ἐκείνου νίκην τούτῳ προσάπτει ὁ Πίνδαρος, συνήθως αὐτῷ. τὴν γὰρ τισσαραποστὴν ἑβδόμην ἐκείνος Ὀλυμπιάδα ἀναγέγραπται νενικηκὼς, ὁ δὲ τὴν πϛ'. (Sic recte G.)† ἕτερος δὲ ἦν ἐκ Μιγαπλῆς τούτῳ ὁμώνυμος, ἀναφέρων τὸ γένος εἰς Ἀλκμαίωνα τὸν γενόμενον ἄγαν πλουσιώτατον. τοῦτον γάρ φασιν ἐληλυθέναι πρὸς Κροῖσον, τὸν δὲ συγχωρῆσαι αὐτῷ διασκευασθῆναι, ὡς βούλεται, καὶ σκευὴν ἀναλαβεῖν, οἵαν προσῆκεν, καὶ εἰσελθόντα εἰς τὰ βασίλεια καὶ εἰς τὰ ταμιεῖα, λαβεῖν ὅσον βούλοιτο χρυσόν. ὑποδησάμενος οὖν κοθόρνους, οἵ εἰσιν ὑποδήματα Διονυσιακὰ, καὶ κόλπωμα ποιήσας, ἐνεσώρευσε τῷ κολπώματι χρυσόν· ἔτι δὲ καὶ τοὺς πλοκάμους ἐνέδησεν, ὑποσαλὼν αὐτοῖς, καὶ τὸ σάμαδιὰ δὲ τὸ βάρος βίᾳ ἐπορεύετο. διαχυθεὶς οὖν ὁ Κροῖσος ἐπ' αὐτῷ γέλωτι, ἐπί τε τῇ ὄψει ᾗ τῷ γλίσχρῳ, καὶ ἕτερα αὐτῷ προσεδωρήσατο. διά σοι τοῦτο ἐπιφανέστατος κατὰ τὴν Ἀττικὴν γεγένηται, ὡς ἄγαν ὢν πλουσιώτατος· ἀφ' οὗ καὶ εἰ Ἀλκμαιωνίδαι, οἳ τὴν τῶν Πεισιστρατιδῶν συγγενίδα κατέλυσαν.

1. Κάλλιστον αἱ μεγαλοπόλεις] κάλλιστόν ἐστι πρεσβεῖον τῇ εὐρυσθενεῖ γενεᾷ τῶν Ἀλκμαιωνιδῶν αἱ μεγαλοπόλεις Ἀθῆναι, ὅτι κρηπὶδα ὑποβαλέσθαι τοῦ ἐπαίνου τὸν ἀπὸ τῆς πατρίδος κόσμον· ἀντὶ τοῦ, καλόν ἐστι ἐπὶ τῇ νίκῃ ἐν τῷ ὕμνῳ ἐγκωμιάσαι τὸν νικηφόρον ἀπὸ τῶν Ἀθηνῶν. εὐρυσθενὴ δὲ εἶπε τὴν γενεὰν αὐτῶν, διὰ τὸ τὸν Ἀλκμαίωνα ἀνδρεῖόν τινα καὶ ἐπιφανῆ γενέσθαι, ἀφ' οὗ καὶ οἱ Ἀλκμαιωνίδαι.

4. Ἐπὶ τίνα πατρίδα (sic) τίνα σ' οἶκον] ἐπὶ τίνα πατρίδα, τίνα τι οἶκον ἐν τῇ Ἑλλάδι ἐπιφανέστερον τῶν Ἀλκμαιωνιδῶν εἰπεῖν δυνήσομαι; ἢ τίνα ἀπηλόησας ἐπὶ τῇ Ἑλλάδι περιφανέστερον οἶκον οἰκοῦντα εἴπω; ἰδίως δὲ τὸ ναίων παρείληπται. ἔθος τισὶ γράφουσι, ναίοντ· ἄλλοι γράφουσιν, οἶκόν σ' ἴδιον, ἅ ἐστιν ἀκούων, ἀφιεροῦντες τὸ σ'· ἕτεροι δὲ πάλιν τὸ μὲν ν αἴρουσι, τὸν δὲ τόνον οὕτω προφέροντες· αἰὼν' ἀνυμάξαι, ἵν' ᾖ συναλοιφὴ, ἀντὶ τοῦ αἰῶνι, οἷον, τῷ αἰῶνι παραπαθήσομαι. ὁ δὲ Δίδυμος ἀπλούστερον ἀκούει· αὐτὸς ἐγὼ ναίων ἐν τῇ Ἑλλάδι, ἀντὶ τοῦ οἰκῶν, τίνα ἐπιφανέστερον οἶκον ἀνυμάζομαι, οὐκ ἐξ ἀκοῆς ἀπηκοώς, ἀλλ' αὐτὸς ἐγὼ ναίων ἐν τῇ Ἑλλάδι, τίνα δυναίμην ἀντ' αὐτῆς ἐπιφανέστερα ὀνομάσαι; τὸ δὲ ναίων, ἀντὶ τοῦ ναίοντα, ὡς καὶ Ὅμηρος· (Iliad. β'. 350.)

Φημὶ γὰρ οὖν πατανῦσαι ὑπερμενέα Κρονίωνα.

εἶτα ὑποδιαίνων, Ἀσφάκτων ἐπιδίξια, ἀντὶ τοῦ, ἀσφάκτοντά, φησιν.

8. Πάσαισι γὰρ πολίεσιν] ἐν γὰρ πάσαις

---

* ms. Gott. κ'.

† Ol. 76, 3.

ταῖς πόλεσιν ὁ λόγος καὶ ἡ φήμη ἀναφέρεται περὶ τῶν τοῦ Ἐρεχθέως πολιτῶν, τουτέστι, τῶν Ἀθηναίων· οἱονεὶ, πᾶσα πόλις θαυμάζει τὰς Ἀθήνας καὶ τὰς ἀνδραγαθίας τῆς πόλεως.

9. Ἄπολλον (sic), οὐ τιόν τι δόμεν] οἵ τινες οἱ Ἀλκμαιωνίδαι, ὦ Ἄπολλον, ἐν τῇ ἐξοχωτάτῃ Πυθῶνι τὸν σὸν οἶκον θαυμαστὸν κατεσκεύασαν. φασὶ γὰρ οἱ μὲν, ὅτι διὰ τὸν ἅμνον καὶ τὴν νίκην ἐτιφανέστερον ἐποίησαν τὸν τοῦ Ἀπόλλωνος ναὸν, οἱ δὲ, παρὰ τὴν ἱστορίαν. λίγεται γὰρ, ὅτι τὸν Πυθικὸν ναὸν πρησθέντα ὥς φασιν, ὑπὸ τῶν Πεισιστρατιδῶν οἱ Ἀλκμαιωνίδαι φυγαδευθέντες ὑπ' αὐτῶν ὑπέσχοντο ἀναποδομῆσαι, καὶ διξάμενοι χρήματα καὶ συναγαγόντες δύναμιν ἐπέθεντο τοῖς Πεισιστρατίδαις, καὶ νικήσαντες, μετ' εὐχαριστηρίων πλειόνων ἀνῳκοδόμησαν τῷ θεῷ τὸ τέμενος. Φιλόχορος ἱστορεῖ.

11. Ἄγουσι δέ μι πίντι μὲν Ἰσθμοῖ] ἄγουσι δέ μι καὶ περιέπουσιν ἐπὶ τὸν ὕμνον, ὦ Μεγάκλεις, αἱ ὑμῶν νῖκαι καὶ τῶν προγόνων, πίντε μὲν ἐν Ἰσθμοῖ γινόμεναι, μία δὲ ἐξοχωτάτη ἐν Ὀλυμπίᾳ· δύο δὲ ἐκ Δελφῶν. ἴσιοι δέ φασιν, ὅτι οὐ νικήσαντι αὐτὸς Ὀλύμπια, ἀλλὰ ἄλλος ἀμάντορος τούτου. ἵνικα δὲ τοῦ ἀπολαμπρύνει αὐτὸν καὶ τὴν προγονικὴν τούτῳ ἀνατίθησι νίκην.

17. Νίᾳ δ' ὑπραγίᾳ (sic) χαίρει τι] Ἀρίσταρχος συμβιβάζεται αὐτῷ τι σύμπτωμα περὶ τὴν νίκην ταύτην ἄθλιον καί φησι, τὸ μὲν χαίρειν, τὸ δὲ ἄχνυσθαι, φθόνου τινὸς παρακειμένου τοῖς καλοῖς ἔργοις· οὕτω μέντοι γε γίνεσθαι παραμυθίους τὰς εὐδαιμονίας, ἐπὰν ἔχωσί τι πρᾶμα καὶ δυστυχήματος. ἔοικε δὲ τὸ περὶ τὴν τοῦ Ἱπποκράτους στιλπνὴν περὶ τοῦτον τὸν καιρὸν ἀπηντηκέναι, εἰς ἣν καὶ Θρῆνον γράψαι ὁ Πίνδαρος. ἦν δὲ ὁ Ἱπποκράτης συγγενὴς τοῦ νικηφόρου. Ἄλλως. ἐπὶ τῇ τῶν εὐτυχεστέρᾳ νίκῃ χαίρει, ἄχνυμαι δὲ διὰ τὸν Ἱπποκράτην.

23. Τὰ καὶ τὰ] ἀντὶ τοῦ, ἀγαθὰ καὶ κακά. βιζαίαν δέ φησι τὴν εὐδαιμονίαν, ὅταν τῇ πολλῇ εὐπραγίᾳ παρέσπαται τι φαῦλον. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ· (Odyss. Σ'. 63. sq.)

Τὸν περὶ Μοῦσ' ἐφίλησε δίδου δ' ἀγαθόν τι καὶ ἐσθλόν τε·
Ὀφθαλμῶν μὲν ἀμέρσε, δίδου δ' ἡδεῖαν ἀοιδήν.

Carmen VIII.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ὠγδόου εἴδους.

Τὸ ὠγδόης φδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐννέα. Τὸ α' ὅμοιον τῷ· Τίς σὰς παρείπερ φρένας; Τὸ β' τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ γ' ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ δ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ε' χοριαμβικὸν ὑπερκατάληκτον. Τὸ ϛ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ζ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ η' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ θ' πιριοδικόν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ἐστὶν ἑπτάκα. Τὸ α' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ β' ἰαμβικὸν τρίμετρον καταληκτικόν. Τὸ γ' ἰαμβικὸν πενθημιμερές. Τὸ δ' πιριοδικὸν [δίμετρον], ἢ λίγεται δικλοῦς τροχαῖος, ὑπερκατάληκτον. Τὸ ε' Ἰωνικὸν δίμετρον ἀπὸ μείζονος βραχυκατάληκτον. Τὸ ϛ' τὸ αὐτὸ ὁμοίως. Τὸ ζ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η' Γλυκώνιον. Τὸ θ' ἀναπαιστικὸν (immo τροχαϊκὸν) δίμετρον καταληκτικόν. Τὸ ι' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ια' τροχαϊκὸν δίμετρον βραχυκατάληκτον ἰδυφαλλικόν.

[In marg. ed. Brub. additur: ἀλλ' ἡ διαίρεσις αὕτη, ὡς καὶ τῶν ἑξῆς τινες, τῶν

πόλως, καθότι ἐστασθάγι καὶ ἔστιν ταῖς Ἄλδου ἐξεστράθη, οὐ πανταπασιν ἐξαμόστει. Pertinent hæc ad vulgatam olim scripturam.]

Ἀρισομένου Αἰγινήτῃ] Γίγραπται ἡ φδὴ Ἀρισομένου Αἰγινήτῃ, σαλαισῇ, νικήσαντι τὴν λ' Πυθιάδα.

1. Φιλόφρον Ἡσυχίᾳ] τὴν Ἡσυχίαν καταπαλιῦται διὰ τὸ νομοὶ καταλιλύσθαι τὰ Περσικά. δύνανται δὲ καὶ ἁπλῶς λέγειν ὁ Πίνδαρος ὡς περὶ εὐνομουμένων τῶν Αἰγινητῶν, καὶ ἐπαινεῖ τὴν ἡσυχίαν ὡς μεγίστην ὄλιν· ὅπου γὰρ ἡσυχία, καὶ εἰρήνη. "Εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος" (Hesiod. Opp. et D. 226.)

3. Βουλαῖν (sic) τι καὶ πολίμων ἔχουσα πλεῖδας] εἰρήνης μὲν κατὰ τὸ φυλακτικὸν, ἐν ᾗ βουλαὶ εἰσι, πολίμων δέ, ἵνα διακλείῃ αὐτοὺς καὶ ἀπείργῃ. Καὶ ἄλλως· ἰδίᾳ Αἰγινήταις ἦσαν εὐσεις περὶ τὸν τῆς νίκης τοῦ Ἀρισομένους καιρόν. διὸ καὶ εἰκότως τὴν Ἡσυχίαν κατύχισαι. ποιητικῶς δὲ τὴν Ἡσυχίαν τῆς Δικαιοσύνης παῖδα εἶναι ἔφη, ἣ καὶ ἐκ τῶν ἐναντίων τῆς Ἀδικίας τὸν Θόρυβον. ὁ δὲ νοῦς· ὦ Ἡσυχία φιλοφροντιστικὴ καὶ μεγίστη ἐν ταῖς πόλεσιν οὖσα, τῆς Δικαιοσύνης θυγάτηρ, εἰρήνης τε καὶ βουλευτηρίων ἔχουσα τὰς μεγάλας κλεῖς. μεγιστόπολιν δὲ ταύτην ἔφη, ἤτοι ὅτι μεγίστας ἀποτελεῖ τὰς πόλεις ἀσφαλείσους οὔσας, ἢ ὅτι αὕτη μάγα ἐν ταῖς πόλεσιν ἰσχύει. δίκου τοίνυν, ὦ Ἡσυχία, παρὰ Ἀρισομένους τὴν Πυθικὴν νίκην αὐτοῦ. σὺ γὰρ τὸ ἐκμικλὲς καὶ ὀρσονὲς ἔζεξαι καὶ ποιῆσαι δύνασαι εὐκαίρως, ἐμδερεμοῦντος τῷ καιρῷ τοῦ παθεῖν. τὸ γὰρ ἀτρεκεῖ, ἀντὶ τοῦ ἀμετρήτῳ. (G. ἀμετρεικεῖ.)

10. Τὺ δ' ἀκόσαν (sic) τις ἀμείλιχον] τὸ δὲ ἀκόσαν τις ἀπροσηνῆ καὶ ἐκαμοτάσην ὀργὴν καὶ ὕβριν ἐνθῇ τῇ ἑαυτοῦ καρδίᾳ, τραχεῖα καὶ προσάντης τῇ τῶν δυσμενῶν καὶ ἀπηνῶν ἀκαντήσασα κεφαλῇ, τὴν ἀλαζονίαν αὐτῶν ἐν ἀφανείᾳ τιθεῖς. ἴδος δὲ Πινδάρου ἀπὸ ἐκικοῦ εἰς πληθυντικὸν καταφέρεσθαι, ὡς κἀνταῦθα· ὅταν τις, εἶτα, δυσμενέων.—Ἄλλως. ἐάν τίς, φησι, τραχεῖδης καὶ ὑβριστὴς γένηται, τοῦτο γάρ ἐστι τὸ, ἀμείλιχον καρδίᾳ κότον ἐνελάσῃ, ὑπαντιάξασα αὐτῷ σὺ, ὦ Ἡσυχία, ταυτέσιν ἀκαντήσασα, τραχεῖα τῷ τῶν πολεμίων πράτει, ἥ ἐστι, πολέμους ἐκστήσασα, τιθεῖς αὐτοῦ τὴν ὕβριν ἐν ἄντλῳ, τουτέστι, βαπτίζεις αὐτοῦ τὴν ὕβριν τῷ ὕδατι καὶ τῇ ἀφανίᾳ. ὡς Ὅμηρος· (Odyss. ε'. 478.)

Ἄντλῳ δ' ἐνδούπησε πεσοῦσ' ὡς εἰναλίη κῆξ. (G. κῆνξ) ὁ δὲ νοῦς ἅλως· σὺ, ὦ Ἡσυχία, τοὺς ἀλαζόνας καὶ τοὺς ὑβριστὰς ἀφανίζεις καὶ ἀμαυροῖς.

15. Τὰν οὐδὲ Πρόφυρίων μάθεν] ἣν οὐδὲ ὁ Πορφυρίων γίγας ἤσθιτο παρὰ τὸ παθῆσον ἐξειθίζων, διότι καὶ ἀνῃρέθη. ὁ δὲ νοῦς· ἤντινα τὴν Ἡσυχίαν ἀποτραφεῖς καὶ παρὰ τὸ δίον ἐειθίζων οὐδὲ ὁ Πορφυρίων ἔγνω. διὸ καὶ ἀπώλετο.

17. Κίρδος δὲ φίλτατον] ὄνησίς ἐστι τῶν διδομένων, ὅταν τις παρ' ἐκόντος λαμβάνῃ. τὸ δὲ μετὰ βίας ἀγόμενον κίρδος ἀνόνητόν ἐστι. τοῦτο δὲ εἶπεν, ὅτι Πορφυρίων ἐσχυρίσησεν ἀποστάσαι βοῦς Ἡρακλείους ἄκοντος αὐτοῦ.

19. Βίᾳ δὲ καὶ μεγάλευχον ἴσφαλεν] ἡ τοῦ σώματος ἰσχὺς τὸν μεγαλαυχήσαντά, φησιν, ἐπὶ τῇ ῥώμῃ σφάλλει τῷ χρόνῳ· ὑποδείγματι δὲ τῷ Τυφῶνι, ἐχρήσατο, ᾧ τοῖς ἐξῆς.

22. Οὐδὲ μὰν βασιλεὺς γιγάντων] πάλιν συλληπτικῶς, δμᾶθεν. οὐτε γὰρ ὁ Τυφὼς καὶ ὁ Πορφυρίων ἐκπερανώθησαν, καὶ ὑπ' Ἀπόλλωνος ἐτοξεύθησαν, ἀλλ' ὁ μὲν Τυφὼς Διοβλῆς γίγαντος, ὁ δὲ Πορφυρίων ὑπ' Ἀπόλλωνος ἐτοξεύθη. ὁ δὲ τὸ τῷ ἐνίρῳ συμβεβηκὸς ὡς κατ' ἀμφοτέρων ἔφη.

25. Ὃς εὐμενεῖ νόῳ Κυπάρισσον] τὸν Ἀρισομένην φησίν. ἦσι δὲ Κυπάρισσος υἱός. καὶ ὅτι Κίρραθεν εἴρηται, οὗ συστελλεῖται ὁ ἀγὼν ὁ ἱππικὸς ὑπὸ Δελφῶν. ὁ δὲ νοῦς· ὅς τις ὁ Ἀπόλλων εὐμενεῖ νόῳ ὑπεδέξατο ἐν Δελφοῖς ἱστεφανωμένον τῇ δάφνῃ τὸν Ἀρισομένην.

29. Δωριεῖ τι κόμῳ] ἀντὶ τοῦ, τῷ τῶν Αἰγινητῶν ὕμνῳ. Δωριεῖς γὰρ ἀπὸ Ἄργους εἰς Αἴγιναν κατῴκησαν. τὸ δὲ, Χαρίτων ἰκάς, οὐκ ἴζω δὲ Χαρίτων ἡ Αἴγινα, οὐκ ἄχαρις, ἀλλὰ τελείαν ἔχει τὴν δόξαν ἐξ ἀρχῆς, καὶ οὐ νῦν μόνον.

31. Ἁ δικαιόστολις] ἡ δὲ δικαιόστολις πᾶσες Αἴγινα οὐκ ἐξίστισι τῶν Χαρίτων, φησὶ, Σίγουσα ταῖς τῶν Αἰακιδῶν ἀριστείαις.

35. Πολλοῖσι μὲν γὰρ ἀείδεται] πολλοῖς μὲν γάρ, φησιν, ἀνυμνεῖται ἀγῶσι, καὶ ἐν ταῖς ἐξείαις μάχαις, γυναίους καὶ πολιμικοὺς ἀγαγοῦσα ἥρωας. διασρέται δὲ καὶ ἐν ἀνδράσιν εὐβουλίας ἔνικεν καὶ γνώμης.

40. Εἰμὶ δ' ἔσχολος] ἐν ἀσχολίᾳ, φησὶν, εἰμὶ, καὶ οὐκ εὐκαιρῶ, ὥστ πᾶσαν τὴν τῆς Αἰγίνης μακρηγορίαν ἀναθεῖναι τῇ λύρᾳ καὶ τῷ ἠδεῖ ῥθέγματι, οἱονεὶ τῇ φδῇ. ἢ οὕτως· οὐκ ἔστι καιρὸς τὰ ἐγκώμια τῆς Αἰγίνης καὶ τῶν Αἰακιδῶν λέγειν, μή τις φθόνος βλάψῃ με. οἱ δὲ οὕτως· οὐκ εὐκαιρῶ πᾶσαν αὐτῆς τὴν ἀρετὴν ἐμπεριβαλεῖν, ἢ περιλαβεῖν τῷ ὕμνῳ. δεῖ γάρ με τὸν νικηφόρον ἐπαινεῖν· εὐλαβοῦμαι δὲ, μὴ προσκορὴς ἐφθῇ ὁ λόγος μου.

43. Μὴ κόρος ἐλθὼν νείσῃ] ὑπειρθέμενός, φησι, τὸ παρακδέσει περὶ Αἰγίνης εἰπεῖν, μὴ κόρος ἐπιδεάμῃ μοι, ἅ νῦν ἐξείληφα, ἔργον. Τὸ δὲ ἐν μεσοῖ μου (sic) σχίζου,

τουτέστι τὸ πρόσφατον· τί δέ ἐστι τοῦτο; ἡ νίκη· ταύτην ὑμνήσω. Πετανὸν δέ φησιν, ἀντὶ τοῦ πετώμενον, ἐπὶ τὰ ποιήματα εἰς πᾶσαν διίκνεται πόλιν· ἢ μετέωρον· τὸ νῦν παρὰ ποσί μου ὄφλημα. τοῦτο νῦν τρέχον, καὶ μετὰ σπουδῆς, παραγινέσθω ταχὺ παρὰ τῇ ἐμῇ γνώμῃ. τὸ πρᾶγμα γὰρ ποτηνὸν καὶ τὸ χρέος γενέσθω, τουτέστι, τὸ ποίημα, ταῖς ἐμαῖς τέχναις, ὥστε καὶ διαπόντιον δύνασθαι εἶναι.

48. Παλαισμάτεσσι γὰρ ἴχνιόων] Θεόγνητος καὶ Κλειτόμαχος Θῆβαι τοῦ νικηφόρου. Ὀλυμπιονίκης δὲ ὁ Θεόγνητος, ὁ Κλειτόμαχος δὲ Ἰσθμιονίκης. φησὶ δὲ αὐτὸν μὴ καταλίγχιν τοὺς τῆς μητρὸς ἀδελφούς, ἀλλὰ κατ' ἴχνη τούτων βαίνειν. ὁ δὲ νῦν· σοῖς γὰρ παλαίσμασι τοὺς πρὸς μητρός σου Θήβαι μεταδιώκων καὶ ζηλῶν, οὕτε τὸν Ὀλυμπίᾳ Θεόγνητον νικήσαντα κατισχύνεις, οὔτε τὴν Κλειτομάχου ἐν Ἰσθμοῖ νίκην, ἀπὸ κοινοῦ τὸ, καταλίγχεις.

53. Αὖξον δὲ πάτραν Μιδυλίδᾶν] φατρία ἐν Λίγίνῃ Μιδυλιδῶν, ἀπὸ Μιδύλου, προγόνου ἰσοδόξου γεγονότος. καὶ ἐν ἄλλοις αὐτός· (Fragm. p. 104. Schm.) "Μι- "δυλίδου δ' αὐτῷ γίνετα." μαρτυρεῖ καὶ Ὅμηρος· (Iliad. ν'. 354.)

Ἦ μὲν ἀμφοτέρεσσιν ὁμὸν γένος ἠδ' ἴα πάτρη.

ἀντὶ τοῦ, φατρία. τῷ οὖν σῷ γένει, τοῖς Μιδυλίδαις, δόξαν προσίθηκας. ὁ δὲ νοῦς οὕτως· τῶν δὲ Μιδυλιδῶν τὴν φατρίαν αὔξων τὸν λόγον φέρεις ἐκεῖνον, ὃν ὑπέ ποτε Ἀμφιάραος, ἡνίκα ἐθεάσατο ἐν ταῖς ἐκστατύλοις Θήβαις παραμίνοντας τοὺς υἱοὺς τῶν ἐπτὰ ἐπὶ Θήβαις, ὁπότε ἀπὸ τοῦ Ἄργους τὴν διωτίραν ἐπάνοδον ἐποιοῦντο οἱ Ἐπίγονοι. ἢ οὕτως· τοῦτόν, φησι, τὸν λόγον φέρεις, ὃ Ἀριστόμαχος, ὃν ὑπέ ὁ Ἀμφιάραος, ἰδὼν Θερσαλίῳ πολεμοῦντας τοὺς Ἐπιγόνους κατὰ τῶν Θηβαίων. Τί δὲ ἐστι; Φυᾷ τὸ γενναῖον ἐπαίρεται· ὅτι σώζουσι τὴν τῶν γονέων ἀρετήν. καὶ σὺ δέ, φησί, τοὺς μήτρωας ζηλοῖς τῇ ἀθλήσει. ἢ οὕτως· τῇ φύσει τὸ συγγενὲς ἐν πατέρων προθύμημα τοῖς παισὶν ἐπαίρεται. Ὅμηρος· (Iliad. ε'. 253.)

Οὐ γάρ μοι γενεαὶ ἀλυσκάζουσι μάχεσθαι,

τουτέστι, συγγενεῖς.

56. Ἰδὼν υἱοὺς Θηβαίων (sic) ἐθάζατο] ἀντὶ τοῦ ἀπεφθέγξατο, οὐ γὰρ αἰνιγματωδῶς εἶπε. καὶ παρ' Ὁμήρῳ. (Iliad. ν'. 374.)

Ὀθρυονεῦ, πέρι δή σε βροτῶν αἰνίζομ' ἁπάντων.

πῶς δὲ ταῦτά φησιν ὁ Ἀμφιάραος, εἰ μὴ ἔτι, ὅτου ζῶν κατεκόθη, κατά τινα θείαν ἐπίνοιαν (f. ἐπίστασιν) προεδιλέγετο τοῖς Ἐπιγόνοις.

64. Θιάσσομαι (sic) σαφὶς δράκοντα] τοῦτό φησιν, ὡς τοῦ Ἀλκμᾶνος ἔχοντος ἐπὶ τῆς ἀσπίδος ἐστίσμενον δράκοντα. Θωρῶ γάρ, φησι, σαφῶς ἐν ταῖς Θήβαις τὸν Ἀλκμάονα, φοικίλον δράκοντα ἐπὶ τῆς κατασληπτικῆς ἀσπίδος διαπυθόντα. Διατί δὲ ὁ Ἀλκμέων εἶχεν ἐπὶ τῆς ἀσπίδος δράκοντα; ὅτι ἐστιθίων πρὸς οἰωνοὺς τὸ ζῶον, καὶ καταδύνον εἰς τὰς ὀπὰς τῆς γῆς. μάντις δὲ καὶ ὁ Ἀμφιάραος, καὶ πατρὸς καὶ αὐτὸς υἱὸ γῆν. ὁ δὲ παῖς, σημεῖον τῆς τοῦ πατρὸς ἔτι ζῶς τίχης· ἢ καθὸ ἦν ἀπὸ Μελάμποδος. ἱστορεῖσι δὲ δύο δράκοντας διαλιῖξαι τὰς ἀκοὰς τοῦ Μελάμποδος καὶ διατρῆσαι [πρὸς ἄλληλα]. διὸ καὶ δοκεῖ αἰσθάνεσθαι τῆς τῶν ἀλόγων ζώων φωνῆς.

68. Ὁ δὲ καμὼν πρωτίρῳ πάθῃ] ὁ δὲ τῷ πρωτίρῳ πάθει καμὼν καὶ τὸν στρατὸν ἀπολέσας Ἄδραστος νῦν πρίσσοτος οἰωνοῦ ἰσχύεται ἀγγιλίᾳ. νικήσει γὰρ τῇ μάχῃ. τὸ δὲ κατὰ τὸν ἴδιον οἶκον ἐναντίως πράξει. πρότερον μὲν γὰρ ἐσώθη μόνος, κατὰ δὲ τὴν διωτέραν στρατείαν, πάντων σωθέντων, αὐτὸς μόνος τὸν υἱὸν ἀπέβαλεν Αἰγιαλέα, ὅς φησιν Ἑλλάνικος, λέγων ἐν Γλαίσαις τὸν συμβολὴν γεγενῆσθαι. ἢ οὕτως· ὁ δὲ καμὼν Ἄδραστος τῇ πρωτίρᾳ συμφορᾷ, νῦν βιλτίονες ἔχεται τύχης, τῇ τοῦ ἔρνιθος ἀγγιλίᾳ καὶ πληθύι. εἰωνιστὴς γὰρ ὁ Ἀμφιάραος.

74. Μόνος (sic) γὰρ ἐκ Δαναῶν] μόνος γὰρ τῶν Ἑλλήνων τοῦ Θηβαίου στρατοῦ, τελευτήσαντος τοῦ υἱοῦ τὰ ὀπλα συναγαγὼν καὶ συλλίξας ἀφίξεται εἰς τὸ Ἄργος σὺν τῷ στρατοπίδῳ ἀζλαδεῖ καὶ πιμπωθήσει. ἐν γὰρ τῇ πρώτῃ στρατείᾳ οἱ μὲν ἄλλοι ἐξ στρατηγοὶ ἀπώλοντο, ἐν δὲ τῇ διωτέρᾳ, ὅτε οἱ Ἐπίγονοι, μόνος ὁ Ἀδράστου παῖς Αἰγιαλεὺς ἀπώλετο. οὕτω καὶ ἐξ αὐτοῦ φασιν Ἀδράστειαι κληθῆναι τὴν Νίμεσιν. Ἄζαντος δὲ ἀγυιὰς (v. 77.) τὸ Ἄργος φησὶν, ὅτι Ἄβας, ὁ Δυγκέως, Ταλαοῦ πατὴρ, ἐξ οὗ ὁ Ἄδραστος, ὤκησε τὸ Ἄργος, εἶτα μετέστη εἰς Εὔβοιαν. ὅτι δὲ Λυγκέως Ἄζας, ἐξ ἐκείνου δῆλον· " σφαγὰς δὲ Δαναοῦ παρθένων " Λυγκεὺς φυγὼν Ἄζαντα φύει, διάδοχον " τυραννίδος."

79. Χαίρων δὲ καὶ αὐτὸς] ὡς ἀπὸ τοῦ χορεῦ, τὸ πρόσωπον μιμουμένου τοῦ νικηφόρου. ταῦτα δὲ εἴρηκεν, ὡς ὑπάρχοντος ἥρωος καὶ γενεσιωργοῦντος τῇ τοῦ νικηφόρου οἰκίᾳ. προσυνοτοίθεται δὲ, ὅτι καὶ ὑπόντητος προευνομένῳ εἰς τὸν ἀγῶνα καὶ τῆς μαντείας ἐφήψατο καὶ αὐτὸς ὢν μάντις. ἐμφαίνει δὲ διὰ τούτων, ὅτι ἐγεγόνει τις μαντεία περὶ τῆς νίκης αὐτοῦ. Ἄλλως. ἐφηδόμενος δὲ καὶ αὐτὸς τὸν Ἀλκμάονα στεφανῶ τῇ φόδῃ, ὅτι δή μοι ὁ τούτου πατὴρ Ἀμφιάραος γένων ἐγὼ καὶ φύλαξ τῶν ἐμῶν κτημάτων, καὶ ὅτι ἀπώντι εἰς τὸν τῆς γῆς

ἀμφαλὸν, τουτέστιν εἰς τὴν Πυθῶνα, ἀπέντησεν, καὶ τῶν μαντευμάτων ἐφήψατο τοῖς συγγενηθεῖσιν αὐτῷ. τυχὸν δὲ λίγει συγγόνοις τίχνως.—Ἄλλως. τῇ Ἀριστομένους εἰκὼν παρίδρυτο Ἀλκμάονος ἀρχόν. ἴσως δὲ καὶ τῇ αὐτοῦ μαντικὴ χρησάμενος ἐπὶ τὸν ἀγῶνα ἐστρατεύθη καὶ ἐνίκησεν.

88. Τὸ δ' ἐκατηβόλε] σὺ δὲ, ὦ Ἄπολλον, τὸν πάντας δεχόμενον ἐν τῷ Πυθῶνι νιὸν εὐδόξως διανέμων, τοῦτο μὲν τὸ κλέος τῆς νίκης αὐτόθι ἐν τῷ Πυθῶνι παρέσχες· ἐν Αἰγίνῃ δὲ πρὸ τούτων ἐνίκησε τὰ Διλφίνια, Ἀπόλλωνος ἀγῶνα. περὶν γὰρ λαβεῖν τὰ Πύθια, πεντάκις ἐν οἴκῳ, τουτέστιν ἐν Αἰγίνῃ, ἀγῶνα ἱερὸν Ἀπόλλωνος, πέντεθλον. ἄγεται δὲ ἐν Αἰγίνῃ Διλφίνια Ἀπόλλωνι. τὸ δὲ ὑμεῖς (v. 95.) ἀντὶ τοῦ, ταῖς σαῖς, καὶ πλεονάζει τούτῳ ὁ Πίνδαρος. τιμᾶται δὲ σφόδρα ἐν Αἰγίνῃ Ἀπόλλων καὶ Ἄρτεμις.

95. Ἐπάντι δ' εὔχομαι νόῳ] σοὶ δὲ, ὦ Ἄπολλον, εὔχομαι ἐφορᾶν σε ἵλαον τῶν ποιημάτων, ὅσα κατά τινα ἁρμονίαν ἐπέρχομαι καὶ γράφω. Καὶ ἄλλως· ἦτον διαζεύξωμαι καὶ εὔχομαί σοι, ὦ Ἄπολλον, καθ' ἁρμονίαν πρὸς πάντα ἐρχεσθαι πράγματα, οἷον, πρὸς μηδὲν πλημμελῶς ἔρχεσθαι.

99. Κώμῳ μὲν ἁδυμελεῖ] τῷ μὲν χορῷ ἡμῶν δικαιοσύνη παρίστηκε, τουτέστιν, οὐ ψευδόμεθα, οἷς λίγομεν περὶ τοῦ Ἀριστομένους, ἦτοι, δικαίως κωμάζεται ὁ Ἀριστομένης καὶ ἐπινεδίως. ἀγαθὸς γάρ ἐστι. τὴν δὲ τῶν μετὰ ταῦτα ἐπεισοφὴν παρὰ τῶν θεῶν εὔχομαι ἀνεπίφθονον ἐπὶ ταῖς ὑμετέραις εὐχαῖς γενέσθαι. ὁ δὲ Ξενάρκης φατὴρ τοῦ νικηφόρου.

103. Εἰ γάρ τις ἐσλὰ φίσατται] εἰ γάρ τίς, φησιν, ἀγαθὰ κέκτηται μὴ σὺν πολλῷ πόνῳ, ἀλλὰ ῥᾳδίως, τοῖς πολλοῖς τῶν ἀνθρώπων δοκεῖ σοφὸς ὢν ἐν ἄφροσι τὸν ἑαυτοῦ βίον κορύσσειν, τουτέστιν αὔξειν, ταῖς ἀρθοβούλοις ἑαυτοῦ ἐπιτυχήσεσιν. ἢ οὕτως· εἴ τις ἄνευ πόνου ἀγαθόν τι περιεπτήσατο, τοῦτον οἱ πολλοὶ τῶν ἀφρόνων δοκοῦσι σοφὸν εἶναι, καὶ τοῦτο ἐν τῇ σοφίᾳ δοκεῖ οὕτω περιεστεφθῆναι. ἐγὼ δέ φημι τοῦτο ἐν δίῳ εἶναι, καὶ ἐγὼ τὸ δαιμόνιον αἴτιον τῆς κτήσεως. Τὸ δὲ, φίσατται, ἀντὶ τοῦ, κέκτηται. Ὅμηρος· (Iliad. δ'. 433.) "Πολυ- "πάμμονες ἀνδρὸς ἐν αὐλῇ," τουτέστι, πλουσίου.

107. Τὰ δ' οὐκ ἐσ' ἀνδράσι κεῖται] ταῦτα δέ, φησιν, οὐκ ἔστιν ἐν ἀνθρώποις, τὰ ἐν περιουσίᾳ κτήσασθαι· τὸ δαιμόνιον δὲ ἐκάστῳ παρέχει.

109. Ἄλλοτε δ' ἄλλον ὕπερθε βάλλων, ἐπὶ πρωτεῖσι, ὅτε ὁ δαίμων παρέχει πάντα, ἐπάγαγε, ὅτε ποτὲ μὲν, ἄλλοτε, ἄλλον ὑψηλὸν ποιῶν, ἄλλοτε δὲ ὑποχείριον, καὶ οἰστρῶν καὶ ταπεινόν.

111. Μίτρᾳ καταβαίνει] ἀντὶ τοῦ, καταβαίνων ποιεῖ. μεμιτρημένα ἐκάστῳ τὰ καλὰ καὶ τὰ ἀγαθὰ παρέχεται, οὕτοτε τῶν ἐν μονίμῳ τύχῃ κρατῶν.

113. Ἥρας τ' ἀγῶν' ἐπιχώριον] ὡς καὶ ἐν Αἰγίνῃ, Ἡραίων ἀγομένων, κατὰ μίμησιν τοῦ ἐν Ἄργει ἀγῶνος. ἄποικοι γὰρ Ἀργείων Αἰγινῆται. Δίδυμος δέ φησι τὰ Ἑκατόμβαια αὐτὸν νῦν λίγειν ἐπιχώριον ἀγῶνα Αἰγινητῶν, διὰ τὴν συγγένειαν.

115. Νίκαισι τρισσαῖς (sic)] σὺν ταῖς τρισὶ ταύταις νίκαις καὶ τὰ Πύθια νικήσας· τέτρασι σώμασι τῶν ἀναγωνιστῶν ἄνωθεν ἐνίκησεν, ἤτοι αὐτῶν φροντίζων. Τὸ δὲ, δαμάσαις (sic) ἔργῳ, ἀντὶ τοῦ, μετ' ἔργου καὶ ἐνεργείας πολλῆς καθυποτάξας σαυτῷ.

119. Τοῖς οὔτι νόσος ὁμῶς] οἷς τισι, τοῖς ἥττηθεῖσιν, ἐκ τῆς Πυθίας ἡ ἀναπομπὴ οὔτε ἡδεῖα, οὔτε προσηνὴς ἐγένετο· οὔτε ἐλθόντων αὐτῶν ἐπὶ τὴν πατρίδα περὶ τὴν μητέρα καὶ τοὺς γονεῖς γάλως ἡλυκὺς χάριν ἐκίνησε τὴν ἐκ τῆς νίκης· ἐκ δὲ τοῦ ἐναντίου λύπη καὶ συμφορὰ περὶ τὸν οἶκον τῶν ἡττηθέντων γίγνεται. Ἄλλως. ὑβριζοῦνται καὶ φεύγουσι τοὺς ἐχθροὺς τῇ τῆς ἥττης συμφορᾷ δακνόμενοι.

126. Ὁ δὲ καλέν τι νέον λαχὼν] ὁ δὲ νεωστὶ καλὸν καταπραξάμενος καὶ νικήσας, ἀπὸ μεγάλης ἀζρότητος καὶ εὐδαιμονίας ἐκ τῶν εὐτυχηθεισῶν ἐλπίδων ὑψοῦται, ταῖς ταχείαις αὐτοῦ ἐπαιρόμενος ἀνδρείαις, ἔχων καὶ κρείσσονα πλούτου τὴν φροντίδα, τουτέστι τὴν νίκην. Ἄλλως. ὁ δὲ καλῶς πράξας, ὑπὸ τῶν ἐλπίδων μετέωρος φέρεται.

131. Ἐν δ' ὀλίγῳ βροτῶν τὸ τερπνὸν αὔξεται] λέγει χρόνῳ, τουτέστι, χρόνον μικρὸν αὔξει τοὺς ἀνθρώπους, καὶ καταβάλλει, ἃ συχοῦσα πρόφασις. εἴωθεν οὖν προσλαμβάνειν τὸ, χρόνῳ. ἐν ὀλίγῳ δὲ χρόνῳ, φησὶ, τὸ τῶν ἀνθρώπων ἡδὺ καὶ καλὸν εἶναι δοκοῦν αὔξεται καὶ παραμένει· οὕτω δὲ καὶ πάλιν ταχέως αὐξηθὲν τὸ ἀγαθὸν ἀφανίζεται, ἀηδὲς τινι γνώμῃ καὶ πικρᾷ σεσεισμένον καὶ ἀπεστυγνόν.

5. "Ιστι σὺν Ἡρακλεῖ ἀρίστῳ μαντεῖ] ἔστι δὲ τὸν ἄδυτον, ὃς ἐστι χρυσέων τριπόδων ἀνακείμενος. συνεπῶς δὲ τὸν Πίνδαρος κατὰ τὸ ἀρχαιότερον, τὸν ἄδυτον. προσκαλεῖται δὲ τὰς Θήβας ἡρωΐδας εἰς τὸ Ἰσμήνιον ἥκειν, ἐν ᾧ τὸ τοῦ Τηνίου ἱερόν ἐστι χρηστήριον. τριπόδων δὲ εἶπε ἀνακείμενον τὸ Ἰσμήνιον διὰ τὸ αὐτόθι πολλοὺς ἀναπεῖσθαι τρίποδας. οἱ γὰρ Θηβαγενεῖς ἱστοροδοφόρουν ἐκεῖσε[*]. ἡ δὲ Μελία, Ἰσμηνοῦ ἀδελφὴ ὑπὸ Ἀπόλλωνος φθαρεῖσα, καὶ γεννήσασα Τήνιον, ἀφ' οὗ ἐν Θήβαις Τηνιεῖον ᾠδεῖον.—Ἄλλως. Μελία, Ὠκεανοῦ θυγάτηρ, ἐξ ἧς καὶ Ἀπόλλωνος Τήνιος ὁ μάντις, ὃς παρ' Ἰσμηνῷ τῷ ποταμῷ ἐμαντεύετο. καὶ αὐτόθι μαντεῖόν ἐστιν, ὃ καλεῖται Ἰσμήνιον, ἔνθι δὲ καὶ πηγὴ ὁμώνυμος τῇ ἡρωΐδι. ὁ δὲ νοῦς· ὃν τινα τὸν ἄδυτον θησαυρὸν ὁ Ἀπόλλων ἐξέχως ἐτίμησε καὶ ὠνόμασεν αὐτὸν Ἰσμήνιον μαντεῖον, καὶ ἀληθῆ τῶν μαντευμάτων καθίδρυε.

12. Ἔνθα καὶ νῦν ἱκάνομαι] εἰς τὸ Ἰσμήνιον παλαιὸ συνήρχισθαι ἱκάνομαι τῶν ἡρωΐδων φρατόν. ἱκάνομαι φρατὸν εἶπε τὰς ἱκανομοίνας καὶ ἱκετευούσας τὰς Θήβας. ἢ ἱκάνομαι, τὸν σύνομον Θήβαις, τὸν ἐκ τοῦ αὐτοῦ νομοῦ καὶ τῆς αὐτῆς ἱκανομῆς. τίς δὲ καλεῖ; ἦτοι ὁ Ἀπόλλων καλεῖ διὰ τὴν νίκην, ἢ καὶ ἡ Μελία, ὅπερ καὶ βέλτιον. Θήλεια γὰρ Θηλείας εὐλόγως συγκαλεῖν. ὁ δὲ νοῦς· καὶ νῦν ἱκετεῦσθαι, ἐκ τοῦ παρόντος, τῶν ἐντοπίων ἡρωΐδων συνθρισμενῶν τὸ πλῆθος προσκαλεῖται προσιέναι, ἤτοι ὁ νικηφόρος, ἢ ὁ Ἀπόλλων, ἢ ἡ Μελία, ἅ καὶ βέλτιον.

15. Ὄφρα Θέμιν ἱερὰν] Θέμιδος ἦν τὸ χρηστήριον, ὅθεν καὶ τὸ Θεμιστεύειν. ὁ δὲ νοῦς· ὅπως ἂν τὴν ἱερὰν Θέμιν, καὶ τὴν Πυθῶνα, καὶ τὸν ὄντα ἀμφαλὸν τῆς γῆς, ὑμνήσητε σὺν παννυχίσι, χάριν κατατιθέμεναι ταῖς ἑστιατόλοις Θήβαις, καὶ τῷ τῆς Κίρρας ἀγῶνι.

21. Ἐν τῷ Θρασυδαίου ἕμπασιν] ἐν ᾧ, τῷ τῆς Κίρρας ἀγῶνι, φησὶ δὲ τῷ Πυθικῷ, ἐστεφανώθη τρίτον εἴφανον, τὴν πατρικὴν μνήμην ἤγαγε τῶν παλαιικῶν κατορθωμάτων, νικῶν ἐν τῇ χώρᾳ τοῦ Πυλάδου, τοῦ φίλου τοῦ Λάκωνος Ὀρέστου. Ἄλλως. ἐν τῷ προκειμένῳ ἀγῶνι τῆς Κίρρας, ἐν τοῖς Πυθίοις, ἀνέμνησε τὴν πατρῴαν ἑστίαν τῶν νικῶν, ἐστιβάλλων αὐτῇ τὸν εἴφανον. τρίτον δὲ εἶπεν, ὡς ἡ πατρὸς ἢ προγόνου αὐτοῦ νικηπόρος τινός. αὐτὸς γὰρ ἅπαξ ἀναγράφεται Πύθια νικήσας. Ἄλλως. ἰσέον, ὅτι τὴν Φωκίδα χώραν ἀφνειὰν ἄρουραν Πυλάδου εἶρηκε. τῆς γὰρ Φωκίδος ἡ Πυθὼν, ἧς Στρόφιος ὁ πατὴρ Πυλάδου ἐβασίλευσε. καὶ ὅτι τὸ, ξείνου Λάκωνος Ὀρέστα, τοιοῦτον [ἔστω] ἐν τῇ χώρᾳ τοῦ Πυλάδου, ὅτις ἦν τοῦ Λάκωνος Ὀρέστου ξένος. τὸ δὲ, τρίτον ἐπὶ στέφανον, οὐχ ὅτι αὐτὸς ὁ νικηφόρος τρεῖς ἴσχυε νίκας, ἀλλ' ἀναγέγραπται ὁ πατὴρ αὐτοῦ, Ὀλυμπιονίκης γεγονὼς καὶ αὐτὸς εὐτυχήσας, ὅτι τὰς πάσας τρεῖς ὑπέδυκεν αὐτῷ γεγονέναι καὶ τῷ πατρί. ἔρεισε τοίνυν ὁ Πίνδαρος τὸ ἐγκώμιον ἐφ' ἑαυτόν. ἐν δὲ τοῖς ἐξῆς σφόδρα ἀπαίρει παρικδάσει ἐχρήσατο.

25. Τὸν δὲ φονευομένου τοῦ πατρὸς] ἀπέλιπε ἡ τροφὸς Ἀρσινόη τὸν Ὀρέστην, φονευμένου τοῦ πατρὸς ὑπὸ τῆς Κλυταιμνήστρας, φησίν. ἰδίως δὲ ὁ Πίνδαρος Ἀρσινόην εἶναί φησι τὴν Ὀρέστου τροφόν. Φερεκύδης δὲ Λακεδαιμονίαν λίγων αὐτὴν, τὸν ταύτης φησὶ παῖδα ἀνηρῆσθαι ὑπὸ Αἰγίσθου, νομιζόμενον Ὀρέστην εἶναι. τὸν δὲ Ὀρέστην ἐκπλαττόντα εἶναι τριῶν ἐτῶν, ὡς Ἡρόδωρος ἐν Πλαστείᾳ. ὁ δὲ νοῦς· ὄντινα, τὸν Ὀρέστην, φονευμένου τοῦ πατρὸς αὐτοῦ, Ἀρσινόη ἡ τροφὸς ἐκ τῶν Κλυταιμνήστρας χειρῶν καὶ τοῦ κατ' αὐτοῦ δόλου σπουδαιουμένου ὑπεξέκλεψεν, ὅτι ἡ ἀνηλεὴς γυνὴ τὸν τοῦ Δαρδάνου παῖδος Πρίαμον θυγατέρα Κασσάνδραν τῷ πελιῷ ξίφει σὺν τῷ τοῦ Ἀγαμέμνονος ψυχῇ ἔπεμπε παρὰ τὴν εὔσκιον τοῦ Ἀχέροντος ἀκτήν. μετέστησε δὲ εἰς τὸν περὶ αὐτοῦ λόγον.

34. Πέτρῶν νιν] ἐκίχησεν δύο αἰτίας, δι' ἃς τὸν Ἀγαμέμνονα ἀνῄλει καὶ φησι πότερον ἄρα ἡ Ἰφιγένεια ἡ παῖς αὐτῆς, μακρὰν τῆς πατρίδος σφαγεῖσα ἐν τῷ Εὐρίπῳ, ἐλύπησεν αὐτὴν καὶ ἐπόνησεν, ὥστε τὴν ὀργὴν ταύτην ἴσχουσαν βαρύτατον τὸ ἐπιχείρημα ἔρασθαι, καὶ [λυπῆσαι] τολμῆσαι τοσοῦτον, ὡς πρὸς τὴν τοῦ Ἀγαμέμνονος ἀρπαγὴν σφαγὴν, ἢ ἑτέρᾳ αὐτὴν ἀνδρὶ μισγομένην ἐν νυκτερινοῖς τῆς μοιχείας συνουσίαις παρέγαγον κατὰ τοῦ Ἀγαμέμνονος, ὥστε αὐτὸν φονεῦσαι σὺν δόλῳ.

40. Τὸ δὲ (sic) νίαις ἀλόχοις] ὅτιμε, φησὶ, τὸ ὑπὸ ἄλλῳ ἀνδρὶ μοιχεύεσθαι, ταῖς νίαις γυναιξὶν ἐχθρότατον ἀμάρτημα. ὅτιμε, τὸ τῆς μοιχείας ἁμάρτημα, ἐπιπαλύψαι ταῖς ἀλλοτρίαις γλώσσαις ἀδύνατόν ἐστιν ἢ λαθεῖν τοὺς ἔξω, ἢ μαθόντας τοὺς ἔξωθεν ἀκοσιωτῆσαι, ἀδύνατόν ἐστι πρᾶγμα. οἱ γὰρ ἀλλότριοι λαλοῦσι. κατὰ φύσιν γὰρ λοιδορεῖ εἰσιν οἱ πολῖται.

45. Ἰσχυι τι γὰρ ὄλεος οὐ μείονα φθόνου]

* Similia apposuerat Didymus in Commentario in Pæanas Pindari: unde verba servata sunt ap. Ammon. in voc. Θηβαῖς. Καὶ τὸν τρίποδα ἀπὸ τούτου (ab hoc tempore) Θηβαγενεῖς πέμπουσι τὸν χρύσεον εἰς Ἰσμήνιον ἱερόν. ut legendum cum viris doctis. Rem attigit Pausan. ix. 10. sed parum diserte. cf. Valk. ad Ammon. p. 97.

ἤδη καὶ τῶν ὑπειρεχόντων μᾶλλον ἰδίως ἄπτονται οὗτοι. τοῦτο δὲ πρὸς τὸν Ἀγαμέμνονα, ὅτι ἐπιφανὴς ὢν ἐφθονήθη. ἢ οὕτως· ἔχει γὰρ καὶ ἡ εὐτυχία οὐ μικρὸν φθόνον, ὅτι ἀεὶ τοῖς εὐτυχοῦσι βασκαίνουσιν οἱ ἔξωθεν.

46. Ὁ δὲ χαμηλὰ] ὁ δὲ ταπεινὰ καὶ οἰκτρὰ σύνεσι, τουτέστι, ὁ εὐτελὴς καὶ πίνης ἀφώνως ἡχεῖ, οἷον, ζῇ. διὰ γὰρ τὴν πενίαν εὐτελής τις ὤν, καὶ ἀφανὴς ἐστιν. ἢ οὕτως· ὁ δὲ ταπεινὸς οὐκ ἐν φανερῷ βρίμει.

47. Θάνε μὲν αὐτὸς ἥρως] ἀπίθανει μὲν οὖν αὐτὸς ὁ Ἀγαμέμνων χρόνῳ πολλῷ παραγιγονὼς φησι ἐν Λακεδαίμονι, καὶ τὴν μάντιν ἀκολίσθαι πιστοῦται πόρην Κασάνδραν. αἴτιος γὰρ αὐτὸς τοῦ ὑπὸ Κλυταιμνήστρας ἀποθανεῖν αὐτὴν γίγονεν.

50. Ἐπεὶ ἀμφ' Ἑλένᾳ] παραγιγονὼς δὲ ὁ Ἀγαμέμνων εἰς Λακεδαίμονα, τίθησιν, ἱστιδή, φησι, περὶ τῇ Ἑλένῃ μαχόμενος συμφλιχθείσης τῆς Τροίας, καὶ τῶν ἐνοικούντων Τρώων, διέλυσε τοὺς οἴκους τῆς εὐδαιμονίας, φησίν, τοὺς πλουσίους οἴκους κατεστρέψατο.

53. Νίφ κιφελᾷ] ἀντὶ τοῦ, νίος ὢν ἔτι. ὁ δὲ Ὀρέστης, φησὶν, ἔτι νεώτερος ὤν, τὰς τῆς μητρὸς ἀποφυγὰν χεῖρας, πρὸς Στρόφιον τὸν Πυλάδου πατέρα παρεγένετο, οἰκεῖόν πρὸς τὸ ἴσχνασον τοῦ Παγασσοῦ.

55. Ἀλλὰ χρόνῳ (sic) σὺν Ἄρει] ἀλλὰ χρόνῳ ποτε ἐλθὼν ὁ Ὀρέστης, καὶ ἐν τῇ πατρίδι παραγιγονὼς, τῷ ξίφει ἀνεῖλε τὴν μητέρα, καὶ τὸν Αἴγισθον ἔθηκεν ἐν φονεῖς. φονεῖ δὲ, οἱ τότε, εἰς οὓς φονεύονται, καλοῦντες. "Ομηρος· (Iliad. κ'. 521.) "Ἐν " ἀργαλέῃσι φονῆσι."

58. Ἦ ῥ' ὦ φίλοι, πασ' ἀμυσίκορον] συνήθησαι καὶ αὐτὸς ἁπαίρῳ παρικδάσει πιχρημένος, καί φησιν· ὦ φίλοι, ἆρα ἱκλανήθην τῆς ὁδοῦ, τὸ πρότερον ἐρθὴν παρινόμενος ὁδὸν ἢ ἄπρμός με τοῦ πλοῦ παρίσφηλεν· ἀμυσίκορον οὖν φησιν, ὃν ἀμιδάμεθα, καὶ ἀνόμην, μὴ κατὰ πλάνην παρικτρεπόμενοι. διὸ ἀπίστρεψιν τὸν λόγον πρὸς τὴν Μοῦσαν, καί φησιν· εἰ συνίθου καὶ μοῦσδε ἅλαδε, ἵνα ἐγκωμιάσῃς τὸν ναηφόρον, δίον ἐπὶ, τὸν ὕμνον ἄλλοτε ἄλλῃ μετάγων, ἢ περὶ τοῦ Θρασυδαίου τὰ λίγοντας, ἢ περὶ τοῦ πατρὸς αὐτοῦ τοῦ Πυθιονίκου. ὑπάρχουσι γάρ ἐσιν ἡ φωνὴ καὶ ἁμμισθος, ὥστε οὐ δεῖ παρικδαίνειν καὶ περὶ ἄλλων λίγειν, μισθὸν εἰληφότα. "Αλλως. Ἦ ῥ', ὦ φίλοι. ἐσφάλη ὁ Πίνδαρος τοῦ δίοντος, παρικδάσει χρησάμενος· κατὰ τρίοδον δὲ πιπλανῆσθαί φησιν, ἱστιδὴ δοκεῖ ὁ ἀπ' εὐθείας ἐν τριόδῳ παραγινόμενος ἀπορεῖν, ἐκείνῃ ἐφίλει βαδίσαι ὁδόν. ὁ δὲ νῦν· ᾧ δὴ, ὦφίλοι, πασ' ἀμυσίκορον ὁδὸν ἐκλανήθην, εἰθίκαι τὸ πρότερον πορευόμενος, ἢ ἄπρμός με τις ἐξέφηλε τοῦ δίοντος πλοῦ, καὶ ἐκπεσεῖν ἐποίησεν, ὡς θαλάσσης ναῦν.

63. Εἰ μισθῷ συνίθυν] εἰ δὲ ἀληθῶς, ὦ Μοῦσα ἡμιτέρα, μισθοῦ καὶ ἀργυρίου τὴν σὴν φωνὴν ὑπίσχου παρασχεῖν, ἄλλοτε ἄλλα ἐφίλαις ἀναπιτῖν ἐγκώμια. ἐφίλαις δὲ ἐπὶ τοῦ παρόντος ἀναπιτεῖν τὸ ἐγκώμιον ἢ αὐτῷ τῷ πατρὶ τοῦ Πυθιονίκου, ἢ αὐτῷ τῷ Θρασυδαίῳ, ὧν ἡ δόξα τῆς νίκης καὶ ἡ εὐφροσύνη πανταχοῦ διαλάμπει.

66. Ταρασσίμιν] ἀντὶ τοῦ τάρασσει, καὶ μετάφερε.

70. Τὰ μὲν ἅρμασι καλλίνικοι πάλαι] τὰ μὲν γὰρ ἅρμασι καὶ τεθρίππῳ σὺν τοῖς ἵπποις τὸ παλαιὸν καλλίνικοι γινόμενοι, τῶν πολυθρυλλήτων ἀγώνων ἴσχον τὴν ταχυτῆτα ἀκτίνα καὶ λαμπηδόνα ἐν Ὀλυμπίᾳ. ἀπὸ κοινοῦ δὲ τὸ νικήσαντες ἀκτίνα ἴσχον, καὶ τῇ Πυθοῖ δὲ κατιλθόντες ἐπὶ τὸ γυμνὸν στάδιον ἀγωνίσασθαι, ἤλιγξαν τῇ τῶν ποδῶν ταχυτῆτι τὸν τῶν Ἑλλήνων ὄχλον, παρὰ πάντας εὐδαιμήσαντες μόνοι. τὸ δὲ ἅλοι, οὕτω φησίν· οἱ μὲν πρόγονοι αὐτῷ ἴσχον Ὀλυμπιακὰς νίκας, αὐτὸς δὲ ὁ Θρασυδαῖος ἐν τῇ Πυθοῖ στάδιον ἐνίκησε. τὸ δὲ τῷ Θρασυδαίῳ πιπραγμένον συλλπτικῶς ἐπὶ πάντων τέτακται.

76. Θεόθεν ἰρεμίαν καλῶν] Θεῶν δὲ βουλήσει ἔρωτα ἔχουμι τῶν καλῶν, τὰ δυνατὰ ἐπιθυμῶν ἐν τῇ παρούσῃ μοι ἀεὶ ἡλικίᾳ, τουτέστι, ἐκάστοτε.

78. Τῶν γὰρ ἀνὰ πόλιν] τῶν γὰρ κατὰ πόλιν, φησὶν, εὑρίσκων τὰ τοιοῦτα τῶν πραγμάτων ἐπὶ πλεῖστον χρόνον διάξοντα, ὅσα τὸ ἄπρον εὐκ ἴσχει τῆς εὐδαιμονίας, μίμφομαι τὰς τυραννίδας, μίμφομαι τοὺς τῆς ὑψηλῆς ἐ τυραννικῆς ἐπιθυμοῦντας σύχης.

82. Συναῖσιν] περὶ ταῖς κοιναῖς δὲ καὶ συμμίτροις ἀριταῖς, εὐτυχίαις, τὴν ἐπιθυμίαν τεταμένην ἔχω.

83. Φθονεροὶ δ' ἀμένοντ' ἄτᾳ] οἱ δὲ φθονεροὶ τῇ αὐτῶν ἄτῃ καὶ βασκανίᾳ, φησὶν, ἀμύνονται καὶ βλάπτουσι, βασκαίνοντες, εἴ τις τὸ τέλειον τῆς εὐδαιμονίας καὶ εὐτυχίας λαβὼν, καὶ ἐν ἡσυχίᾳ καὶ εἰρήνῃ διάγων, τὸν χαλινὸν χάσει καὶ ὄζον ἀπίρυγε κατὰ τὴν τελευτὴν τὴν τοῦ θανάτου, τουτέστι μέχρι καὶ θανάτου δικαίως ἴζησι καλλίνικα καὶ ἐπιμύτερος τὸν ἑαυτοῦ θάνατον τῶν ἑαυτοῦ πεπμάτων χάριν τῇ ἰδίᾳ αὐτοῦ γενεᾷ παρεσχηκώς, καὶ παναλίων ἔξωθεν δόξαν, καὶ τὸν μετὰ θάνατον ἑαυτοῦ εὐφημίαν. ἢ οὕτω· τὸν δὲ ἄπρον εὐτυχοῦντα, κἂν μετὰ ἡσυχίας ζῇ μηδὲν παρασχὼν πρᾶγμα, ὅμως οἱ φθονεροὶ βασκαίνοντες βλάπτουσιν. ἢ οὕτως· εἴ τις, φησὶ, τὸ ἄπρον καὶ τὸ πρῶτον ἔχει, οἱ φθονεροὶ τῇ ἄτῃ αὐτὸν ἀμύνονται, τουτέστι βλάπτουσι, ἐπιδὴ ἐπὶ τοῖς ἀλλοτρίοις καλῶς λυτούμενοι, διαφθείρονται πεπόμενοι. διὸ βέλτιόν ἐστι τὴν μεσότητα σώζειν ἐπὶ πάντων. Μίλανος δὲ θανάτου, τοῦ ᾠδὸν φησί.

εἴτις οὖν οὐκ ἴσα ὑζρισής, φησι, καὶ τὸ ἄκρον ἴχει, καλλίονα τὸν θάνατον αὐτῷ περιποιησάμενος πάντων κτημάτων ἀπολίποι τῇ γυναικὶ αὐτοῦ τὴν εὐφημίαν. ταύτην γὰρ εἶπε κρατίστην χρημάτων χάριν. κακὸς γὰρ χρήματος κρείσσων ἐστὶν ἡ εὐφημία.

91. Ἅτι τὸν Ἰφικλείδαν] ἥτις ἡ εὐδοξία ἔνδοξον ὄντα καὶ τὸν Ἰφικλέα ποιεῖ Ἡλαεῖον ποιναχοῦ διάγειν καὶ ἱστίαιον ποιεῖ καὶ ἀσφάλειαν, καὶ τὸν Κάστορα, καὶ σὲ, ὦ δίσποτα Παλαιφάτειε, ὁμοῦ Διὸς, ποτὲ μὲν παρ' ἡμέραν ἐν ταῖς Δακωνικαῖς ὄντας ποθείραις, ποτὲ δὲ ἐν ταῖς τοῦ Διὸς οἰκοῦντας, καὶ ἀπὸ νοσιοῦ τὸ, διάγει ἡ εὐφημία.

95. Τὸ μὲν παρ' ἄμαρ ἔβραισι] τὸ Ὁμηρικὸν παραφράζει· (Odyss. λ'. 302)

Ἄλλοτε μὲν ζώουσ' ἑτερήμερα, ἄλλοτε δ' αὖτε
Τεθνᾶσιν.

Carmen XII.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δωδεκάτου εἴδους.

Ἡ δωδεκατη ᾠδὴ ἐκ τιλιαμβικῶν μονοστροφική ἐστιν ἐκ κώλων ιδ'. Τὸ α' περίοδος δωδεκάσημος ἐκ στοιχείου καὶ ψυλλιχίου καὶ τροχαίου καὶ ἰάμβου. Τὸ β' τὸ αὐτό. Τὸ γ' δακτυλικὸν ποιηθημιμερές. Τὸ δ' τὸ αὐτὸ τῷ α' καὶ β'. Τὸ ε' τὸ αὐτό. Τὸ ς' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ δακτυλικὸν ποιηθημιμερές. Τὸ η' ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. Τὸ θ' τὸ αὐτὸ τῷ α' καὶ β'. Τὸ ι' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ια' προσοδιακὸν, μιᾷ συλλαβῇ περισσεύον, ὅμοιον τῷ· Ἐρασμονίδα Χαρίλαε. Τὸ ιβ' τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδιον. Τὸ ιγ' ἰγκωμιολογικὸν παρὰ τὴν τιλιυταίαν συλλαβήν. Τὸ ιδ' Στησιχόρειον τρίμετρον ἀκατάληκτον.

Μίδᾳ αὐλητῇ] γέγραπται ἡ ᾠδὴ Μίδᾳ Ἀκραγαντίνῳ. οὗτος ἐνίκησε τὴν εἰκοστὴν τετάρτην Πυθιάδα, καὶ τὴν πέ. φασὶ δὲ αὐτὸν καὶ Παναθήναια νενικηκέναι. ἐοικόσι δέ τι ἆθλον σύμπτωμα συμβεβηκέναι περὶ τὸν αὐλητὴν τοῦτον· ἀγωνιζομένου γὰρ αὐτοῦ, ἀναπλασθείσης τῆς γλωσσίδος ἀκουσίως, καὶ προσκολληθείσης τῷ οὐρανίσκῳ, μόνοις τοῖς καλάμοις τρόπῳ σύριγγος αὐλῆσαι, τοὺς δὲ θεατὰς ξενισθέντας τῷ ἤχῳ τερφθῆναι, καὶ οὕτω νικῆσαι αὐτόν.

1. Λίτιόν σε, φιλάγλαε καλλίσα] ὁ λόγος ἀπόστασις τῷ Πινδάρῳ πρὸς τὴν ἡρωΐδα τὴν Ἀκράγαντα, ἣ καὶ τὴν Ἀκράγαντα πόλιν· ὦ φιλόκαλε καὶ καλλίστη τῶν πόλεων, ἥτις εἶ Φερσεφόνης ἴδος, αἰτίαν σε, ἵνα ἵλεως δίξῃ τὸ σφάγιμα τοῦ Μίδα, ἅ ἐκ τοῦ Πυθῶνος ἤνεγκεν. ὁ δὲ νοῦς· αἰτίαν σε, ὦ καλλίστη τῶν ἀνθρώπων καὶ φιλόκαλε πόλι, καὶ τῆς Φερσεφόνης ἴδαφος, ἥτις ἐν ταῖς ὄχθαις τοῦ περιαστεροῦς Ἀκράγαντος τὴν εὐκατασκεύαστον Ἀκράγαντα τὴν ὁμώνυμον σαυτῇ οἰκεῖς πόλιν. ἀπὸ μέρους δὲ τὸ ὅλον ἔφη. ὅλην γὰρ τὴν Σικελίαν ἱδρύσατο τῇ Φερσεφόνῃ ὁ Ζεύς.

6. Ὦ ἄνα ἅλιος ἀθανάτων] ὦ δίσποτα Φερσεφόνη, ὑμνινῆς σὺν Διῒ καὶ ἀνδρῶν ὑμνητὴρ τὸ ἐκ τῆς Πυθῶνος ςφάγιμα, τὸν ὕμνον, δίξαι τοῦ εὐδόξου Μίδα.

11. Αὐτόφρτί νιν] τὸν Μίδαν, ἀπὸ ποσοῦ τὸ, δίξαι, τὴν Ἑλλάδα νικήσαντα τῇ ἑαυτοῦ τέχνῃ.

12. Τάν ποτε Παλλὰς ἐφεῦρε] ἦν τινα, τὴν αὐλητικὴν τέχνην εὗρετό ποτε ἡ Ἀθηνᾶ τῶν Θρασιῶν Γοργόνων τὸν Θρῆνον διασκλίζασα καὶ μιμησαμένη.

15. Τὸν παρθενίοις ὑπό τ'] μυθεύεταί τι τοιοῦτον, ὅτι, ὅτε ὁ Περσεὺς ἐκαρατόμησε τὴν Μέδουσαν, αἱ δύο ἀδελφαὶ Ἐρώνου τὴν ἀδελφὴν, καὶ ἐκ τῆς κεφαλῆς αὐτῶν, καὶ τῶν ὄφεων τῶν περὶ τὴν κεφαλὴν, συριγμός τις ἀνεδίδοτο. τούτου τοῦ συριγμοῦ κατακούσασα ἡ Ἀθηνᾶ τοῦ ἐκ τῶν ὄφεων προσγινομένου, πρὸς μίμησιν τοῦ Θρήνου καὶ τοῦ γινομένου συριγμοῦ ἐκ τῶν ὄφεων, ἐκεινό-

ησι τὴν αὐλητικήν, ἣν καὶ νόμασι πολυκέφαλον νόμον διὰ τοῦτο· ἴστι γὰρ ἐκ τῶν πολλῶν κεφαλῶν τῶν ὄφεων εἷς τις ἀνδιδοτο συριγμὸς, πολλὰς δὲ κεφαλὰς εἰκότως εἶχον οἱ ὄφεις, διὰ τοῦτο πολυκέφαλον νόμον τὴν κατὰ μίμησιν αὐλητικὴν συνθεῖσα ὠνόμασιν ὁ δὲ νοῦς· ὃν τινα τὸν θρῆνον ὑπὸ παρθενίοις Γοργόνων κεφαλαῖς καὶ ὀφίων ἀπλησιάστοις κεφαλαῖς ἐπήκουσι, σὺν τῇ δυσπενθεῖ καμάτῳ καὶ θρήνῳ κατασπενδόμενον.

18. Δυσπενθεῖ σὺν καμάτῳ] τῷ τῶν Γοργόνων· ἀδιλφὴν γὰρ ἐπένθουν κάμνουσαν. αὗται γάρ εἰσιν αἱ παρθένιαι κεφαλαί· δῆλον ὅτι αἱ τῶν παρθένων, ἀδιλφῶν τῆς Μεδούσης, Σθενούσης (γράφεται καὶ Σθενοῦς) καὶ Εὐρυάλης.

19. Περσεὺς ὁπότε τρίτον ἄῦσε κασιγνητᾶν μέρος] τουτέστι τὴν μίαν. τριῶν γὰρ ἦσαν. τὸ δὲ ἄῦσεν ἤτοι ἐπὶ τῆς μιᾶς τῶν Γοργόνων ἀκουσίου, ὡς ἄῦσε καρατομουμένη διὰ τὴν ἀλγηδόνα· τὸ δὲ ἄῦεν ἡ Ἀθηνᾶ τὸν θρῆνον τῶν ἀδιλφῶν αὐτῆς· ἢ ἄῦσεν ὁ θρῆνος καρατομήσαντος τοῦ Περσέως. οἱ δὲ ἀπὸ τῆς ἀῦτῆς ἰσχνηματίσθαι θέλουσι, τουτέστι τῆς μάχης, οἷον, κατεπολέμησε τὸ τρίτον μέρος αὐτῶν. διχῶς δὲ εἴρηται, ἢ ἄῦσεν, ὃ ἔστιν ἀνυσθῆναι ἐπόησεν, ἢ ἄῦσεν, ἀντὶ τοῦ, ἐκραύγασε καρατομουμένη.

21. Ἐναλίᾳ (sic) Σιρίφῳ] ἐν τῇ Θαλασσίᾳ Σιρίφῳ μοῖραν καὶ θάνατον κομίζων τὸ τρίτον μέρος τῶν Γοργόνων, ἐκ δὲ τούτου πάλιν, τὴν τῆς Γοργόνος κεφαλήν.

24. Φόρκοι ἀμαύρωσι γίνος] Φόρκυος γίνος τὰς Γοργόνας φησί. τοῦτο δὲ ἐπὶ τῶν σχιῶν ἀκουσίου, ὅτι τὴν μὲν μίαν ἐκαρατόμησε, τὰς δὲ δύο ἐξεπύρλωσεν, ἀφιλόμενος τὸν ἴδια ὀφθαλμόν· μόνῳ γὰρ ἐνὶ ἐχρῶντο αἱ τρεῖς. εὐκαίρως δὲ φησι τὴν Μέδουσαν, οὐχ ὅτι οὕτω φύσιως εἶχεν, ἀλλ' ὅτι περὶ ἑαυτῆς ἡ Μέδουσα ὡς ἐυμόρφου ὑπέκειτο· διὸ καὶ περὶ κάλλους τῇ Ἀθηνᾷ ἐφιλονίκησεν. ὁ δὲ νοῦς· ναὶ γὰρ δὴ ὁ Περσεὺς τὸ θεῖον γίνος τοῦ Φόρκυος τὰς Γοργόνας ἠφάνισεν, τῆς εὐκαιρόου Μεδούσης τὴν κεφαλὴν ἀποτεμὼν, καὶ ἀλιθριώτατον ἐκείνῳ τῷ Πολυδέκτῃ ἐθηκε, καὶ τὴν τῆς μητρὸς αὐτοῦ δουλείαν, [ἀσφαλῆ καὶ ἀλιυθέραν,] καὶ τὴν μετ' ἀνάγκης κοίτην, ἀπὸ κοινοῦ τὸ, ἔθηκεν.

25. Λυγρόν τ' ἔρανον] λυγρὸν ἔρανον εἶπεν, ἐπεὶ ἐν ἐράνῳ ποτὲ ἐπέταξεν ὁ Πολυδέκτης ἑκάστῳ ὡς ἂν βασιλεὺς, προσφέρειν αὐτῷ δῶρον, καὶ τῷ Περσεῖ τὴν κεφαλὴν τῆς Γοργόνος. καινῶς δὲ λκατέον τὸ, ἀμαύρωσι, τῆς Γοργόνος δηλονότι.

29. Τὸν ἀπὸ χρυσοῦ φαμὶν] ὅντινα Περσέα φαμὶν ἀπὸ χρυσοῦ γενέσθαι αὐτοματως ῥέοντος.

32. Ἀλλ' ἐπεὶ ἐκ τούτων] ἀλλ' ἐπειδὴ ἐκ τούτων τῶν πόνων τὸν προσφιλέστατον ἄνδρα ἐρύσατο Περσέα ἡ Ἀθηνᾶ, τότε τὸ πολύφωνον μέλος τῶν αὐλῶν κατεκιθάρισεν. ἐρύσατο δὲ πόνων· ἰδίως (immo G. ἰδίωξαν scil. αἱ ἀδελφαί) γὰρ τὸν Περσέα μέχρι Βοιωτίας ἡ Μέδουσα.

35. Ὄφρα τὸν Εὐρυάλας] ἀπὸ μιᾶς ἤρκεσι καὶ τὸ περὶ τὴν ἑτέραν τὴν Σθενὼ πάθος παρεσῆκαι. οὐ γὰρ μόνη ἐθρήνησεν ἡ Εὐρυάλη, ἀλλὰ καὶ ἡ Σθενώ· ἡ γὰρ Εὐρυάλη τῆς Μεδούσης ἀδελφὴ ὁμοίως καὶ ἡ Σθενώ. ὁ δὲ νοῦς· ὅπως σὺν τοῖς ἐργάνοις τῆς αὐλητικῆς τὸν ἐκ τῶν ἰσχυρῶν γενῶν τῆς Εὐρυάλης ἐκθεσίνται θρῆνον μιμήσαιτο, ἵν' οὖν, φησὶ, τὸν ταύτης μιμήσαιτο γόον ἐκπλαγέντων, τουτέστι, μεγαλόκραντον, μεγαλήχεον. ἡ γὰρ Ἀθηνᾶ εὗρε τὸ μέλος τῆς αὐλητικῆς.

39. Ἀλλά νιν εὑρεῖσ'] ἀλλ' εὑροῦσα τὸ αὐλοῦ μέλος μετέδωκε τοῖς ἀνθρώποις ἔχειν, καὶ ὠνόμασε τὸ μέλος πολυκέφαλον νόμον, ἐπεὶ καὶ αἱ τῶν δρακόντων πλείους εἰσὶ κεφαλαὶ, ἃς ἦσαν αἱ συρίξασαι, ὧν κατὰ μίμησιν συνέθηκε. τινὲς δὲ πολυκέφαλόν, φασιν, εἶπεν, ἐπειδὴ πεντήκοντα ἦσαν ἄνδρες, ἐξ ὧν ὁ χορὸς συνεστὼς προκαταρχομένου τοῦ αὐλητοῦ τὸ μέλος προσῄδετο. οἱ δὲ κεφαλὰς ἀκούουσι τὰ προοίμια. φθὴ οὖν διὰ πολλῶν προοιμίων συνεῖσσα, ἣν λέγουσι τὸν Ὄλυμπον πρῶτον εὑρηκέναι.

42. Εὐκλέα λαοσόων (sic)] ἔνδοξον ὑπόμνημα τῶν ἀγώνων τῶν τοὺς λαοὺς σεσύντων καὶ παρορμώντων εἰς τὴν θέαν. φησὶ δὲ τὸ μέλος.

43. Λεπτοῦ διανισσόμενον χαλκοῦ] τὸ μέλος λέγει. διαπορευόμενον φησι τὸ μέλος ὁμοῦ διά τε χαλκοῦ καὶ καλάμου, ἀντὶ τοῦ, διὰ τῶν αὐλῶν.

45. Τοὶ παρὰ καλλιχόρῳ ναίουσι (sic)] τοὺς δόνακας λέγει, οἳ παρὰ τῷ Ὀρχομενῷ φύονται, ἐξ ὧν αἱ αὐλητικαὶ γλωσσίδες γίνονται. ἐν γὰρ τῷ Κηφισσῷ οἱ αὐλητικοὶ κάλαμοι φύονται. εἴρηται δὲ καὶ ἐν Παιᾶσι περὶ αὐλητικῆς. ὁ δὲ νοῦς· οἵ τινες οἱ κάλαμοι οἰκοῦσιν εἰς τὴν τῶν Χαρίτων πόλιν, τουτέστι, τὸν Ὀρχομενὸν, ἐν τῷ τιμίῳ τοῦ Κηφισσοῦ, τῶν χορευτῶν πιστοὶ καὶ ἀληθεῖς ὄντες μάρτυρες. τὸ δὲ, ναίουσι κάλαμοι, σκληρῶς καὶ διθυραμβωδῶς προσήγαγεν. ἴδιοι γὰρ εἰσὶν, φύονται. πόλιν δὲ Χαρίτων τὸν Ὀρχομενὸν λέγει.

49. Εἰ δέ τις ὅλβος ἐν ἀνθρώποισι] συνωκουσίου, τοιοῦτόν ἐστιν, ἢ ὑπάρχει. ὁ γὰρ λόγος· εἰ δέ τις ὅλβος ἐν ἀνθρώποις ἐστὶν, ἄνευ καμάτου οὐ φαίνεται, οὐδὲ γίνεται, ἐπτελειοῦται δὲ τὸν ὅλβον ὁ δαίμων, τουτέστιν, ἐστὶ τέλος ἄξει, ἤτοι σήμερον ἢ ὕστερον τοῦτο γὰρ ἴδιόν ἐστιν, ὁ παρέλκει· τουτέστιν, ἐὰν μὴ παραχρῆμα τὶς εὐτυχήσῃ, μὴ ἀθημονείτω· ὁ γὰρ Διὸς τὸ εἱμαρμέ-

νου ἢ σήμερον τιλίσει, ἢ αὔριον. τοῦτο δέ φησιν, ἵνα δὴ ἀπροσδοκήτως ἐνίκησεν, πλεσθέντος τοῦ καλάμου.

54. Ἀλλ' ἴσως χρόνος οὗτος] ὁ λόγος οὗτος· ὁ ποιήσας, κἂν μὴ παραχρῆμα τύχῃ πλούτου, μὴ καμνέτω. Διὸς γὰρ ἢ σήμερον ἢ ὕστερον ποιήσει, καὶ ἴσως τίλος ἕξει. πῶς δὲ ἴσως τίλος ἕξει; σὺν τῇ εἱμαρμένῃ. διό φησι τὸ δὲ μάρσιμον. ὁ δὲ τοῦς οὕτως· ἀλλ' ἴσως οὗτος ὁ χρόνος, ὅτις καὶ τὰ ἐν ἁπλωσίᾳ πανταχήσας τὸ ἀνάπαλιν τῆς γνάμης καὶ ἱλαρίδος, τὸ μὲν δώσει, ὅπερ οὐκ ἤλπιζε, τὸ δὲ οὐ δώσει, ὅπερ προσεδόκησε. τοῦτο δέ φησιν, ἵνα δὴ ἀπροσδοκήτως ἐνίκησεν ὁ Μίδας, πλεσθέντος τοῦ καλάμου, ὡς εἴρηται.

SCHOLIA

IN PINDARI NEMEA.

Ὑπόθεσις Νέμεων.

Τὸν ἀγῶνα τῶν Νεμείων τινὲς μὲν ὑφ' Ἡρακλέους τεθεῖσθαί φασιν, ἐπὶ τῇ τοῦ λέοντος ἀναιρέσει. οἱ δὲ οὐχ οὕτως, ἀλλὰ ἑτερόιαν τινὰ λέγουσιν ἐπ' αὐτῷ, ὡς ἀπὸ τοῦ Ὀφέλτου μὲν πρότερον, νυνὶ δὲ Ἀρχεμόρου, ἀπὸ τοῦ μαντεύσασθαι τοῖς ἐπὶ Θήβας στρατευομένοις διὰ τοῦ ἰδίου θανάτου. ὁ δὲ ἀγὼν ἐπιτάφιος. καὶ γὰρ οὕτως ἀπὸ τῶν Ὁμηρικῶν διανέουσιν, ἐξ ὧν οὐδένα νικήσαντα ὑπὲρ στεφάνου ἐσάγει, οὐδὲ Νίσηρα, τὸν πολλὰς νίκας ἑαυτοῦ πολλάκις ἐξηγούμενον· καί φασιν, οὐδὲ ὄνομα τοῦ στεφάνου ἰδίαναι τὸν ποιητὴν, ἀποδιανύοντες, ὡς οὐδαμοῦ παρὰ τῷ ποιητῇ εὕρηται. στέφανος μὲν γὰρ λέγει, στεφάνους δὲ οὔ. Τῶν οἱ μὲν πάλαι στεφάνας ἔχον. (Hom. Iliad. ϛ'. 597.)

Ἄλλως. Τὰ δέθεσις τῶν αὐτῶν.

Οἱ ἑπτὰ ἐπὶ Θήβας παραβαλόντες τῇ Νεμέᾳ διψήσαντες συνέτυχον Ὑψιπύλῃ τῇ Λημνίᾳ φερούσῃ τὸν Λυκούργου τοῦ τοῦ Διὸς ἱερέως καὶ Εὐρυδίκης παῖδα Ὀφέλτην· ἡ δὲ ἀφηγήσατο αὐτοῖς εἰς τινα πηγὴν, καταλιποῦσα τὸν παῖδα ἐν τινι λειμῶνι, ὃν δράκων περιειλήθει, ἰὸν ἀφεὶς, ἀνεῖλεν. οἱ δὲ ὑποτρίψαντες, καὶ τὸ πάθος θαυμάσαντες, τόν τε δράκοντα κτείνουσι, καὶ ἀγῶνα ἐπιτάφιον ἐπῶσι τρίστηριόν. ἠγωνίζοντο δὲ στρατιῶται καὶ παῖδες στρατιωτῶν. ὕστερον δὲ καὶ ἐπὶ τὸ δημοτικὸν πλῆθος ἦραμεν. ἦν δὲ γυμνικὸς καὶ ἅρμα, οὐχὶ δίφρος οὐδὲ πάλης. ἔτυχε δὲ οὕτως Ὑψιπύλη ἐν Νεμέᾳ. ὁρισαμένου παρὰ τῶν Ληνιάδων, ὅτε τὸ ἄρσεν ἀναιρεθῆναι γένος, ἐκ πασῶν Ὑψιπύλη τὸν πατέρα Θόαντα, ἐκλέξασα κιβωτῷ, ἐφύλαττεν. ὕστερον δὲ μετὰ τὸ τοὺς Ἀργοναύτας ἐκπλεῦσαι, φανεροῦ γενομένου ταῖς Λημνιάσι τοῦ κατὰ τὸν Θόαντα, αὐτὸν μὲν κατασόντωσαν ἐκλέξασαι τῇ κιβωτῷ, ἐψηφίσαντο δὲ καὶ κατὰ τῆς Ὑψιπύλης θάνατον· ἡ δὲ μαθοῦσα φεύγει. ἐν τοσούτῳ δὲ ληστὴς περιτυχοῦσα πιπράσκεται Λυκούργῳ. ἐν ἐκείνῳ δὲ τῷ καιρῷ κατὰ ζήτησιν οἱ παῖδες Θόας καὶ Εὔνεως παρίσαλσι ἐν Νεμέᾳ. Εὐρυδίκης δὲ τῆς Λυκούργου γυναικὸς βουλομένης διὰ τὸν Ὀφέλτου θάνατον ἀπολλῦσι τὸν Ὑψιπύλην, διὰ τοῦτό τι ἐν τινι τόπῳ λαθραίᾳ κατασκευάσασα, Ἀμφιάραος μαντευσάμενος δείκνυσι τοῖς παισὶ τὸν Ὑψιπύλην. ὁ δὲ τοῦτο εὐτυχήσασα παρεκάλει τοὺς ἥρωας τοῖς παισὶν (f. παισὶ συν-) ἀγωνίσασθαι.

Ἄλλως.

Τὰ Νέμεά φασιν ἄγεσθαι ἐπὶ Ὀφέλτῃ, τῷ Εὐφήτου καὶ Κρεούσης παιδὶ, ὃν Εὐφήτην ἐκάλεσαν οἱ Ἀργεῖοι, στιλευτήσαντα ἐπὶ τὸν Θηβαϊκὸν πόλεμον. τοῦτον δὲ ἔτυχε τροφεύουσα Ὑψιπύλη, ἣν ἤτησαν οἱ Ἀργεῖοι ὕδωρ· τῆς δὲ ἀπολλυούσης ὑδρεύσασθαι, ὄφις ἐπιλθὼν ἀπέκτεινε τὸν παῖδα. Ἀμφιάραος δὲ τούτοις μαντευόμενος Ἀρχέμορον αὐτὸν ἐκάλεσεν, ὅτι αὐτοῖς ἀρχὴ μόρου ἐγένετο ὁ τοῦ παιδὸς θάνατος, ἀφ' οὗ καὶ τὸν ἀγῶνα διέθηκαν, τὸν Ὑψιπύλην παραμυθούμενοι· ἄλλοι δέ, ὃν ἔστι καὶ Αἰσχύλος, ἐπ' Ἀρχεμόρῳ, τῷ Νεμέᾳ παιδί. οἱ δὲ ἐπὶ τῷ Ταλαοῦ παιδὶ, Ἀδράστου δὲ ἀδελφῷ. εἰσὶ δέ τινες, οἳ καὶ παλαιότερον εἶναί φασι τὸν ἀγῶνα τοῦ Θηβαϊκοῦ πολέμου. ἆθλησαν δὲ ἐν αὐτῷ περὶ στεφάνου μόνου, οὐκ ἐθελήσαντες δωρεδοκεῖν, ἐν τιμῇ παθιστάντες τὸν ἀγῶνα. ὑπέσχοντο δὲ ἐκ τῶν λαφύρων ὑποστήσαντες ἀργυρίτην αὐτὸν ποιῆσαι. καὶ διὰ τοῦτο στεφανίτης πρῶτον ἐκλήθη. πρότησαν δὲ τοῦ ἀγῶνος καὶ Ἀργεῖοι καὶ Κορίνθιοι καὶ Κλεωναῖοι. ἐμπεδοῦντες δὲ αὐτὸν, τῷ Νεμαίῳ ἀνέθηκαν Διΐ. ἐσίφωνος δὲ τὸ παλαιὸν ἐλαία, ὕστερον δὲ μετὰ τὸν συμφορὰν τῶν Μηδικῶν, ἐπὶ τιμῇ τῶν πατεχαμένων, σελίνῳ. οἱ δὲ ἐξ ἀρχῆς ἐπ' Ἀρχεμόρῳ

τοῦτον* τιθῆναι. ἔστι δὲ ἡ Νεμέα τῶν Ἀργείων τῆς χώρας μοῖρα, ἀποτμαγεῖσα ἀπὸ τῆς Σελήνης† καὶ Διός· οἱ δὲ ἀπὸ τῶν βοῶν, τῶν ὑπὸ Ἄργου νεμομένων ἐν τῷ χωρίῳ, αἳ ἦσαν Ἥρας ἱεραί· οἱ δὲ ἀπὸ τῶν Δαναοῦ παίδων, οἳ κατενέμαντο καὶ ἐκληρούχησαν τὸ χωρίον.

Ἄλλως.

Ὁ ἀγὼν ἐπιτάφιος ἐπὶ Ἀρχεμόρῳ, τῷ Λυκούργου, τοῦ ἱερέως, παιδὶ, καθ' ὃν καιρὸν οἱ ἐπτὰ τῶν Ἀργείων λοχαγοὶ ἐπεστράτευσαν Θηβαίοις, Πολυνείκει συμμαχοῦντες. οὗτοι γὰρ δυσφορήσαντες, ὅτι δὴ ἡ αὐτῶν χρεία αἰτία τῆς τοῦ παιδὸς ἀναιρέσεως γεγένηται, βραχίονι παραμυθίαν τῇ συμφορᾷ προσιζόμενοι, (f. λέγονται) ἐπιτάφιον ἀγῶνα θεῖναι τὸν Νεμεαῖον, καθ' ὃν οἱ κριταὶ φαιὰς ἐσθῆσι στολὰς κρίνουσι τοὺς ἀγωνιζομένους, ὑπόμνημα τοῦ πάθους ταῖς στολαῖς ἐμφανίζοντες. ὁ γὰρ ἀγὼν ἐπιτάφιος. ὕστερον δὲ νικήσας Ἡρακλῆς καὶ καταγωνισάμενος τὸν Νεμεαῖον λέοντα, ἐπεμελήθη τοῦ ἀγῶνος τὰ πολλὰ ἀνορθωσάμενος, καὶ Διὸς εἶναι ἱερὸν ἐνομοθέτησεν. καί ἐστι τριετὴς, τελούμενος μηνὶ Πανέμῳ, δωδεκάτῃ. ὁ δὲ ἀγὼν ἱππικός τε καὶ γυμνικός.

Ἄλλως.

Καθ' ὃν καιρὸν οἱ ἑπτὰ ἐπὶ Θήβαις τῶν Ἀργείων λοχαγοὶ ἐπεστράτευσαν, Πολυνείκει συμμαχοῦντες, εἰς Λῆμνον τὴν Θρακικὴν κατανήσαντες καὶ δίψει συσχεθέντες, συνέτυχον Ὑψιπύλῃ, τῇ Λημνίᾳ γυναικὶ, ᾗ καθικέτευον, ἅτε τῶν ἐγχωρίων ἔμπειρον οὖσαν, ξυναγῆσαι‡ ἐπὶ ποτίμοις ὕδασι. τοῖς δὲ λοχαγοῖς τὴν αὖλακα χάριν ἀποτίσαι βουληθεῖσα, καταλιποῦσ' ἐπί τινα τόπον τὸν Ἀρχέμορον, Λυκούργου τοῦ ἱερέως παῖδα, ὃς εἶχε τροφὸς ἀνατροφὴν, Ἀργεῖον τὸ γένος· ὅθεν δὲ τῆς χειὰς ἐξελθόντα κατὰ τὴν Ὑψιπύλης ἀπουσίαν περιπλακῆναι τῷ παιδὶ, καὶ, ταῖς στείραις ἀποστεμμένον, ἀποπνῖξαι τὸ βρέφος· τοὺς δὲ ἰσπανιλθόντας πεῖσαι μὲν τὸν ὄφιν, σφόδρα δὲ ἐπὶ τῷ γεγονότι δυσφορῆσαι, ὅτι δὴ ἡ αὐτῶν χρεία αἰτία τῆς τοῦ παιδὸς ἀναιρέσεως γεγένηται, εἶτα τῇ συμφορᾷ βραχίονα παραμυθίαν προσιζάνουσι θάψαι τὸν παῖδα, καὶ ἐπιτάφιον ἀγῶνα θεῖναι τὸν Νεμεαῖον, καθ' ὃν κριταὶ φαιὰς ἐσολισμένοι στολὰς, κρίνουσι τοὺς ἀγωνιζομένους, ὑπόμνημα τοῦ πάθους ταῖς στολαῖς ἐμφανίζοντες. ὁ γὰρ ἀγὼν ἐπιτάφιος. ὕστερον δὲ νικήσας Ἡρακλῆς, καὶ καταγωνισάμενος τὸν Νεμεαῖον λέοντα ἐπεμελήθη τοῦ ἀγῶνος τὰ πολλὰ ἀνορθωσάμενος καὶ Διὸς εἶναι ἱερὸν ἐνομοθέτησεν. ὁ δὲ σέφανος ἐκ χλωρῶν σελίνων σελίνου. διαφέρει δὲ τοῦ κατὰ τὸν Ἰσθμὸν, καθότι ἐκεῖνος ἔχει τὰ σέλινα§ προέσησαν δὲ τῷ ἀγῶνος πρῶτοι μὲν οἱ Κλεωναῖοι, εἶτα Κορίνθιοι, καί ἐστι τριετὴς, τελούμενος μηνὶ Πανέμῳ ιβ'. οὐκ ἔξεστι δὲ πρότερον, εἰ μὴ τὸν ἀπὸ τετραετηρικοῦ γένοιτ', ὕστερον δὲ ἐπιλειψάντων, ᾗ τῷ ἔτει‖ διαλειφθέντος, συνίδη τοὺς πάντας ἀγωνίζεσθαι. ὁ δὲ ἀγὼν ἱππικός τε καὶ γυμνικός.

Carmen I.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πρώτου τῶν Νεμέων εἴδους.

Της πρώτης τῶν Νικίου ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶ δέκα. Τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ὡς τό. Τίς σὰς παρήειρε φρένας ; Τὸ β' ἰαμβύλιχος. Τὸ γ' πινθημιμεροὺς δακτυλικόν. Τὸ δ' ἰαμβύλιχος. Τὸ ε' Εὐριπίδιον. Τὸ ϛ' δακτυλικὸν τετράμετρον ἀκατάληκτον. Τὸ ζ' Εὐριπίδιον. Τὸ η' Πινδαρικὸν ἐκ Σαπφικοῦ· συγκεῖται ἐκ τροχαϊκῆς συζυγίας, (χοριάμβου) καὶ ἴαμβου καὶ συλλαβῆς. ὁ δὲ Πίνδαρος τῷ ἰάμβῳ τὸν παιᾶνα συνέζευξε. Τὸ θ' Εὐριπίδιον. Τὸ ι' ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ἐστὶ. Τὸ α' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ β' ἐφθημι-

* f. τοῦτο. † An Hymn. Homer. in Lunam? ‡ f. ξιναγωγῆσαι.
§ f. ξηρά. ‖ f. ἴδους.

μερίς δακτυλικόν. Τὸ γ' πενθημιμερὲς δακτυλικόν. Τὸ δ' Ἰωνικὸν ἀπ' ἰλάσσονος τρίμετρον καταληκτικόν. Τὸ ε' Σαπφικὸν ἑνδεκασύλλαβον. Τὸ ϛ' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ' τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. Τὸ η' Εὐριπίδειον.

Χρομίῳ Αἰτναίῳ.] Γέγραπται ὁ ἰαμβικὸς Χρομίῳ Αἰτναίῳ. Ἱέρων γὰρ οἰκιστὴς ἀντὶ τυράννου βουλόμενος εἶναι, Κατάνην ἐξελὼν, Αἴτνην μετωνόμασε τὴν πόλιν, ἑαυτὸν οἰκιστὴν προσαγορεύσας, καὶ ἐν ταῖς ἀναῤῥήσεσιν ἦν τισι τῶν ἀγώνων Αἰτναῖον ἑαυτὸν ὀνομάζων. ταυτὸν δέ, φησιν ὁ Δίδυμος, εἰκὸς παθεῖν καὶ τὸν Χρόμιον, ἰταλὸν μὲν ἐκ πεμπτῆς ἀποικίας ὄντα, ἐπιχώριον δὲ τὸν Αἰτναῖον ὑπάρξαντα. Τίμαιος δὲ τὸν ἰαμβικὸν Ὀλυμπιακὸν εἶναι τοῦτόν φησιν ἀμαρτάνων. ὁ γὰρ Πίνδαρος ἀντιφησι Νεμεακὸν αὐτὸν εἶναι φησιν· (v. 8. 9.)

Ἅρμα δ' ἐτρύπησε Χρομίου Νεμέα
Θ', ἅρμασιν νικαφόρους.

1. Ἀμπνευμα σιμνὸν Ἀλφιοῦ] οἷον ἀνάπνευμα, ἡ ἀναπνοή. ἔνιοι δὲ ἀναφύσημα, διὰ τὸ ἀπορῥῶγα ἢ οἷον ῥέμα εἶναι τῷ Ἀλφιῷ τὴν αὐτόθι Ἀρέθουσαν, ἢ ἐπὶ πρήνη. ἀπὸ γὰρ καταδύσιων ἀφανῆν εἰς τὴν Ἀρέθουσαν ἀναφαίνεται. τὸ δὲ ἀνάπαυμα ἐπὶ τῆς ἱρωτικῆς στουδῆς ἐπὶ τοῦ ποταμοῦ τάττει. ἔστι γὰρ κατὰ Ὀρτυγίαν τὴν νῆσον. ἡ δὲ Ὀρτυγία πρότερον μὲν οὖσα νῆσος, εἶτα προσχωσθεῖσα, χερρόνησος γέγονεν, ὡς καὶ Ἴξιων ἱστορεῖ· "παρὰ χιρσὸν λίθινον, τὸν παλάμαις "βροτῶν, πρόσθε νιν πίδον πάριτον, ἰχθύες "ὁμοφάγοι νίμοντο." Σιμνὸν δ' εἶπεν, ὅτι ὄντι οὐκ ἴσχυε τῆς συνουσίας ὁ Ἀλφιὸς, ἢ διὰ τὸ καθαρὸν, ὡς Εὐριπίδης. (Med. 68.)

Θάσσουσι σιμνὸν ἀμφὶ Πειρήνης ὕδωρ.

ὥστε εἶναι τὸν νοῦν τοιοῦτον· ὦ Ὀρτυγία, ἐν ᾗ ἐστι τὸ τοῦ Ἀλφιοῦ ἀνάπνευμα. τίς; ἡ Ἀρέθουσα; ἀλλ' οὐ τὴν Ἀρέθουσαν εἴρηκεν ἄμπνευμα, ἀλλὰ τὴν Ὀρτυγίαν, ἐν ᾗ ὁ Ἀλφιὸς ἀναπνεῖ, τῷ πιμπίχυι τὴν Ἀρέθουσαν. Ζητεῖται δὲ, τί δήποτε τῷ Ἀλφιῷ προσδιαλέγεται καὶ τῇ Ὀρτυγίᾳ, τῆς νύμης οὐκ οὔσης Ὀλυμπιακῆς, ἀλλὰ Νεμεακῆς; Ἔνιοι μὲν οὖν φασιν, ὅτι τὰ ἱστοσόφια τοῦ Ἱέρωνος καὶ τοῦ Χρομίου ὁμοίως ἐν τῇ Ὀρτυγίᾳ ἦν. τῷ δὲ ἱερὰν εἶναι τὴν πρήνην Ἀρτέμιδος, τὴν δὲ Θεὸν ἑστιακὴν εἶναι· καθὸ Σώφρων μὲν αὐτὴν "ἑστίαν," Ὅμηρος δὲ "χρυσόθρονον" (Iliad. ζ. 205.) καὶ ὁ Πίνδαρος προσιερώνυμον αὐτὴν καὶ τὴν ἐπ' αὐτῆς Ἄρτεμιν. διὰ τοῦτο δὲ καὶ ἐν ἄλλοις φάναι τὸν Πίνδαρον· (Pyth. ii. 12.) "Ποταμίας "ἴδες Ἀρτέμιδος." ἀπέχρη δὲ εἰπεῖν, ὅτι ἑστιακὴ ἡ Θεός. ἀνάπαυσιν δὲ αὐτὴ ἡ νῆσος τῇ Θεᾷ· ψεῦδος γάρ, τὸ εἶναι τὰ ἑστοσόφια τοῦ Ἱέρωνος αὐτόθι. Ἀρίστη καὶ ἐν Ἐφέσῳ φησὶν εἶναι Ὀρτυγίαν, ἐφ' ἧς ἱδρύσατο γιγνηθῆναι ἡ Ἄρτεμις. ὁ μὲν γὰρ Ἀπόλλων ἐν Δήλῳ, αὐτὴ δὲ δοκεῖ ἐν τῇ Ἀσιατικῇ Ὀρτυγίᾳ. Ἄλλως. Ἀμπνευμα σιμνὸν Ἀλφιοῦ. κατὰ μὲν τὴν ἱστορίαν οὐκ αὐτὴ ἡ Ὀρτυγία, καθ' ἣν ἡ Λητὼ τὴν Ἄρτεμιν· ἀλλὰ περὶ Ἔφεσον ἰστέον, ἢ πλησίον τῆς Σικελίας ὄν. τὴν γὰρ νῆσον τῶν Συρακουσῶν ἴφαμεν γιγνηθῆναι καὶ αὐτὴν ἱερὰν τῆς Ἀρτέμιδος, διὰ τὴν πρὸς Δῆλον ὁμωνυμίαν, ἢ χαριζόμενοι τῇ Θεῷ αἱ νύμφαι καὶ πηγὴν ποιοῦσιν ὀνομαζὸμ Ἀρέθουσαν. ἐν ταύτῃ τῇ νήσῳ οὕτε ἀρύσασθαι, οὔτε ἰχθῦς λαμβάνειν νόμος.

3. Δίμνιον Ἀρτέμιδος] ὁ μὲν Ἀρίσταρχος τὴν Ὀρτυγίαν ἀκούει, διὰ τὸ πως ἐνίους αὐτόθι δοκεῖν αὐτὴν γιγνηθῆναι. προσθείη ἄν τις, ὅτι συνήθως ὁ Πίνδαρος τοῖς ὁμωνύμοις χωρίοις ἐπιτίθησι καὶ τὰ ἐπὶ τοῖς ἄλλοις ἱστορούμενα. Καθὰ καὶ ἐπὶ τῶν Πλειάδων· (Nem. ii. 16. sq.) "Ἔστ δ' ἐν- "κὸς, ὀρείαν τι Πελειάδων μὴ τύλεθιν Ὠ- "ρίωνα νιῖσθαι." ὀρείαν δὲ τὸ ζῶον. ἔνιοι δὲ ἱστορικώτερον ἀκούουσι. τὸν γὰρ Ἀλφιὸν φασιν ἔρωτι ἁλόντα τῆς Ἀρτέμιδος, ἐπιδιῶξαι αὐτὴν ἄχρι τῆς Σικελίας· σοῦ δὲ τίλους τῆς διάξεως αὐτόθι γινομένου, αὐτόθι συρῆναι [τὴν Ἀρέθουσαν.] διὰ τοῦτο δὲ καὶ τὴν Ἄρτεμιν Ἀλφειαίαν προσαγορεύεσθαι. καὶ ἐν Ὀλυμπίᾳ δὲ ὁ Ἀλφιὸς τῇ Ἀρτέμιδι συναφίδρυται. καὶ τὴν ποταμίαν δὲ (Pyth. ii. 21.) Ἄρτεμιν εἶναι [οἱ] παρὰ τῷ Πινδάρῳ ἀκούουσι, διὰ τὸ ἐπ' αὐτῇ τοῦ Ἀλφιοῦ πάθος. εἰσὶ δὲ οἱ Ἀλφειαίαν τὴν Ἄρτεμιν λέγουσι διὰ τὸ τὸν Ἀλφιὸν πλησίον τῆς Ἠλείας Ἀρτεμισίας καταφέρεσθαι. ἔχει δ' ἂν οὐ φαῦλως, δίμνιον Ἀρτέμιδος λέγεσθαι τὴν Ὀρτυγίαν, οἷον ἐνδιαίτημα καὶ διατριβήν· ἱερὰν γὰρ τὴν πᾶσαν νῆσον τῆς Φερσεφόνης φασίν. ὅτι δ' ἡ αὐτὴ ἐστὶ τῇ Ἀρτέμιδι, Καλλίμαχος ἐν Ἑκάλῃ· (Fragm. 48. p. 432. Ern.)

Οἵ νυ καὶ Ἀπόλλωνα πανημερίοις ἠελίοιο
Χῶρι διατμήγουσι καὶ ἱπποδὰ Δηϊοΐνην
Ἀρτέμιδος.

4. Δάλου πασιγνήταν (sic)] τὴν Ὀρτυγίαν τῆς Δήλου πασιγνήτην εἴρηκε, μιτάγων τὰ ἐπὶ τῶν Θεῶν λιγόμενα κατὰ τῶν τόπων, οἵτινες ἀπ' ἐκείνων προσηγορεύθησαν. οἱ δὲ διὰ τὴν ὁμωνυμίαν, ὥσπερ ἴφη· ἐν ᾗ ἡ Ἄρτεμις ἐγεννήθη, ὥσπερ ἐν Δήλῳ· εἰδὼς γὰρ ὁ Πίνδαρος μιτάγειν τὰς ὁμωνυμίας· ὅτι τὸ λιχθὶν ἐπὶ τῆς εἰς Δῆλον Ὀρτυγίας, τοῦτο ἐπὶ τῆς πρὸς Συρακούσαις μιτήχθη. ἔνιοι δὲ πασιγνήτην ἀκούουσιν αὐτὸ τοῦ συγγενῆ, διὰ τὴν ὁμοιότητα. κοινὰ γὰρ τὰ ἑφ' ἑκατέρας ἱστορούμενα. καὶ γὰρ ἡ νῆσος ἡ Δῆλος, καὶ ἡ Ὀρτυγία, ἡ ἐν Συρακούσαις, νῆσοι, καὶ ὑπεδέξαντο Θεοὺς ἀμφότεραι· καὶ ἡ μὲν ἐκρύη διὰ πελάγους, ἡ δὲ ἐκ τοῦ Νείλου διὰ τὸν Ἰκετόν. Ἀλ-

λως. δοκεῖ μὲν περὶ τὸ βίαιον τὴν περὶ ταῖς Συρακούσαις ἐδιλφὴν λέγειν τῆς Δήλου. τὸ δὲ ὅλον, διὰ τὴν ὁμωνυμίαν αὐτῷ ὁ λόγος προήχθη. ὁ δὲ νοῦς· δ συμπόνατον ἀνάσαυμα τοῦ Ἀλφειοῦ, τῶν Συρακουσῶν καὶ τῆς Σικελίας κόσμε καὶ βλάστημα, τῆς Ἀρτέμιδος ἰνδικίτημα, ᾧ τῆς Δήλε ἀδιλφή. τοῦτο δέ φησι διὰ τὴν ὁμωνυμίαν (Ὀρτυγία γὰρ ἡ Δῆλος ἐκαλεῖτο) διὰ τὸ Θιαφιλίς· ἐν Δήλῳ γὰρ ἦν ἡ Ἄρτεμις. Ὀρτυγία δὲ νῆσος περὶ τῶν Συρακουσῶν, εἰς ἣν διὰ πελάγους φερόμενος ὁ Ἀλφειὸς ἐμβάλλει, καὶ ποιεῖ τὴν Ἀρέθουσαν περήνην.

Σέθεν ἐδυστὸς ὕμνος ἐρεμᾶται] ἐκ τοῦ ἀδυστὸς καὶ εὔφημος. ὁ δὲ τοῦς· ἀπὸ σοῦ, ᾧ Ὀρτυγία, ὁ ἡδυστὸς ὕμνος τὴν ἠρεμὴν ἴσχει, ὅτι Θεῖναι καὶ πληρῶσαι ἔπαινον μέγαν τῶν ἐξοτάτων ἵππων, Διὸς ἵνιειν τοῦ ἐν τῇ Αἴτνῃ. Διῖ γὰρ ἀνάκτυσαι καὶ οὗτος ὁ ἀγών. ἐν γὰρ τῇ Αἴτνῃ Διὸς ἱερόν ἐστιν.

7. Ζηνὸς Αἰτναίου χάριν] ἢ εἰς χάριν τοῦ Διὸς, ᾧ ἵνιειν τῷ Διὸς, παρόσον ἐν τῷ ἀγῶνι καὶ ἐν τῇ πανηγύρει τοῦ Αἰτναίου Διὸς ἦγον οἱ περὶ τὸν Ἱέρωνα τοὺς ἐπὶ ταῖς στεφανίταις ἀγῶσι πεποιημένους ἐπινικίους καὶ ᾠδόν. πεθανὸν οὖν φησιν ὁ Διδυμος, καὶ τὸν ἐπὶ τῆς Χρομίου Νεμεαπῆς νίκης ἐπινίκιον ἵνικα τούτου συντετάχθαι, ὑπὲρ τοῦ μέλλειν αὐτὸν ὑπὲρ τῆς πανηγύρεως ἀπομάχεσθαι. ὁ δὲ τρόπος ποιητικὸς, ὅτι τὸ ἀπὸ τοῦ ταυτομάτου συμβαῖνον, ὡς αἴτιον λαμβάνει. οὐ γὰρ ἵνικα τοῦ ἀπεθανεῖν τὸν ἐπινίκιον, ἢ τῇ πανηγύρει τοῦ Αἰτναίου Διὸς ἐνίκησεν, ἀλλὰ νικήσαντος ἔμελλεν εἰς αὐτὸν φδὴ ἀπεθανεῖσθαι.

8. Ἅμα δ' ἐτρύνει Χρομίου] Χρόμιος ἡνίοχος ἦν Ἱέρωνος παιδόθεν. οὗτος ἅτε δὴ βασιλεῦσι συνὼν, καὶ ἄριστος ὢν τὴν ἱππικὴν ἐκλελύτησι, καὶ ἤρξατο ἀποστὰς τοῦ Ἱέρωνος καθ' ἑαυτὸν ἱππεύειν. ὑπερ δὲ τῶν ἵππων ἅρματι περῶτον ἀγωνισάμενος.

11. Ἀρχαὶ δὲ βίζληνται] ἀρχαὶ αἱ τοῦ ἐγκωμίου. τοῦτο δὲ λέγει διὰ τὸ ἀπὸ Διοῦ τῆς Ἀρτέμιδος κατῆρχθαι, ὅτι ἀρχὰς τὰ προοίμια τῆς φδῆς αὐτὸν λέγειν. ἦθος δὲ Πινδάρῳ θεῖς ἀνάπαυλαν τὰ ἐπαινοῦν τοὺς ἀνθρώπους ἐπαινούμενα. ὁ δὲ νοῦς· αἱ γὰρ ἀρχαὶ ταῖς δαιμονίαις καὶ θείαις ἀρεταῖς ἐπαίνου τοῦ ἀνδρὸς ἐκ Διὸς βίζληνται, ἀντὶ τοῦ, ἐκ πρώτης καταζολῆς ἡ τύχη τούτῳ συπέζαλεν (συνέλαζεν).

13. Ἔστι δ' ἐν εὐτυχίᾳ] ἔστι δὲ καὶ ἐν τῇ εὐτυχίας καὶ εἰς ἄκρον εὐδαξίας ἀφικέσθαι, ἀντὶ τοῦ, κατὰ πάντα μέρη τοῦ βίου ἄκρως ἔνδοξος ὁ εὐτυχής. καὶ Εὐριπίδης· (Fragm. inc. cciv. ed. Lips.)

Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.

14. Μιγάλων δ' ἀέθλων] μιγίστων οὖν ἀγωνισμάτων ἡ Μοῦσα μεμνῆσθαι βούλεται.

16. Νῦν ἴγμι' ἀγλαΐαν] ἵππευμαι φαίνομαι, ᾧ σοῦρε λαμπρότατά σοι τῷ νόσῳ τῷ Σικελίᾳ, ἅντινα ὁ Ζεὺς ἐξαίρετον δίδωσι τῇ Φερσεφόνῃ ἀρίστην οὖσαν καὶ ἐστιαδικοτάτην τῆς γῆς τῆς ὑπαρκτοτάτου, ἤγουν, ἱστίησι τῇ ἑαυτοῦ κιφαλῇ τὴν Σικελίαν πατρὸς καὶ λιπαρῶς ἀνορθώσιν, ἢ τὴν πιστότατα καὶ καλλίστην ὑψώσιν, πλουσίου πόλεων ἰκοκήσιοι ταῖς ὑπ' αὐτὴν ἰσομίναις. Ἄλλως. Περὶ τῆς ὅλης Σικελίας ἐστὶν ὁ λόγος, δοκεῖ δὲ αὐτὴν ὁ Ζεὺς εἰς τὸν γάμον Πλούτωνος τοῖς ἀκαπαλυστηρίοις τῇ Φερσεφόνῃ δωρήσασθαι. λέγεται δὲ ἡ πᾶσα Σικελία ἐξ ἀρχῆς Δήμητρος καὶ Κόρης, τοῦ Διὸς αὐτῶν ἐξ ἀρχῆς βουληθέντος· ἤγουν, Περσεφόνη περὶ τοὺς τῆς Αἴτνης διατρίβουσα λειμῶνας ἁρπάσθη παρὰ τοῦ Πλούτωνος, τὸ δὲ ἐρθώσιν, ἀντὶ τοῦ διαφυλάξιν ὀρθὴν τῇ Περσεφόνῃ, διὰ τῶν πόλιων τῶν ἰσομίνων ἐν αὐτῇ ἀφνιῶν. οὕτω γὰρ ἔμελλεν ἐρθοῦσθαι, ἡ Σικελία δηλονότι, εἰ ἐξιολόγους ἴχοι πόλεις ἐν αὐτῇ.

23. Ὥσασι δὲ Κρονίου πολίμου μναστῆρα] οἷον μνήμονα πολίμου, ἱστορίμονα, οὐκ ἀμελοῦντα τῶν πολιμικῶν, ἀλλὰ κατανοθίμενον ἐν τῷ νῷ, ὅτι δεῖ παρασκευάζεσθαι εἰς τὰ πολιμικὰ διάλου. ὅμοιον τῷ· (Hom. Iliad. δ'. 328.) " μήστορες ἐστὲ μάχης." ὁ δὲ νοῦς· παρίσχει δὲ πρὸς τοὺς ἱερομίνους ὁ Ζεὺς αὐτῷ, γινταίων ἀνδρῶν καὶ πολιμικῶν πλῆθος, ὅστε δι' ἅπλων μεμνῆσθαι τῶν πολιμικῶν, καὶ ἐσταιχμίας ἐνδεικνυσθαι.

25. Θαμὰ δὲ καὶ Ὀλυμπιάδων] οὐ μόνον, φησὶ, τὰ περὶ πόλιμον δραστηρίους ἀπέδειξι τοὺς Σικελιώτας, ἀλλὰ καὶ Ὀλυμπιονίκας. οἷον, πολλάκις νενίκηκεν ἐν Ὀλυμπίᾳ. ἔστι δὲ ὁ λόγος τῷ Πινδάρῳ οὐ περὶ τοῦ Χρομίου μόνου, ἀλλὰ καὶ περὶ τοῦ παντὸς λαοῦ, οὗ πολλοὶ ἴσχυν νίκας Ὀλυμπιακάς. ἐντεῦθεν ἴσως πλανᾶται ὁ Τίμαιος, Ὀλυμπιονίκην τὴν Ἐπιπόλην φήθη εἶναι, ἔστι δὲ καὶ οὕτως ἀναγινῶναι· ἐσταιχμόν δ' ἅμα δή· καὶ ὁ λόγος κατὰ συναλοιφὴν, ἢ ἤ, ὁ λαὸς μνησθῆ ἅμα πολίμου καὶ τῶν Ὀλυμπιακῶν ἀθλημάτων.

27. Πολλῶν ἱκέσαι καιρὸν] πολλοῖς ἱκέσθαι καὶ ἠψάμην ἐγκωμίου, οὐδαμοῦ τῷ καιρῷ πρὸς ψεύδος χρησάμενος, ἢ οὕτω τοῦ καιροῦ τῇ ἀληθείᾳ τυχών.

29. Ἔξαν δ' ἐπαυλείαις] ἀμφίβολον πάντῃ ὁ χορὸς, ἢ ὁ ποιητὴς τοῦτό φησι; δύναται γὰρ ὁ χορὸς λέγειν ἐφ' ἑαυτοῦ κυρίως, δύναται δὲ καὶ ὁ Πίνδαρος καταφορικῶς εἰπεῖν· ἴση τῷ λόγῳ καὶ τῇ μολπῇ μέλπων αὐτὸν καὶ ὑμνῶν. ἐὰν μὲν οὖν ὁ χορὸς λέγῃ, κυρίως ἀκουσόμεθα δεῖπνον παρασκευάσθαι· κῶμον γὰρ εἰλλουσιν οἱ χαριστήριον δὴ ὁ ποιητὴς, πεπόμενος τὰ δεδηγόμενά μιν δῶρά, φησὶ, διὰ τοῦ ὕμνου. ὁ δὲ νοῦς· ἔξην δὲ παραγινόμενος ἐπὶ ταῖς αὐλαῖς τῷ φιλοξένῳ ἀνδρὶ, τὰ καλὰ δὴ τότε ἀνεβαλόμενος.

32. Θαμὰ δ' ἀλλοδαπῶν οὐκ ἀπείρατος] οἱ τοῦ Κρομίου, φησί, δόμοι οὐκ εἰσὶν ἀπείρατοι ξένων, τουτέστι, φιλόξενοί εἰσιν. ὁ δὲ νοῦς· οὐ γὰρ ἀπείρατοι τῆς συνεχοῦς δεξιώσεως οἱ τούτου οἶκοι. συνεχῶς γὰρ τοὺς ἐκ τῆς ἀλλοδαπῆς ὑποδέχονται γῆς.

34. Λίλογχε δὲ μεμφομένοις] Ἀρίσταρχος οὕτω· τοῖς δὲ τοὺς ἀγαθοὺς μεμφομένοις τοῦτο λίλογχε, καὶ ὑποκείμενόν ἐστιν, οἷον ἀπολοῦσθε, ὥστε καπνῷ ὕδωρ φέρειν ἀντίον κατασβεννύναι. καταλείπεται δὲ τῇ ἀρχαίᾳ σημασίᾳ τὸ, ἰσλὲς, καὶ ἡ ἀντίστροφος ἀπήντει τὸ ὦ. ταῖς δὲ τοιαύταις παραβολαῖς χρῆται ἀποτόμως, οὐ λίγων τὸ καθάπτε. καὶ ὁ μὲν Ἀρίσταρχος ταῦτα. βέλτιον δὲ οὕτως ἀκούειν παρ' ἐναλλαγὴν πτώσεως, μεμφομένοις, ἀντὶ τοῦ μεμφομένους σβεννύειν ὡς ὕδατι καπνὸν, ἵνα αὐτὸς ὁ ἀγαθὸς καθασβεννύῃ τὸν φθονερὸν, ἀλλὰ μὴ σβεννύηται ὑπ' ἐκείνου. χρῆται δὲ ὁ Πίνδαρος τῷ καπνῷ, ἀντὶ πυρὸς, ἐκ τοῦ παραπολουθοῦντος τὸ πρῶτον σημαίνων. ἢ οὕτω· τὸ ἰσλὲς, ἀντὶ τοῦ, ἰσλοὺς, εἴρηται Δωρικῶς. καὶ ὅτι τὸ λίλογχε ἴδιόν ἐστι ποιητῶν, δῆλον τοῦ, λιλόγχασι. λιλόγχασι δὲ οἱ κατακαμπτόμενοι καπνῷ ὕδωρ ἐπιφέρειν, ἤγουν τοὺς ἐχθρούντας αὐτῷ οἷος ἐστι κατασβῦναι, ὥστε καπνῷ ὕδωρ ἐπιφέρων. τινὲς δὲ οὕτως· ὡς ὕδατι καπνὸν σβεννύουσι καὶ πῦρ, οὕτω τοὺς ἰσλοὺς σβεννύουσιν οἱ φθονεροὶ μεμφόμενοι. ἢ οὕτως· οὐκ ἀνύουσιν οἱ φθονεροὶ μεμφόμενοι τοὺς ἀγαθούς· ὁ γὰρ ἀγαθὸς ἀγαθός ἐστι, κἂν μυριάκις μέμφωνται αὐτόν. ὁ δὲ νοῦς· ἐπιφύσασι δὲ τοῖς μεμφομένοις τοὺς ἀγαθοὺς οὕτως τήκεσθαι, ὥσπερ ὑπὸ ὕδατος πῦρ, οὐκέτι δυνάμενον φέρειν τὴν δίκμην καὶ τὸν καπνόν. (?)

36. Τίχναι δ' ἑτέρων ἕτεραι] τουτέστι, ἄλλοι ἄλλα φιλοτεχνοῦσι. τοῦτο δὲ λέγει· πρὸς ἃ πίφυκέ τις, πρὸς ταῦτα ἀπολοῦσθαι τῇ φύσει εἶναι, καὶ περὶ αὐτὰ ἐνεργεῖν. ἢ τίχναις, φησὶν ὁ Δίδυμος, ἀκουστέον τοὺς δόλους, ὃν καὶ τὸ ἀντιχνᾶς παρὰ τοῖς Ἀντιμάχῳ. ἄλλαι δ' ἄλλων ἐστιχήσης. εἴρηται δὲ παρά τι Ὁμήρῳ· (Iliad. γ'. 390.)

Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήια ἔργα.

38. Μάρναθαι φωῇ] μάρναθαι οὖν Ἀρίσταρχος ἀντὶ τοῦ μάχεσθαι, καὶ ἀντιζῆλον, χρώμενον φύσει κατὰ τρόπον, καὶ μᾶλλον παρὰ φύσιν πράττειν. μήποτε δὲ τὸ μάρναθαι, οὐκ ἴσι μάρναθαι, ἀλλ' ἐνεργεῖν, ὅς φησι Δίδυμος, καὶ πραγματεύεσθαι, ὅστε εἶναι τὸ πιφάλαιον τοῦ λόγου· προσήκει δὲ εὐθὺ ἐδόλως πράττειν, καθ' ἣν εἴληχεν ἕκαστος φύσιν, ἢ ἔργῳ, ἢ γνώμῃ. ἄριστον οὖν χρὴ, καθ' ἣν γεγένηταί τις φύσιν, ταύτῃ ἀκολουθεῖν, καὶ μὴ βιάζεσθαι αὐτὸν εἰς ἄλλα τρέπουτα, μᾶλλον τῷ φθόνῳ μάρναθαι πρὸς τοὺς ἀγαθοὺς, ἀλλὰ συναστεῖν, ἅ τις ἔχει ἐκ φύσεως. ὁ δὲ νοῦς· χρὴ δὲ ταῖς εὐθείαις ὁδοῖς βαδίζοντα καταχρᾶσθαι τοῖς ἑαυτοῦ, καὶ τῇ φύσει, μὴ δ' ἑτέρων ἐπιτηδευμάτων τὴν ἰδίαν ἐυδοξίζειν τίχνην.

39. Πράσσει γὰρ ἔργῳ μὲν σθένος] συμπράσσει καὶ συνεργεῖ τοῖς μὲν ἔργοις, φησὶν, ἡ ἀνδρεία, τοῖς δὲ βουλεύμασι καὶ λόγοις ὁ νοῦς· μιτίζαλε δὲ τὸ Ὁμηρικόν· (Iliad. π'. 650.)

Ἐν γὰρ χερσὶ τίλος πολέμου, ἑτάων δ' ἐνὶ βουλῇ.

οὕτω τῷ νῷ ὁ λόγος ἕστηκε, ὅστε τὸ μέλλον προγνῶναι ἀπολούσθαι, ὡς ἔστι συγγενὲς καὶ συμφυὲς καὶ ἐκείνου. συγγενὲς γὰρ τὸ συμφυές.

42. Ἀγησιδάμου παῖ, σὺ δ' ἀμφὶ τρόπῳ] σοῦ δὲ, ὦ Κρόμιε, τοῦ Ἀγησιδάμου παῖ, περὶ τὸν τρόπον καὶ τὸν βίον ἀμφοτέρων ἡ χρῆσις ὑπάρχει καὶ λόγων καὶ ἔργων. πρὸς ἀμφότερα γὰρ χρήσιμος εἶ, τουτέστι ἐπὶ τῶν ἔργων καὶ τῆς συνέσεως. ἐνεργὸς γὰρ καὶ προβουλεύῃ.

44. Οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον] πλοῦτος, ὁ Σίλλι παραινέσας τῷ Κρομίῳ, ἐξενήνοχεν ἐφ' ἑαυτοῦ· οὐκ ἐπιθυμῶ, φησὶ, πλοῦτον περιβλέπεσθαι ἐν οἴκοις, ἵνα πλουτῶ, ἀλλὰ παρόντων τῶν ἀπὸ τοῦ πλούτου, καὶ εὖ ποιῶν καὶ εὖ ἀκούων Σίλλι, ἐξαρκῶν τοῖς φίλοις. τὸ δὲ ὅλον· δωρητικός, φησι, γίνου.

48. Καιναὶ γὰρ ἔρχονθ' ἐλπίδες] αἱ γὰρ ἐλπίδες καὶ αἱ μέλλουσαί, φησι, προσδοκίαι, καιναὶ καὶ ἄδηλοι τοῖς ἀνθρώποις εἰσίν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἴ τις τοῖς φίλοις ἐπαρκέσει, οὗτος καὶ ἐλπίδος ποτὲ διαπεσὼν, τῆς ἴσης τύχοι ἀμοιβῆς. ἄδηλα γὰρ τὰ παρὰ τῆς τύχης συμπτώματα.

49. Ἐγὼ δ' Ἡρακλέος ἀντίχομαι προφρόνως] ἐπαναφέρεται ἂν τις, διατί τοῦ Ἡρακλέος μνημονεύει; οὐ γὰρ εὐκαίρως δοκεῖ ἡ μνήμη νῦν Ἡρακλέους· καί φαμεν, ὅτι βουλόμενος δεῖξαι, ὡς οἱ διαφανεῖς ἐν τοῖς ἔργοις καὶ τοῖς λόγοις ἀθάνατοι γίνονται τῇ μνήμῃ, διὰ τοῦτο μίμηται Ἡρακλέους ἀρετῆς, ἐπιφέρων τοῖς τοῦ Κρομίου ἐπαίνοις ὅτι ἐγὼ ἀντίχομαι ἐν ταῖς προτροπαῖς ταῖς τῶν ἐμῶν ἀρετῶν, καὶ μνημονεύω τῶν κατὰ Ἡρακλέα διηγημάτων. Ἄλλως. Ὁ μὲν οὖν Ἀρίσταρχός φησιν, ὅτι οἴονταί τινες, ὅτι ὑπόθεσις αὐτῷ ἐδίδοτο τοιαύτη, ὅστε μνησθῆναι τοῦ Διός, ἅτε ἐπὶ, ὡς καὶ Ἀρίσταρχός φησιν, ἐπίθετον. μήποτε δὲ, ὅτι ἀεὶ ὁ Πίνδαρος ἐπαινεῖ τοὺς φύσει, μᾶλλον τῶν ἐκ διδαχῆς περιγινομένων. ὁ δὲ Ἡρακλῆς τοιοῦτος. τοῦτο δὲ ἐπίθετον. τί γάρ; ὅτι τὴν πρώτην περὶ Ἡρακλέους γνωμένην συμφορὰν Διὸς ἐξύμνησεν; ἢ ὑπεδύετο δὲ τῶν φυσικῶν ἀγαθῶν;

Ἡρακλῆς γὰρ μίχρι παντὸς ἐν φύσιως ἀγαθὸς ὢν ἀπιφάνη, ὥστι οὐκ ἂν ὁμοίωσι τὸν ἔπαινον, ἢν μόνον τὸ περὶ τοὺς δράκοντας αὐτῷ διατραχθὲν εἰπών· ἀλλ' εἶπε ἄρα, ἀπὸ τῶν ἐπιφανεστέρων ἔν ἐστήνει τὸν Ἡρακλέα. ὁ δὲ Χαῖρίς φησιν, ὅτι ὁ Χρόμιος πολλὰ συμπονήσας τῷ Ἰέρωνι κατὰ τὴν ἀρχὴν, ἁμαυῆς ἴτυχεν ἐξ αὐτοῦ, ὥστι ἐκ περιουσίας καὶ ἐστοτροφῆσαι. ὡς οὖν οὗτος ἔπαθλον ἔλαβε πόνων τὴν ἐπιφάνιαν, οὕτω καὶ Ἡρακλῆς πολλὰ πελαστωρήσας ἔπαθλον ἴσχι τὴν ἀθανασίαν καὶ τὸν γάμον τῆς Ἥβης. Καὶ πρὸς τοῦτον δὲ ἔνεστιν εἰπεῖν· τί δή ποτε ὁ Πίνδαρος ἰδιώτην ἐπαινῶν τὴν τοῦ Ἡρακλέους παρέλασι συμφορὰν εἰς ἐπίδειξιν τῆς φιλοπονίας; μᾶλλον γὰρ ἴδια καινότερον πάντας τοὺς ἄθλους εἰς ὑπόμνησιν ἀγαγεῖν, ὅτι καθήρας γῆν καὶ θάλασσαν ἀπεθεώθη. ὁ δὲ Χρύσιππος Νίμεαιόν εἶναί φησι τὸν ἀγῶνα, καὶ τὸν ἐπὶ τούτῳ δῆλον ἐπινίκιον, διά τε τὸ, Νιμεαῖον εἶναι τὸν λέοντα, ταύτῃ τὸν Ἡρακλέα τοῖς τοῦ νικηφόρου ἐπαίνοις ἐγκαταμιμήχθαι. ἀντιπράττει δὲ καὶ τούτῳ τὸ, μηδ' ὅ τι οὖν τὸν Πίνδαρον εἰπεῖν περὶ λέοντος, ὅπερ αἰτιώτατον τῆς παρασάσεώς φησιν ὁ Χρύσιππος εἶναι. βέλτιον δέ φησιν ὁ Δίδυμος ἐπεῖνο λέγειν· ὅτι, ὁ περὶ τῆς Λέρνης ἔφη, τοῦτο καὶ νῦν βούλεται δηλοῦν ὁ Πίνδαρος· (Pyth. i. 64 sq.) " ναυσιφορήτοις δ' ἀν-
" δράσι πρότη χάρις ἐς πλόον ἐρχομένοις,
" πομπαῖον ἐλθεῖν οὖρον." ταυτὸν λέγει ἂν τις καὶ ἐπὶ τοῦ Χρομίου, ἐπεὶ νῦν ἥρκται ἀγωνίζεσθαι, καὶ ἀρξάμενος εὐθὺς ἐνίκησεν, ἐλπὶς ἐστι αὐτῷ, καὶ τῶν ἄλλων τεύξεσθαι στεφάνων. πρὸς τί οὖν τὸ περὶ τοῦ Ἡρακλέους ἐστὶν ὑπόδειγμα; ὅτι καὶ Ἡρακλῆς, βρίφος ἔτι ὤν, μεταχειρισάμενος τοὺς δράκοντας, καὶ τοὺς αὖθις ἄθλους κατεπράξατο· καὶ, ὥσπερ τούτου περὶ τὸν Ἡρακλέα γεγενημένου ὁ Ἀμφιτρύων Θηβαῖον ὄντα τὸν Τειρεσίαν προανέκρινε περὶ τοῦ παιδὸς, ὁ δὲ προεμαντεύσατο τοὺς ἐσομένους αὐτῷ ἄθλους, οὕτως αὐτὸς ὁ Πίνδαρος ὑπὸ τῆς πρώτης τοῦ Χρομίου νίκης προεμαντεύεται, ὅτι καὶ τῶν λοιπῶν στεφάνων τεύξεται. ὁ δὲ νοῦς· ἐγὼ δ' ἐφίεμαι καὶ οὐκ ἀφίσταμαι τοῦ Ἡρακλέους, ἐγείρων τὸν λόγον ὄντα ἀρχαῖον, τὸν ἐν ταῖς μεγίσταις τῶν ἀρετῶν, οὐ κορυφαῖς τὸν ἐμὸν ὑπλίζων καὶ ἐγείρων λόγον· ἀντίχομαι γὰρ καὶ ζηλῶ αὐτόν. ἢ οὕτως· ἐν ταῖς κορυφαῖς τῶν ἀρετῶν, τὸν ἐξ ἀρχῆς παροτρύνων περὶ αὐτοῦ λόγον, οἷον, ἀπ' ἀρχῆς τῶν περὶ αὐτὸν γεγονότων μνημονεύων.

53. Ὡς ἐπεὶ σπλάγχνων ὑπὸ ματέρος] διηγήσομαί, φησιν, ὥσπερ ἐκ τῆς μητρικῆς νηδύος εἰς τὰς αὐγὰς ἦλθε τὰς ἡλιακὰς ὁ σοῦ Διὸς παῖς Ἡρακλῆς, ἅμα τῷ ἀδελφῷ Ἰφικλεῖ διδύμῳ ὄντι, ἐκφυγὼν τὸν ὠδῖνα. ἐναντίος οὗτος τῷ Θεοκρίτῳ. ἐπεῖνος γάρ φησι· (Idyll. xxiv. 2.) " καὶ νιπτὶ πώτιρον Ἰφικλέος." ἡμέραν δὲ λαμπρὰν καὶ θαυμαστὴν, ἤτοι τὴν ἐρατὴν αἴγλαν, τὸ φῶς, ἢ τὴν αἰτίαν τοῦ διέτασθαι ἡμᾶς. καθὸ καὶ μητέρα ἡλίου Θείαν ἐκάλεσαντο. Θίας γὰρ αἴτιος ἡμῖν ὁ Διός.

57. "Ὡς τ' οὐ λαθὼν χρυσόθρονον "Ηραν] διηγήσομαι οὖν, φησι, καὶ ὅπως μὴ δυνηθεὶς διαλαθεῖν τὴν "Ηραν, εἰς προσδαφὴν ὕφαρπα ἐπεσήθη σπαργανωθείς. προπωτὸν δὲ, ἤτοι ἀπὸ τῆς χρόας, τὸ προπωδὲς, ἢ ἀπὸ τῆς πρόσης, τὸ ὑφαντόν.

59. Ἀλλὰ Διῶν βασίλεια] ὁ ἀλλὰ πίτναι ἀντὶ τοῦ δί.

60. Σπαρχθεῖσα θυμῷ] ἐπιχθεῖσα, λυπηθεῖσα, ταραχθεῖσα δὲ τῇ ψυχῇ, καὶ ὑπερζέουσα τῷ θυμῷ, οὐ τότε ὅτε ἐπεσήθη τῷ προπωτῷ σπαργάνῳ, ἀλλ' ὅτε πάλαι, ὅτε ἐμίσγετο τῇ Ἀλκμήνῃ ὁ Ζεύς.

61. Τοὶ μὲν οἰχθισᾶν πυλᾶς] οἱ μὲν οὖν δράκοντες, ἀνοιχθισῶν τῶν πυλῶν, ὡς τὸ ἐπώτατον τῶν οἴκων παριγένοντο, ἔνθα κατέκυτο ὁ παῖς. τὸ δὲ ἀμφιλιξάσθαι, ἀντὶ τοῦ μασᾶσθαι, ἀπὸ τοῦ παρισαμίνου διδήλωκε, τουτέστι καταφαγεῖν, διὰ τὸ συρίφιον τὰς γνάθους τοὺς μασωμένους· ἢ ὅτι μιγαλοφωνότατόν ἐστι τὸ ζῶον, καὶ ὅμοιον τῇ ἰλάσει τὴν κατάτασιν ποιεῖ.

64. Ὁ δ' ἐῷθεν μὲν ἄντιτα πάρα] ὁ δὲ Ἡρακλῆς, φησιν, ἐῷθεν ἐαυτὸν, πρώτης ταύτης τῆς μάχης πεῖραν ἐλάμβανε, καὶ ταῖς δύο χερσὶν ἑαυτοῦ τοὺς δύο δῆρας ἐκ τῶν αὐχένων σφίγξας οὕτως ἀφύπνους κατεῖχεν. ἐπεὶ οὖν, οἱ ὑπὸ Ἀμφιτρύωνος ἐπισταμφθῆναι τοὺς ὄφεις φασὶν, ἐπὶ διατάρᾳ τοῦ γνῶναι, πότερος εἴη τοῦ Διός, ὃς Φερεκύδης φησὶν, ἐναυσίους εἶσιν ἕδη· καὶ ὁ μὲν Ἰφικλῆς φεύγει, ὁ δὲ ἐπὶ τῆς εὐνῆς μείνας ἀμφοτέρους ἀπέκτεινεν.

69. Ἀγχομένους δὲ] τούτους οὖν, φασὶ, τοὺς δράκοντας σφιγλωμένους καὶ πνιγομένους αἱ ψυχαὶ ἀπέλιπον, καὶ νεκρὸν ἔλασαν τὸ σαμμίγδις σῶμα. ἀφάτου μελίων γάρ φησιν, ἀντὶ τοῦ ἀῤῥήτου, οὐκ ἐκδεχομένου τὸ φατισθῆναι διὰ μέγεθος· ἢ φθαρτικῶν ἄγαν, καθ' ὑπέρασιν λαμβανομένου τοῦ α. φάσει γὰρ τὸ ὄφιξαι, ἔνθεν καὶ τὸ φάσγανον.

71. Ἐκ δ' ἄρ' ἄτλαντον (sic) δίος σλᾶξι γυναῖκας] ἐξέπληξε δὲ τοῦτο τὸ ἀνυστερούμενον πακὸν τὰς ἐπεῖσι γυναῖκας πάσας, ὅσαι ἔτυχον περὶ τὴν Σεμπτίαν τῆς Ἀλκμήνης καὶ τὴν λοίτην.

74. Καὶ γὰρ αὐτὰ τοεῖν ἄπτλος ἐρεθσασα] τὴν ἄπτλον οὐ δικτίον γυμνὸν· ἀκριτὴς γὰρ ἡ εἰκών· ἀλλὰ νοητέον, ὅτι τὸν μὲν πίπλον ἔῤῥιψεν, ἐν δὲ τῷ χιτωνίσκῳ ἀνέλατο νεοτόκος οὖσα, τὴν βλάβην τῶν δρακόντων ἐκφεύγουσα. ἀνεθέλα δὲ

ἀφρίοις τὰ ἐν τῇ θαλάσσῃ θηρία, παρὰ τὸ ἐν ἀλὶ κινεῖσθαι, καταχρηστικῶς δὲ καὶ πᾶν θηρίον, ὡς καὶ Ὅμηρος· (Odyss. ε'. 317.)

Κνώδαλον ὅττι δίοιτο· καὶ ἴχνησι γὰρ ἀερίηδυ.

ὁ δὲ νοῦς· καὶ γὰρ αὐτὴ ἡ Ἀλκμήνη μονόπτιλος, αὐτοσοδητὶ ἐκπηδήσασα ἀπὸ τῆς κοίτης, ἐπὶ βοήθειαν ἠπείγετο πρὸς τὴν τῶν θηρίων βλάβην.

82. Τὸ γὰρ οἰκεῖον πᾶς τις φάσθ' ὁμῶς] τὸ γὰρ οἰκεῖον καὶ ἴδιον κακὸν ὁμοίως πᾶς τις καὶ λυπεῖ τοὺς οἰκείους πάντας· περὶ δὲ τὰ ἀλλότρια συμπτώματα καὶ κακὰ ἀβλαβὴς καὶ ἄλυπος ἡ καρδία παραχρῆμα γίνεται. Ἄλλως. ἴσασος δάκνεται τῷ οἰκείῳ κακῷ· ὅταν δὲ τὰ τῶν ἄλλων ἴδῃ κακὰ, εὐπόνως ὑπομένει.

85. Ἔσα δὲ θάμβει δυσφόρῳ τιρτρῷ] δυσυπομονήτῳ, πῶς δὲ σαυτὸν δυσυπομόνητον καὶ τιρτρόν; ὅτι μὲν δρακόντων ἦν ἴφοδος ἐπὶ νεογνὰ τὰ τίκτα, δύσελπις ἐγίνετο· καθὸ δὲ εἶδεν αὐτοὺς ἀγχομένους ὑπὸ Ἡρακλέους, ἐτίρφθη. διὸ ἐξεπλάγη δυσφοβῶν ἅμα καὶ τιρτόμενος. ὁ δὲ νοῦς οὕτως· ἔστη δὲ ὁ Ἀμφιτρύων ἐκπλήξει βαρυτάτῃ καὶ τίρψει πολλῇ συγκραθείς. Ὅμηρος· (Iliad. ζ'. 484.) " Δακρυόεν γελάσασα." καὶ ἐν ἄλλοις· (Odyss. σ'. 471.) " Τῇ δ' ἅμα " χάρμα καὶ ἄλγος ἴλε φρένα."

86. Εἶδε γὰρ ἐκνόμιον λᾶμα] ἐκνόμιον λῆμα, ἤτοι ἀπὸ τῶν παρὰ τοὺς νόμους τινὰ πραττόντων καὶ βιαζομένων ἢ ἀπὸ τῆς νομῆς, καθὸ ἀτιμαγέλαι τινὲς λέγονται βόες. ὁ δὲ νοῦς· ἰθιάσατο γὰρ ἅπθις καὶ οὐ νομιζόμενον δυνάμωσε ἔργον τοῦ υἱοῦ, τουτέστι, τοῦ Ἡρακλέος.

88. Παλίγγλωσσον δὲ οἱ ἀθάνατοι] τὴν ἐναντιόφημον, τὴν ἐναντίον τοῖς παρηγγελμένοις τὸν λόγον ἔχουσαν. οἱ μὲν γὰρ ἄγγελοι ἐσήμαινον, ὅτι νικρὰ ἦν τὰ βρέφη, ὁ δὲ ἐδρε σώους, καὶ ὑπ' αὐτῶν τοὺς δράκοντας ἀνῃρημένους. ἐναντίον οὖν ἐγίνετο τοῖς ἠγγελμένοις τὸ ἄγγελμα, ὅ ἐστιν ἐναντιόφημον.

90. Γίτονα δ' ἐκάλεσεν (sic) Διὸς ὑψίστου] ἐκάλεσεν δὲ τὸν ἔξοχον προφήτην τοῦ Διὸς, πλησίον ὄντα, τὸν ἀληθῆ μάντιν Τιρεσίαν.

91. Ὁ δέ οἱ φράζει καὶ ποντὶ] ὁ δὲ μάντις Τειρεσίας εἶπεν αὐτῷ τῷ Ἀμφιτρύωνι ᾗ ἄλλῃ τῷ ὄχλῳ τῶν Θηβαίων, ἱστοίαις συντύξεται καὶ συναναγραφήσεται πρόξεσί τι καὶ τύχαις ὁ Ἡρακλῆς.

96. Ὅσσους δ' ἐν πόντῳ θῆρας ἐδρεδίκας] ἀπίστευτε γὰρ καὶ τὸ κῆτος τὸ ἐν τῇ Τροιάδι. μίμηται δὲ τούτου καὶ Ὅμηρος· (Iliad. υ'. 146. sq.)

— τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
Πολίσσον, ὅθρα τὸ κῆτος ὑπεκπροφυγὼν ἁλίοιτο.

97. Καί τινα σὺν πλαγίῳ ἀνδρῶν πόρῳ στίχοντα] πρὸς τὸ ὀρθὸν τοῦ λόγου, ἀντὶ αἰτιατικῆς τὴν δοτικὴν ἀκουτέον, ἵν' ᾖ· καί τινι ἀδίκῳ ἀνδρὶ αὐτὸν τὸν Ἡρακλέα ἔφασκε δώσειν μέρος, ἀντὶ τοῦ, τοὺς ἀδίκους ἀνελεῖν. Ἄλλως. σὺν πλαγίῳ· οὐ παν' εὐθὺ ὄντι, οὐκ ἀπὸ τοῦ δικαίου περιουσιαζομένῳ. μετῆκται δὲ ἀπὸ τῶν κακοῦργων. οὐ γὰρ τὴν λιωφόρον βαδίζουσιν, ἀλλ' ἐκτρεπόμενοι, τὰς ἐρήμους. τίνει δὲ ὁ λόγος ἐπὶ Βούσιριν καὶ Ἀνταῖον. οὗτοι γὰρ δι' ὕζριν ὑφ' Ἡρακλέος ἀπώλοντο ἑκάτερος. ὁ δὲ νοῦς· καί τινα συμβήσεσθαι ἄνδρα ἄδικον πλούτῳ ἐκπαιρόμενον δίκην ὑποσχεῖν, καὶ ἐχθροτάτῳ καὶ ἀσυμπτώτῳ μέρῳ περιπεσεῖν· εἶπεν αὐτῷ καὶ τοῦτο ὁ μαντευόμενος Τειρεσίας.

100. Καὶ γὰρ ὅταν Θιοὶ] καὶ ὅταν οἱ Θιοὶ τοῖς γίγασιν εἰς μάχην συπάσωσιν. ἔξωθεν γὰρ τὴν εἰς πρόθεσιν παραλαμπτέον. Φλέγρα δὲ τόπος ἐν Θράκῃ, καὶ κώμη, ἔνθα οἱ γίγαντες ἀπηρίθησαν ὑπὸ Διῶν. τῶν δὲ ἐχόντων τὴν μάχην πρὸς τοὺς γίγαντας, καὶ μὴ περιγινομένων τῇ μάχῃ, φασὶν εἰρημένα τὴν Γῆν, μὴ ἄλλως ἀλῶναι τούτους, εἰ μὴ συμμαχήσειαν αὐτοῖς δύο τῶν ἡμιθέων. Ἡρακλέος τοίνυν καὶ Διονύσου συνιθόντων, ἐπράτησαν οἱ Θιοὶ τῶν γιγάντων. φασίν οὖν ὁ μάντις, [ὅτι] καὶ τὴν [ἐκεῖ τὴν] ἐν τῇ Φλέγρᾳ πρὸς τοὺς γίγαντας μάχην μέλλειν ἔσεσθαι, ὅτι ὁ πολέμιος * τῶν Θιῶν ὑπὸ τοῖς τοῦ Ἡρακλέος τάξεις πεσεῖται, καὶ τὴν κόμην αὐτῶν τὴν φαιδίμην συμφυρήσεσθαι τῇ γῇ συμβάντα, διὰ τοὺς ἀγῶνας τοὺς πρὸς τοὺς γίγαντας. σκληρότερον δὲ ἐξενήνεκται. μᾶλλον γὰρ ἐπὶ νικροῦ ἱλκομένου τὸ τοιοῦτο πάσσεται. Ὅμηρος· (Iliad. χ'. 427.) " Ὡς " τοῦ μὲν κεκόνιστο κάρη."

105. Ἔννεπεν αὐτὸν μὲν ἐν εἰρήνῃ] καὶ τοῦτο δὲ προεῖπεν ὁ μάντις, ὅτι ᾗ τοῦ λαοῦ αὐτὸς ὁ Ἡρακλῆς ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ διατελίσει, ταύτην ἀμοιβὴν τῶν ἑαυτοῦ πόνων λαβών, καὶ ὅτι λήψεται μὲν γυναῖκα, τὴν Θαυμασίαν Ἥβην, παρ' αὐτῷ τῷ Διὶ τελεύμενης τῆς ἐνοχίας τοῦ γάμου, οὗ τίνος Διὸς καὶ Θαυμάσει τὸν σύνδεσμον· ἵξ δὲ ἐκ τῶν Διῶν γενόμενος σύντομος ἔσται τοῖς οὐρανίοις Θιοῖς.

* f. ὁ πολέμιος, et mox κόμην αὐτοῦ.

Carmen II.

Περὶ τῶν κώλων τοῦ δευτέρου τῶν Νεμέων εἴδους.

Ἡ δεττερα τῶν Νεμέων ᾠδὴ μονόστροφός ἐστι κατὰ ὑγδοάδας διῃρημένη, ὧν τὸ α' Γλυκώνιον. Τὸ β' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ γ' λογαοιδικόν, Ἀλκαϊκόν. Τὸ δ' δίμετρον δακτυλικόν. Τὸ ε' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ϛ' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ ζ' ἰαμβικὸν πενθημιμερές. Τὸ η' δακτυλικὸν τετράμετρον.

1. Ὅθεν πτερ καὶ Ὁμηρίδαι] Ὁμηρίδας ἔλεγον τὸ μὲν ἀρχαῖον τοὺς ἀπὸ τοῦ Ὁμήρου γένους, οἳ καὶ τὴν ποίησιν αὐτοῦ ἐν διαδοχῇ ᾖδον· μετὰ δὲ ταῦτα καὶ οἱ ῥαψῳδοί, οὐκέτι τὸ γένος εἰς Ὅμηρον ἀνάγοντες. Ἐστεφανοῦτο δὲ ἐγίνοντο οἱ περὶ Κύναιθον, οὗς φασι πολλὰ τῶν ἐπῶν ποιήσαντας ἐμβαλεῖν εἰς τὴν Ὁμήρου ποίησιν. Ἦν δὲ ὁ Κύναιθος Χῖος, ὃς καὶ τῶν ἐπιγραφομένων Ὁμήρου ποιημάτων τὸν εἰς Ἀπόλλωνα γεγραμμένον ὕμνον λίγεται πεποιηκέναι. οὗτος οὖν ὁ Κύναιθος πρῶτος ἐν Συρακούσαις ἐραψῴδησε τὰ Ὁμήρου ἔπη, κατὰ τὴν ἑξηκοστὴν ἐνάτην Ὀλυμπιάδα, ὡς Ἱστόρατός φησιν. Ἄλλως. Τοὺς ῥαψῳδοὺς οἱ μὲν ῥαβδῳδοὺς ἐνυμολογοῦσι διὰ τὸ μετὰ ῥάβδου δηλονότι τὰ Ὁμήρου ἔπη διεξιέναι. Καλλίμαχος· (Fragm. p. 138. Bentl. t. i. p. 497.)

Καὶ τὸν ἐπὶ ῥάβδῳ μῦθον ὀφαινόμενον
Ἥπειλε ἀείδειν διδυγμένος.

οἱ δέ φασι, τῆς Ὁμήρου ποιήσεως μὴ οὔσ' ἐν συνηγμένῃ, σποράδην δὲ ἄλλως καὶ κατὰ μέρη διῃρημένης, ὑπόστι ῥαψῳδεῖν αὐτὴν, οἱονεί τινι καὶ ῥαβδῷ παρακλήσει ποιεῖν, εἰς ἣν αὐτὴν ἄγοντας. οὕτω καὶ ὁ Πίνδαρος [εἰς] δέδικται. οἱ δὲ, ὅτι, κατὰ μέρη πρότερον τῆς ποιήσεως διαδιδομένης, τῶν ἀγωνιστῶν ἕκαστος ὅ τι βούλοιτο μέρος ᾖδε· τοῦ δὲ ἅθλου τοῖς νικῶσιν ἀρχὴ ἀποδιδομένου, προσαγορευθῆναι τότε μὲν ἀοιδούς· αὖθις δὲ ἐκατέρας τῆς ποιήσεως ἰσοτιμηθείσης τοὺς ἀγωνιστὰς, οἷον ἀκουομένους περὸς ἄλληλα τὰ μέρη, καὶ τὴν σύμπασαν ποίησιν ἐπιόντας, ῥαψῳδοὺς προσαγορευθῆναι. ταῦτα φησὶ Διονύσιος ὁ Ἀργεῖος. Φιλόχορος δὲ ἀπὸ τοῦ συντιθέναι καὶ ῥάπτειν τὴν ᾠδὴν, οὕτω φησὶν αὐτοὺς προσκαλεῖσθαι. δηλοῖ δὲ Ἡσίοδος λέγων· (Fragm. p. 444. sq.)

Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοί,
Μίλητε, ἐν νεαρῇσι θύραις ῥάψαντες ἀοιδήν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ.

ῥαψῳδῆσαι δέ φησι πρῶτον τὸν Ἡσίοδον Νικοκλῆς. Μίναιχμος δὲ ἱστορεῖ τοὺς ῥαψῳδοὺς καλεῖσθαι, διὰ τὸ τοὺς τίχους ῥάβδους λέγεσθαι ὑπό τινων. Ἄλλως. Ὁμηρίδαι πρότερον μὲν οἱ Ὁμήρου παῖδες, ὕστερον δὲ οἱ περὶ Κύναιθον ῥαψῳδοί. οὗτοι γὰρ τὴν Ὁμήρου ποίησιν σκιδασθεῖσαν ἰαμπρύνουσι καὶ ὑπάγγελλον· ἐλυμήναντο δὲ αὐτὴν μέτρῳ. αὐτοὶ οὖν τὴν ἀρχὴν ὡς ἐπὶ τὸ πολὺ ἐπὶ Διὸς ἐποιοῦντο προοιμιαζόμενοι, ἐνίοτε δὲ καὶ Μουσῶν· ἄλλοι* γὰρ οὕτω εἰς τὸν Δία προοιμιασάμενοι τοὐντεῦθεν ᾖδη τῆς ἱστορίας ἤρχοντο. τῷ δὲ μὴ διαφέροντας ἄρχεσθαι ἀπὸ τοῦ Διὸς τοὺς ῥαψῳδοὺς, προεῖπεν ὁ Πίνδαρος, τὰ πολλὰ, Ὦ Ζεῦ, ὡς ἐπὶ τὸ πολύ. ὁ δὲ νοῦς ἕλος· Ζεῦ δὴ καὶ οἱ Ὁμηρίδαι λεγόμενοι ἀοιδοὶ τὴν ἀρχὴν τοῦ λέγειν ὡς ἐπὶ τὸ πολὺ ποιοῦνται ἐπὶ Διὸς προοιμιαζόμενοι, ἐντεῦθεν καὶ οὗτος ὁ ἀνὴρ τὴν καταβολὴν, φησίν, τὴν ἀρχὴν καὶ τὸν ϑεμέλιον τῶν ἱερῶν ἀγώνων ἀπὸ τοῦ Διὸς ποιεῖται, Νίκαια νικήσας πρῶτον. Διὸ δὴ ἀνάπειται ὁ Νεμεαϊκὸς ἀγών. ὅτι δὲ καταβολὰς ἔλεγον τὰς ἀρχὰς οὐσπουδοῦ ἔστιν, Καλλίμαχός φησιν· (Fragm. p. 196.)

Ἀρσινόης, ὦ ξεῖνε, γάμου καταβόλλαο ἀείδειν.

μετῆκται δὲ ἡ λέξις ἀπὸ τῶν τὰς οἰκίας καταστεγαζόντων καὶ βαλλόντων τοὺς ϑεμελίους. ἐλπὶς οὖν, φησιν, ἐστὶν ἀπὸ Διὸς ἀρξά-

* L. ἔλος.

μιγον αὐτὸν τῶν ἀγώνων καὶ μετὰ ταῦτα νικήσειν. ὃ καὶ ἐγένετο ὑΘίως. μετὰ γὰρ τὴν Νεμεαικὴν νίκην ἐστεφανοῦντο τὰ Ὀλύμπια.

9. Ὀφείλει δέ τι πατρίαν] ὀφειλόμενον καὶ πρέπον ἐστὶ, τὸν Τιμονόου παῖδα· οὕτω τὸ ὑπέρδικον δεῖ νοηθῆναι. Ἀρίσταρχος δὲ οὐκ ἐπὶ τοῦ ἀνδρὸς τὸ, ὀφείλει, ἀλλ' ἐπὶ τοῦ πράγματός φησιν, ὡς ἂν τις εἴπῃ· ὀφειλόμενον δέ τι ἐστιν. οὕτω γὰρ τὰ ἐστάμενα συναρμοσθήσεται, ὅταν λέγηται· Πυθέοισί τι νικᾷν Τιμονόου παῖδα. οὐ γὰρ εἴρηκε παῖς. ὀφειλόμενον δὲ, τουτέστιν, ἀναγκαῖόν ἐστι, νικᾷν αὐτὸν καὶ Πύθια καὶ Ἴσθμια, εἴπερ κατὰ τὰ ἴχνη τῶν πατέρων ὁ εὐθυπομπὸς αἰὼν δίδωκιν αὐτὸν εἰς κόσμον ταῖς Ἀθήναις. ἀναγκαῖον οὖν νικᾷν αὐτὸν, ὡς οἱ πατέρες ἐνίκησαν, Ἴσθμια καὶ Νίμεα, ὡς τῶν προγόνων ἱεροπικῶν γεγενότων.

16. Τιμονόου παῖδα δ' ἔσιν (sic) ἰακὸς] ἵνα ἐξωμματικὸν ποιήσῃ τὸν λόγον, ἀλλως πικῶς εἶπε. λείπει γὰρ τὸ, νικᾷν αὐτὸν ἀεί. τοῦτο γὰρ δεῖ προσκεῖσθαι. ἰακὸς οὖν ἐστι καὶ προσδοκητέον, τὸ νικᾷσει αὐτὸν ἐν τοῖς προειρημένοις ἀγῶσι, Τιμονόου ὄντα παῖδα, καὶ κατ' ἴχνος βαίνοντα τοῦ πατρὸς, ὥστε εἰκὸς ἐστι, καὶ τῶν ἄρων καὶ τῶν τόπων, οὓς ἴχνευσιν αἱ Πλειάδες, μὴ παρέρχεσθαι, μηδὲ μακρὰν τὸν Ὠρίωνα ποιεῖσθαι, ἀλλ' ἐγγύς. τὸ δὲ σύντομον· ὥστε γὰρ τῶν Πλειάδων ὁ Ὠρίων οὐκ ἀφίσταται, οὕτι καὶ Πλειάδες τοῦ Ὠρίωνος, οὕτω καὶ τοῦτον πάρεδρον ἔστεσθαι τῇ νίκῃ εἰκὸς ἐστι. Τὸ δὲ (v. 17.) Ὀρειᾶν γε Πελειάδων, ἤτοι τῶν πρὸς τὸν Ὠρίωνα πελαμίνων, ἢ τῶν ὀρείων· ἐπειδὴ ὁ Ἄτλας, ὁ τῶν Πλειάδων πατὴρ, ὀμώνυμα ἴσχειν ἔρη· ἢ ὅτι ὄρει εἰσὶ τοῦ ἀμήτου· ἢ λιτότερον, τῶν ὄρων καὶ τῶν τόπων, ἐν οἷς εἰσὶν αἱ ἀστέρες. αἱ γὰρ Πλειάδες κατὰ τὴν ἱστορίαν ἄστρον ἐστὶν, ἐξ ἑπτὰ ἀστέρων συγκείμενον, κατὰ δὲ τὴν ὄψιν, ἓξ. ὡς καὶ Ἄρατος· (Phæn. 257. 8.)

Ἑπτάστορες δὴ καί γε κατ' ἀνθρώπους ὐδίονται

Ἓξ εἶαί περ ἰοῦσαι ἐπόψιοι.

πλησιάζουσι δὲ τῷ Ὠρίωνι αἱ Πλειάδες. Ἀρίσταρχος δὲ ἐν τούτοις μὲν, ταῖς Πλειάσι φησὶ τὸν Ὠρίωνα ἐπίχειν, ἐν ἄλλοις δὲ, τὴν Πλειάδα φησὶν αὐτὸν διώκειν, ὑποτιθέμενος τὸ σύνημα τῶν Πλειάδων ἐν ζῳδίοις. Σίλλα δ' ἂν δηλοῖ τοῦτο, ὅτι τῇ Νεμεακῇ δεῖ συνάπτειν τὴν Ἰσθμιακὴν ᾗ Πυθικὴν, ᾗ οὕτως ἀπολυθεῖν, ὡς ταῖς Πλειάσιν ὁ Ὠρίων ἕπεται. ἐπίχει γὰρ τῇ ἐπιτολῇ τοῦ Ταύρου ὁ Ὠρίων κατηγιστικὸς ὤν. διὸ φησιν Ἄρατος· (Phæn. 322. 3.)

Ἀεξὸς μὲν Ταύροιο τομῇ ὑπεπίλνται αὐτὸς

Ὠρίων.

εἰσὶ δὲ αἱ Πλειάδες ἐπὶ τῇ ὀρᾷ τοῦ Ταύρου, καὶ ὅτι μὲν Πλειάδας καλεῖ σληθυντικῶς, ὅτι δὲ Πληϊόνην, ὡς μίαν· (Fragm. p. 49.) " τρεχίτω δὲ μετὰ Πληϊόναν· ἅμα " δὲ αὐτῇ κύων." δοκεῖ γὰρ, κατ' αὐτὸν τὸν Πίνδαρον, ἐρασθῆναι αὐτῆς ὁ Ὠρίων, καὶ διώκειν αὐτὴν ἐπὶ πολλοῖς χρόνοις. ὑπομνήματα δὲ τούτων ὁ Ζεὺς καθηστέρισε. παρὸ δή φησιν· " ὁ Ὠρίων ἐπιὼν ταῖς Πλειάσι." Ζητεῖται δὲ, διατί ἐρείας εἶπε τὰς Πλειάδας; καί τινες μὲν ἔφασαν, ὅτι νύμφας ἦσαν, ὡς οἱ ἀστέρες οὗτοι·

Ταϋγέτη σ' ἐρέουσα καὶ Ἠλέκτρη ἀναυδῶσις,

Ἀλκυόνη τε, καὶ Ἀστερόπη, δέμας τε Κελαινὼ,

Μαῖά τε καὶ Μερόπη, τὰς γείνατο φαίδιμος Ἄτλας.

Σιμωνίδης δὲ μίαν τῶν Πλειάδων Μαῖαν ἐρᾶσαι φησὶ τοῦ Διός· ἐπεὶ καὶ τὸν Ἑρμῆν.

Μαιάδος οὐρείας ἰλικοβλεφάρου.

κατὰ λόγον· αὕτη γὰρ

Κυλλήνης ἐν ὄρεσσι θεὸν κύησε σίχ' Ἑρμῆν.

τινὲς δὲ ἐπὶ τὴν τῶν ὀμωνύμων ὕλην ἀνοχωροῦντες. Ἄτλαντος φασὶ λιγομένας θυγατέρας, ἐπειδὴ ἵστη κληΐζεται κατὰ τὴν τοῦ πατρὸς ὁμωνυμίαν, ὡς ἐξ ὄρους γεγενημένας ἐρείας προσηγορεῦσθαι. οἱ δὲ, καθὸ Πλειάδας αὐτὰς εἶπε, καὶ ἐρείας. αἱ γὰρ περιστερὰ ὄρειαί εἰσιν. εἶωθε δὲ ὁ Πίνδαρος ταῖς ὁμωνυμίαις ἐπαναπαύεσθαι. ἵνα δὲ, διὰ τὸ ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου εἶδθαι, κατὰ ὕφεσιν τοῦ υ, ὡς καὶ τὸ (Fragm. p. 64.) " κλεὶς ἴκατι" ἀντὶ τοῦ κλεισὶς. εἶπε δ' ἂν οὐρείας, ὡς καὶ παρ' Ὁμήρῳ (Iliad. ψ'. 519. 520.)

Τοῦ μὲν τε ψαύουσιν ἐπισσώτρων τρίχες ἄκραι

Οὐραῖαι.

εἰ μὴ, καθὸ ἀπόγειον ἄνημον λέγομεν, οὕτω καὶ οὐρείας τὰς οὐρεῖας ἀκουτέον. τάχα δὲ ἀπὸ τοῦ συνόντος Ὠρίωνος τὰς οὐρείας ἐν συστολῇ γενίσθαι ἐρείας. βέλτιον οὖν ἀποδιδόναι, τῇ ὁμωνυμίᾳ προσαναπαυόμενον τὸν Πίνδαρον οὕτως εἰρηκέναι. ᾗ ἀπὸ τῆς Κυλλήνης, ἐν ᾗ ἱστόφθη. ὁ δὲ Κράτης γράφει, Σιριείαν Πελειάδων, ὅτι Σείριι ἐπιτίλλουσι. τοῦτον δὲ ἀντιτράσσει ἤ τι ἀντίσχοφος, καὶ τὸ μὴ μόνον Σείριος αὐτὰς ἐπιτίλλειν, ἀλλὰ καὶ χειμῶνος. δύναιτο δ' ἂν καὶ ἐρείας λέγειν τὰς ἀρουσιπόρους, τουτέστιν ἐρμηνεύειν, διὰ τὸ φιύγειν τὸν Ὠρίωνα, ᾗ διὰ τὸν φόβον τῶν Ἡρακλείων βιλῶν.

19. Καὶ μὰν ἁ Σαλαμὶς γε Θρίψαι] ζητεῖται, διὰ τί δήποτε τὰ περὶ Σαλαμῖνα εἰς τοὺς περὶ Τιμόδημον λόγους προσῆπται· οὐ γὰρ δήπου Σαλαμίνιος ἦν. ἔνιοι γὰρ αὐτὸν Ἀχαρέα φασὶ τὸν δῆμον. Ἀρίσταρχος μὲν οὖν, τῆς Αἰαντίδος φυλῆς ὄντα, οὐκ

ἐρθῶς δέ, φησιν· οἱ γὰρ Ἀχαρνεῖς τῆς Οἰνηΐδος φυλῆς εἰσίν. οἱ δὲ περὶ Ἀσκληπιάδην φασὶν, ὅτι εἰκός ἐστιν αὐτὸν εἶναι τῶν τὴν Σαλαμῖνα κατοικησάντων Ἀθηναίων. εἰκὸς οὖν αὐτὸν γεννηθέντα Ἀθήνησι τεθράφθαι ἐν Σαλαμῖνι. Δίδυμος δέ φησι, ὅτι ἴσως ἄμεινον λέγειν, ὅτι εἰς Αἴαντα ἀνέφερε τὸ γένος, ὥσπερ καὶ Μιλτιάδης καὶ Κίμων, καὶ Ἀλκιβιάδης, καὶ Θουκυδίδης ὁ συγγραφεὺς ὁ Ὀλόρου. ἴσως, ὅτι διὰ τιμῆς ἦγον οἱ Ἀθηναῖοι τὸν Αἴαντα, ὡς μὴ μόνον Αἰακίδα φυλὴν ἀποδεῖξαι, ἀλλὰ καὶ πλίνην αὐτῷ μιτὰ πανοπλίας κατασκευῆν, λόγον τι ἴσχειν πανηρατιασθὲν ὄντα τὸν Τιμοθέμου τῷ μαχιμωτάτῳ τῶν Ἑλλήνων καὶ ἀνδριοτάτῳ παραβιβλῆσθαι. Ῥρίψαι οὖν ἡ Σαλαμὶς ἱκανὴ ἐστιν ἄνδρα μαχητήν· τίς ἀπόδειξις; ἡ ἱστοριομένη.

21. Ἐν Τροίᾳ μὴν (sic) Ἕκτωρ Αἴαντος ἄκουσε] τούτῳ γὰρ μονομαχήσας ἠλείφθη.

22. Αἴαντος ἄκουσεν] ἥρθητο τῇ πείρᾳ, ὅτι ἡ Σαλαμὶς φέρει ἄνδρας ἀγαθούς. ὡς καὶ Ὅμηρος· (Iliad. Λ'. 532.) "Τοὶ δὲ "πληγῆς ἀΐοντες," ἀντὶ τοῦ αἰσθόμενοι. ἴσασι δὲ ὁ Πίνδαρος τὸ παρ' Αἴαντος ῥηθὲν πρὸς Ἕλληνας ὑποτονοπείναι εἰρῆσθαι πρὸς Ἕκτορα. φησὶ γάρ· (Iliad. Η'. 198 sq.)

— — ἴστω νῦν ἰμὶ νηΐδά γ' οὕτως
Ἕλκεσιν ἐν Σαλαμῖνι γενέσθαι τε τραφέμεν τε.

οἱ μὴ ἄρα τὸν τῇ πείρᾳ μεμαθηκέναι ὑποτήσεται τὸν Ἕκτορα, ὡς ἱστιηδεῖος ἡ Σαλαμὶς ἴσχι πρὸς τὴν τῶν ἡρώων γένεσιν. ὁ δὲ νοῦς· τούτου γοῦν, τοῦ τὴν Σαλαμῖνα φέρειν ἀνδρείους, τὴν πεῖραν ἔσχεν ὁ Ἕκτωρ ἐν τῇ Ἰλιάδι, τῇ πείρᾳ τοῦ Αἴαντος.

25. Ἀχάρνας δὲ παλαίφατον] φαιδρὸν ἐκ τούτου, ὅτι Ἀχαρνεὺς τὸν δῆμον ὁ νικηφόρος. καὶ σὺ οὖν Ἀχαρνεὺς συγχάνων ἀγαθὸς ἀνὴρ πέφυκας. ἢ οὕτως· καὶ αὐ Ἀχάρνας, ὅθεν ὑπάρχεις, ἀπ' ἀρχῆς ὡς εὐανδρα ὑμνοῦνται. Ἀχάρναι δὲ δῆμος τῆς Ἀττικῆς, ὅθεν ἦν ὁ Τιμόθεμος. Παλαίφατοι δὲ, ἀντὶ τοῦ, ἐξ ἀρχῆς λέγονται.

26. Ὅσσα δ' ἀμφ' εἰΘλοις Τιμοθημίδαι] τὸ ὅσσα θαυμαστικῶς ἀντὶ τοῦ πάνυ. πλειστάκις ἐν τοῖς ἔθλοις οἱ πρόγονοί σου περιῆσαν. Τιμοθημίδαι γὰρ φατρία, ἔθνη οἱ πρόγονοι τοῦ Τιμοθέμου. τὸ δὲ περαλίγονται, ἀντὶ τοῦ περικήρονται. Ὅμηρος. (Iliad. ν'. 689.) "οἱ μὲν Ἀθηναίων περαλίγμενοι." ἢ οὕτως· ἐν τοῖς περὶ τούτου χρόνοις λέγονται.

29. Παρὰ μὲν ὑψιμέδοντι Παρνασῷ] Παρνασὸς ὄρος τῆς Φωκίδος, τῇ Πυθῷ. ὑψιμέδοντι δὲ καταχρηστικῶς, ἀντὶ τοῦ ὑψηλῷ. φησὶ δὲ, ὡς τῶν προγόνων αὐτοῦ τίσσαρας νίκας Πυθικὰς εἰληφότων.

32. Ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν] ὁ ἀλλὰ σύνδεσμος ἀντὶ τοῦ δὲ, καὶ ὁ ὑπὸ ἀντὶ τῆς παρὰ, ἵν' ᾖ· παρὰ δὲ Κορινθίων, ἐν ταῖς πτυχαῖς τοῦ Πίλοπος, τουτέστιν ἐν Πιλοποννήσῳ, ἵλαθεν ἐκτὸ νίκας, ἴστι Κορίνθιοι τότε ἐτίθεσαν τὸν ἀγῶνα· ἐστὲ δὲ στράνους ἐν τῇ Νεμέᾳ, φησὶν, ἵλαθεν, ὅτε αἱ Ἀχάρναι, ἢ οἱ Τιμοθημίδαι.

35. Τὰ δ' εἴλοι μάσσον' ἀριθμῷ] τὰ δὲ εἴλοι, ἐν ταῖς Ἀθήναις, μείζονά ἐστιν, ἢ ἀριθμεῖσθαι, οἷον ὑπερβαίνει πάντα ἀριθμὸν, ἃ ἐνίκησαν εἴλοι. τίθεται δὲ ἐν Ἀθήναις Διὸς ἀγὼν, τουτέστι τὰ Ὀλύμπια.

37. Τὸν, ὦ πολῖται, κωμάξατε] ἢ τὸν ἀγῶνα τῶν Ὀλυμπίων, ἢ τὸν Δία, ᾧ ἀνατίθεται ὁ ἀγὼν, σὺν τῷ Τιμοθέμῳ κωμάσατε καὶ μιτὰ κωμασίας ὑμνήσατε, εὐπλοίᾳ παρατίμωντες διὰ τῶν ἡδυτάτων ὕμνων. ἢ οὕτω· σὺν τῇ ἀποστάσει ἀπὸ τῆς Νιμέας κωμάσατε. ἀπὸ τοῦ πόρου τὸ ἐγκώμιον νοητέον. τουτέστι, ὑμνήσατε.

Carmen III.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τρίτου εἴδους.

Της τρίτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ'. Τὸ α' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ β' ἰσχιορριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ γ' Ἀνακρεόντειον. Τὸ

δ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ε' τὸ αὐτό. Τὸ ς' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ζ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ θ' τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ι' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ια' Σαπφικὸν ἑνδεκασύλλαβον. Τὸ ιβ' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ιγ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτοῦ.

Ἡ ἐπῳδὴ κώλων η'. (ex alia verss. descriptione.) Τὸ α' χοριαμβικὸν τρίμετρον ὑπερκατάληκτον. Τὸ β' ἰαμβικὸν πενθασύλλαβον, καὶ Ἰωνικὸς ὁ ἀπὸ διαφόρου ἀρχῆς, εἶτα πάλιν Ἰωνικὸς ὁ ἀντιμφαίνων διὰ τὴν λύσιν καὶ συλλαβήν. δύναται καὶ ὅλον ὡς ἰαμβικὸν, παρακεχαραγμένον μέντοι, διὰ τὸν τελευταῖον πόδα. Τὸ γ' δίμετρον χοριαμβικὸν καταληκτικόν. Τὸ δ' δοκεῖ ἀντισπαστικὸν εἶναι. Τὸ ε' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ϛ' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. Τὸ ζ' Ἰωνικὸν μονόμετρον καταληκτικὸν δύο συλλαβῶν. Τὸ η' δακτυλικὸν τετράμετρον παρὰ τὴν ἐν ἀρχαῖς συλλαβήν.

Ἀριστοκλεῖ Αἰγινήτῃ.] Αἴγινα, μία νῆσος τῶν Σποράδων, ἀντικρὺ κειμένη τῆς Ἀττικῆς, ἄποικος τῶν Ἀργείων. ἔοικε δὲ, βραδύτερον ἀποδιδοὺς τὸν ἐπινίκιον, σκιῦδιν γράφειν, ἴσως καὶ τῆς πανηγύρεως κατεπειγούσης.

1. Ὦ πότνια Μοῦσα, μᾶτερ ἀμετέρα] μητέρα ἑαυτοῦ εἶπε τὴν Μοῦσαν ὁ Πίνδαρος, ὡς ἐν ἐπινικίοις ἐκ τῶν Μουσῶν·

Ἐκ γάρ [τοι] Μουσέων καὶ ἑκηβόλου Ἀπόλλωνος.

Ἄνδρες ἀοιδοὶ ἔασιν (Hom. hymn. in Mus. et Apoll. 2. sq.) ἀντὶ τοῦ, τροφόν· διὰ τὸ ἀπεζῆν αὐτὸν ἐξ ὧν ἔγραφεν ἐπινικίων. ἄμεινον δὲ, ὅτι προσηνὴς ἦν αὐτῷ ἡ Μοῦσα, ὥσπερ Ὀδυσσεῖ ἡ Ἀθηνᾶ· (Hom. Iliad. ψ'. 783.)

Μήτηρ ὥς, Ὀδυσῆϊ παρίσταται, ἠδ' ἐπαρήγει.

Ἐζήτηται δὲ, πῶς ἐπικαλεῖται τὴν Μοῦσαν ἐλθεῖν εἰς τὴν Αἴγιναν ὑπὲρ τοῦ τὸν ὕμνον ᾄσθῆναι, καὶ ἅμα τοὺς ναυίσκους φησὶ μίμνειν, δι' οὓς αὐτὴν ἐπικαλεῖται, οὐκ ἐν Αἰγίνῃ, ἀλλ' ἐν Νεμέᾳ. ὁ γὰρ Ἀσωπὸς οὐκ ἐν Αἰγίνῃ, ἀλλὰ περὶ Φλιοῦντά ἐστι καὶ Νεμέαν. ὁ μὲν οὖν Ἀρίσταρχός φησιν, ἤτοι τὸν χορὸν ὑπὸ τῆς νίκης τὸ ἱερὸν, αὐτοσχέδιόν τινα ἐπινίκιον ᾄσαι, ἢ τὸν Ἀρχιλόχου παλαίνικον, οὗ καὶ τὸν Πίνδαρον μνημονεύειν διὰ τούτων· (Olymp. ix. 1.) "Τὸ μὲν Ἀρχι-" λόχου μέλος φωνᾶεν," καὶ τὰ ἑξῆς. μεταξάντος οὖν τοῦ χοροῦ εἰς τὴν Αἴγιναν καὶ μέλλοντας ᾄσειν τὸν ὑπὸ τοῦ Πινδάρου ποιηθέντα ἐπινίκιον, εἰκότως φάναι· Ὕδατι γὰρ μίγνυτ' ἐπ' Ἀσωπίῳ μελιγαρύων τέκτονες κάμαν ναυίαι· ὅσθ', ὃ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν· οἱ γὰρ ἐπὶ τῷ Ἀσωπῷ τὸν αὐτοσχέδιον ὕμνον τεκτηνάμενοι χορεῖ ἀναμίνουσί σε ἐν τῇ Αἰγίνῃ, ᾠδόμενοι τὸν ὑπὸ Πινδάρου ποιηθέντα ἐπινίκιον. ὁ δὲ Δίδυμος διηπατῆσθαί φησι τοὺς ὑπομνηματισαμένους τῇ ὁμωνυμίᾳ τῶν ποταμῶν. οἱ γὰρ Ἀσωποὶ πλείους, ὧν ἕνα φασὶν εἶναι καὶ τὸν ἐν Αἰγίνῃ. ὁ δὲ Καλλίστρατος, Ἀσωπίδα ἐν Αἰγίνῃ. δύναται δὲ καὶ ἐπὶ τοῦ ἐν Βοιωτίᾳ ποταμοῦ Ἀσωποῦ ἀκούεσθαι, ὡς τῶν ἐξ Αἰγίνης χορευτῶν τῷ Πινδάρῳ προσλαμβανόντων, ἵνα τοῦ γράφειν Ἀριστοκλεῖ τὸν ἐπινίκιον. Ἱερομηνίᾳ δέ φησι Νεμεάδι, τουτέστι, τῇ τῶν ἐπινικίων εὐσχίᾳ. ἱερομηνίαν δὲ λέγουσι κατὰ σύντμησιν, τὴν ἱερουμηνίαν. αἱ γὰρ τῶν μηνῶν ἀρχαὶ ἱεραί εἰσι τοῦ Ἀπόλλωνος, καθὸ ὁ αὐτὸς δοκεῖ εἶναι τῷ ἡλίῳ. ἐν ἱερουμηνίᾳ ἐλθεῖν Νεμεάδι, ἐν ᾗ μέλλομεν ἡμέρᾳ τὸν εἰς τὴν Νεμεακὴν νίκην ὕμνον γράφειν. οἱ δὲ ἱερὸν μῆνα καθόλου λέγουσι κικλῆσθαι, ἐν ᾧ τὰ Νέμεα ἄγεται. ἱερομηνίαι δὲ λέγονται αἱ ἐν τῷ μηνὶ ἱεραὶ ἡμέραι, εἰαιδήποτε θεοῖς ἀνειμέναι· τὸν οὖν Δημητριῶνα μῆνά φησι Φιλόχορος ὅλον φημίσασθαι τοὺς Ἀθηναίους ἱερομηνίαν λέγεσθαι, οἷον ὅλον ἑορτήν. ἱερομηνίαν φησὶν ἐν τούτοις, "ἁπάντων ἡμῶν ἀγόντων ἱερο-" μηνίαν." ἔοικε δὲ ὁ Πίνδαρος οὖν ἱερομηνίαν λέγειν τὴν τῶν ἐπινικίων ἑορτήν· οὐ γάρ ἐστι δημοτελής. ὁ δὲ νοῦς· ἱκέτευόν σε, ὦ ἐνσιμοτάτη Μοῦσα, ἡμετέρα μῆτερ, παραγενοῦ μοι εἰς τὴν πολύξενον νῆσον, τὴν τῶν Δωριέων τῶν Ἀργείων ἄποικον. ἐν τῇδε τῇ ἱερουμηνίᾳ τῆς Νεμεάδος ἦκον εἰς τὴν Αἴγιναν. ἐπὶ γὰρ τῶν ὑδάτων τοῦ Ἀσωποῦ ποταμοῦ, τουτέστιν ἐν ταῖς Θήβαις, προσμένουσιν ἡμᾶς οἱ ναῦται, οἱ τῶν ἡδυτάτων ὕμνων τέκτονες καὶ χορευταὶ, τὴν σὴν φωνὴν, ὦ Μοῦσα, ἱκετεύοντες.

10. Διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου] διψῇ δὲ καὶ ἐπιθυμεῖ ἄλλο μὲν ἄλλου πράγματος, ἡ δὲ ἐκ φιλονικίας ἔρις, ἡ ἀθλονικία (sic), μάλιστα φιλεῖ τοὺς ἐπαίνους καὶ τοὺς ὕμνους. τῶν γὰρ σεφάνων καὶ ἀριστεῖων ἐπιδέξιος καὶ καλλίστη ἐπαθὸς ἡ ᾠδή· ἡ γὰρ ᾠδὴ καὶ τὸ ἐγκώμιόν, φησιν, ἅπτεται ταῖς ἀριστείαις καὶ τοῖς σεφάνοις τοῖς τοῦ νικηφόρου.

14. Τᾶς ἀφθονίαν ἔπαζε] ταύτης οὖν τῆς ᾠδῆς, ὦ Μοῦσα, ἀφθονίαν δίδου ἀπὸ τῆς ἐμῆς διανοίας.

16. Ἄρχει δ' οὐρανῷ] Αἰολικῶς ἀντὶ τοῦ, οὐρανοῦ. καὶ ὁ μὲν Ἀρίσταρχος Οὐρανοῦ Θυγατέρα τὴν Μοῦσαν δίδυται, καθάπερ

Μίμνερμος καὶ Ἀλκμὰν ἱστοροῦσιν. ὁ δὲ Ἀρμώνιος προσίθησιν, ὅτι διὰ τοῦτο Κρίοντα κίλληκι τὸν οὐρανὸν, ὅτι περὶν Κρίοντ βασιλεῦσαι οὗτος ἐβασίλευσεν. ἥλλαπται δὲ ἡ πτῶσις, ἀντὶ τοῦ, τοῦ πολυηρίλου οὐρανοῦ Σύγατέρα. βίλτιον δέ φησιν ὁ Πίνδαρος (f. Δίδυμος) ἀκούειν τὸ ὅλον οὕτως· τοῦ πολυηρίλου κρίοντος οὐρανοῦ Σύγατερ, τοῦ Διός. κρίων γὰρ οὐρανοῦ ὁ Ζεὺς, Διὸς δὲ Μοῦσαι. ὁ δὲ νοῦς· κάταρχε δὲ αὐτὰ, ὦ Μοῦσά, μοι καὶ πάριχε δόκιμον καὶ κάλλιστον, ὃ τοῦ πολυηρίλου οὐρανοῦ βασιλεία Σύγατερ.

18. Ἐγὼ δ' ἐπείνων τί μιν ὀάροις] ἐπ τῶν νικησάντων, φησὶ, τῶν μόνωσι παρ' ἐμοὶ, τὸν ὕμνον κοινῶς ᾄσομαι. μετ' ὀδῆς γὰρ καὶ λύρας ἀσπηγίλλοντο οἱ ἀθλοφόροι. ὁ δὲ νοῦς· ἐγὼ δὲ ταῖς ἐπείνων τῶν χορευτῶν φωναῖς καὶ ταῖς λύραις κοινῶς τὸν ὕμνον ᾄσομαι.

20. Χαρίντα δ' ἴξει πόνον] ἀμφίσολον, πότερον ἡ Αἴγινα τὸν ὕμνον ἴξει, τῆς χώρας αὐτῆς ὄντα ἄγαλμα, ἢ τὸν πόνον ἴξει, τουτέστι τὸν ὕμνον, χαρίντα δέ, ἀντὶ τοῦ ἐπίχαριν. ἢ οὕτως· ἡ Αἴγινα, ἥτις ἐστὶ χώρας ἄγαλμα, ἴξει μοι τὸν ὕμνον ἐπὶ χάριτι. Ἄλλως· τὸν δὲ χαρίντα πόνον τοῦ παγκρατίου διὰ τῶν ὕμνων ἴξει μνημονευόμενον ἡ Αἴγινα, ἡ οὖσα ἄγαλμα τῆς περὶ αὐτὴν πάσης χώρας· ἢ, χαρίντα πόνον τὸν ὕμνον ἴξει ἡ Αἴγινα ἡ οὖσα τῆς περὶ αὐτὴν χώρας ἄγαλμα.

21. Μυρμιδόνες ἵνα πρότεροι ὄμπασεν] περὶ τῶν Μυρμιδόνων Ἡσίοδός μὲν οὕτω φησίν· (Fragm. p. 445. Lips.)

Ἡ δ' ὑποκυσαμένη τέκεν Αἰακὸν ἱπποσυχάρμην.
Αὐτὰρ ἐπεί ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον,
Μοῦνος ἐὼν ἥσχαλλε· πατὴρ (f. δ') ἀνδρῶν τε θεῶν τε,
Ὅσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου,
Τοὺς ἄνδρας ποίησε βαθυζώνους τε γυναῖκας.
Οἳ δή τοι πρῶτον ζεῦξαν ἵππους ἀμφιλίσσας.

Θεογένης δὲ ἐν τῷ περὶ Αἰγίνης οὕτω γράφει· "ἄλλοι δέ τινες παθανότερον ἐξηγοῦνται περὶ τούτων. ὀλιγανθρωπούσης γὰρ τῆς νήσου, φασὶ τοὺς ἐνοικοῦντας αὐτὴν ἐν σπηλαίοις καταγείοις διατᾶσθαι, παντελῶς ἀπατασκεύους ὄντας, καὶ τοὺς μὲν γινομένους καρσοὺς εἰς ταῦτα πασφέρειν, τὴν δὲ ἐκ τούτων ὀρυττομένην γῆν ἐπὶ τὰ γειόργια ἀναφέρειν, οὔσης ἐπικῶς ὑπάντερον καὶ ὑποστέρου τῆς νήσου, μάλιστα δὲ τῶν πεδινῶν τόπων αὐτῆς. διόπερ ἀφομοιούντων αὐτοὺς, ὡς εἶδον ταῦτα πράττοντας, τῶν ἔξωθεν ἐρχομένων μύρμηξι, Μυρμιδόνας κληθῆναι. μεθ' ὧν συνοικίσαντα τὸν Αἰακὸν τοὺς ἐκ Πελοποννήσου μεθ' ἑαυτοῦ παραγενομένους, ἐξημερῶσαί τε καὶ νόμους δοῦναι καὶ σύνταξιν πολιτικὴν, ἣ χρησαμένους αὐτοὺς παντελῶς δοκεῖν ἐκ μυρμήκων γενέσθαι ἀνθρώπους.

23. Ὧν παλαίφατον ἀγορὰν] ὧν, τῶν Μυρμιδόνων, τὴν πάλαι πεφασμένην, τουτέστιν ὑμνουμένην ἀγορὰν καὶ σύνοδον σεβασμοῖς ὕεροισι καὶ ἐνιδυσμοῖς ἱμάντιν Ἀριστακλείδης, ἀλλὰ τοιαυτίον καὶ προσηύξησεν, ὡς καὶ Ὅμηρος (Iliad. π'. 11.) "Ἐστὶ οὕ μιν ἐ- "φευρύτατος βάλ' Ἀχαιῶν" ἀλλὰ ἰσχυρότατος δηλονότι. Ἄλλως. διὰ τὸ σόν, φησι, μέρος, ὦ Μοῦσα, ἡ ὄ Αἴγινα, ὅ ἐστι, τοῦ ὕμνου τυχὸν, κατὰ τὴν ἑαυτοῦ μερίδα καὶ συνοδὴν, ὅσον τι ἀνῆκεν αὐτῷ.

27. Παγκρατίου στόλῳ] τόλῳ μὲν τῇ πάλσει. εἰσὶ δὲ, οἳ τὸ παγκράτιον ἀπαρχαΐζοντες ᾧ τὸν Θησέα φασὶ τῷ Μινοταύρῳ παγκρατιάσαι ἀγωνίσασθαι. Ἀριστοτέλης δὲ Λεύκαρόν φησι τὸν Ἀπαρβᾶνα πρῶτον ἐντεχνον τὸ παγκράτιον παῖσαι. ὁ δὲ νοῦς· τῇ τοῦ παγκρατίου ἑρμῇ (τοῦτο γὰρ λίγει, τόλῳ), καὶ ἑρμῇ τῇ στρεφθείσῃ καὶ πανταχόθεν συνεχομένῃ μαλαχθείσῃ δὲ γυμνασθείσῃ ἱκανῶς. τῶν δὲ ἐπιστόνων πληγῶν καὶ τῶν ἐκ τοῦ παγκρατίου τραυμάτων, τῶν κατὰ τὴν μεγάλην Νέμεαν, βοήθημα καὶ ἴαμα ὑγιεινὸν φέρειν τὴν νίκην. ταύτην γὰρ φάρμακον ἴσχει τῶν πληγῶν· εἰ γὰρ μὴ πεφάνησαν οὐδὲ, εἰ τραύματα ἔχουσιν, αἰσθάνονται, διὰ τὸ ἥδεσθαι.

32. Εἰ δ' ὦν καλὸς, ἴδεν θ' ἰκνεῖται μορφᾷ] εἰ δὲ τὸ εἶδος ὦν καλὸς, ἰσοφάρισας τῷ εἴδους σεμνύνεται πράξεσιν ὁ τοῦ Ἀριστοφάνους παῖς Ἀριστακλείδης, οὐκέτι οἷόν τί ἐστι περαιτέρω πλεῖν τὴν μὴ πλεομένην θάλασσαν, ἀλλ' * ὑπὲρ τὰς Ἡρακλείας στήλας τῶς πλέουσιν. ἁρμόσθαι, φησὶ, τούτοις τοῖς ἀγαθοῖς καὶ τῷ κάλλει, καὶ τῇ νικᾷν. καὶ μὴ ζητεῖτε ἔτι πλεῖονα ἀγαθά. ὡς γὰρ οὐ δυνατὸν ὑπερθέσθαι τὰς Ἡρακλείους στήλας, οὕτως οὐδὲ τὴν ἀπὸ τούτου δόξαν.

38. Ἥρως Διὸς ἆς ἵδρυκε ναυτιλίας] ὁ Ἡρακλῆς. διατί αὐτὸν ἥρωα καὶ Διὸν εἶπε; λίγεται γὰρ ὅτι τῆς Ἑλλάδος προσιλθούσης τῷ Ἀπόλλωνι καὶ ἱρωτώσης, ὅπως δεῖ τιμᾶν τὸν Ἡρακλέα μετὰ τὴν ἀποθέωσιν, εἶπεν ὁ Θεός· νῦν μὲν, ὡς ἥρωα· τῇ δὲ ἐπιούσῃ, ὡς Διόν. ὁ δὲ νοῦς ὅλος· ἆς τινας στήλας ὁ ἥρως καὶ Διὸς Ἡρακλῆς τῆς τιλιοταίας ναυτιλίας καὶ τοῦ ἰσχάτου πλοῦ ἔστησι τερφανίσματα σημεῖα. ὡς ἐν παριμβάσει δὲ λίγει, ὅτι καὶ ἀνῆλθε Θαλάσσια θηρία, οἷον, τὸ κῆτος. λίγεται γὰρ ὁ Ἡρακλῆς διαπλεῦσαι τὰ δυτικὰ μέρη καὶ Αι-

* f. ἄλα.

ζύην, καὶ ἔτι στρωτέρου. καὶ διασάμενος ἄστρεον τὸ πέλαγος, ὅρους τοῦ πλοῦ δύο κίονας ἔστησε, τὸν μὲν ἔτερον ἐν Λιβύῃ, τὸν δὲ ἄλλον εἰς τὸ ἕτερον κλίμα. τὸ δὲ, μάρτυρας κλυτὰς, ἀμφίδολον, πότερον τῆς ἰσχάτης μάρτυρες ναυτιλίας αἱ πῆλαι, ἢ κατὰ τὸ πληθυντικὸν, τῆς ἰσχάτης μάρτυρας ἐμφανιζούσας εἶναι, ὅτι μίχρις αὐτῶν δεῖ πλεῖν. ἴσι δὲ καὶ στρωτὰς εἰπεῖν τὰς, κλυτὰς, ἵν' ᾖ, τῆς κλυτῆς ναυτιλίας ἰσχάτας μάρτυρας τὰς πήλας εἶναι. αἱ δὲ Ἡρακλεῖαι πῆλαι καὶ Βριάρεω λίγονται εἶναι, καθό φησι " πῆλαι, τὴν (?) Αἰγαίωνος, ἃ-" λὸς μεδέοντι, γίγαντος."

42. Τπερόχως] Δωρικῶς ἀντὶ τοῦ ὑπερέχους, οἷον ὑπερίχοντας καὶ μεγίστους. ἡ δὲ ἀπόπτασις αὐτῷ ἐπὶ τοῦ κήτους τοῦ περὶ τὴν Ἴλιον καὶ τὸν Λαομέδοντα. τὸ δὲ, ἰδίᾳ τ' ἐρεύνησιν, ἴνιοι γράφουσι, διά τ' ἐρεύνασι, διηρεύνησέ τι. ἰδίᾳ, ἀντὶ τοῦ, ἀφ' ἑαυτοῦ, οὐκ ἐπισάξαντος Εὐρυσθέως, ἀλλὰ κατὰ τὸ φιλόστονον, αὐτὸς δ' ἑαυτοῦ ἠρεύνησε, ἅθεν ἦν δυνατὸν ἐπαινεῖσθαι τινάς. Καλλίμαχος· (Fragm. 120. p. 488. Ern.)

Χαῖρε βαρυσκίστων, ἐπίστασα μὲν ἐξάπις δοιὰ,
Ἐκ δ' αὐταγρετίης πολλάπις πολλὰ πάμων,

τουτέστι, τὰ πάραθλα. τινάγη δὲ λίγονται αἱ δίνγροι καὶ παρατεταμέναι ὀφρύες. ἤγουν παρατεταμένη τις καὶ ὑπερίχουσα γῆ οὖσα· ἢ ἀπὸ τοῦ τίγγεσθαι, τουτέστι βρέχεσθαι.

45. Καὶ γᾶν φράδασσιν (sic)] ἀντὶ τοῦ φραδεστὴν ἐποίησε καὶ δῆλην, ἵνα τίνος ἐπὶ πορευτὴ, καὶ ἵνα τίνος ἡ θάλασσα πλωτὴ, ἐπισήσας τὰς πήλας αὐτός.

Θυμὲ, τίνα πρὸς ἀλλοδαπὰν] ἐπιλαμβάνεται ἑαυτοῦ, ὡς στρεπτέον, ἢ προσῆκεν, εἰς τοὺς περὶ Ἡρακλέα ἐπαίνους τραπέντος, δέον λέγειν περὶ τῶν προγόνων τοῦ νικηκότος Αἰακοῦ καὶ Τελαμῶνος. προσεχέτωσαν γὰρ οὗτοι Ἡρακλείου τοῦ ἐπαινουμένου ἕνεκεν Ἀριστοκλείδα· ὁ μὲν γὰρ Αἰγινήτης ἐστὶν, ὥστε Αἰακὸς, ὁ δὲ Ἡρακλῆς Θηβαῖος. ἀλληγορεῖ δὲ πρὸς ἄκραν ἀστυθύτιν λίγων τὸν πλοῦν, ἀπὸ τῶν πυδιρνητῶν, τῶν ἰχομένων ἄλλων ἀκρωτηρίων, ἀλλ' οὐ τῶν προκειμένων, δέον εὐθυπλοῖν κατὰ λιμένας· τουτέστι, μὴ καὶ τὸν νοῦν στρεφέτω ἔξω τοῦ σκοποῦ τοὺς ἐπαίνους ἄγοντα, ἀλλ' ἐπὶ τὸν ἐπαινούμενον πρέπει. διὸ καὶ ἐκοίσι ἐντόπια τινὰ καὶ οἰκεῖα· (v. 48.) " Αἰακῷ σι " φημὶ γίνει τι Μοῖσαν φέρειν·" τὸ τοίνυν δεῖ φέρειν, ὦ Θυμὲ, Αἰακῷ σί· Αἰγινήτης γὰρ ὁ τὰ ἐπαινούμενος καὶ Αἰακός. "Αλλως, ἀποφέρει τὸν λόγον πρὸς ἑαυτόν· ἦθος γὰρ ἑαυτοῦ παρεκβάντος, καί φησι· τίνα πρὸς ἄκραν ἀλλοτρίαν ἐκπλεύσῃ, ὦ Θυμέ; ἀντὶ τοῦ, διατί τὰ Ἡρακλέος νῦν διηγῇ θαύματα, ἐάσας τὰ τῶν Αἰακιδῶν; λέγει μᾶλλον περὶ Αἰακοῦ καὶ τούτου τοῦ γένους, ἢ τῶν πολέμων, καὶ ἐν τούτοις τὴν Μοῦσαν τὴν σὴν, τὸν ὕμνον, φέρε.

49. Ἔπεται δὲ λόγῳ δίκας] ἕπεται δὲ τῷ λόγῳ καὶ ἀπόλουθον φαίνεται, ὅσις λόγος τῆς δίκης ἄωτός ἐστι. τί ἕπεται; ὅτι δεῖ τοὺς ἀγαθοὺς πάντας ἐπαινεῖν, ἀλλ' οὐ καλὸν ἐξ ἀλλοτρίων κοσμεῖσθαι. κατ' ἔλλειψιν δὲ εἴρηται τὰ πλεῖστα. "Αλλως. τὸ ἰσλὲς, ἀντὶ τοῦ, ἰσλούς· οἷον, δίκαιόν ἐστι τοὺς ἀγαθοὺς ἐπαινεῖν. τοῦτο δὲ πρὸς τὸν Αἰακόν φησιν, ὅτι δεῖ αὐτὸν ἐπαινεῖν. ἀγαθὸς γὰρ ἦν. οὐ καλοὶ γὰρ οἱ ἔρωτές, φησιν, οὐδὲ ἀρίστη ἡ ἐπιθυμία, τῷ ἀνδρὶ προσάπτειν καὶ προσφέρειν ἔπαινον ἐξ ἀλλοτρίων ἐγκωμίων, καὶ μὴ ἰδίων.

53. Οἶκόθεν μάτευε] ἐκ τοῦ ἰδίου τοίνυν γένους ἀνεύρισκε καὶ ἐκζήτει τὰ ἐγκώμια, καὶ μὴ ἀπὸ τοῦ Θηβαίου Ἡρακλέος· πρόσφορον οἰκεῖον ἔπαινον ἴλαχες καὶ ἔχεις, ὅστις δὴ γλυκύτατόν ἐστι λίγειν, τὸ ἀπὸ τῶν ἰδίων καλῶν ἐγκωμιάζεσθαι. ἢ οὕτω· τοῦτό, φησιν, ἴλαθι ἐκ Θεῶν, κοσμεῖν σοὺς ἀξίους, ἵν' ᾖ πρὸς αὐτὸν λίγων. κόσμει γάρ φησι τὸν ἔπαινον.

55. Παλαιαῖσι δ' ἐν ἀριταῖς γίγαθε Πηλεὺς ἄναξ] ἔτι πάλαι, φησὶν, ὑμνεῖται ὁ Πηλεὺς καὶ ὑμνεῖτο, οὐ νεωστὶ, οὐδὲ ὑπ' ἐμοῦ μόνου. οὐ γὰρ λίγει, ὅτι νῦν γέγηθεν ὁ Πηλεὺς, ὡς νῦν πρῶτον ἐπαινούμενος, ἀλλ' ὅτι πάλαι ὑμνεῖτο. τὸ δὲ (v. 57.) Τπέραλλον αἰχμὰν ταμών, ἀντὶ τοῦ, ἐξαίρετον, ἐξέχουσαν καὶ ὑπερβάλλουσαν. ἀναφέρει δὲ ἐπὶ τὰ Ὁμηρικά· (Iliad. φ'. 390.) " Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ " τάμε Χείρων." ἀντιτάττεται δὲ τοῖς Ὁμήρου· ὁ μὲν γὰρ ὑπὸ Χείρωνός φησι τμηθῆναι αὐτὴν καὶ δοθῆναι Πηλεῖ, οὗτος δὲ ὑπὸ Πηλίως φησὶ τμηθῆναι. δόξει δὲ ὁ Πίνδαρος, διὰ τὸν Αἰγινήτην χαρίζεσθαι τῷ Πηλεῖ. οὐ γὰρ μόνος ἦλε τὸν Ἰωλκὸν, ἀλλὰ μετὰ Ἰάσονος καὶ τῶν Τυνδαριδῶν, ὡς ἱστορεῖ Φερεκύδης· οὗτος δέ φησιν, ὅτι Πηλεὺς μόνος καὶ τὴν Ἰωλκὸν ἐπόρθησε, πολεμήσας πρὸς Ἄκαστον τὸν Πελίου παῖδα.

60. Καὶ πουτίαν Θέτιν κατέμαρψεν] ἀντὶ τοῦ, περιεγένετο αὐτῆς τῶν ἐπιζουλῶν. διωκομένη γὰρ ὑπ' αὐτοῦ, μετέβαλλε τὰς μορφὰς, ὅτε μὲν εἰς ὕδωρ, ὅτε δὲ εἰς θηρία. ὁ δὲ παρετήρησε· περιεγένετο. περὶ δὲ τῆς μεταμορφώσεως αὐτῆς καὶ Σοφοκλῆς φησιν ἐν Τρωΐλῳ· (Fragm. p. 452. tom. iii. Brunck.)

Ἔγημεν ὡς ἔγημεν ἀφθόγγους γάμους,
Τῇ ποντομήδῃ Θέτιδι συμπλακεὶς ποτε.

καὶ ἐν Ἀχιλλέως ἁρπαγῇ· (Fragm. p. 404. tom. iii. Brunck.)

Τίς γάρ μι μόχθος οὐκ ἱστιφάτοι; λίων,
Δράκων τι, σῦς, ὕδωρ.

ὅτι δὲ τῷ διαφόρῳ τῆς μορφῆς ἡ Θέτις ὑπέλιπεν τοὺς περὶ τὸν Πηλέα γάμους, δηλοῖ ὁ λόγος· ὥστε καὶ ὁ Πρωτεὺς τὴν φύσιν ἤμειβε.

61. Δαμάσσαντα δ' ἰὺρυσθενὴς Τελαμών] ἀπὸ μὲν τοῦ Λαομέδοντος τὴν πόρθησιν τοῦ Ἰλίου σημαίνει, ἀπὸ δὲ τοῦ Ἴολα, ὃς ἦν Ἰφικλείους υἱός, τὴν Ἡρακλέους στρατηγίαν· τῷ δὲ Ἡρακλεῖ συναθλῖαι Τελαμὼν τὴν Ἴλιον. Ἄλλως. Ἴόλαος Ἡρακλέος ἦν ἡνίοχος. ἐκ συσσήμου οὖν λέγει Ἴόλᾳ, τουτέστι τῷ Ἡρακλεῖ· φησὶν οὖν, ὅτι καὶ ὁ Τελαμὼν παραστάτης ὢν τοῦ Ἡρακλέους, ἅμα τῷ Ἰολάῳ ἱστόρησε τὸν Λαομέδοντα.

64. Καί ποτι χαλκοτύξων Ἀμαζόνων] χρόνῳ δέ τινι καὶ ἐπὶ τὰς πολιμικὰς Ἀμαζόνας ἀπιόντι τῷ Ἡρακλεῖ συνακολούθησέ, φησι, ὅτι περὶ τὴν Ἱππολύτην διὰ τὸν ζωστῆρα ἦλθεν. Ἄλλως. περὶ τοῦ καὶ ἐπὶ τὰς Ἀμαζόνας συστρατεῦσαι·

— Τελαμὼν ἀπόρητος ἀϋτῆς
Ἡμιτίρας* ἱτάροισι φόως πρώτιστος ἴ-
Ξηκτι
Κτείνας ἀνδρολίτειραν ἀμώμητον Μιλα-
τίδαν,
Αὐτοκασιγνήτην χρυσοζώνοιο ἀνάσσης.

Ἔνιοι δέ φασιν, ὅτι καὶ Πηλεὺς αὐτοῖς συνεστράτευσεν, Ἑλλάνικος δὲ πάντας τοὺς ἐν τῇ Ἀργοῖ πλεύσαντας Ἡρακλεῖ συστρατεῦσαί φησιν.

66. Οὐδέ μιν ποτὶ φῶτες ἀνδροδάμας] τουτέστιν, οἱ τοὺς ἄνδρας δαμάζουν φῶτες· οὐδέποτε δὲ αὐτοῦ τὴν ἀνδρείαν ἐκ τῶν φρενῶν φῶτές τις ἔπαυσεν. οὕτω τῇ ἐκ φύσεως εὐδοξίᾳ πᾶς τις ἐπαίρεται καὶ μέγα φρονεῖ. δεῖ οὖν, φησι, καὶ τούτους ἐφ' ἑαυτοῖς μέγα φρονεῖν· ἐκ φύσεως γὰρ ἀγαθοί.

71. Ὅς δὲ διδάκτ' ἴσχει, ψιφῆνδε ἀνὴρ] τουτέστιν, οὐδέποτε ἀσφαλῶς ἐπίσῃ τοῖς καλοῖς· καταψευδόμενος τῆς ἐλπίδος, πολλῶν ἀριτῶν ἀτιλῶς ἄπτεται. ὡς Ὅμηρος· (Iliad. ν'. 281.)

Ἀλλὰ μετακλάζει, καὶ ἐπ' ἀμφοτέρουσ πώδας ἴζει.

Ἄλλως. οὐ διὰ πάντὸς διομαλίζων, ὡς ὁ ἐκ φύσεως τὸ ἀγαθὸν περιπεποιημένος, ἀλλὰ νῦν μὲν ἐπιτυγχάνων, νῦν δ' οὔ. ὁ γὰρ φυσικὴν μὲν οὐδεμίαν ἔχων ὁρμὴν, εὐδὲ εὐφυΐαν, διδακτὰ δὲ πάντα, οὕτος οὐδέποτε ἐφ' ἵν ὁρμήσας συνετίλεσεν, ἀλλ' ἐπὶ πολλὰς ἀρετὰς ἐρχόμενος ἀπογεύεται μόνον. ἢ οὕτως· διομαλίζει, οὐκ ἐπιβαίνει, οὐκ ἐπὶ τὸ αὐτὸ πρᾶγμα ἵσταται. ὁ δὲ Δίδυμος· οὐδέποτε καταβὰς ἐπὶ πρᾶγμα, ἵσταται, ἐνέμεινεν ἐπ' αὐτοῦ καὶ ἐνικαρτέρησεν, ἀλλ' εἰς πολλὰ καὶ ἄλλα μετατρέπεται. ὁ δὲ νοῦν· ὅστις ἐξ ἐπιστημονίσεως καὶ μαθήσεως ἔχων τὰ καλὰ, σποτεινός ἐστι, καὶ οὐχ ἑκούσιος ἐπλάμπων, οὐκ ἀεὶ τὰ αὐτὰ φρονῶν, ἀλλ' ὑπαρῶς μεταβαλλόμενος διὰ τὸ σαθρὸν τῆς ἐπιστημονίσεως ἀφ' ἑτέρων εἰς ἕτερα.

75. Ξανθὸς δ' Ἀχιλλεὺς (sic), τὰ μὲν μίνων Φιλύρας ἐν δόμοις] ἀπὸ τῆς μητρὸς, ἀντὶ τοῦ, ἐν τοῖς τοῦ Χείρωνος ἀκουτίοις, παρὰ μὲν γὰρ Ὁμήρῳ μόνον παιδεύεται, διδασκόμενος τὴν ἰατρικήν· παρὰ δὲ τοῖς νεωτέροις καὶ τρέφεται παρὰ Χείρωνι. ὁ δὲ νοῦς· ὁ δὲ Ἀχιλλεὺς τὰ μὲν παῖς ὢν ἔθρεπτεν ἐν τοῖς οἴκοις τῆς Φιλύρας, καὶ ταῦτα δὲ μεγάλα ἐξ συνεχῶς κατεργάζετο ἐξίσας βολαῖσι μάχας, τῶν γενναιοτέρων ζώων λεόντων τε καὶ συῶν ἀγρίων πλῆθος ἀναιρῶν. διὰ πάντὸς δὲ ὁ Πίνδαρος μᾶλλον τὰ ἐκ φύσεως ἀγαθὰ τῶν ἐκ διδασκαλίας παραγινομένων προκρίνει. τὸ δὲ βραχυσίδαρον ἔκοντα πάλλων φησὶν, ἤτοι καθὸ βραχυσίδαρός ἐστιν ἡ ἀκὴ πρὸς τὸ ξύλον τοῦ δόρατος συγκρινομένη, ἢ ἐπεὶ παῖς ἦν ὁ Ἀχιλλεὺς, ἀνάλογον εἶχε τῇ ἡλικίᾳ βραχυσίδηρον ἔκοντα, τουτέστι, παιδικῷ δόρατι ἐχρήσατο. ἀκαταλλήλως δὲ ἐξενήνοχεν. ἴδοι γὰρ ἐστὶν, λεόντων ἀγροτέρων μάχας ἐνήργει, ἢ, λεόντεσσιν ἀγροτέρμοσιν.

82. Σώματα δὲ παρὰ Κρονίδαι Κενταύρου] τῷ δὲ αὐτοῦ σώματι ἐνεργῷ (l. ἐνεργῶν) ὁ Ἀχιλλεὺς ἄσθματος πλήρης ἐξέντες ἐν κυνηγῶν θῆρας ἐφόρει παρὰ Κρονίδην Κενταύρου, ἤτοι τὸν Χείρωνα. ἐκ Κρόνου γὰρ καὶ Φιλύρας, ὡς καὶ Ἀπολλώνιος ἐν τῷ δευτέρῳ (v. 1243.) μαρτυρεῖ.

85. Ὅλον δ' ἔπειτ' ἂν χρόνον τὸν ἐθάμιζον] τουτέστι, τὸν ἅπαντα βίον τοῦτο ἐνήργει, καὶ τῶν ἀνδραγαθημάτων αὐτὸν ἐθαύμαζον.

88. Κτείνοντ' ἰλαφους ἄνευ κυνῶν] τὸν ἰσχὺν καὶ τὴν ταχυτῆτα αὐτοῦ διὰ τούτων παρίστησι. ποδώκης γὰρ ἦν. ἔστι τι σὺν τῷ μηδὲ κύνας ἔχειν μηδὲ λίνα περιπήγνυ, οἷς δολοῦσι τοὺς θῆρας. οὗτος ἦν ἴσος ἀνέμοις. Ἔρκεα δὲ τὰ λίνα φησι, τὰ περιφράγματα. Δολίνων δὲ, ὅτι θηρῶντες τοὺς θῆρας τὰ λίνα λάθρα ἐφέπουσιν. ὅτι δὲ ποδώκης ἦν Ἀχιλλεὺς, καὶ Ὅμηρος μαρτυρεῖ λέγων· (Iliad. κ'. 58.) " πόδας ὠκὺς " Ἀχιλλεύς."

92. Ἕπτος ἔχω βαθυμῆτα (sic) Χείρωνι] ὅτι δὲ ἐτράφη παρὰ τῷ Χείρωνι ὁ Ἰάσων, Ἡσίοδός φησιν· (Fragm. p. 444. Lips.)

Αἴσων, ὃς τίκτει Ὑ' υἱὸν Ἰάσονα, ποιμένα λαῶν,
Ὃν Χείρων θρέψιν—ἐνὶ Πηλίῳ ὑλήεντι.
ἀλλὰ καὶ ὁ Ἀσκληπιὸς παρὰ Χείρωνι φη-

* leg. ἡμιτίρας.

σιν, ἱσράφη, ὡς καὶ Σωκράτης ὁ Ἀργεῖος (ad Pyth. iii. 14.) φησι.

95. Τὸν φαρμάκων δίδαξε μαλακόχειρα] σουτέφει, τὸν πραοτάτην καὶ ὑγιαστικὴν ἔχοντα τὴν διὰ τῶν χειρῶν ἰατρείλειαν. νομὸν δὲ τὴν διανέμησιν τῶν φαρμάκων καὶ τὴν ἰατρείαν λέγει.

97. Νύμφευσε δ' αὖθις] ἐγαμετόλησε τῷ Πηλεῖ, φησιν, ὁ Χείρων τὴν Θέτιν. ὑπεδέξατο γὰρ τοὺς Διοὺς ἐπὶ τὴν δαῖτα. τὸ δὲ αὖθις οὐκ ἐπ δευτέρου, ἀλλὰ μετὰ ταῦτα. ἐναντίον γὰρ εἰ ὡς πρός τι λαμβάνεται.

98. Γόνον τε οἱ φέρτατον ἀτίταλλε] σουτέφει, ἔτρεφεν ἐν τοῖς ἀρμοδίοις καὶ προσήκουσι τὸν Ἀχιλλέως παιδεύων ψυχήν.

101. Ὅφρα θαλασσίαις ἀνίμων ῥιπαῖσι πιμφθεὶς] εἰς ταῦτά, φησιν, ἀτίταλλε τὸν Ἀχιλλέα ὁ Χείρων, ἁρμοσθὰ αὐτῷ πάντα παρίσχων, ἵνα πλεύσας εἰς Ἴλιον τὴν δορίκτυτον ἀλαλὰν τῶν Λυκίων ὑπομείνῃ. τοῦτο δὲ οἱ μὲν [ἁπλῶς] εἰς τὴν μάχην τῶν Λυκίων, οἱ δὲ ἁπλῶς εἰς τὴν Τροίαν ἤκουσαν, ἵνα ἡ ὑφὲ ἀντὶ τῆς εἰς κίνησιν· οἱ δὲ ἔξωθεν τὸ. χώραν, προσυπήκουσαν, ἵν' ᾖ, ὑπὸ Τρῴαν χώραν.

106. Καὶ ἐγχεσιφόρους ἐπιμίξαις] σουτέφει, καὶ ἵνα τοῖς Αἰθίοψι τὰς χεῖρας ἐμπήξαι, καὶ καθίκοιτο τῆς ψυχῆς αὐτῶν διὰ σοῦ πολεμῶν ἡ ἐπὶ τῶν αὐτοῦ φρενῶν τοῦ Ἀχιλλέως δικτίοι τὸν λόγον, ἵνα ἑαυτοῦ τὰς χεῖρας πήξαιτο, πιστηγνίας παράσχῃ, ταῖς φρεσίν, ἵνα ὁ διανοηθῇ ταῖς φρεσίν, ὑπηρετηθῇ διὰ τῶν χειρῶν. ἐνίοτε γὰρ ἐπιθυμοῦμέν τι πατορθῶσαι, μὴ ὑπηρετούμενοι ταῖς χερσίν. ὁ δὲ Ἀχιλλεὺς ἱσράφη, ἵν', ὅπερ ἂν διανοηθῇ, δυνηθῇ διὰ τῶν χειρῶν κατεργάσασθαι· ἵν' αὖν καθίκοιτο αὐτῶν τὸν βασιλέα Μέμνονα ἀνελών.

112. Τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν] τὸ φέγγος καὶ ἡ δόξα τῶν Αἰακιδῶν τηλαυγής ἐστιν αὐτόθεν, ἐξ ὧν εἶπον νῦν ἔργων, ἤ, ἐκ τῆς Ἰλίου· ἠρίστευσαν γὰρ ἐπὶ τῆς Ἰλίου οἱ Αἰακίδαι· ἢ καὶ τρίτον ἐπὶ τῆς Αἰγίνης, διὰ τὸ Αἰγινήτας εἶναι. ἀναφέρων τὸν ἔπαινον ἐπὶ τὸν ἀθλητὴν, ἐκ τῆς Αἰγινῆς φησὶν αὐτῷ ἠρῆσθαι τὸ κλέος.

114. Ζεῦ, τιὸν γὰρ αἷμα] τιχνικώτατα τῷ Διῒ προσοικειοῖ τὸν νικηφόρον, ἑαυτὸν μὲν, ὅτι πρόγονος τῶν Αἰακιδῶν ὁ Ζεύς, δεύτερον δὲ, ὅτι τοῦ Νεμεαίου ἀγῶνος ἔφορος ὁ Ζεύς, καθ' ὃν ὁ Ἀριστοκλείδης ἐνίκησεν. ἀνάκειται δὲ Διῒ καὶ ὁ Νεμεαῖος ἀγών. Ἄλλως, πιθανῶς, ἐπεὶ παρεκβέβηκεν ἐπὶ τοὺς Αἰακίδας, ὑμνήσας αὐτῶν τὸ κλέος, βουλόμενος φέλειν ἐπαινλθεῖν ἐπὶ τὸν ὕμνον τοῦ ἀθλητοῦ, οὐκ ἀπρόσλογον ἀπόσπασμα ποιήσας· ἐκ τοῦ σοῦ γένους ἔφη, φησὶν, ἡ ἀρετὴ τῶν Αἰακιδῶν. διατί; σὺ γὰρ ἀρχηγέτης εἶ τοῦ γένους αὐτῶν.

Τιὸν γὰρ αἷμα, σέο δ' ἀγὼν] τὰ γὰρ Νέμεα σά ἐστι. Νεμεονίκης δὲ ὁ ὑμνούμενος. ὁ δὲ νοῦς· ἀπὸ σοῦ τηλαυγὴς ἔχουσι τὸ γένος οἱ Αἰακίδαι. σὺ γὰρ ἀρχηγέτης τοῦ γένους αὐτῶν, σός τε ὁ ἀγὼν τῶν Νεμέων.

116. Ἐπιχώριον χάρμα πειλαδέων] τὸ ἐπιχώριον καὶ ἴδιον αὐτῶν τῶν Αἰγινητῶν χάρμα καὶ ἡδονὴν ἀνυμνῶν τὸν νικηφόρον· ἢ δὲ βοὴ τῶν ὑμνούντων νίων σὺν τῷ ν νικηφόρῳ Ἀριστοκλείδᾳ πρέπει, ἤτοι ἐπιφωνὴς ὑπάρχει. ἴν τισι δὲ γράφεται σὺν τῷ ε τὸ, βοᾷ. προσληψόμεθα δὲ ἔξωθεν τὴν σὺν προθέσει, ἵν' ᾖ· σὺν βοᾷ νίων ὁ ὕμνος ἐπαρσίας ἐστιν. ἢ οὕτως· ἡ δὲ βοὴ τοῦ ὕμνου συμπρέπει τῷ νικηφόρῳ τῷ Ἀριστοκλείδᾳ.

119. Ὅς τάνδε νᾶσον εὐκλεεῖ προσέθηκε λόγῳ] ὃς τὴν Αἴγιναν εὐκλεεῖς λόγου προσεθήκην ἐποίησε λαβεῖν δι' ἑαυτοῦ. καὶ γὰρ ἄλλοι ἤμπρεσθεν εὐκλειαν αὐτῇ περιποίησαν, καὶ αὐτὸς δὲ δι' ἑαυτοῦ προσέθηκέ τι εἰς εὐκλειαν αὐτῇ καὶ συμνότητα. τὸ δὲ (122) Θεάριον, τόπος ἐν Αἰγίνῃ δημόσιος, ἔνθα τὰ συμπόσια. εἴρηται ἀπὸ τῶν Θεωρῶν τῶν εἰς Ἀπόλλωνα πεμπομένων. Ἄλλως. ἔστιν ἐν Αἰγίνῃ Πυθίου Ἀπόλλωνος ἱερὸν, ἐν ᾧ οἱ Θεωροὶ διητῶντο, οἱ τὰ Θεῖα φυλάσσοντες. Θεωροὶ γὰρ οἱ Θεοφύλακες. οἱ δὲ, ὅτι ἐν τῷ τοῦ Πυθίου Ἀπόλλωνος ἱερῷ οἶκος ἐστὶ καλούμενος Θεάριον, διὰ τὸ τοὺς ἄρχοντας, οἳ καλοῦνται Θεωροὶ, ἐναῦθα διαιτᾶσθαι. συνίζεσθαι οὖν, φησι, λόγῳ εὐσεβεῖ καὶ τὸ Θεάριον, ταῖς ἀγλααῖς καὶ καλαῖς αὐτοῦ μερίμναις. οἱ δὲ, ταῖς ἐμαῖς μερίμναις καὶ τοῖς ἐμοῖς ποιήμασι συνίζεσθε τῷ εὐκλεεῖ λόγῳ, φασίν.

122. Ἐν δὲ πείρᾳ] ἐν τῷ πειρᾶσθαί, φησιν, ἑκάστου τὸ τέλος διαφαίνεται. οὐκ ἔστι γὰρ γνῶναι τὸν ἀνδρεῖον, ἐὰν μὴ ἑτέρῳ συμβάλλῃ καὶ περιγένηται. ἢ οὕτως· ὅς τις ἂν ἔξοχος γένηται, τούτου τὸ τέλος ἐν τῇ πείρᾳ ἀποδείκνυται. τοῦτο δὲ ὡς πρὸς τὸν ἐγκωμιαζόμενον, ὅτι οὐκ ἄχρι λόγου τὰ προσόντα αὐτῷ δείκνυσιν.

127. Ἐν παλαισίοισι] προσληπτέον ἔξωθεν, παλαιός. λέγει δὲ, οὐχ ὅτι γέρων ἦν τὴν ἡλικίαν· οὐδὲ γὰρ παῖς· ἀλλ' ὡς ὁ Τραγικὸς,

" καὶ παιδὶ καὶ γέροντι προσφέρων τρό-
" πους,"

πάσῃ ἐμιλῆσαι ἡλικίᾳ δυνάμενος, καθ' ἕκαστον μέρος τῆς ἡλικίας. Ἄλλως. λείπει τὸ, ἐπίσασθαι. φησὶ δὲ, ὅτι πρὸς πᾶσαν ἡλικίαν ἁρμοδίως προσοικειοῖ ἑαυτόν. ἢ οὕτως· ἐπίσασθαι ὁ νικηφόρος ἕκαστον μέρος τῶν προλεχθεισῶν ἡλικιῶν, οἷον μέρος ἐλάχομεν τὸ βρότειον ἔθνος.

128. Ἑλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς] Ἀ-

ρίσταρχος. τριῖς μὲν τὰς καθ' ἡλικίαν, ἃς προειχρίσθησαν, τὸ ἐν παισὶν εἶναι παῖδα, ᾧ τὸ ἐν ἀνδράσιν, ἄνδρα, ᾧ τὸ ἐν παλαιοτέροις, παλαιότερον. ᾧ τετάρτην δέ φησιν ἐλᾷν ἀρετὴν τὸν τῶν ἀνθρώπων βίον. τετάρτη οὖν ἐστιν ἀρετὴ αὕτη, πρὸς αἷς εἴρηκεν, ὡς δεῖ περὶ τοῦ παρόντος φροντίζειν καὶ μὴ περὶ τῶν ἰσομοίρων πάντων, ἀλλὰ πρὸς τὸ παρὸν δύνασθαι ἁρμόζεσθαι· ὁ ζηλῶν αἰῶν καὶ τετάρτην ἀρετὴν ταύτην φέρει, τὸ καὶ περὶ τοῦ ἐπιγίνεσθαι φροντίζειν· οὐ γὰρ ἔστιν ὁ Ἀριστοκλείδης, ἀλλὰ πρὸς ταῖς τρισί, φησίν, ἃς προπατείληχε, κέκτηται καὶ ταύτην, τουτέστι, τοῦ παρόντος φροντίζειν· ἢ ἐν ταυτῷ ἔχει, ἅπερ οἱ ἄλλοι κατὰ μέρη ἔχεμεν. Ἐνίστει (131) δὲ ἀντὶ τοῦ διδάσκει, τὸ παρὸν σκοπεῖν ἐπιθήσθαι. (ſ. σκοπεῖν καὶ εὖ θήσθαι.)

132. Χαῖρε, φίλος. ἐγὼ τὸ δέ τοι τίμπω] ἐπεὶ ἴσως οἱ προτίνοντες ἔλεγον τὸ, Χαῖρε, ὡς τὸ Χαῖρ' Ἀχιλλεῦ, κἀγὼ τὸ δέ τοι τίμπω, φησὶ, μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι· τὸν ὕμνον λίγω. τῇ ὁμοιότητι δὲ χρῆται, τῇ ἀπὸ τοῦ μέλιτος καὶ γάλακτος μεταφορᾷ, ἐπὶ τοῦ ποιήματος, καθὸ ἀποδείκνυται τὰ φύσει γράφων ποιήματα τῶν ἐκ πόνου. τὸ γὰρ γάλα φύσει παρίσταται ταῖς τικτούσαις, τὸ δὲ μέλι μετὰ πόνου αἱ μέλισσαι ἐργάζονται. ἀλληγορικῶς οὖν τὸν ὕμνον φησὶ, τὸ καλὸν καὶ ἡδύτατον αὐτοῦ ἐπιδεικνύμενος.

135. Κιρναμίνα δ' ἴερ' ἀμφίπυι πόμ' ἀοίδιμον] ἡ δρόσος, φησὶν, ἡ τῷ μέλιτος κιρναμένη πρὸς τὸ γάλα, ποιεῖ τὸ πόμα ἀοίδιμον, καὶ τὸ ποίημα μιχθὲν αὐλοῖς γίνεται καὶ αὐτὸ θαυμάσιον. οἷον, ὡς τὸ γάλα τῷ μέλιτι μιχθὲν χρηστὸν γίνεται, οὕτω καὶ τὸ ποίημα τοῖς αὐλοῖς ἐγκραθὲν προσηνὲς γίνεται. τὸ δ' Αἰολίδεσσιν (137) ἤτοι, ὡς τῇ Αἰολίδι ἁρμονίᾳ γεγραμμένων τῶν ποιημάτων, ἢ, καθὸ τῷ γένει ἐστὶν Αἰολεὺς, ὡς Βοιωτός. ἢ οὕτω· τοῖς Δωρίοις ᾠδόγγοις. Αἰολεὺς γὰρ ἄνωθέν ὁ Πίνδαρος, ὅτι οἱ κατ' αὐτὸν Θηβαῖοι Αἰολίων ἄποικοι συγχέουσιν, ὡς ἀπὸ Αἰόλου τοῦ Ἀθάμαντος παιδός.

139. Ἔστι δ' αἰτιὸς ὠκὺς ἐν ποταμοῖς (sic)] ὡς μετὰ πολὺν χρόνον τῆς νίκης γεγραμμένου τοῦ ποιήματος, τῆς βραδύτητος ἔνιοι ἐκανῶς καὶ τὴν εἰκόνα παρείληφεν. ἢ οὕτως· εἰ καὶ ὅλως ἐψεῖ, φησι, γέγραπται μοι τὸ ποίημα, ὅμως, ὡς αἰτὸς τάχιστα προελθὼν ἥγεισέ τι καὶ συνήρπασεν, οὕτως ἐγὼ τὰ πράγματα ταχέως συνήρπασα καὶ γέγραφα.

143. Κραγίται δὲ κολοιοὶ ταπεινὰ νέμοντα] οἱ δὲ ἀντίτεχνοί μου, φησὶ, κολοιοῖς ἐοίκασι, κραυγάζοντες μόνον καὶ ταπεινὰ νεμόμενοι, οὐ δύνανται δὲ διαίρεσθαι εἰς ὕψος. δοκεῖ δὲ ταῦτα τείνειν εἰς Βακχυλίδην. ἦν γὰρ αὐτοῖς καὶ φόρασις πρὸς ἀλλήλους. παραβάλλει δὲ ἑαυτὸν μὲν αἰετῷ, κολοιῷ δὲ Βακχυλίδην.

145. Τίν γε μὲν εὐθρόνου Κλεοῦς ἐθελούσας] τῆς Κλειοῦς τῆς Μούσης οὐ λιμφθήσεσθαί φησι τῶν γεγραμμένων ἐπινικίων σαλλαμβανομένης αὐτῷ, καὶ χάριν τοῦ λάμπτος τοῦ ἀθλοφόρου ἐκ τῆς Νιμέας, καὶ ἐξ Ἐπιδαύρου, καὶ ἀπὸ Μεγάρων. φασὶ γὰρ καὶ ἐν Ἐπιδαύρῳ αὐτὸν νενικηκέναι. τίθεται δὲ ἐν Ἐπιδαύρῳ ἀγὼν Ἀσκληπιῷ, τῶν Ἀσκληπιαδῶν πρώτων θέντων, μετὰ ταῦτα δὲ Ἀργείων, Ἀσκληπιῷ διὰ πενταετηρίδος, τίθεται δὲ ἐν τῷ ἄλσει τοῦ Ἀσκληπιοῦ. ἄγεται δὲ μετὰ ἐννέα ἡμέρας τῶν Ἰσθμίων. τὰ Μέγαρα δὲ προάγεται, εὐθὺς ἔαρος ἀρχομένου. τὸ δὲ (148) δίδορπε φάος, τουτέστι, λελάμπρυται ἡ δόξα τοῦ νενικηκότος καὶ ἐν Νιμέᾳ. βουλομένης οὖν, φησι, τῆς Μούσης Κλειοῦς λάμπει σου ἡ ἀρετή.

Carmen iv.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τετάρτου τῶν Νεμέων εἴδους.

Τ'ΗΣ τετάρτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ'. Τὸ α' δίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ β' δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον. Τὸ γ' ὁμοίως τῷ α'. Τὸ δ' ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ε' ὁμοίως τῷ α' καὶ γ'. Τὸ ϛ' πεῖρίοδος, δισκλοῦς τροχαῖος, ἢ Γλυκώνιον. Τὸ ζ' ἰαμβικὸν πενθημιμερές. Τὸ η' ἰσχορριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ θ' Ἰωνικὸν ἐφθημιμερές. Τὸ ι' τροχαϊκὸν ἰπποκρατικὸν, ἢ ἰσχορριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ια' ἰαμβικὸν πενθημιμερές, ἢ Ἰωνικὸν δίμετρον βραχυκατάληκτον, βραχίας τῆς ἀρχούσης ἀδιαφόρου οὔσης. Τὸ ιβ' πεῖρίοδος ἰαμβικὴ ἀπὸ β' τροχαίου, ἢ Γλυκώνιον λιλυμένον. Τὸ ιγ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς ὁμοίως κώλων ιγ', ἃ τινα ὅμοιά ἐστι πάντα τοῖς κώλοις τῆς στροφῆς καὶ ἀντιστροφῆς.

1. Ἄριστος εὐφροσύνα] ὁ λόγος· τῶν πόνων περίειν λελυόντων καὶ συντελισθέντων ἡ εὐφροσύνη ἰατρός ἐστιν ἄριστος. ἢ τὸ ἄριστος ἀντὶ τοῦ ἀρίστη· ἢ ὅταν πονήσας τις νικήσῃ, ἔχει τὴν εὐφροσύνην ἀρίστην ἰατρόν. ἢ οὕτως· ἡ ἀρίστη εὐφροσύνη τῶν τετελειωμένων καὶ πεπληρωμένων πόνων καὶ σπουδασμάτων ἰατρός ἐστιν.

3. Αἱ δὲ σοφαὶ Μοισᾶν Θυγατέρες] αἱ δὲ σοφαὶ Θυγατέρες τῶν Μουσῶν, φδαὶ καὶ ἔπαινοι, ἀκτόμενοι αὐτῶν τῶν πόνων, οἳ διὰ τοῦ Θαυμάζειν ἡδονῆς πληροῦσι καὶ εὐφροσύνης, ἴθιλξάν νιν. τὸ νὶν Ἀρίσαρχος ἐπὶ τῆς εὐφροσύνης ἀκούει, ὥστε εἶναι τὸν λόγον· αἱ δὲ τῶν Μουσῶν Θυγατέρες, αἱ φδαὶ, τουτέστι, τὰ ποιήματα, ἀκτόμεναι, αὐτὴν τὴν εὐφροσύνην ἴθιλξαν τὴν τοῦ ἀνθρώπου, ὅταν ἐγκωμιάζηται. ἔστι δὲ ἄπυρον. οὐ γὰρ θέλγεται εὐφροσύνη, αὐτὴ θέλγουσα τοὺς νικηκότας, οὐχ ὑπ' ἄλλου θελγομένη. ἄμεινον δέ, φησιν ὁ Δίδυμος, ἐπὶ τῶν πόνων ἀκούειν τὴν νίν· οἱ γὰρ μετ' Ὅμηρον οὐκ ἀκριβεύουσι τὴν ἀντωνυμίαν. ὡς καὶ Εὐριπίδης· (Bacch. 32.)

Τοί γάρ νιν* αὐτὰς ἐκ δόμων εἶσρησ' ἐγώ.

ὥστε τὸν λόγον εἶναι τοῦτον· αἱ φδαὶ ἴθιλξαν αὐτοὺς τοὺς πόνους, ἀκτόμεναι αὐτῶν, οἷον θέλγουσι τὴν παποπάθειαν ὑμνοῦσαι αἱ φδαί.

6. Οὐδὲ θερμὸν ὕδωρ τόσσον γε μαλθακὰ] οὐδ' οὕτω τὰ θερμὰ λουτρά, φησι, μαλακύνει κεκμηκότα γυῖα καὶ πεπονημένα, ὅσον ἡ εὐλογία ἀφίησιν (?) ὁ δὲ νοῦς ὅλος· οὐκ ἐν δὲ τοσοῦτον ἀπὸ θερμοῦ ὕδατος ἢ βαλανείου χαλασθείη καὶ μαλαχθείη σῶμα κεκμηκὸς, ὅσον ὑπὸ τῶν ἐπαίνων· ἧς μάλιστα τῆς εὐφημίας, τῆς διὰ τῆς κιθάρας, ἡδονὴ συνάορος, οἷον συμφερομένη, κοινωνοῦσα.

10. Ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει] πάντες ἔργου χρονιώτερόν ἐστι τὸ ῥῆμα, τουτέστιν ὁ ὕμνος. οἷον· πάντα τὰ λεγόμενα ἢ γραφόμενα χρονιώτερά ἐστι τῶν ἔργων. τὰ μὲν γὰρ ἔργα τῷ γιγνόμενα παρήκει, τὰ δὲ γραφόμενα αἰώνια παραδίδοται. ποῖα δέ; ἃ ἂν μετὰ τῆς ἐκ Χαρίτων τύχης τιχθῇ ἐκ τῆς γλώττης ἁπάσῃ, ὡς, ἐάν γε χωρὶς Χαρίτων γράφηται ὁ λόγος, ἀπόλωλε καὶ ἔσβεσται· ἐὰν δὲ μετὰ Χαρίτων, μένει πρὸς αἰῶνα εὐθύς. καὶ Καλλίμαχος· (Fragm. 121. p. 488. ubi v. Not.)

Ἄλλοτε νῦν, ἀλίγοισι δ' ἐπιψήσασθε λιπώσας
Χεῖρας, ἵνα μοι πολὺ μείνουσιν ἔτος.

ὁ δὲ νοῦς· ὁ γὰρ διὰ τῶν λόγων ἔπαινος αὐτῶν τῶν καλῶς πεπραγμένων μᾶλλον διασώζεται καὶ μνημονεύεται, ὅστις ἂν μάλιστα λόγος καὶ ἔπαινος τετυχηκὼς Χαρίτων λέγηται ἐκ διανοίας συνετῆς.

* immo νιν.

14. **Τό μοι δίμιν Κρονίδᾳ τι Διΐ καὶ Νιμέᾳ**] ἐμοὶ εἶη ποιῆσαι· τὸ γὰρ εἶη οὕτως ἀναζίωσίν εἶη μετὰ τῶν Χαρίτων γράφειν. τὸ δὲ προηγούμενον τοῦ κώμου προκώμιον εἶπεν, ἐπειδὴ κωμάζουσιν ᾄδοντες τὸ ποίημα. προκώμιον οὖν, τὸ πρὸ τοῦ κώμου γραφόμενον. δύναται καὶ οὕτω, φησὶν ὁ Δίδυμος· πάντὸς τοῦ ποιουμένου εἰς αὐτὸν ὕμνου τοῦτο τὸ ῥῆμα προκώμιον εἶη, οἷον προοίμιόν τι τοιοῦτον γίνοιτο τῶν εἰς αὐτὸν γραφησομένων ὕμνων ὑπ' ἐμοῦ, νικῆσαι καὶ ἄλλους ἀγῶνας· ἵνα τῶν ἐξῆς ἐπομένων ἐπινικίων ὁ νῦν γραφόμενος λίγηται πρὸ πάντὸς κώμου γιγονώς. δύναται δὲ καὶ οὕτω· τῶν γραφησομένων αὐτῷ ὕμνων ὑπ' ἄλλων ὁ ἐμὸς ἂν εἶη προκώμιον. ὁ δὲ νοῦς· ὅπερ δὴ λόγον καὶ ἔπαινοῦ γίνοιτο νῦν ἐμοὶ θεῖναι καὶ πληρῶσαι προκώμιον τῷ τι Διΐ, ᾧ αὐτῇ τῇ Νιμέᾳ, ᾗ τῇ Τιμασάρχου παλῃ. Ἄλλως. ὕμνου προκώμιον εἶπεν διὰ τὸ ὑπὸ χορευόντων μὲν λίγεσθαι τὸν ὕμνον νεωτέρων τινῶν, πρὸ δὲ τῆς τούτων χορείας καὶ κωμασίας γραφῆναι ὑπὸ τοῦ ποιητοῦ αὐτόν. ὁ δὲ λόγος· γίνοιτό μοι ἐπιτυχεῖν πρὸ τοῦ κωμάζειν τοὺς ἐπαίνους γράφοντι.

18. **Δίξαιτο δ' Αἰακιδᾶν ἰὼπυργον** (sic) **ἕδος**] ῥῆμα ὃ προείρηκε, "ῥῆμα δ' ἐργμάτων "χρονιώτερον." τὸ ῥῆμα τοῦτο τὸ ἰὼπυργον τοῦ Αἰακοῦ ἕδος δίξαιτο, ὥς ἐστι δίκαιον. κοινὸν δὲ φίγγος. ἔστι μὲν καὶ τὴν Αἴγιναν ἀκοῦσαι. ἔστι δὲ καὶ τὸ ποίημα τὸ κοινὸν φίγγος γινόμενον. οὐ γὰρ ἐᾷ ἐν ἀφανεῖ τὰ ἔργα, ἀλλὰ φωτίζει κοινῶς. ξεναρκεῖ δὲ (20.) ὡς πεδαρκεῖ. κοινὸν φίγγος τῆς ξεναρκοῦς δίκης ἡ τῶν Αἰακιδῶν πόλις παραδέξαιτο, ὥς ἐστι δίκαιον τοὺς ξένους παραδέχεσθαι καὶ ἀπεδέχεσθαι. ἢ οὕτω· τῆς τοῖς ξένοις ἀρκούσης δικαιοσύνης κοινὸς ὢν ὀφθαλμὸς, ὦ Αἴγινα, ἤτοι περιφρακτικῶς ἢ δικαιοτάτη. δίξαιτο δὲ τοῦτο προκώμιον καὶ τοῦτον τὸν ἔπαινον πόλις καλλίστη Αἴγινα, ἥτις διὰ τὴν προσοῦσαν πρὸς πάντας τοὺς ξένους δικαιοσύνην καὶ φιλοξενίαν κοινὸς ὀφθαλμὸς τῶν πάντων τυγχάνει.

21. **Εἰ ὀ ἔτι ζαμενεῖ Τιμόκριτος**] τῷ ἄγαν ξηραντικῷ. τὸ γὰρ ζᾶ ἐπιτατικόν ἐστι μέριον ἀεί· τῷ ἰσχυροτάτῳ οὖν φησι. περιφρακτικῶς δὲ τοῦτό φησιν· εἰ ἵζη σου ὁ πατὴρ Τιμόκριτος, ὦ Τιμάσαρχε, ἤτοι ὁ ἐν κιθάρᾳ ποικίλος, ἢ ὁ μουσικώτατος ἀπὸ μέρους· ἦσκουν γὰρ οἱ ἀρχαῖοι μουσικήν. ὁ δὲ νοῦς ὅλος ἴσως, Ἡρακλείος ὀλβίαν ᾠδὸς αὐλὰν, οὕτως· εἰ δὲ μέχρι τοῦ παρόντος ὁ σὸς πατὴρ Τιμόκριτος ἐν ζῶσιν ἀνιστόφετο, τῇ ἑαυτοῦ μουσικῇ σιμυνόμενος, συνεχῶς ἂν τούτῳ τῷ μέλει καὶ ταύτῃ τῇ ᾠδῇ προσκλίνας ἑαυτὸν καὶ προσαγαγών, ἀνευφήμησε καὶ ἀνεβάλετο τὴν γιγενημένην νίκην τὴν ἀπὸ τοῦ Κλεωναίου ἀγῶνος, τοῦ πίμψαντος πλῆθος καὶ ἁρμαθὸν στράτου, καὶ τὴν ἀπὸ τῶν πλουσίων Ἀθηνῶν καὶ ἐνδόξων νίκην, καὶ τὴν ἐν ταῖς Θήβαις τῶν Ἰολαείων καλουμένων*. διότι δὴ παρὰ τὸν τοῦ Ἀμφιτρύωνος τάφον οἱ Θηβαῖοι σὺν παλλῇ προθυμίᾳ καὶ βουλήσει τοῖς τῶν στεφάνων ἀνθισιν ἐκόσμουν εἰς χάριν καὶ τιμὴν τῆς Αἰγίνης· Αἴγινα γὰρ καὶ Θήβη ἀδελφαὶ, ἐξ ὧν αἱ πόλεις ὠνομάσθησαν. φιλόφιλὴς γὰρ ὢν ἄτε Αἰγινήτης, καὶ πρὸς φίλους ἥκων τοὺς Θηβαίους, ἅτε δὴ καὶ τὸ εὐξεινον ἄξυ καταλαβὼν τὰς Θήβας, ᾠδυνήθη κατ' ἰυχὴν θιάσασθαι τὴν τοῦ Ἡρακλέος αὐλὴν πάλιν, τὰς Θήβας.

30. **Εὐωνύμων ἀπ' Ἀθηνῶν**] ᾠδάξαν, ὀνομαστῶν. ἄδηλον δὲ, ποῖον ἀγῶνα δείκνυσι. πολλοὶ γὰρ τιλοῦνται, Παναθήναια καὶ ἄλλοι. εἶτα ἐπάγει· Θήβαις τ' ἐν ἑπτατύλοις, ὡς καὶ ἐν Θήβαις αὐτοῦ νικήσαντος, ἢν δὲ καταλληλότερον εἰπεῖν, Θηβῶν, ἵν' ᾖ καὶ ἀπὸ Θηβῶν ἔπεμψας αὐτῷ στέφανον. διατί; ὅτι παρὰ τὸν τοῦ Ἀμφιτρύωνος τύμβον οἱ Θηβαῖοι οὐκ ἄκοντες σι τοὺς ἄνθισιν ἐμίγνυον, τουτέστιν, ἐστεφάνουν, χαίροντες διὰ τὸ συγγενεῖς εἶναι Θηβαίους Αἰγινητῶν. Θήβη γὰρ καὶ Αἴγινα Ἀσωπίδες, καί φασι, Θηβαίοις πολεμοῦσιν Ἀθηναίοις ἐκπεσεῖν λόγιον, τοὺς συγγενεῖς ἰλίσθαι συμμάχους, δι' οὗ τοὺς Αἰγινήτας ἰλίσθαι, τοῦτο γὰρ ἐδήλου τὸ ῥῆμα.

32. **Οὔνικ' Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον Καδμείᾳ**] ἀντὶ παρωνυμικοῦ, τοῦ Ἀμφιτρυωνίδου. οὐ γὰρ Ἀμφιτρύωνι ἄγεται ὁ ἀγών. ὡς δὲ Ὅμηρος λίγει· (Iliad. Σ'. 480.) "Τπτρίονος ἡιλίοιο," ἀντὶ τοῦ "Τπτριονίδου· καὶ Εὐριπίδης· (Alcmæon. Fragm. xvii. Musgr. cf. Valk. Diatr. p. 151.)

"Ὁ σει χρυσοῦν ἀπώλισ', Οἰδίπους δί μι,
Χρυσοῦν ἐνιγκὼν ὄρμον εἰς Ἄργους πόλιν.

οὐ γὰρ ὁ Οἰδίπους ἤνιγκι χρυσοῦν ὄρμον εἰς Ἄργος, ἀλλ' ὁ Πολυνείκης καὶ ἔδωκιν Ἐριφύλῃ. ἔστι οὖν, Οἰδιποδίδης δί μα, ὁ Πολυνείκης· οὔνικιν Ἀμφιτρυωνίδου. Ἰόλαον γὰρ εἶπεν· οὗτος γὰρ Ἰφικλέους, ὁ δὲ Ἀμφιτρύωνος· διὸ αὐτὸ τὸ ειδιον καὶ γυμνάσιον εἶναι Ἰολάϊον, καθὼς ὁ περὶ ἀγώνων ἀναγράφεται· ἀψάμινοι† οὐκ Ἰολάϊά, φησιν, ἄγεσθαι, ἀλλ' Ἡράκλεια. τὸν ἀγῶνα οὖν τῶν Ἡρακλείων φησὶν ἐν τῷ τοῦ Ἰολάου γυμνασίῳ διακεῖσθαι, περὶ τὸ τοῦ Ἀμφιτρύωνος μνῆμα, ἔνθα φησὶ καὶ τὸν Ἴόλαον πεπενοφῆσθαι· τὸ γὰρ κατ' ἀλήθειαν αὐτοῦ μνῆμα ἐν Σαρδοῖ εἶναι.

36. **Αἰγίνας ἵκατι**] τῆς ἡρωΐδος Αἰγίνης γυναικὸς ἵνεκιν, διὰ τὸ συγγενεῖς. Θήβη γὰρ

* f. —νων. † an καθαψάμενοι, vituperantes? vel —νος ad φησίν.

καὶ Αἴγινα ἀδελφαί, θυγατέρες Ἀσωποῦ, τοῦ ποταμοῦ, ἀφ' ὧν καὶ αἱ περσηγορίαι τῶν πόλεων. περὶ φίλους οὖν, φησι, φίλος ἦλθε, περὶ Θηβαίους Αἰγινήτης ὤν. Πίνιον δὲ ἄστυ, ἤτοι τὸ ἰσθμιον, ὡς· (Hom. Odyss. β'. 344.) " κλησίας δ' ἵπασαν εὐ- " ναίας," ἀντὶ τοῦ αἱ εὐκλεισαι, ἢ τυχήσασα, ἀντὶ τοῦ εὐτυχής. ἢ ξένιον ἄστυ ταῖς Θήβαις ἡ Αἴγινα, διότι Πηλεὺς καὶ Τελαμὼν, Αἰγινῆται ὄντες, ὅτι ἔμελλε στρατεύειν εἰς Ἴλιον Ἡρακλῆς, ἱκετεύσθησαν αὐτὸν διὰ ἱκετείας, ξὺν ᾧ ποτε Τρωΐαν.

40. Ξὺν ᾧ ποτε Τρωΐαν] σὺν ᾧ ποτε Ἡρακλεῖ ἐν τοῖς ἀνωτέρω χρόνοις ὁ γυναικὸς Τελαμὼν ἱκέσθησε τὴν Τροιαν· ἱκέσθησε δὲ σὺν αὐτῷ καὶ τοὺς νῦν μὲν Κώους λιγομένους ποτιώσας, τότε δὲ πελασμένους Μέροπας ἀπὸ Μέροπος, ὅτι γε μὴν ἱκέσθησε καὶ τὸν μίγιστον καὶ ἱκπληκτικώτατον τῶν γιγάντων Ἀλκυονία. ὅτι δὲ Ἡρακλῆς ἱκέσθησε τὴν Κῶ, ἀπὸ τῆς Ἀσίας πατιών, καὶ Ὅμηρος μαρτυρεῖ· (Iliad. ξ'. 255. ο'. 28.)

Καί μιν ἵκετο Κόωνδ' εὖ ναιομένην ἀπίνισας.

ἔλαβε δὲ καὶ Χαλκιόπην ἐξαίρετον τὴν Εὐρυπύλου τοῦ βασιλέως θυγατέρα, ἀφ' ἧς ἰσχυν υἱὸν Θεσσαλὸν, οὗ παῖδες Φειδίππους καὶ Ἄντιφος, ὧν Ἰλίῳ στρατεύσαντες. λέγεται δὲ πιστοθῆναι, διὰ τοὺς Χαλκιόπης ἔρωτας τῆς θυγατρὸς Εὐρυπύλου τοῦ βασιλέως, τὴν Κῶ.

43. Καὶ τὸν μίγαν πολεμιστὴν ἔκπαγλον Ἀλκυονῆ] οὗτος ὁ Ἀλκυονεὺς, εἷς τῶν γιγάντων, λέγεται περὶ τὸν Ἰσθμὸν τῆς Κορίνθου συμβεβηκέναι Ἡρακλεῖ, οὗ τὰς βοῦς Ἡρακλῆς ἐξ Ἐρυθείας παρήλαυνε, καὶ τῆς μάχης αὕτη αἰτία ἐγένετο τῇ βουλῇ τοῦ Διός· πολέμιος γὰρ ἦν τοῖς γίγασιν. οὐ πρότερον οὖν, φασιν, ἀνεῖλε τὸν Ἀλκυονέα Ἡρακλῆς, πρὶν τὰ ἅρματα αὐτοῦ ὑπὸ τοῦ Ἀλκυονέως βληθῆναι. μετὰ γὰρ τὸ συντρίψαι αὐτοῦ δώοικα ἅρματα, καὶ εἰκοσιτέσσαρας ἄνδρας λίθῳ μεγίστῳ, τὸ τελευταῖον κατ' αὐτοῦ τὸν λίθον ῥῖψαι, ὃν τῷ ῥοπάλῳ ἀποσεισάμενος οὗτως ἀπέκτεινε τὸν Ἀλκυονέα. καί φασι, κεῖσθαι τὸν λίθον ἐν τῷ Ἰσθμῷ. λέγεται δὲ τότε συμπαρεῖναι τῷ Ἡρακλεῖ καὶ τὸν Τελαμῶνα.

51. Λόγον ὁ μὴ ξυνιεὶς] ἐπὶ ῥητῶς οὐκ ἐξήγγειλεν ὁ Πίνδαρος, ὅτι ἐνικᾶτο ὁ Ἡρακλῆς, ἀλλ' ἀμφιβόλως αὐτὸ παρεδήλωσεν· ὁ μὴ συνιεὶς τοῦτο. ὃ λέγω, φησὶν, ὅτι ὁ Ἡρακλῆς ἐλείφθη. ἄστιγες μάχης ἂν εἴη οὗτος. Ἄλλως. τὸν λόγον τοῦτον ὁ μὴ διαλογιζόμενος καὶ νοῶν, ὠφέλει ἂν ἄστιγος μάχης, ὡς, μὴ συνιεὶς τὴν τύχην καὶ τὸν ἐξ αὐτῆς λόγον, ἐπεὶ ῥιζοντά τι ἐξ παιδὸς ἔμοι. φησὶ παρὰ τὸ Ὁμηρικόν· (Iliad. σ'. 309.) " Ἐνιὸς Ἐνυάλιος." ἔπαθε γάρ τι καὶ ὁ Ἡρακλῆς ἀπεβαλὼν τοὺς ἑταίρους. παρὰ τοῦτο ὁ Τραγικός·

Τὸν δρῶντά πού τι χ παθεῖν, ὠφέλισαι.

εἰκὸς δ' ἐν ἀπὸ ταύτης τῆς ὁμοιώσεως τῶν περὶ τὸν Ἡρακλέα ἐλάττωμά τι γεγονὸς περὶ τὸν ἀθλητὴν ἐν ἀρχῇ. οὕτω γὰρ τὸν ὅμοιον λόγον ἕξει ἡ παρεβολή. ὡς γὰρ ὁ Ἡρακλῆς ἐπὶ μὲν τῆς ἀρχῆς ἐλείπετο, ὕστερον δὲ ἐνίκησεν, οὕτω καὶ ὁ ἀθλητής. ὥστε εἰκὸς εἶναι αὐτὸν πεπτωκέναι, ἢ ἄλλο τι τοιοῦτον ὑπομεῖναι.

53. Τὰ μακρὰ δ' ἐξενίκτιεν ἰρύκει με τιθμὸς] Ἀρίσταρχος· εἰς νουμηνίαν ἐτιοῦσαν ὑπομείμενόν ἰσιν αὐτῷ ἀποδοῦναι τὸν ἐπινίκιον. πάντα γάρ, φησι, τὰ περὶ τὸν Ἡρακλέα καὶ Ἀλκυονία μακρῶς διελθεῖν κωλύομαι. ποῖος δὲ τιθμός; ὁ νόμος οὖν τοῦ ἰγκωμίου, φησὶ, κωλύει με μακραῖς παρεκβάσεσι χρῆσθαι. ὁ δὲ Ἀμμώνιος ὁμολογεῖσθαι φησὶ τὸν Πίνδαρον ἐν χρόνῳ τινὶ ἀποδώσειν τὸν ἐπινίκιον· ὁ νόμος οὖν οὗτος, ὃν διεσπασμεθα ἐγώ τε καὶ οἱ τοῦ ἀθλητοῦ περὶ τῆς ἡμέρας, ἐν ᾗ ἀποδώσω, κωλύει με μακρὰ γράφειν· οὐ γὰρ φθάσω διὰ ἑορτήν.

55. Ὧραί τ' ἐπιγόμεναι] τουτέστιν, ἐπιγουσέ μι αἱ ὧραι. ὁ δὲ νοῦς οὗτος· τὰ πολλὰ δὲ καὶ μακρῶν διόμενα λόγων διηγεῖσθαι κωλύομαι ὑπό τι τοῦ καιροῦ κατεπιγόντος καὶ ὑπὸ τοῦ εἰωθότος θεσμοῦ. νενόμισται γὰρ τὰ τοιαῦτα διὰ συντόμου λέγεσθαι.

56. Ἴυγγι δ' ἵλκομαι ἥτορ] ἴυγξ εἶδος ὀρνέου ἐρωτικοῦ. πόθεν δὲ ἡ ἴυγξ, ἣν οἱ μὲν φασιν Ἠχοῦς, οἱ δὲ Πειθοῦς γεγενῆσθαι θυγατέρα, ἥτις, φερομένη τὸν Δία εἰς τὸν τῆς Ἰοῦς πόθον, κατὰ χόλον Ἥρας εἰς ὄρνεον μετεβλήθη, ᾧ πέχρηνται αἱ τὰ ἐρωτικὰ σκευάζουσαι γυναῖκες. ἐκ τούτου δὲ τὸ ὄρνεον ἴυγξ καλεῖται. ἴυγγι οὖν, τῇ ἐπιθυμίᾳ φησίν. Ἄλλως. ὡς ἀπὸ φαρμάκου, φησὶ, καὶ ἴυγγος. ἵλκομαι τὴν ψυχὴν τῇ ἐπιθυμίᾳ, ἣ ὑπισχόμην ἐπιδείξασθαι τὸν ἐπινίκιον συντελίσας. διὸ τὰ περὶ τὸν Ἡρακλέα λέγειν κωλύομαι, σπεύδων τελειῶσαι τὸν ὕμνον, εἰς ὃν ὡμολόγησα χρόνον.

58. Ἔμπα κείσεται ἴχνι] τῆς ἀναφορᾶς γινομένης περὶ τὸν Ἡρακλέα, καὶ εἰ τὸ μέσον ἔχω τῆς ἱστορίας, καὶ μισοκορῶ κατὰ τὴν διήγησιν, ἔμως ἀνθίζομαι, καὶ οὐκέτι τοῦ λοιποῦ ἐπίσης ἐκπέψω* διὰ τὴν νουμηνίαν. ὁ νοῦς δέ· ὅμως οὖν, εἰ καὶ πολὺ τὸ μέσον ἔστι διάστημα ἡ τῆς Λιγίνης θάλασσα πρὸς τὰς Θήβας, ἐπίσημα καὶ ἀντίσημα ταῖς τῶν ἐχθρῶν ἐπιβουλαῖς.

60. Ἀντίσημ' ἐπιβουλίᾳ] ἐπίσημα, ὅτι ὁ

* evagabor.

λέγος πρὸς ἑαυτὸν φιλονικεῖ. πρὸς ἑαυτὸν γὰρ τοῦτο λέγει ὁ Πίνδαρος· ἀντίκεινται τοῖς ἐπιζευγνύουσιν, οἷον, μὴ εἶναι τοῖς ἀντιστίχουσι, μὴ δεῖσθαι λαβεῖν ὅτι παρεμβέβηκας· τῇ ἐπιζευγνύᾳ αὐτῶν ἀντίκεινται, ἑαυτοῖσι τῷ φθόνῳ, ἤτοι, ἀπόδος τὸν ἐπινίκιον τῇ ἀρισμένῃ ἡμέρᾳ. σφόδρα γὰρ τῶν πολεμούντων ἡμᾶς ἀντιδιδασκάλων καὶ ἀντιστίχων φανησόμεθα καταβαίνοντες καὶ διαδύοντες λαμπρῶς, ἐὰν μὴ παρεμβαίνωμεν. δοκεῖ δὲ ταῦτα τίθεσθαι εἰς Σημωνίδην, ἐπεὶ ἐκεῖνος παρεμβάσεσι χρῆσθαι εἴωθεν. καθυστέρησον οὖν ἐκείνων φανησόμεθα, ἐὰν μὴ παρεμβάσεσιν ἐπιμένωμεν. σφόδρα δέξομαι τῶν ἀντιπολεμούντων ὑπερίσχοντες καταβαίνειν.

64. Φθονερὰ δ' ἄλλος ἀνὴρ] ἄλλος ἀνὴρ ὁ βάσσανος ἄλλος ἐχθρός. τὴν ἑαυτῷ προαίρεσιν τὴν πενὴν καὶ ματαίαν ἀφανῆ ἔχει. ὁ δὲ νοῦς· οὗτος γὰρ ἂν ὁ τὸν φθόνον ἐν ἀφθαλμοῖς ἔχων ἐχθρὸς, τὴν ἑαυτοῦ προαίρεσιν καὶ τὴν ἐπ' ἐμοὶ προσδοκίαν πενὴν καὶ ματαίαν ἔχων καὶ τὸν σκοπὸν χαμαὶ καὶ ἀσκόπως ἐπηχθόνια, ἐν τῷ τῆς ἐδοξίας καὶ λύπης σκότῳ σκοπεῖσθήσεται ὁ βάσκανος. Ἄλλως. εἴ τις φθονεῖ ἡμῖν, φησὶ, τὴν ἑαυτοῦ γνώμην ἐν σκότει κυλίσει, συσίσει, ὀδὸν ἀνύσει φθονῶν ἐμοὶ, ἀλλ' ἐναποκρυβήσεται τῷ σκότῳ καὶ ζόφῳ, κυλισθήσεται αὐτὸς ἐν σκοτίᾳ, φθονῶν.

66. Ἐμοὶ δ' ἑταίραν ἀρετὰν ἕδωκε μόσμος ἄναξ] ἐμοὶ δέ, φησιν, ἣν ἔδωκε τάξιν ὁ Διὸς καὶ ἡ εἱμαρμένη, ταύτην πεπίστευκα, ὅτι καὶ ὁ μακρὸς διαθέων χρόνος πληρώσει εὐφροσύνῃ καὶ παλάμῃ. ἢ οὕτως· ἣν δὲ ἔχω φαρὰ Διὸς δύναμιν ποιητικὴν, εὖ οἶδ', ὅτι κατὰ τὴν πεπρωμένην ὁ χρόνος ἐκτελέσει καὶ ἐκλάμψει.

71. Ἐξόφαιν γλυκεῖα καὶ τοῦ αὐτίκα φόρμιγξ] ἐργάζου δὴ οὖν καὶ πλήρου τοῦτο τὸ ποικίλον μέλος, ὦ γλυκυτάτη φόρμιγξ, σὺν τῇ Αὐδίᾳ ἁρμονίᾳ, ὅτιπερ ἐγὼ προσφιλίσασα τῇ τε Αἰγίνῃ καὶ τῇ Κύπρῳ. Οἰνώνη δὲ τὸ πρότερον ἐκαλεῖτο ἡ Αἴγινα, ἀπὸ Οἰνώνης τινός.

76. Ἔνθα Τιτῦρος ἀπάρχει] ἔνθα δὴ, καὶ ἐν ᾗ Κύπρῳ, ὁ τοῦ Τελαμῶνος παῖς ἡγεμονεύει. ἴσ γε μὴν Αἴας κατέχει τὴν πατρῴαν Σαλαμῖνα λόγῳ· [ἐπεὶ πατρὶς αὐτοῦ ἡ Σαλαμίς·] ἐπεὶ ἐν Ἰλίῳ τελευτᾷ. ὁ γὰρ Τιτῦρος ἐλθὼν μετὰ τὴν ἅλωσιν Ἰλίου ἐν Σαλαμῖνι, καὶ ὑπονοηθεὶς ὑπὸ τοῦ Τελαμῶνος, ὡς αἴτιος γεγονὼς τοῦ φόνου τῷ Αἴαντι, φυγὼν ᾤκισε τὴν Κύπρον, καὶ ἔσχεν αὐτῆς τὴν ἀρχήν.

79. Ἐν δ' Εὐξείνῳ πελάγει] πᾶν τὸ γένος τῶν Αἰγινητῶν ὑμνεῖ, ὅτι πολλῶν τόπων ὑπῆρξεν. ἔστι δέ τις ἐπὶ τοῦ Εὐξείνου πόντου καλουμένη Λευκὴ νῆσος, εἰς ἣν δοκεῖ τὸ Ἀχιλλέως σῶμα ὑπὸ Θέτιδος μεταπεμπόμενον καὶ δρόμους τινὰς διεκπύνοντι διὰ τὸ τοῦ ἄρους γυμνάσια. ἔθεν καὶ ὁ Πίνδαρος φασινὰν νῆσον τὴν Λευκὴν μεταληπτικῶς εἶπε. φασινὸν γὰρ τὸ λευκόν ἐστι. Λευκὴ δὲ καλεῖται διὰ τὸ πλῆθος τῶν ἐπιφοιτώντων ὀρνέων, ἤτοι ἰρωδιῶν. φαντασίαν γὰρ τοιαύτην τοῖς πλέουσι παρέχει. Ἄλλως. τὴν λεγομένην Λευκὴν ἀκτὴν ἐν τῷ Εὐξείνῳ πόντῳ, ἐν ᾗ πολίται ἰρωδιοὶ φαινόμενοι ἐπεύθυνον τοῖς πλέουσι μηνύουσιν αὐτά. αὕτη καλεῖται καὶ Ἀχιλλέως δρόμος, ἐπειδὴ μνηνυομένου τοῦ Ἀχιλλέως τὴν Ἰφιγένειαν, ἀχθεσάν τι διὰ τὸν αὐτοῦ πρόφασιν εἰς Αὐλίδα, γινομένης ἀπλοίας τοῖς Ἕλλησιν εἰς Ἴλιον, ἁρπάσαι σφαγιάσαι ὑπὲρ εὐπλοίας, καὶ τῆς Ἀρτέμιδος αὐτὴν ἀρπασάσης καὶ ἐπὶ Ταύρους, τῆς Σκυθίας τόπον, ἀγαγούσης ἱστιδίοις ἱερὸν ὁ Ἀχιλλεὺς, καὶ συμπολεμοῦσθαι μέχρι ταύτης τῆς πόσου, τῆς λεγομένης Λευκῆς.

81. Θέτις δὲ κραναῖ Φθίᾳ] ἀντὶ τοῦ, ἐν Φθίᾳ. Φύλαρχός φησι, Θέτιν πρὸς Ἥφαιστον ἱκεσίαν εἰς τὸν Ὄλυμπον, ὅπως Ἀχιλλεῖ ὅπλα κατασκευάσῃ· τὸν δὲ ποιῆσαι. ἱρωτικῶς δὲ ἔχουσα τὸν Ἥφαιστον πρὸς τὸν Θέτιν, οὗ φησιν ἂν δώσειν αὐτῇ, εἰ μὴ αὐτῷ προσομιλήσαι· τὴν δὲ αὐτῷ ὑποσχέσθαι. Θέλει μέντοι ἀπελίζεσθαι, ὅπως ἴδῃ, εἰ ἁρμόζει, ἃ ἐποιήσατο, ὅπλα τῷ Ἀχιλλεῖ. ἔσην γὰρ αὐτὴν ἐκείνῳ ἴλεγε. τοῦ δὲ παραχωρήσαντος, ἀπελαμένην τὴν Θέτιν φυγεῖν· τὸν δὲ οὐ δυνάμενον καταλαβεῖν, σφύραν λαβεῖν καὶ πατάξαι εἰς τὸ σφυρὸν τὴν Θέτιν· τὴν δὲ κακῶς διατεθεῖσαν ἐλθεῖν εἰς Θετταλίαν καὶ ἐκθῆναι ἐν τῇ πόλει ταύτῃ, τῇ ἀπ' ἐκείνης Θετιδείῳ καλαμίνῃ. ἔοικε δὲ ὁ Πίνδαρος μνημονεύειν τοῦ Θετιδείου, περὶ οὗ ἐν πρώτῳ Φερεκύδης οὕτω γράφει· (Fragm. p. 93. Sturz.) "Ἔστιτα Πηλεὺς ᾤχετο εἰς Φθίαν, καὶ Θέτιν ἐπ' ἐκ τῶν ἵππων τούτων ἄγων, εἶπεν ἐν Φαρσάλῳ, καὶ ἐν Θετιδείῳ, ἃ καλεῖται ἀπὸ τῆς Θέτιδος ἡ πόλις. ὁ δὲ νοῦς οὕτως· ἡ δὲ Θέτις ἄρχει καὶ διεστοτύπωσε τῆς Φθίας, ἔνθα ἐστὶ καὶ τὸ Θετίδιον ἱερὸν, ὡς καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ (v. 19.).

82. Νεοπτόλιμος δ' Ἀπείρου διαπρύσιος] ἢ γε μὴν Νεοπτόλιμος ὁ Ἀχιλλέως παῖς ἄρχει τῆς πολλῆς Ἠπείρου, ἐν ᾗ οἱ ἔχοντες πρῶτοι καὶ πρὸς τροφὴν βοῶν ἐξαίρετοι τυγχάνουσιν, ἐκ Δωδώνης τὴν ἀρχὴν ἔχοντες, καὶ περαιούμενοι πρὸς τῷ Ἰονίῳ πόρῳ. λέγεται δὲ, ὅτι μετὰ τὴν Ἰλίου ταύτης τῆς Ἠπείρου ἦρξεν ὁ Νεοπτόλιμος. Ἄλλως. τὰ ἄκρα τῶν ὀρῶν, βουλόται πρῶτοι, οἱ καλλίστους βοῦς τρέφοντες τόποι. λέγονται γὰρ ἐκ τοῦ γίνους τῶν τοῦ Γηρυόνου βοῶν αὐτόθι μεμενηκέναι, καλίψαντος παρ' Ἡρακλέους Λαρίνου τινὸς, ἀφ' οὗ καὶ λάρινος καλοῦνται οἱ ἐκεῖ βόες, μήμην τοῦ τὸ γίνος καταξήσαντος τῇ προσηγορίᾳ φυλάτ-

τοντες*. τὸ δὲ διαπρυσίᾳ, ἀντὶ τοῦ, διηνεκῶς, φησὶν, οἷον ἀπ' ἀρχῆς μέχρι πέρατος, οὐ μέρους τῆς Ἠπείρου, ἀλλ' ὅλης. Ἀπείρου γὰρ ἀντὶ τοῦ Ἠπείρου φησί. Βουλόεται δὲ οἱ βουπόλοι. βουτρόφος γὰρ ἡ Ἤπειρος.

88. Παλίου δὲ παῖ κεδὶ λαοτρίαν Ἰωλκὸν] τὴν δὲ κυμίνην Ἰωλκὸν πρὸς τοῖς κάτω μέρεσι τῆς Θετταλίας ὁ Πηλεὺς πορθήσας διὰ τὴν Ἀκάστου ἐπιβουλὴν δούλην παρέδωκεν τοῖς Θετταλοῖς, τουτέστιν ὑπήκοον. ἔστι δὲ ἡ Ἰωλκὸς τῆς Μαγνησίας, ἥτις πρὸς τοῖς τέρμασι τοῦ Πηλίου ὄρους κεῖται. ἔστι δὲ ἡ αἰτία τῆς δουλείας αὕτη. Ἰάσονος τοῦ Θυγάτηρ γίγνεται Κρηθηΐς Ἀκάστου γαμετὴ, ἥτις τῷ Πηλεῖ ἐρωτικῶς διατεθεῖσα καὶ μὴ πεισασα συνελθεῖν αὐτὴν, φθάσασα τῷ Ἀκάστῳ ὡς ἄσιμον, ἢ βίαιον, διέβαλεν. ὁ δὲ πανσούσας καὶ προφασισάμενος ἦγαγεν ἐπὶ τὰ ἀτέρπια τοῦ Πηλίου, καὶ καταλείψας θηρίοις ὑποστιεῖν αὐτὸν, ὑπανεχωρεῖ. φασὶ δὲ, τοὺς θεοὺς τῆς σωφροσύνης οἰκτίραντας τὸν Πηλέα, Ἥφαιστον ἐξαποστεῖλαι τὸν δὲ μάχαιραν ἔχοντα τῷ Πηλεῖ δωρήσασθαι, ᾗ τὰ προσπίπτοντα τῶν θηρίων διαχράμενος εἰς Θετταλίαν κατῆλθε. ᾧ κατελθὼν κατεπολέμησεν Ἄκαστον καὶ τὴν Ἰωλκόν. ὁ δὲ νεῦς· ἀλλὰ μὴν καὶ τὴν παρὰ τοῖς τέρμασι τοῦ Πηλίου ὄρους κυμίνην Ἰωλκὸν ὑπήκοον καὶ δούλην ἔθεκε, νικήσας ἐν πολέμῳ, διὰ τρομαίου ὁ Πηλεὺς πρότερον οὖσαν Μαγνησίας, καὶ αὐτὴν ὑπέταξε Θετταλοῖς, εἰς πρόφασιν τιμωρίας, ταῖς τοῦ Ἀκάστου γυναικὸς Κρηθηΐδος ἐπιβουλαῖς ἀπεχρησάμενος. αὕτη γὰρ δολίως ἐπιβούλευσε τῷ Πηλεῖ.

95. Τᾷ Δαιδάλου δὲ μαχαίρᾳ] Δαιδάλου μάχαιραν τὸν δόλον εἶπε, τεμνικὸν γεγονότα εἰς ἀπώλειαν, παρόσον δολίᾳ τέχνῃ χρησάμενος ἐπιβούλευσε. ὁ γὰρ Δαίδαλος ἐν Κρήτῃ εἰς Σικελίαν ἀφικόμενος πρὸς Κώκαλον, βασιλεύοντα τῆς Καμίκου, στεῖλε τὰς Θυγατέρας Κωκάλου διὰ τῆς ὀροφῆς ποιῆσαι παστάδρυον, δι' ὧ ἐκχεῖσθαι θερμὸν ὕδωρ ἐπιχεόμενον τῷ Μίνῳ λουομένῳ· καὶ οὕτων τὸν τρόπον ἀπόλωλεν ὁ Μίνως· τοῦτον οὖν τὸν τρόπον φησὶ πεκχεῖσθαι τὸν Ἄκαστον. ἀφῆκε γὰρ αὐτὸν ἐπὶ τῆς ἐρημίας, ὡς ἀπολούμενον ὑπὸ τῶν Κενταύρων διὰ μιτῆλθεν αὐτόν. καὶ πιθανώτερόν ἐστι τὸν, δι, σύνδεσμον ἀντὶ τοῦ, γὰρ, παρειλῆφθαι· τῇ γὰρ Δαιδάλου μαχαίρᾳ ὁ Ἄκαστος αὐτῷ δόλον ἐφύτευσε. Δίδυμος δέ φησι· γράφειν δεῖ διὰ τοῦ ω μεγάλου· Δαιδάλω δὲ μαχαίρᾳ δόλον ἤρτυσε, παρειλόμενος αὐτοῦ πρύφα, ἵνα χερὶς ἀμυντηρίου ἄλοὺς ὑπὸ τῶν Κενταύρων φθαρῇ. ταῦτα δὲ ἰσορροῦσι πολλοὶ μὲν, ἀτὰρ δὴ καὶ Ἡσίοδος, λέγων οὕτως· (Fragm. p. 444. Lips.)

Ἤδη δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
Αὐτὸν μὲν σχίσθαι, κρύψαι δ' ἀδόκητα μάχαιραν
Καλὴν, ἣν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις·
Ὡς τὴν μαστεύων οἷος κατὰ Πήλιον αἰπὺ
Αἶψ' ὑπὸ Κενταύροισιν ἰρισπώοισι δαμείη.

Δαιδάλου δὲ εἶπε τὴν μάχαιραν διὰ τὸ ὑπὸ Ἡφαίστου κατεσκευάσθαι. ἐπιπλῶς δὲ τὰ Ἡφαίστου ἔργα δαίδαλά φησι· (Hom. Iliad. σ'. 481.)

Ποίει δαίδαλα πολλὰ· ἐδινήεις περικίδισεν.

ὁ δὲ νεῦς· ἔστι, φησὶν, Ἄκαστος τὸν τοῦ Δαιδάλου τρόπον ἀναλαβὼν, καὶ τὴν ἐκείνου τῶν δόλων μάχαιραν, ἐμηχανᾶτο κατ' αὐτοῦ θάνατον, οὐχ ὅτι Δαιδάλου εἶχε ξίφος ἀλλ' ὅτι τὸν δόλον ὁμοίως τῷ Δαιδάλῳ ὁ Ἄκαστος.

98. Ἄλαλκε δὲ Χείρων καὶ τὸ μόρσιμον] ἀμφίζολον, πότερον τὸ μόρσιμον ἔπφερε καὶ ἔξω ἔφερε τὸν κίνδυνον καὶ τὸν θάνατον αὐτῷ τὸν πεπρωμένον, ἢ οἷον. ἐξέφερε καὶ ἐπεδείκνυτο τὸ πεπρωμένον, τουτέστιν, ἐξέφερε καὶ ἔσωζε τῶν κινδύνων. ὁ δὲ νεῦς· ἀλλὰ βοηθὸν ἔχων Χείρωνα, τὸν ἐχθρὸν ἐτιμωρήσατο, καὶ οὕτως ὑπὸ τῆς πεπρωμένης ἐσώθη, τὸν κίνδυνον διαθών.

101. Πῦρ δὲ παγκρατὲς] τὸ πάντων κρατοῦν καὶ διεκπῖζον διὰ τὸ φθαρτικὸν τῆς δυνάμεως. οἱ δὲ φυσικώτεροι ἀκούουσι τὸν λόγον, τὴν τῶν θείων φύσιν εἰς πῦρ ἀναγοντες. ὅτι δὲ, καθ' ὃν καιρὸν ἡ Θέτις γάμῳ συνήπτετο τῷ Πηλεῖ, εἰς τε πῦρ καὶ εἰς λέοντα καὶ εἰς διαφόρους ἰδίας μετέβαλλεν ἑαυτῆς τὴν φύσιν, μὴ βουλομένη γαμηθῆναι τῷ Πηλεῖ, καὶ Ὅμηρος μαρτυρεῖ· (Iliad. σ'. 432. sq.)

Ἐκ μέν μ' ἀλλάων ἀλιάων ἀνδρὶ δέμασσιν
Αἰακίδῃ Πηλῆϊ, καὶ ἔσκεν ἀνὴρ ἰὼν ἐν
Πολλὰ μάλ' οὐκ ἰθίλουσα.

Ἄλλως. φαίνεται ἐκ τούτων ἡ Θέτις μὴ βουλομένη γαμηθῆναι Πηλεῖ· μετεβάλλετο οὖν ὅστις ὁ Ὁμηρικὸς Πρωτεύς. οὗτοι οὖν τὸ πῦρ, εἰς ὃ μετέβαλεν, οὔτε οἱ τῶν λεόντων ὄνυχες καὶ ὀδόντες θυμόν τι. σχάσας οὖν καὶ ἐπισχὼν τοὺς ὄνυχας καὶ τοὺς ὀδόντας ἔγνω τὴν Θέτιν ὁ Πηλεύς. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἱρισούντων, οἵ, ὅταν λήγωσι τῆς ἱργασίας, σχάζουσι τὰς λύπας. ὁ δὲ νεῦς· τὸ δὲ λεόντων κρατοῦν πῦρ, ᾧ ἀντέπαιζεν ἑαυτὸν ἡ Θέτις, καὶ τὴν ἄκμὴν ἐπισχὼν καὶ παύσας τῶν ὀδόντων, οὕτω λοιπὸν ἔγνωμεν αὐτὴν τὴν ἐνδεχομένην τῶν Νηρεϊδων, καὶ γίγνοι τῶν οὐρανίων Διὸς ἀκρε-

* v. Apollod. Fragm. p. 1160.

ζῶς· ἱστιδὴ λέγεται ἀτειλᾶφθαι ἐν οὐρανῷ, ἀθανασίᾳ τιμηθείς.

107. Εἶδε δ' ἰδυκλον ἴδρας] εἰ μὲν φυσικώτερον τὸν οὐρανὸν ἀτίδοσαν, διὰ τὸ σφαιροειδὲς, ἀλλ' ἐναντιοῦται αὐτοῖς τὰ τῆς ἱστορίας. οὐ γὰρ τὸν ὑσανὸν ὁ Πηλεὺς ἐθιάσατο. ἀκουστέον οὖν τὸ παρὰ τὸ Πήλιον τῶν θεῶν κυκλοτερεῖς συμπόσιον, ὅπερ συνεστιάσθη τοῖς τοῦ Πηλέως γάμοις. λείπει οὖν ἡ ἐστὶ, ἵν' ᾖ· ἐφ' ᾗς εἶδρας καθίσαντες οἱ Θεοὶ, οἵ τε Ὀλύμπιοι καὶ οὐράνιοι, δῶρα ἐδοκαν αὐτῷ. ἕδρας δὲ, ἢ τοῦ Ὀλύμπου. ὁ δὲ νοῦς· ἐθιάσατο δὲ τὴν ἕδραν καὶ τὴν ἀσφάλειαν τοῦ οὐρανοῦ, καὶ τοὺς θεοὺς τοὺς θαλασσίους καὶ τοὺς οὐρανίους, οἵ τινες αὐτῷ καὶ τοῦτο ἐδωρήσαντο, φανερώσαντες τὸ ἑαυτῶν κράτος καὶ τὸ γένος ἐν ὀφθαλμοῖς· ἢ ὅτι ὁ Ποσειδῶν ἵππους, Ἥφαιστος δὲ μάχαιραν ἔδωκε, καὶ οὗτοι μίχρις ἐγγόνων αὐτοῦ παρέτειμψε τὴν εὐδλειαν.

110. Δῶρα καὶ κράτος ἐξίφηναν] ἀμφίζολον, πότερον διεσήμηναν τὸ κράτος τοῦ Πηλέως αὐτῷ, ὧν κρατήσει τότων, ἢ διεσήμηνεν ἐν τῷ γάμῳ αὐτῷ, ὅτι ἔσαι οὗτως ἐγγενὴς, ὥστε καὶ ἐγγόνοις καταλιπεῖν, ἢ τὸ ἑαυτῶν κράτος οἱ Θεοὶ ἐξίφηναν αὐτῷ, τουτέστι τὴν ἑαυτῶν φύσιν καὶ δύναμιν καὶ τὸ ἐγγενὴς αὐτοῖς, οὐ μεταβαλόντες τὴν μορφὴν ὡς ἔθος ὄνειρον φαντάζεσθαι Θεούς, ἀλλ' ἐν ταῖς ἰδίαις μορφαῖς ἀφθέναν αὐτῷ. ἢ τὸ κράτος, τὸ παρεμμένον αὐτῷ.

112. Γαδείρων τὸ πρὸς ζόφον οὐ περατὸν] οὐκ ἔστι, φησὶ, Γαδείρων περάσαι τὰ ἑσπέρια· ζόφος γὰρ καὶ ἀφάνεια. ὑστερίφων μὲν οὖν εἰς τὰ ἑσπέρα ἄγαι τὴν ναῦν· ἀλληγορικώτερον λέγειν βουλόμενος, ὅτι οὐκ ἔστι δυνατὸν εἰς πάντας τοὺς ἑσπέρους χωρεῖν [τοῦ Τιμασάρχου]. ἱκάγει γοῦν, ὅτι οὐκ ἔστι δυνατὸν τὸν πάντα λόγον ᾧ ἕκαστον τῶν ἐγγόνων τοῦ Αἰακοῦ διελθεῖν, ὥσπερ οὐδὲ Γαδείρων ἐκίκινα. Γάδειρα γὰρ πόλις μίχρι τῶν στηλῶν Ἡρακλείους, ἔνθα τὰ στίλος ἐστὶ τοῦ πλοῦ καὶ τοῦ ὠδυσσ. περατέρω γὰρ λοιπὸν ὁ Ὠκεανὸς, καὶ πάντα ἀφανῆ, ζόφου ὄντος. τὰ ἐντεῦθεν οὖν τῶν Γαδείρων τῆς Εὐρώπης ἐστίν. εἰς δύο γὰρ διήρητο τὸ πᾶλαιὸν μέρη ἡ οἰκουμένη, Εὐρώπη καὶ Ἀσία. ἡ δὲ νοῦς· ὥσπερ οὐκ ἔστι ἰσοτέρω * πλοῦν ἐπὶ τὴν δύσιν, ἐπειδὴ ἄπαξ τὶς ἐπὶ τὰ Γάδειρα ἀφίκηται, ἀλλ' ἐπισχετέον ἐστὶ ἐπὶ τὴν Εὐρώπην διὰ τὸ μὴ εἶναι ἔτι πλοῦν, οὕτω καὶ ἐπὶ πάντα τῶν Αἰακιδῶν τὸν ὕμνον ἀφικνεῖσθαι οὐ δυνατόν. μὴ πλέε γοῦν, φησὶ, πρὸς ζόφου ἔξω τῶν Γαδείρων, ἀλλὰ σρέφε τὴν ναῦν ἐπὶ τὴν Εὐρώπην. ἔνται γὰρ ναὸς περιφερεσπὼς ἀντὶ τοῦ νεῶν, εἶπε. διατί δὲ τοῦτο φησι, διασαφήσει.

116. Ἄσορα γὰρ λόγον Αἰακοῦ παιδῶν] διὰ μετάστροφι τὸν λόγον ἐπὶ τὰ δυνατὰ, ὥσπερ τινα ναῦν. ἐπὶ τοὺς ἱερονίκας.

118. Θιανδρείδαισι δ' ἀείγυίον ἀέθλων] φατρία τις ἀπό τινος Θιανδρέου προγόνου ἐνδόξου τῶν περὶ Τιμάσαρχον, ᾧ γήγεαντο ἡ φρή. ἤλθον οὖν κάρυξ. φησὶν, ἔτοιμος τοῖς Θιανδρείδαις τῶν αἰξίντων τὰ σώματα ἔθλων, καὶ τοὺς ἐν Ἰσθμοῖ καὶ Νεμέᾳ (ἀθλους.)

123. Ἔνθα πτῖραν ἔχοντες] ἔνθα τοῖς ἀγῶσιν ἀπόπτιραν λαβόντες καὶ γνόντες τῆς ἀγωνίας σχόντες, οὐδίστοτι ἄνευ στεφάνων εἰς τὴν οἰκίαν ἐληλύθασι, τῶν ἐνδεξιοῦ καρπὸν φερόντων στεφάνων.

126. Πάτραν νὺ (sic) ἀπούομεν] τὴν πατρίδα σου ταύτην ἀκούομεν, φησι, τὸν τῶν Θιανδρείδων. ὦ Τιμάσαρχε, πρεῖχοσσα τοῖς [τῶν φίλων] ἱκτιμίοις. τὸ γὰρ πρόσταλον ἔμμενε (29), τουτέστι, πρεῖσσάρχουσαν εἶναι. ὁ δὲ νοῦς· τοιγαροῦν ἀκούομεν, ὦ Τιμάσαρχε, τὴν πατρίδα τὴν σὴν τοῖς ὕμνοις τοῖς ἀπὸ τῆς ὑμετέρας νίκης θεραπεύεσθαι, καὶ εἶναι ὑπηρέτην τῶν ὑμετέρων κλεῶν.

129. Εἰ δέ τοι μάτροῦ μ' ἔτι Καλλικλεῖ] μήτρως, ὁ τῆς μητρὸς ἀδελφός. ὁ δὲ λόγος· εἰ δὲ τῷ σῷ ὕμνῳ πλείους ἐστι μὲ Θεῖναι στήλην πρὸς πάροδον, καὶ μνησθῆναι τοῦ τῆς μητρός σου Θείου Καλλικλέος, μνησθήσομαι. ἢ οὕτως· εἰ δὲ δὴ καὶ τῷ Καλλικλεῖ τῷ τῆς μητρός σου Θείᾳ κλείσας ἔστι στήλην τινὰ ἀναστῆσαι τῆς Παρίου λίθου λιυκοτέραν, προσληπτέον ἴζωθεν τὸ, πασῶν, τουτέστι λαμπρὸς ὑμνῆσαι πρέπειον. τοῦτο δὲ εἰρῆκεν, ὡς διαστάσεως † γεγονυίας ἐν ἀρχῇ· ὅτι μνησθήσεται διὰ τῆς φθῆς τοῦ Καλλικλέος, φησίν. ἀλληγορικῶς δὲ τὸ ποίημα στήλην λέγει. Πάριος δὲ λίθος ἐστὶν ὁ καλούμενος Λύγδινος.

133. Ὁ χρυσὸς ἰψόμενος] τουτέστιν, ὡς τὸν χρυσὸν πωλεῖ τὸ πῶς διαυγέστερον, οὕτω τοὺς ἀγαθοὺς ἄνδρας ὁ ὕμνος διαφανεστέρους καὶ τοῖς βασιλεῦσιν ἴσους· τουτέστιν οὕτω λάμπει, ὥσπερ οἱ ἀγαθοὶ ὑμνούμενοι λάμπουσιν.

138. Κεῖνος ἀμφ' Ἀχέροντι νεισταέων] ἐκεῖνος ὁ Καλλικλῆς, φησιν, εἰ καὶ σίθενεν ἦδη, τῆς ἐμῆς ἐὐφημίας συγχαίνων· ὡς στιπλειστηκότος δὲ αὐτοῦ εὔφημα ἰχέτω, φησὶ, τὴν ἐμὴν γλῶσσαν εἰς τὸν ὕμνον αὐτοῦ, τὴν ὑμνοῦσαν (τοῦτο γὰρ ἐστὶ τὸ, πελαδῆτιν) Καλλικλέα Ἰσθμια (νεικηκότα), τοῦτό φησιν, ὅτι ἐν τῷ τοῦ Ποσειδῶνος ἀγῶνι, τῷ Ἰσθμικῷ ἐστέφθη παρὰ τῶν Κορινθίων Καλλικλῆς.

144. Τὸν Εὐφάνης ἐθέλων] ὃν τινα Καλλικλέα καὶ ὁ Εὐφάνης ὁ περιεζύτερος τῶν

* ἰζωτέρω vel προσωτέρω. † f. διαστάσως.

σῶν προγόνων, ὧ Τιμάσαρχε, ᾄσει καὶ ὑμνήσει, δηλαδὴ ὡς ἀποθανόντα ἀποθανόντ' ὡς ὅτι καὶ ἐν ᾅδου εἰσὶν οἱ θαυμάζοντες τοὺς ἀρίστους, καὶ ὅτι αἰσθησίς ἐστιν ἐν αὐτοῖς. ἡ οὕτως· ὁ Εὐφάνης οὗτος ἐκ τοῦ αὐτοῦ γένους Τιμασάρχῳ παλαίτερός τις καὶ τῶν σοφῶν καὶ τῶν συγγραψάντων ἐπαίνους. λίγεται δὲ πάσσος εἶναι τοῦ νικηφόρου πρὸς μητρός. ἢ οὕτω· τοῦτο ἐπισφώνησεν, ὡς τοῦ Εὐφάνους καὶ Καλλικλέους ἁλιπωτῶν ὄντων. διό, φησίν, ἐκεῖνος ὁ ἁλιπώτης ᾄσεται καὶ ὑμνήσει τὸν Καλλικλέα, τοὺς δὲ ἄλλους ὑμνήσουσιν οἱ ἁλιπῶται· τουτέστι, εἰ οἱ ἁλιπῶται ὑμνήσουσι, τὸν δὲ Καλλικλέα ὁ Εὐφάνης.

148. Τὰ δ' αὐτὸς ἂν τις τύχῃ, ἵλπεταί τις ἕκαστος] ἕκαστος γάρ, φησιν, οἴεται ταῦτα ὑπάρχειν ἐξοχώτατα, ἅπερ αὐτὸς οἶδε. τοῦτο δὲ λίγει, ὡς τοῦ Εὐφάνους παρατυχηπότος, ὅτι ὁ Καλλικλῆς ἐνίκα τὰ Ἴσθμια. διὸ ὑμνήσει αὐτόν, ἅτε παρατυχηκὼς καὶ ἑωρακὼς ἐν τῷ ἀγῶνι τοῦ Ὀρσοτριαίνα αὐτὸν νικήσαντα. ἢ οὕτω· ταῦτά γε μὲν ὅπως ἂν τύχῃ λίγων, ἐλπίζει καὶ πείθεται αὐτὸς ἐξαιρέτως καὶ ὑπὲρ τοὺς λογίους εἰρηκέναι. ἴσως δὲ οὕτως· ἅπερ δὴ ἄν τις τύχῃ θαυμάσειεν, ταῦτα δοκεῖ καὶ ἐπερχόμενον διατείνειν, καὶ πάλλιον οὕτω ναίειν τῶν ἄλλων.

151. Οἷον αἰνίων κι Μιλησίαν] ὁ Ἀρίσταρχος ψιλοῖ τὸ, οἷον. ὁ δὲ λόγος· μόνον ἂν τις ἐπαινῶν τὸν Μιλησίαν τὰς ἀναστωμένας ἴριδας παρὰ τῶν ἄλλων γρίφοι, καὶ κατακαλαίοι ᾖ καταγωνίζοιτο. ἡ μεταφορὰ ἀπὸ τῶν παλαιόντων. δύναται δὲ καὶ διαφόως ἀναγινώσκεσθαι τὸ οἷον, θαυμασιῶς, ὅς φησι Δίδυμος. ἰλλιάται δὲ τὸ τίς. εἴ τις τοῦτον τὸν Μιλησίαν ἐπαινῶν τὰς τῶν ἄλλων ἴριδας κατακαλαίοι, οἷον καὶ περιγίνοιτο; διαρίστου γάρ· ἅτε τοὺς φθονοῦντας μηδὲν ἀνύειν. παρεῖται δὲ τὸ τίς. ἴσι γὰρ· ἴριδα γρίφοι τὶς ῥήματα πλέκων, οἷον ἄν, τὶς αἰνίων τὸν Μιλησίαν. ὁ δὲ νοῦς· μόνον δὲ ἂν τις αἰνίων καὶ ὑμνῶν τὸν Μιλησίαν, τὸν ἀλείπτην τοῦ Τιμασάρχου τὴν ἴριδα καὶ τὴν φιλονικίαν ἀποχρίψαι, τὴν παρὰ τῶν ἄλλων δηλαδή.

153. Ἀπάλαιστος ἐν λόγῳ ἵλκει] τοῦτό ἐστι καὶ ἐπὶ τοῦ Μιλησίου ἀκούειν, ὥς φησι Δίδυμος, οἷον, ἀκαταπάλαιστός ἐστι πρὸς τὸν ἕλκοντα αὐτὸν ἐν λόγοις, ὡς καὶ λογίου ὄντος τοῦ Μιλησίου. οἱ δὲ ὅτι ὁ νικῶν. τάχα δὲ ὁ νικηφόρος πάλλιον ὑμνεῖ· ἀπάλαιστος οὖν, φησὶ, καὶ ἀνίκητος [τοῖς,] καὶ ἐν τοῖς λόγοις, καὶ δυνάμενος παραλογίσθηναι. ἀπὸ τῶν παλαιόντων δὲ πάλιν ἡ μεταφορὰ, καὶ τροπικαὶ αἱ λίξεις ἀπὸ τῆς ἀθλήσεως. ἰὰν τίς, φησιν, αὐτὸν εἰς λόγους ἕλκει, οὐ πίπτει, ἀλλ' ἔστιν ἀκαταπάλαιστος. ἔστι δὲ καὶ ἐπὶ τοῦ ἐπαινουῦντος αὐτὸν ἀκοῦσαι, ἐφ' οὗ προεῖπτο, τὸ, οἷον, αἰνίων κι Μιλησίαν. τὰ δὲ ἑξῆς ἐπὶ τοῦ Μιλησίου λίγει.

155 Μαλθακὰ μὲν φρονίων ἰσλοῖς, τραχὺς δὲ παλιγκότοις ἴφιδρος] καὶ ταῦτα ἐπὶ τοῦ Μιλησίου. οὗτος δὲ ἦν τὸ γένος Ἀθηναῖος. ταῦτα δέ φησιν, ὡς τοῦ Τιμασάρχου ὑπὸ τοῦ Μιλησίου ἀλλειμμένου. Ἔφιδρος οὖν τοῖς ἰχθροῖς, ὁ ἐπικείμενος τοῖς ἰχθροῖς, ὁ ἰφιδρεύων, καὶ ἐπιστηρῶν. ἀθλητικὸν δὲ τὸ νόημα, οἷον ἀντὶ τοῦ, δυσκαταγώνιστος. προκαλημμένοις γὰρ καὶ προκαμπτόσι τοῖς προηγουμένους πρὸς ἀλλήλους, ἀκοντίσασος ἰφίστησι. τὸ δὲ τραχὺς ἀντὶ τοῦ φοβερὸς, ἐπαχθής. ὁ δὲ νοῦς ὅλος· τρηχὺς μὲν καὶ προσκρούσεις τοῖς ἀγαθοῖς καὶ φίλοις, χαλεπὸς δὲ τοῖς ἐναντίοις ἰφιδρευτής.

Carmen V.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πέμπτου τῶν Νεμέων εἴδους.

Τῆς πίμπτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶν ἐπτά. Τὸ α' δίμετρον ἰαμβικὸν ἀκατάληκτον. Τὸ β' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ γ' ἐπωμοιολογικὸν

παρὰ τὴν τιλιστιαίαν συλλαβήν. Τὸ δ' δακτυλικὸν τρίμιτρον καταληκτικόν. Τὸ ε' ἰγκωμιολογικόν. Τὸ ς' ὁμοίως τῷ β'. Τὸ ζ τὸ αὐτό. ἡ δὲ τὶ (in ὅτι) ἐμπνύθη, ὡς καταλήξασα. Τὸ η' Εὐριπίδιον. Τὸ θ' ἰαμβίλιχον. Τὸ ι' ἰαμβικὸν δίμιτρον ὑπερκατάληκτον. Τὸ ια' τροχαϊκὸν δίμιτρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς πόλων ἴνδικα. Τὸ α' χοριαμβικὸν δίμιτρον ὑπερκατάληκτον. Τὸ β' τροχαϊκὸν δίμιτρον ἀκατάληκτον. Τὸ γ' ἰγκωμιολογικόν. Τὸ δ' Εὐριπίδιον. Τὸ ε' προσοδιακὸν δίμιτρον ὑπερκατάληκτον. Τὸ ς' Εὐριπίδιον. Τὸ ζ ἰωνικὸν τρίμιτρον ἀκατάληκτον. Τὸ η' χοριαμβικὸν δίμιτρον ἀκατάληκτον. Τὸ θ' ἰωνικὸν τρίμιτρον ἀκατάληκτον, διὰ τὴν ἐν ἀρχῇ τοῦ τροχαίου συζυγίαν. καί ἐστι Σαπφικὸν τιλιστάζον μιᾷ συλλαβῇ κατὰ τὸν ἴαμβον ἐξηλλαγμένον. Τὸ ι' ἰαμβίλιχος λιστούσης τῆς ἀρχῆς. Τὸ ια' Ἰωνικὸν δίμιτρον ἀκατάληκτον, καὶ ἡ τιλιστιαία ἀπόδοσις τὸ, χάρισιν ἰξίστιμιν.

---

1. Οὐκ ἀνδριαντοποιός εἰμι] φασὶν ὅτι οἱ οἰκεῖοι τοῦ Πυθέου ἦλθον πρὸς αὐτὸν, παρακαλοῦντες, ἵνα γράψῃ ἰκτινίκιον. Πινδάρου δὲ αἰτήσαντος τρεῖς (?) δραχμὰς, ἔφασαν ἱκανὸν, κάλλιον εἶναι χάλκεον ἀνδριάντα ποιῆσαι τῆς αὐτῆς τιμῆς, ἢ τὸ ποίημα. χρόνῳ δὲ ὕστερον γνωσιμαχήσαντες ἦλθον τὸ αὐτὸ διδόντες. ὁ δὲ ἐξοπιδίζων αὐτοὺς οὕτως ἤρξατο, καί φησι, μὴ κατασκευάζειν ἔργα τὴν αὐτὴν κατέχοντα χώραν, καθὼς οἱ ἀνδριαντουργοὶ τοὺς χαλκοῦς ἀνδριάντας, ἀλλὰ τὰ ποιήματα, ἅπερ πανταχόσε διέπτηται, ὅστι τὴν ἀρίστην τῶν ἱστανιθέντων πολλαῖς εἶναι δάλην. ὁ δὲ νοῦς· οὐκ εἰμί, φησιν, ἀνδριαντοποιός, ὅστι ἀργὰ καὶ ἀκίνητα ἐργάζεσθαι ἀγάλματα ἐπ' αὐτῆς τῆς βαθμίδος ἑστῶτα διηνεκῶς, καὶ οὐ δυνάμενα ἀλλαχοῦ τὴν τοῦ ναυφόρου διαδοῦν εὐδοξίαν. ἰνδικίνυται δὲ διὰ τούτων, ὅτι οἱ λόγοι πάντων ἰσχὺ βιλτίους.

4. Ἀλλ' ἐπὶ πάσης ἀλκάδος] ἀλκὰς εἶδος φορτηγοῦ πλοίου· ἅπαντος δὲ πλοίου βραχύτατον. ὁ δὲ λόγος· διὰ παντὸς οὖν πλοίου φορτηγοῦ τι καὶ μικροτέρου, ὦ γλυκυτάτ μου φίλε, πορεύου, ἐκδυσῶσα πρὸς πέντας τὰς τοῦ Πυθέου νίκας. τὸ δὲ Νικῇ (sic v. 9.) κατὰ μετάθεσιν τοῦ α εἰς η.

10. Οὕτω γένυσι (sic) φαῖνιν τέρενιαν] ἀλληγορεῖ, βουλόμενος σημῆναι τὸν ἀγένειον ἀπὸ τῆς συστρεζούσης ἀμπέλου. ἡ δὲ ὀπώρα οὐκ ἔστι τῆς οἰνάνθης μήτηρ, ἀλλὰ τοὐναντίον. πρωϊνθεῖ γὰρ πρῶτον· εἶτα ὀπώρα γίνεται. χρῆται δὲ τῇ τοιαύτῃ ἀναστροφῇ συνιτῶς [a] ὡς (Nem. ix. 114) " Ἀ- " συχία φιλεῖ μὲν συμπόσιον." οὐ γὰρ ἡ ἡσυχία φιλεῖ τὸ συμπόσιον, ἀλλὰ τὸ συμπόσιον τὴν ἡσυχίαν. Δίδυμος δὲ, βέλτιόν, φησι, μὴ τὸν καρπὸν, ἀλλὰ τὴν ὥραν ἀκούειν, καθ' ἣν ὁ καρπὸς ἀμπέλου ποτανίσκεται. ὅτι δὲ παλαιοῦσι τὸν καρπὸν ἐσθίουσι, Ὅμηρος· (Odyss. σ' 384)

Καὶ φάτ' ἰλιάσεσθαι, ἢ ἐν Σάμῃ, ἢ ἐν ἐσπέρῃ.

Σάμη οὖν λέγεται, ὅτι οὕτω καρπὸν τοῦ γενιάσκειν ἔχων. οἰνάνθην γὰρ κατὰ μεταφορὰν τὸν ἄνθον εἴρηκε, τουτέστι τὴν πρώτην τῶν γενιάδων ἀνάφυσιν. μήτηρ δὲ τοῦ γενιάσκοντος γίνεται ἡ ὥρα. ὁ δὲ νοῦς· οὐδέτω ἐν τῇ γενιάδι διεπνὺς τὴν ἀκαλὴν ὥραν καὶ ἐσπέραν, τουτέστιν, οὐδέτω γενιάσκων. τὸ δὲ σχῆμα, περίφρασις ἐξ ἀλληγορίας· οὕτω τῆς ἀκαλῆς οἰνάνθης τὴν μητέρα ἐσπέραν φαίνων, ὅστις ἔστιν ὥραν, ὡς Ὅμηρος· (Odyss. μ'. 76.) " οὔτ' ἐν Σάμῃ, " οὔτ' ἐν ἐσπέρῃ," ἀντὶ τοῦ, τῇ ἀκμαιοτάτῃ καιρῷ.

12. Ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας] συλλήψει πέφηνεν, ἀπὸ Κρόνου καὶ Ζηνὸς καὶ Νηρηΐδων λέγων εἶναι τοὺς Αἰακίδας. Αἰακὸς γὰρ Διὸς, Αἰακοῦ δὲ καὶ Ἐνδηΐδος τῆς Χείρωνος Τελαμὼν καὶ Πηλεύς, ὁ δὲ Χείρων Κρόνου. πάλιν ἀπὸ τῶν Νηρηΐδων Φῶκος καὶ Ἀχιλλεύς· Ἀχιλλεὺς μὲν γὰρ παῖς Θέτιδος, ἔκγονος ὢν Αἰακοῦ· Φῶκος δὲ Ψαμάθης Νηρηΐδος καὶ αὐτῆς ἐξ Αἰακοῦ. ἐκ δὲ Κρόνου καὶ Ζηνὸς Τελαμὼν καὶ Πηλεύς· Κρόνου μὲν γὰρ Χείρων καὶ φιλύρας, Χείρωνος δὲ Ἐνδηΐς, Ἐνδηΐδος δὲ Τελαμὼν καὶ Πηλεὺς ἐξ Αἰακοῦ. τούτους οὖν Κρόνου καὶ Ζηνὸς ἀπὸ χρυσῶν Νηρηΐδων φυτοσθέντας ἰγίραιρε, τίς; ὁ Πυθέας ποιήσας, ὡς ἂν προγόνους αὐτοῦ καὶ πατέρας. ὁ δὲ νοῦς· τοὺς δὲ ἀπὸ Κρόνου καὶ Διὸς καὶ ἀπὸ τῶν καλλίστων Νηρηΐδων, τουτέστι τοὺς Αἰακίδας ἐκόσμησεν καὶ αὐτὴν τὴν μητρόπολιν Αἴγιναν. ἀπὸ κοινοῦ δὲ τὸ, ἰγίραιρε. Μείων (sic) ἄρουραν (16) δὲ τὴν Αἰγινάδα φησιν, ἤ, ὅτι φιλόξενοι οἱ Αἰγινῆται, ἤ, καθότι μητρόπολις ἦν τῶν περὶ Πηλέα καὶ Τελαμῶνα. γεννηθέντες γὰρ ἐν τῇ Αἰγίνῃ, ἀπῳκίσθησαν διὰ τὸν Φώκου θάνατον.

17. Τέν ποτ' εὐανδρόν τι] τουτέστιν ἀγαθοὺς ἄνδρας ἔχουσαν, καὶ ἐν τῷ ναυτίλλεσθαι. ὁ δὲ νοῦς· ἤντινα Αἴγιναν ἠΰξαντο ἀγαθῶν ἀνδρῶν ἰσχυροῖν καὶ ἐνδοξον γενέσθαι τὰ ναυτικά· εὐξάμενοι δὲ πάντες παρὰ τὸν Ἑλλανίου Διὸς βωμόν. Ἑλλάνιος δὲ

[a] an σοιχῶς.

Ζεὺς τιμᾶται ἐν Αἰγίνῃ παρὰ τῷ οὕτως Ἑλληνίῳ ἀφετηρίᾳ καλουμένῃ. φασὶ γάρ· αὐχμοῦ ποτὲ γενέσθαι τὴν Ἑλλάδα (ἔνιοι δέ, κατακλυσμοῦ) γνιηλθόντας τοὺς Ἕλληνας παθεῖν τὸν Αἰακὸν, ὡς ὄντα παῖδα Διός, ἐξαιτήσασθαι τῶν τότε συνέντων καιῶν τὴν ἴασιν· τοῦτον δὲ ἐξελέμενον ἀντιτρασεῖσαι τὰ δεινὰ, καὶ οὕτω διὰ τὴν τῆς Ἑλλάδος σωτηρίαν, Ἑλλήνιον παρὰ τοῖς Αἰγινήταις τιμᾶσαι (f. τετιμῆσθαι) Δία.

21. Ἐνδαΐδος ἀρίγνωτις ὑιὸ] τίνες δὲ, πάντες ὁμοῦ ἱλιτάνευσαν περὶ τῶν προειρημένων· οἱ ἔνδεξοι παῖδες τῆς Ἐνδηΐδος, φασὶ, Τιλαμὼν καὶ Πηλεὺς, καὶ ὁ Φῶκος, ὁ τῆς Διοῦ Ψαμάθης παῖς, ὄντινα ἡ Ψαμάθη ἐγίννησι παρὰ τοῖς αἰγιαλοῖς τῆς Θαλάσσης, ἰκόσιος ὡς Νηρηΐς. Κρίνοντος δὲ, ἤτοι τοῦ ἐνδέξου, ἢ βασιλέως.

25. Αἰδέομαι μίγα ἰστιῶν] αἰδοῦμαι καὶ φυλάττομαί, φησι, δηιγήσασθαι μίγα τι καὶ οὐ δικαίως στολεμηθέντ καὶ πιπραγμένον. εἰς γὰρ τὰ πάτρια τῶν Αἰακιδῶν ἐμπεσὼν, καὶ μηνοθυὶς Φώκου ὑποτίλλεται τὴν καυ' αὐτὸν τύχην λίγειν. ἴχι δὲ αὖτη· φασὶ γὰρ, Πηλέα καὶ Τελαμῶνα ἐν γυμνασίοις ἀνελόντα Φῶκον, τὸν μὲν δίσκῳ τύψαντα, τὸν Πηλέα, καὶ τὸν Τελαμῶνα σιδήρῳ τὰ μετάφρενα, καὶ οὕτω τὸ μῦσος φεύγοντας τῆς Αἰγίνης ἱκπεσεῖν, καὶ τὸν μὲν Τελαμῶνα εἰς Σαλαμῖνα τὴν πρὸς τῇ Ἀττικῇ, τὸν δὲ Πηλέα εἰς Θετταλίαν μετοικῆσαι. ὡς καὶ Ἀπολλόνιος ἐν τῷ πατελόγῳ φησί· (Arg. i. 93. 4.)

Τιλαμὼν μὲν ἐν Ἀτθίδι νέσσατο νήσῳ,
Πηλεὺς δ' ἐν Φθίῃ ἱριδώλακι ναῖε λαοσθοΐς.

Ἄλλως. τί αἰδῶται ὁ Πίνδαρος, καὶ τί αὐτοῖς φησὶ μὴ δικαίως πεπινθυπεμένον εἶναι; τὸ ὅτι ἀνεῖλον τὸν Φῶκον καὶ ἔφυγον. περιεσταλμένως δὲ αὐτὸ εἰρηκε. μίγα δὲ ἔργον φησὶν, ὅτι οὐ κατὰ δίκην ὁ κίνδυνος ἐγενήθη τῷ Τιλαμῶνι καὶ τῷ Πηλεῖ, τὸν ἑαυτῶν ἀδελφὸν ἀποκτείναντι Φῶκον, ἀλλ' ἄδικος ὁ τοιοῦτος κίνδυνος, ὃν φησιν αἰδεῖσθαι ἰστιῦν· δύναται δὲ καὶ οὕτως ἀκούεσθαι, τὸ ἀκίνδυνον ἐν δίκῃ, ἀληθές. ἅ γὰρ μὴ ἔχει κίνδυνον κατὰ τὴν δίκην, ἀληθῆ ἐστιν. οἶδεν οὖν ὁ Πίνδαρος τὸν Φῶκου θάνατον, ἀλλ' ἱστορίαται ἰστιῦν. μήποτε δὲ καὶ τὸ παρὰ Καλλιμάχῳ· (Fragm. 136. p. 496.)

Ἔκλυον αν, τῶν μηδὲν ἰμοὶς δι' ὀδόντας ἰλασθῇ,
Πηλεὺς —

οὕτως ἀναδοτέον· ὅτι αἱ γυναῖκες ὑπώπτευον αὐτῷ τὸν Φώκου θάνατον. ὁ δὲ νοῦς· αἰδοῦμαι γοῦν, φησι, τὴν προφανῆ αἰτίαν, δι' ἣν κατέλυσαν τὴν ἐνδεχόσθην νῆσον Αἴγιναν, ἰστιῦν, καὶ σὺς τούτους τοὺς ἄνδρας δαίμων καὶ τύχη ἀπὸ τῆς Οἰνώνης ἀπήλασεν· παύσομαι τῆς τοιαύτης διηγήσεως.

30. Οὔ τοι ἄπασα πειθὼ] οὐ φέρει κέρδος πᾶσα ἀλήθεια· ἀτρεκὴς γὰρ καὶ φαίνουσα τὸ ἦθος πρόσωπον· ἀλλὰ δεῖ ποτὲ καὶ ἰατικερύφθαι τὸ πρόσωπον τῆς ἀληθείας. ὁ δὲ νοῦς· οὐ γὰρ πᾶσα ἰατικερδὴς ἐστιν ἀλήθεια, φανερὰ γινομένη καὶ εἰς ὄψιν ἀγομένη ἀτρεκῶς, ἀλλὰ πολλάκις καὶ τὸ νοῆσαι, ὅτι δεῖ κατὰ καιρὸν σιωπῆσαι, σοφώτατόν ἐστι πρᾶγμα.

34. Εἰ δ' ἅλεον ἢ χειρῶν (sic) βίαν] τὰ μὲν περὶ τὸν φόνον τοῦ Φώκου διασιωπήσομαι· εἰ δέ τοι ἰκανόν ἐστι, φησιν, ἢ εὐδαιμονίαν ἀνθρώπου, ἢ σθένος χειρῶν, ἢ τὴν κατὰ πόλιμον ἀρετὴν, δύναμαί, φησι, πίρρω ἄλλεσθαι, τρὺς Αἰακίδας ἐν τούτοις ὑμνῶν. ὁ δὲ νοῦς· εἰ δὲ δεῖ τὴν ἄλλην εὐδαιμονίαν τὴν Αἰακιδῶν, ἢ τὴν ἀνδρείαν, ἢ τὰ κατὰ πόλιμον ἔργα ἰκανόσαι, ἤδη τίς μοι ὑποσπασάτω πῆδημα τῶν μεγάλων σημείων, ὅτι κούφως διὰ τῶν γενάτων ἰκὼ τὸ ἐξώτερον φέρεσθαι. ἀλληγορεῖ οὖν· δυνάμενος πλέον πάντων θαυμάσαι αὐτοὺς, καὶ ὑπερβαλέσθαι τοὺς ἀγωνίζεσθαι δυναμένους. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πεντάθλων, οἷς σπάμματα σπάσσονται, ὅταν ἅλλωνται. ἱππίου γὰρ κατὰ τὸν ἀγῶνα πηδώντων, θρασπάσσεται βίθρος, ἰκάστου τὸ ἅλμα διενύς. φησὶν οὖν, ὅτι βουλομένῳ μοι τοὺς Αἰακίδας ἐγκωμιάζειν ἤδη τίς μακρὰ ὑποσπασάτω μοι ἅλματα, νικῆσαι παθάπαξ τοὺς ἐναντιοῦσθαί μοι καὶ ἐγκωμιάζειν βουλομένους.

39. Καὶ πίραν πόντοιο πάλλοντ' αἰπυτὶ] οἱ ἀστοί, φησιν, οὐ μόνον τὰ περίγαια πέτονται, ἀλλὰ καὶ πιλαγίζουσι. καὶ ἐγὼ οὖν ὡς ἀστὸς πιλαγιῶ ἐν τοῖς ποιήμασιν.

42. Ἐν δὲ μέσαις φόρμιγγ' Ἀπόλλων] ἐν αἷς Μούσαις ὁ Ἀπόλλων κιθάραν ἐπτάφωνον τῷ πλήκτρῳ κρούων· διὰ γὰρ τοῦ πλήκτρου, ὅσπιρ γλώσσης ὁ φθόγγος ἀποδίδοται· ἐξῆρχε πάσης μελῳδίας, τουτέστι νόμων μελῳδικῶν. τοῦτο δέ φησι παρὰ τὸ, ὡς νομίῳ Διῒ τῷ Ἀπόλλωνι ἀναπαίεσθαι τὴν Μοῦσαν. τὸ δὲ διώκων (44), ἀντὶ τοῦ συνάπτων, παθαρίζων τῷ πλήκτρῳ. διώκειν δέ φησιν αὐτὸν, τὸ τάχος ἐμφῆναι βουλόμενος τῆς πλήξεως.

46. Αἱ δὲ πρώτιστον μὲν ὕμνησαν] αἱ Μοῦσαί, φησι, πρῶτον μὲν ὕμνησαν τὸν Δία, μετὰ δὲ τὸν Δία ὕμνησαν δευτέραν τὴν Θέτιν, ἔπειτα τρίτον τὸν Πηλέα, καὶ δηιγήσαντο, ὅπως αὐτὸν ἡ ἁζρὰ Κρηθηΐς, ἡ τοῦ Ἰωλκοῦ γυγάτηρ, ἀπλεῖν ἱωυλήθη· ἐκ δὲ τούτου τὸ σιμπὸν ἐγκωμιάζεσθαι ἤρξαν. Ἄλλως. ἀπὸ Διὸς προοιμιαζόμεναί, φησιν, ἦρξαν καὶ ὕμνουν τὴν Θέτιν· τὸ προοίμιον οὖν ἀπὸ Διὸς ἐποιήσαντο. ᾧ ἀλλαχοῦ· (Nem. ii. 1.) " ἔστιν ποτὲ καὶ Ὁμηρίδαις Διὸς ἐκ

" προοιμίου." καὶ "Αρατος· (Phen. 1.) " ἐκ Διὸς ἀρχώμεθα."

50. Μαγνήτων σκοτὸν πίσεως' ἀκούσαν] τὸν Ἄναξον τῆς Μαγνησίας τὸν ἱστίσαντα καὶ βασιλέα. ποικίλους οὖν, φησι, λόγους τὸν ἑαυτῆς ἄνδρα ἡ Κρηθηὶς ἱστιοῦλκοι τῷ Πηλεῖ. τὸ δὲ πλάσμα ψεύστης ἦν λόγος, ὅτι ἄρα ἱστιοῦπτο ὁ Πηλεὺς ἱστιοῦλκοῦσαι τῇ ποίᾳ τοῦ Ἀκάστου καὶ μοιχεύσαι τὴν Κρηθηΐδα. ἦν δὲ τὸ ἐναντίον. πολλὰ γὰρ αὐτὸν τὸν Πηλέα ἐκ μέσης ψυχῆς ἱλιτάνευε, καὶ παρατίθεν ἱκετηρίαν, συνιλθεῖν αὐτῇ.

58. Τοῦ δὲ ὀργὴν κνίζον αἰσυλοι λόγοι] οἱ προσάντεις λόγοι καὶ χαλεποὶ, κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ὑψηλῶν τόπων. προσάντεις οὖν οἱ ἀντίτυποι λόγοι καὶ δυσπρόσιτοι. ὁ δὲ νοῦς· τούτου δὲ τὴν προαίρεσιν καὶ τὸν τρόπον ἔκνιζον καὶ ἐλύπουν οἱ ἄδικοι λόγοι, καὶ παραχρῆμα ἀπηγήσατο αὐτῇ, ὑλακθεῖς τὴν τοῦ ξενίου Διὸς ὀργὴν, ἵνα καθόλου ἀκούσωμεν, τοῦ πατρός. ὡς "Ομηρος· (Iliad. α'. 544.) " Πατὴρ ἀν- " δρῶν τε θεῶν τε." ἢ ὅτι ὁ Πηλεὺς ἔκγονος ἦν Διός.

62. Ὁ δ' ἰφράσθη] ὁ δὲ Ζεύς, φησιν, ἰφράσθη, ἀντὶ τοῦ ἔγνω, καὶ ἀντὶ τῆς σωφροσύνης ἱκετεύσαντι αὐτῷ καὶ παρίσχει, ὥστε λαβεῖν γυναῖκα, τὴν Θέτιν.

67. Γαμβρὸν Ποσειδάωνα πίσαις] πείσας ὁ Ζεὺς σύγγαμβρον αὐτῷ γενέσθαι τὸν Ποσειδῶνα. ὁ μὲν γὰρ τὴν Θέτιν, ὁ δὲ τὴν Ἀμφιτρίτην ἔγημεν. Αἰγαὶ δὲ νῆσός ἐστι πρὸς τῇ Εὐβοίᾳ, καὶ ἀπὸ ταύτης τὸ πέλαγος Αἰγαῖον προσαγορεύεται. ἀπὸ τῶν Αἰγῶν οὖν φησὶ τὸν Ποσειδῶνα συνιέχθαι ἐπὶ τὸν Ἰσθμὸν προελθεῖν. ὅτι δὲ Ποσειδῶνος ἱερὰ αὕτη, φησὶ καὶ "Ομηρος· (Iliad. Υ'. 203. sq.)

Οἱ δέ τε καὶ εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶ' ἀνάγουσι

Πολλά τε καὶ χαρίεντα.

διατί δὲ ἀνάμασε νῦν τὸν Ἰσθμόν; ὅτι οἰκεῖός τις ἦν τοῦ Πυθέου, εἰς ὃν αὖθις ἡ φδὴ γίγραπται, Εὐθυμένης, ὃς ἐνίκησεν Ἰσθμία. ὁ δὲ νοῦς· πείσας σύγγαμβρον αὐτῷ γενέσθαι τὸν Ποσειδῶνα, ὅτις συνιέχως ἀπὸ τῶν Αἰγῶν ἐπὶ τὸν τῶν Κορινθίων Ἰσθμὸν φοιτᾷ, ὅπου δὴ μάλιστα αἱ συνιοῦσαι τῶν Κορινθίων τάξεις ὑποδέχονται τὸν Θεὸν μετὰ βοῆς τῶν αὐλῶν, ὅτι δὴ καὶ διαφιλονικοῦσιν ἀγωνιζομένους σώμασιν ἀνδρείαν, ἴσως ἐν τοῖς Ἰσθμικοῖς ἀγῶσι. τότε δὲ ἱκέσσου δύνανται καὶ διακρίνεται τὸ συγγενὲς θράσος ἐπὶ πάντων τῶν τιλουμένων ἔργων.

70. Ἐνθα μὲν εὔφρονες ἦλαι] ἦλαι αἱ τάξεις, καὶ αἱ συστροφαὶ τῶν νέων αἱ ἐν τῷ χορῷ γινόμεναι· ὅθεν καὶ ἐλαπίναι. ὅταν αὐτῶν αἱ ἦλαι τῶν κωμαζόντων μετὰ τὰς νίκας, εὔφρονες οὖσαι, τουτέστιν εὐφραντικαὶ, ἀκδέχονται μετὰ μελῶν· ὅταν γὰρ κῶμοι, ἐκεῖ ἐστιν εὐφροσύνη. εἶτα ἱστοῦσι, διατί τοῦ Ἰσθμοῦ ἐμνήσθη.

75. Τὸ δ' Αἰγίνᾳ θεᾶς, Εὐθύμενες] ὁ Εὐθυμένης οἰκεῖος τοῦ Πυθέου. ὁ δὲ νοῦς· σὺ δὲ, ὦ Εὐθύμενες, ἐν τῇ Αἰγίνῃ περισχόμενος, ἐν τοῖς ἀγῶσι τῆς θεᾶς Νίκας ἠδυνήθης πολλῶν ὕμνων τυχεῖν. τοῦτο δέ φησι διὰ τὸ εἶναι αὐτὸν παγκρατιαστήν.

78. Ἦτοι μεταίξαντα (sic), καὶ τῶν στὰς μάτρως ἀγάλλει] μήτρως ἢ ὁ τῆς μητρὸς ἀδελφὸς, ἢ ὁ κατὰ μητέρα συγγενής. χρῆται γὰρ οὕτως ὁ Πίνδαρος. ἀγάλλει σεμνὸ τὸ ὁμόστορον ἔθνος τὸ τῶν Αἰγινητῶν. παστλαηλότιρον δὲ ἴνοι γράφουσι, Πυθέας, ὃν ἡ μήτρως Πυθέας. οὐ μόνον, φησὶ, Νίμεα νενικήκατε, ἀλλὰ καὶ ἐν Αἰγίνῃ τοὺς ἀλειπώτας ἰλθόντας οἴκαδε, τῷ κράτει νικήκατε. ἔστι δὲ ἀγὼν ἐν Αἰγίνῃ ἀγόμενος, τὰ Αἰάκεια, ὅνπερ δηλαδὴ ἐνίκησεν ὁ Πυθέας. ὁ δὲ νῦς ἔστως· μετὰ τὰ προειρημένα ὑπὸ σοῦ, ἔστι καὶ ἐπὶ τοῦ παρόντος ὁ σὸς μήτρως, ὦ Εὐθύμενες, ὁ Πυθέας ἀγάλλει τι καὶ σεμνύνει τὸ ὁμόστορον ἔθνος καὶ συγγενὲς ὑμῶν, τὸ τῶν Αἰακιδῶν, τὸ ὂν ἐν τῇ Αἰγίνῃ.

81. Ἀ Νιμέα μὲν ἔρεισε μείς σ' ἱστιχώριος] παρ' Αἰγινήταις Διλφίνιος μεὶς ἄγεται, Διλφινίου Ἀπόλλωνος ἱερὸς, ἐν ᾧ ἴσως φησὶ γεγενῆσθαι τὰ Νίμεια. πεφιλῆσθαι γάρ φησι τὸν μῆνα τοῦτον ὑπὸ τοῦ Ἀπόλλωνος. καὶ εἴη ἂν ὁ μὴν οὗτος, ἐν ᾧ Θύουσιν Αἰγινῆται Ἀπόλλωνι εἰκατῇ καὶ δωματίτῃ, καθά φησι Πυθαίνετος. Ἄλλως. μεὶς ἱστιχώριος, ὁ Διλφίνιος μὴν καλούμενος, καθ' ὃν τιλεῖται Ἀπόλλωνος ἀγὼν, Τδεφρίεια καλούμενος. ὁμοίως οὖν, φησι, ἤρμοσται τῷ Πυθίᾳ καὶ οὗτος ὁ Διλφίνιος. ὁ δὲ νοῦς· ἡ μὲν γὰρ Νιμέα καὶ προσήρμοσαι αὐτῷ πρὸς τὸ νικᾶν ἀεὶ, καὶ ὁ πάτριος ἀεὶ παρ' Αἰγινήταις μὴν, ὃν ὁ Ἀπόλλων ἰφίλησεν. ἰλθόντας δὲ καὶ ἐμπλήκας ἐν Αἰγίνῃ νικᾷ.

84. Νίσου σ' ἐν ἰυαγκεῖ λόφῳ] τουτέστιν ἐν Μιγάροις. διατίθεται δὲ Ἀπόλλωνι, καὶ Πύθια πελεῖται ὁ ἀγών. Ἄλλως. ἐν Μεγάροις, τῷ εὐθέτῳ χωρίῳ, ὁμοίως ἐνίκησε τὰ Ἀλκαθοΐα. Νίσος δὲ βασιλεὺς Μεγάρων. ἤδομαι δέ, φησιν, ὅτι τῶν καλῶν ἔνεκα πᾶσα φιλονικεῖ ἡ πόλις.

87. Ἴσθι, γλυκεῖάν τω Μιτάνδρου σὺν τύχᾳ] λείπεται τὸ, ὅτι. ὁ δὲ λόγος· ἴσθι, ἱστιάσθης τῶν τοῦ Μιτάνδρου μόχθων. ἢ οὕτω γίνωσκε, ὅτι γλυκεῖαν ἀμοιβὴν ἐκαρπώσω τῶν πόνων ἐκ τῆς νίκης σὺν τῇ Μιτάνδρου παρουσίᾳ· οὗτος δὲ Ἀθηναῖος, ἀλείπτης Πυθίου. τὰ δὲ τύχᾳ, ἀμφίβολον, ἢ σὺν τῇ σῇ τύχῃ, ἢ τοῦ Μιτάνδρου.

89. Χρὴ δ' ἀπ' Ἀθανᾶν] χρὴ δὲ ἀπὸ Ἀθηνῶν τοὺς ἱστιάσαντας εἶναι τῶν ἀθλητῶν, ἱστιᾶσθαι καὶ ὁ Μίνανδρος Ἀθηναῖος. τοῦτο δέ φησιν, ἱστιᾶσθαι πρότερον ὁ Θησεὺς Ἀθηναῖος

ὧν ἰδρὶ παγκράτιον ἕνεκα μεμιμῆσθαι. ἡνίκα γὰρ ἐν τῇ Λακεδαίμονι ἐξεδύσατο πρὸς τὴν ἰσχὺν τοῦ Μιννταύρου, παγκρατίῳ αὐτὸν διεπαλαίων περιεγίγοντο. οὐ γὰρ ἴσχε μάχαιραν· καὶ οὕτως ἐνομίσθη ἐρεστὴς τῆς συγμῆς. ἴσως οὖν ὁ Πίνδαρος οὐκ ἀρχῆς μέμνηται τῶν Ἀθηνῶν, ἀλλὰ τοιοῦτόν τι ὑπεσημαίνων. Ἄλλως. ἐν Ἀθήναις φησὶν ἐρᾶσθαι τὴν παλαιστρικὴν ὑπὸ Φέρεκτος τοῦ παιδοτρίβου Θησέως. Φερεκύδης δὲ ἡνίοχον τὸν Φέρεκτά φησι Θησέως, σὺν ᾧ καὶ τὴν Ἀμαζόνα ἁρπάζει. καὶ Πολέμων δὲ ἱστορεῖ, πάλην ἐυρεθῆναι Φέρεκτα Ἀθηναῖον. ὅτι δὲ Θησεὺς παρ' Ἀθηνᾶς ἔμαθε τὴν πάλην, Ἴστρος ἱστορεῖ.

91. Εἰ δὲ Θεμίστιον ἴσως ἔς τ' ἀείδειν] οἱ δὲ βούλει, φησὶν, καὶ ἦλθες ὑμνῆν τὸν Θεμίστιον· οὗτος δὲ λίγιστα πάντων τῷ Πυθίᾳ πρὸς μητρός· μαμίστι ἐυλαβούμενός, φησι, φθίγγου, μηδὲ ὡς ὑπὸ ῥίγους συνεχόμενος, ἀντὶ τοῦ, μηδεμίαν ἐυλάβειαν ἔχων, θαῤῥαλέως, ὡς καὶ μεγαλοφώνως βοᾷν.

94. Πρὸς ζυγὸν παρχασίου] παρχήσιον τὸ ἀνώτατον τῆς περαίας. τοῦτο τὸ ἴσιον προσανατείνουσιν, ὅταν θέλωσι δαψιλεῖ τῷ ἀνέμῳ χρῆσθαι εὐρυοδρομοῦντες. καὶ στύπην οὖν αὐτὸν ὁμοῦ καὶ παγκρατιαστὴν, διαύλου νικῶντα ἀριστὸν ἐν Ἐπιδαύρῳ, ὡς λυτρὰ Ἀσκληπιοῦ νικηφόρος αὐτοῦ, ἢ ὡς δύο στεφάνους εἰληφότος ἐν ἀγῶνι, παγκρατίου καὶ παγκρατίου. ταῦτα δὲ ἐστὶ τοῦ Θεμιστίου λίγυς. ἢ οὕτως· ζυγὸν παρχησίου λίγυς τὴν σύνθεσιν καὶ τὸ ἄκρον τοῦ παρχησίου, περιφρασικῶς δὲ, αὐτὸ τὸ παρχήσιον. ἢ παρχησίου φησὶ τὸ ἄκρον τοῦ ἱστίου. παρχήσιον γὰρ, ἐν ᾧ τὸν ἱμάντα ἐνίεσυσι. Θαύμαζε οὖν, φησὶν, αὐτὸν οὕτω μεγαλοφώνως καὶ θαῤῥοῦντος, ὅστις οἱ πλέοντες ἐπὶ πνεύματος οὐρίου εἰς ἄκρον τὸ παρχήσιον ἀνατείνουσι τῆς περαίας, οὕτως αἴδλον * ἱστίασεν τὸ ἅρμενον. ἀλληγορῶν δὲ ἐνδείκνυται τὴν περιουσίαν τῶν Θαυμάτων. φθίγξαι δὲ, καὶ συνετὴν αὐτὸν καὶ παγκράτιον νικηφόρον ἐν Ἐπιδαύρῳ, καὶ διαύλης ἀριστῆς δόξαν κεκτῆσθαι· καὶ παμίζων αὐτὸν Αἰγίνῃ φαιδρὰ τὰ ἔνδη μετὰ τῶν στεφάνων τῶν Χαρίτων, φθίγξαι. Προθύρους δέ φησιν Αἰακοῦ (97), ἀντὶ τοῦ, ἐν τῷ ἡρῴῳ τοῦ Αἰακοῦ ἐν Αἰγίνῃ, οὗτος ἐν τοῖς προθύροις ἀνάκεινται οἱ Ἐπιδαύριοι τοῦ Θεμιστίου ἁπλοῖ (l. διπλαῖ] στέφανοι. ἢ οὕτως· ὡς ἐν Αἰγίνῃ, ἐν τῷ τεμένει τοῦ Αἰακοῦ, ἐστὶ τῶν προπύλων τῶν ἀναπεμφάντων αὐτῷ στεφάνων.

96. Ἐπιδαύρῳ διπλόαι] διπλᾶν, ἀντὶ τοῦ διύπερον. ἐν δὲ Ἐπιδαύρῳ Ἀσκληπιοῦ ἱερὸς ἀγὼν ἄγεται.

Carmen VI.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἕκτου τῶν Νεμέων εἴδους.

Τῆς ἕκτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ'. Τὸ α' ἰαμβικὸν (δίμετρον) ἀκατάληκτον. ἐν γὰρ τῇ διυπέρᾳ χώρᾳ ἐστὶν ὁ σπονδῖος. πολὺ δὲ τοῦτο παρὰ τοῖς Λυρικοῖς. Τὸ β' ἰαμβικὸν πενθημιμερές. Τὸ γ' τροχαϊκὸν πενθημιμερὲς, ἢ Ἰωνικὸν δίμετρον βραχυκατάληκτον, ἀπὸ τροχαϊκῆς συζυγίας. Τὸ δ' διπλῆ περίοδος, ἡ καλεῖται τροχαϊκὴ ἀπὸ ἰαμβικῆς. Τὸ ε' τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. Τὸ ς' ἰαμβίλιγος λείπων τῇ πρώτῃ συλλαβῇ, ἢ ἀναπαιστικόν. Τὸ ζ' τὸ αὐτό. Τὸ η' ἰσχιορραμβικὸν, ἐξ ἀντισπάστου καὶ χοριάμβου, ἀδιάφορον παρὰ τὴν ἀρχήν. Τὸ θ' δακτυλικὸν πενθημιμερές. Τὸ ι' τὸ αὐτό. Τὸ ια' προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ' Ἰωνικὸν δίμετρον (καταληκτικὸν) ἀπὸ τροχαϊκῆς συζυγίας. Τὸ ιγ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἤ ἐστι Φαλαίκειον παρὰ συλλαβὴν, οὗ ἡ ἀρχὴ τὸν ἀντί-

* f. ἅλσ.

σπασον ἴχει ἀδιάφορον τοῦ ἄρχοντος ποδός.

Περὶ τῆς ἐπῳδῆς αὐτοῦ.

Ἡ ἐπῳδὴ κῶλων ια΄. Τὸ α΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ β΄ ἰαμβικὸν πενθημιμερίς. Τὸ γ΄ ἡ τελευταία ἀσύνδετος ἀναγκάζει δακτυλικὸν γενέσθαι τὸ κῶλον. Τὸ δ΄ προσοδιακὸν δίμετρον ἀπὸ Ἰωνικοῦ, καὶ ὑπόπλιον. Τὸ ε΄ Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ Ἰωνικῆς συζυγίας. Τὸ ϛ΄ δακτυλικὸν τρίμετρον. Τὸ ζ΄ Ἰωνικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η΄ ἀναπαιστικὸν δίμετρον καταληκτικὸν (εἰς) δισύλλαβον. Τὸ θ΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον Ἀλκμαϊκόν. ὁ γὰρ τέσσαρτος ποῦς σπονδεῖος. Τὸ ι΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ια΄ δακτυλικὸν πενθημιμερίς.

Ἀλκιμίδᾳ Αἰγινήτῃ.] Τοῦτον τὸν Ἀλκιμίδαν ἀναγράφεσθαί φησιν Ἀσκληπιάδης ἐν τῷ Αἰγινήτου Κρῆτα, οὕτως· Ἀλκιμίδας Θέωνος, Κρής.

1. Ἓν ἀνδρῶν, ἓν θεῶν γένος] ἐκ μιᾶς μητρὸς ὑπάρχομέν, φησι, καὶ ζῶμεν, τῆς Γῆς, εἴ τε Διὸς καὶ οἱ ἄνθρωποι. ἰμφαίνει δὲ διὰ τοῦ προοιμίου, ὅτι κοινωνίαν τινὰ πρὸς τοὺς Θεοὺς οἱ ἄνθρωποι ἔχομεν τῇ εὐφυΐᾳ καὶ τοῖς ἔργοις τοῦ νοῦ. ὅτι δὲ κοινὸν ἁπάντων τοῖς ἀνθρώποις πρὸς τοὺς Θεοὺς τὸ γένος, καὶ Ἡσίοδος μαρτυρεῖ, ἐπὶ μὲν τῆς τῶν Διῶν γενέσεως λέγων· (Theog. 126. 7.)

Γαῖα δέ τοι πρώτιστον ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόεντ', ἵνα μιν περὶ πάντα καλύπτοι.

Οὐρανοῦ δὲ καὶ Γῆς εἰσιν οἱ περὶ Κρόνον καὶ οἱ ἄλλοι Τιτᾶνες· ἐκ δὲ τῶν Τιτάνων οἱ ὕστεροι Θεοί· Ἥφαιστος δὲ Πανδώραν ποιεῖ· Hesiod. Opp. et D. 60. sq.)

Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
Γαῖαν ὕδατι φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
Καὶ σθένος, ἀθανάτης δὲ θεῆς εἰς ὦπα ἐΐσκειν.

ἀπὸ δὲ τῆς Πανδώρας εἰς ἡμᾶς τὸ γένος διῆκεν. οὕτως ἓν ἐκ Διῶν καὶ ἀνθρώπων τὸ γένος. ἐφορᾷ δὲ καὶ πρὸς τὸ εὐφυὲς τοῦ Ἀλκιμίδου τὸ προοίμιον.

4. Διείργει δὲ πᾶσα πεπερασμένη δύναμις] ἡ ἀμιγὴς ἄλλητος, ἡ ἀπερισμένη. ὁ δὲ νοῦς· διαχωρίζει δὲ ἀπ' ἀλλήλων ἡμᾶς ἡ ὡρισμένη δύναμις τῶν Διῶν· ἵνα ἔξωθεν ἀκούσωμεν, τοσοῦτον, ὥστε τὸ μὲν τῶν ἀνθρώπων εὐδιάφθορον εἶναι γένος, τὸ δὲ τῶν Διῶν ἐν ἀσφαλεῖ καὶ βεβαίῳ καὶ ἀφθαρσίᾳ συγχάνειν. ἢ οὕτω· τοὺς Θεοὺς καὶ ἡμᾶς χωρίζει ἡ δύναμις· οἱ μὲν γὰρ ἀθάνατοί εἰσι καὶ ἰσχύουσιν, ἡμεῖς δὲ οὐδέν. ἢ οὕτω· τὸ μὲν ἡμέτερον γένος τὸ μηδὲν ὂν καὶ τακτὸν, τὸ δὲ Διῖον πολλὴν ἴχνι τὴν δύναμιν. καὶ ἐν Πυθιονίκαις (Pyth. viii. 136.) " Σκιᾶς ὄναρ ἄνθρωπος," φησιν.

7. Ἀλλά σὺ προσφέρεαι ἴσαν] ἀλλ' ὅμως, καίτοι οὐδαμινοὶ ὄντες, φησὶν, ἰμφερεῖς τι ἔχομεν τοῖς Διοῖς· ἢ κατὰ νοῦν· Διὸς γάρ τις ἐν ἡμῖν, κατὰ τὸν Εὐριπίδην· (Fragm. ap. Valcken. Diatr. p. 238.) ἢ κατὰ τὰς ἰνφυΐας τῶν σωμάτων καὶ τὰ πάλλη. ἢ οὕτως· ὅμως μέντοι ἐοίκαμεν προσεοικέναι τοῖς Διοῖς κατά τι, ἢ κατὰ τὴν εὐφυΐαν. ὁ δὲ νοῦς· προσφερεῖς, φησιν, ἰσμὲν τοῖς Διοῖς, καίπερ οὐκ εἰδότες, εἴτε ἐν ἡμέρᾳ εἴτε ἐν νυκτὶ πότμος ἔγραψε τὴν εἱμαρμένην ἡμῖν ἢ τὸν θάνατον. ἢ ὕστερον καί τοι μὴ γινώσκοντες μήτε τὰ περὶ τὴν ἡμέραν, μήτε τὰ διὰ νυκτὸς ἰσόμενα, μανθάνομεν ὅτις ἡμᾶς μέρος κατακέκριται (εἰς) σκοπόν τινα· ἐθέλομεν λαθεῖν. ἐθέλομεν δέ φησι τὸν θάνατον κατὰ λόγον. ἐπίσασις γὰρ ἡμῖν ἐστι τοῦ ψευτοῦς βίου καὶ φάσις καὶ τέλος. ἢ ἐθέλομεν ἀκουσίων ἐκ μεταφορᾶς τὴν περιγραφὴν τοῦ βίου καὶ τὴν οἴκησιν.

14. Τερπαίρει δὲ καὶ νῦν Ἀλκιμίδας] ὅτι δὲ συγγενεῖς ἐσμὲν τῶν Διῶν, ὁ Ἀλκιμίδας, φησὶ, σαφῶς ποιεῖ τερπηρεύεσθαι ἡμᾶς. εἰς ὃ γὰρ καὶ αὐτὸς ἔπραξε τῇ εὐφυΐᾳ ἑαυτοῦ, ἐπίδειξι τὴν πρὸς τὸ Διῖον ἡμῶν συγγένειαν, ἐγγύς τι καὶ παραπλήσιον εἰργασμένος ταῖς καρποφόροις ἀρούραις. ὁ δὲ νοῦς· τερπηρεῖ δὲ καὶ σαφὲς ἐστι ποιεῖ τὸ πρὸς τοὺς Θεοὺς ἡμῖν διὰ τὴν εὐφυΐαν συγγενὲς καὶ νῦν Ἀλκιμίδης τοῖς αὐτοῦ κατορθώμασιν.

17. Αἳ τ' ἀμειβόμεναι] οὐ γὰρ διὰ παντός, φησιν, ἐξομαλίζουσι τὴν εὐκαρπίαν αἱ ἄρουραι, ἀλλὰ παρὰ χρόνους τινὰς ἀναπαύλης συγχώνουσιν, εἶτα ἀναπαυσάμεναι πάλιν ἀποδιδόασι πλείονας τοὺς καρπούς. ἀμοιβόμεναι οὖν αἱ ἄρουραι, τουτέστιν ἐξ ἀμοιβῆς παρ' ἑαυτῶν φέρουσαι τὸν βίον ὕδασαν, τουτέστι τὰ πρὸς τὸν βίον δαψιλῆ καὶ πλούσια. διὰ γὰρ τοῦ ἐπιτατικοῦ τοῦτο βούλεται δηλοῦν. Ἄλλως· τοῦ γένους τοῦ Ἀλκιμίδου οἱ μὲν ἠγωνίσαντο, οἱ δὲ οὔ· ἀλλὰ συμβέβηκε τύχῃ τινὶ παρὰ μέρος ἀθλεῖν. νικᾷ γὰρ Ἀγησίμαχος, σχολάζει Σωκλείδης ὁ τούτου παῖς, εἶτα Πραξιδάμας ὁ ἐκ Σωκλείδου ἀναγώνιος γένεται· Πραξιδάμαντος πάλιν σχολάζει ὁ υἱὸς, ὁ τοῦ νικηφόρου πατήρ. τούτου γοῦν μεταξὺ γεγενημένου ἐν τῷ γένει διαλείμματος ὑπερπατολογεῖται, καὶ παρομοιοῖ αὐτὸν τῇ γῇ παρ' ἑαυτὸν καὶ ἐκ διαλειμμάτων εὐκαρπούσῃ, λέγων ὅτι, δηλοῖ δὲ καὶ σαφῶς ποιεῖ τὸ ἑαυτοῦ συγγενὲς Ἀλκιμίδης, ὅπως ἐστὶν ἴδιον ὅμοιον τῇ στερίμῃ γῇ καὶ ταῖς ἀρούραις, αἵτινες ἐξ ἀμοιβῆς καρποφορεῦσαι,

ποτὶ μὲν ἀδιάλειπτα τὰ πρὸς τὸν βίον παρέχουσιν ἐκ τῆς γεωργίας, ποτὶ δὲ ἀναπαυόμεναι καὶ σχολάσασαι τὴν ἑαυτῶν δύναμιν ἀνέλαβον. τὸ δὲ ὑστερόστον τικμαίρει καὶ νῦν Ἀλκιμίδης, ὃς ἦλθεν ἐξ ἱερατῶν ἄθλων, παῖς ἐναγώνιος, ἰδεῖν τὸ συγγενὲς καὶ προσφορὸν τῇ γῇ, ἥτις ἐξ ἀμαΐδης σατιρομένη ἀναπαύεται καὶ δίδωσι καρποὺς πολλούς.

21. Ἤλθέ τοι Νιμέας ἐξ ἱερατῶν ἀέθλων] καὶ ὁ Ἀλκιμίδης οὐκ παρακλήσιος ταύταις ἐγένετο. ὡς γὰρ αὗται ποτὲ μὲν ἀναπαύονται, ποτὲ δὲ καρποφορεῦσι, τῆς γῆς ἐκ διαλείμματος καρποφορούσης, οὕτω καὶ τὸ γένος τοῦ Ἀλκιμίδα. ὁ μὲν γὰρ πάππος τοῦ Ἀλκιμίδα ἐνίκησεν, ὁ δὲ πατὴρ οὐκέτι. ὁ δὲ μὴ νικήσας πατὴρ [ἐν] ἀναπαύσει παρεκάθηται τῶν ἀγώνων· ὁ δὲ Ἀλκιμίδας πάλιν νικήσας τῇ μετὰ τὴν ἀνάπαυσιν καρποφορίᾳ, ἧς μετειχόμενός, φησι, τὴν ἐκ Διὸς μοῖραν, τουτέστι τὸν Νεμεακὸν στέφανον (τὰ γὰρ Νέμεα τοῦ Διός) κατὰ τὰ ἴχνη τοῦ Πραξιδάμαντος τὸν ἑαυτοῦ πάππα νέμει, τουτέστι, μερίζει. ὡς γὰρ ἐκεῖνος ἐνίκησεν, οὕτω καὶ οὗτος. ἐδεῖ νῦν· ἦλθεν δὲ πρὸς τὸ παρὸν ἀπὸ τῶν Νεμεακῶν ἀγώνων τῶν ἱερομίων ὁ ἀνδριάντατος Ἀλκιμίδης, ὃς ἐκ Θιᾶν ταύτην πληρωθεὶς τὴν εὐτυχίαν νῦν ἐφάνη περὶ τὴν τῆς πάλης νίκην, οὐκ ἄμοιρος, ἀλλ' ὥσπερ τις ἀγαθὸς κυνηγέτης, οὕτω κατ' ἴχνος βαίνων τοῦ Πραξιδάμαντος τοῦ ἑαυτοῦ πάππου. ὁ δὲ Ἀρίσαρχος οὐκ ἐπὶ τῷ διαλειπεῖν τὸν πατέρα παρακεκλῆσθαί φησι τῇ γῇ [τῶν ἀνθρώπων], ἀλλὰ δι' αὐτόν, τὸν Ἀλκιμίδαν· πρότερον μὲν (γὰρ) ὄντα παῖδα, νικῆσαι, διαλιπόντα δὲ χρόνον νῦν πάλιν νενικηκέναι.

30. Κεῖνος γὰρ Ὀλυμπιονίκης ἰὼν] ἐκεῖνος ὁ Πραξίδαμός, φησι, πρῶτος ἐγένετο τῶν Αἰγινητῶν πάντων Ὀλυμπιονίκης, ἢ τοῦ γένους ἑαυτοῦ. ὁ δὲ παρὼν Ἀλκιμίδης οὐκ ἐποίησε λησταργησθῆναι τὸν ἑαυτοῦ πατέρα, μὴ ἀργησάντων τῶν ἀγωνισμάτων, ἀλλὰ διὰ τὴς ἑαυτοῦ ἀνδρείας κρίνειν ἰσίμωνι τὸν Σωκλείδην τὸν ἑαυτοῦ πατέρα. ὁ δὲ Δίδυμος, Σωκλῆς ἴσι τὸ ὄνομά, φησὶ παρήγαγε δὲ αὐτὸ πατρωνυμικῶς, ὡς ἔθος ἐστὶ τοῖς ποιηταῖς. ὡς οὖν μὴ νενικηκότος τοῦ Σωκλείδου οὕτος τὴν περὶ ἐκείνου νίκην ἱκτήσατο, νικήσας τοὺς περιεργμένους στεφάνους. τὸ δὲ ὑστέρατος ἀντὶ τοῦ πρεσβύτερος. ὁ γὰρ Σωκλείδης πρεσβύτερος μὲν τῶν υἱῶν γίγονεν Ἀγησιμάχου, πατὴρ δὲ Πραξιδάμαντος.

38. Ἐπεί οἱ τρεῖς ἀδελφόροι] ἄρθρον ἔστι τὸ οἱ ἀντὶ τοῦ, τῷ, τουτέστι τῷ Σωκλείδῃ. τρεῖς γὰρ παῖδες ἐγένοντο αὐτῷ, ὧν ὁ Πραξιδάμας πρῶτος. οἵτινες παῖδες, φησιν, εἰς ἄκρον ἦλθον τῆς ἀρετῆς τῆς ἀθλητικῆς, τῶν τε πόνων τῶν ἀθλητικῶν μετέσχον καὶ ἐγεύσαντο. περιττεύει οὖν ὁ, τι. (e vulgari lectione, οἵ τι v. 40.) τρεῖς γὰρ ἀδελφόρους εἶπε, τοὺς ἀδελφοὺς δηλαδὴ τοῦ Σωκλείδου. τῷ δὲ αὐτὸς μὴ ἠθληκέναι, ὁ Σωκλείδης τὸν υἱὸν ἐγύμνασεν, ὃς τὴν περὶ αὐτὸν λήθην ἐσκίδασε νικήσας· ἀνικήρυξε γὰρ τὸν πατέρα. τὸ δὲ σὺν Διοῦ τύχᾳ, ἀντὶ τοῦ, τῇ ἐκ Διοῦ τύχῃ, εὐδύνα ἔτερον εἶκον οὕτως ἀπίδειξι καὶ ἀπίφηνί, φησι, πλείους ἀπεικονχότα στεφάνους.

44. Μυχῷ Ἑλλάδος] ἀμφίσολον, πότερον ὡς ἐν Ἰσθμῷ πολλὰς νίκας εἰληφότος οὕτως εἶκεν, ἐπεὶ μυχὸς τῆς Πελοποννήσου Κόρινθος, ἐν ᾗ τὰ Ἴσθμια ἄγεται. Ὅμηρος· (Iliad. ζ'. 152.)

Ἔσ' πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱππιοβότοιο.

ἤ, ἐπεὶ μυχοί εἰσι τῶν χωρῶν αἱ πόλεις, αἱ κρύψεις ὑπάρχουσαι ἀντὶ τῶν πεδινῶν τόπων, τὰς πόλεις, ἐν αἷς ἐνίκησαν, μυχοὺς Ἑλλάδος κέκληκεν· ἐν ταῖς Ἑλλαδικαῖς πόλεσιν, ἐν ἑκάστῳ μυχῷ τῆς Ἑλλάδος.

45. Ἕλκομαι μέγα εἰκὼν ἄντα σκοτοῦ τυχεῖν] ἴνιοι γράφουσιν, ἂν τετυχεῖν. ἱλπίζω οὖν, φησι, μεγαλοῤῥημονήσας ἐκ παυχησάμενος ἐπιτυχεῖν ἂν τοῦ σκοποῦ, ὡς ἀπὸ τόξου πίμπων βέλος. τὸ δὲ τετυχεῖν ὅμοιον τῷ λελαβεῖσθαι. γράφουσι δὲ καὶ ἄντα, ἵν' ᾖ ὁ λόγος· ἐναντίον τι καὶ εὐθὺ τοῦ σκοποῦ. Ἄλλως. προσδοκῶ δὲ μεγάλως ἐπαινίσας τὸν νικηφόρον ἐπιτυχεῖν τοῦ σκοποῦ, ὡς ἄριστος τοξότης. τοῦ δὲ (47), ὅτ' (sic) ἀπὸ τόξου, τὸ ὅτι Δωρικῶς ἀντὶ τοῦ ὅτι φησίν.

48. Εὐθὺν ἐπὶ τοῦτον ἄγε Μοῖσα] ἐπὶ τοῦτον οὖν τὸν σκοπὸν, ὦ Μοῦσα, τὰς σὰς ἄγε λόγους τοὺς εὐκλειῆς, ἐξ ἐπαίνει τὸν νικηφόρον. ἢ οὕτως· ἐπὶ τὸν σκοπὸν, ὃν προεῖπον, τὴν εὐρύτητα τῶν ποιημάτων ἄγε.

50. Παροιχομένων γὰρ ἀνέρων] τῶν γὰρ παλαιοτέρων ἀνδρῶν τὰ κάλλιστα κατορθώματα διὰ τῶν οἰκείων λόγων οἱ ποιηταὶ τῇ μνήμῃ παραδίδασι, καὶ οἱ λοιποὶ τῶν σοφῶν. ἀοιδοὶ μὲν γὰρ οἱ ποιηταὶ, λόγιοι δὲ οἱ πρότερον τὰ κατὰ τὰς πόλεις διηγούμενοι.

53. Βασσίδαισιν ἅτ' οὐ σκαίζει] ὁ Δίδυμός φησι· περισπᾶται γράφειν Βουδίδαι. γενέσθαι γάρ τινα Βουδιώνα ἐν Αἰγίνῃ, ἀφ' οὗ κατάγεσθαι γενιὰν τὴν Βουδιδῶν. μνημονεύειν δὲ φασι τοῦ Βουδίωνος Πυθαίνετον ἐν πρώτῳ Αἰγινητῶν, γράφων οὕτως· " περὶ " δὲ ταῦτα τούτων λεγομένων λέγεται Βου- " δίωνα τυγχάνειν διενηνεγμένον πρὸς Οἰνό- " νην τὴν ἑαυτοῦ θυγατέρα." ὁ δὲ νοῦς οὕτως· ἅτινα κάλλιστα ἔργα ἐν τοῖς Βασσίδαις οὐ σκαίζει, ἀλλὰ πλανάζει, [οὐδὲ] ἐν τῷ γένει τῷ ἐξ ἀρχῆς διαβοήτῳ. Βάσσος γὰρ πρόγονος τῶν ἀνωτέρω τοῦ Ἀλκιμίδου. ἔστι δὲ καὶ φυλὴ ἐν Αἰγίνῃ, Βασσίδαι. ἢ

οὕτως· ἡ τῶν Βασσιδῶν, φησί, γυνὴ οὐ σανίζει καλῶν ἔργων. διὸ οἱ ἀοιδοὶ καὶ οἱ λόγιοι νομίζουσιν αὐτῶν τὰ ἔργα τὰ καλά. ἰὼν προφερόμιδα, ἅτι οὐ σανίζει, τὸν λόγον οὕτω καταστήσομεν· ὧν οὐ σανίζει ἡ παλαίφατος γυνὴ τῶν προειρημένων ἔργων. ἢ οὕτω· Βασσίδαισι καθ' αὑτό· ἵνα ἀπ' ἄλλης ἀρχῆς· ἅτ' οὐ σανίζει. τὰ προειρημένα ἔργα, ἅτ' οὐ σανίζει τοῖς Βασσίδαις. ἢ, Βασσίδαισιν, ἅτ' οὐ σανίζει ἵν' ἀπ' ἄλλης ἀρχῆς, παλαίφατος, ᾧ συναπτέον τὸ ὑπιφερόμενον.

55. "Ιδια ναυτολίοντες] οἱ Βασσίδαι. φησὶν, ἴδια ναυτολοῦντες, τουτέστιν, ἴδια χορηγοῦντες καὶ νομίζοντες ἔργα τοῖς τῶν Πιερίδων ἀρέταις, τουτέστι τοῖς ποιηταῖς, ἀνομνιῶν Σίλοντες, οὐκ ἰκανοὶς χρήσονται ἐπαίνοις διὰ τὸ σανίζειν αὐτοὺς ἔργων, ἀλλὰ τοῖς αὐτῶν. πολλὰ γὰρ διδράκασιν. ἐπικόμια δὲ τὰ εἰς κῶμον ὑμνεῖσθαι ἐπιτήδεια τῇ νίκῃ. μιτὰ γὰρ τὸ νικῆσαι ἐκόμαζον μιτὰ τῶν ἡλικιωτῶν. ἢ οὕτω· οὐ διόμενοι δὲ ἐτέρων κοσμήσασθαι, ἀλλ' ἑαυτοῖς ἁρμούμενα πρὸς κόσμον, ἴδια παραπομίζοντες ἔργα τοῖς ποιηταῖς. ναυτολοῦντες δὲ, ἀντὶ τοῦ ἐπιφορτίζοντες οἱονεὶ σωμένοντες ἐκ τῶν ἰδίων κόσων τὰ ἐγκώμια. Ἀγχιάλων δὲ ἐργμάτων (57) ἀντὶ τοῦ, μεγάλων ἔργων. δυνάμενοι οὖν τοῖς ποιηταῖς παρέχειν πολλῶν ἐπαίνων χορηγίαν ὑπειν τῶν πραττομένων αὐτοῖς ἔργων ὀλίζιον.

59. Καὶ γὰρ ἐν ἀγαθῇσ χεῖρας ἰμάντι δεθυὶς] καὶ γὰρ ἐν θαυμασίᾳ τὰ ποιητὰ σκιὴν μιτὰ χεῖρας λαβὼν ὑπέκρινεν, ἀπὸ τῆς αὐτῆς συγγενείας ὢν καὶ πατρίδος ὁ Καλλίας· ἢ ὅτι πυκτεύσας ἐν Πυθοῖ ὑπέκρινεν ἀρίσας τῷ Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι, ἀπὸ τῆς αὐτῆς ὢν πατρίδος, ἅτοι τῆς Αἰγίνης, καὶ ἐκ τοῦ αὐτοῦ αἵματος, τουτέστιν, ἐκ τῆς αὐτῆς φατρίας τῶν Βασσιδῶν, Καλλίας (63), ὃς Κρίοντος ὑπῆρχε παῖς. χρυσηλάτου δὲ εἶπε τὴν Λητὼ, τὸ τῆς Ἀρτέμιδος μετωνυμικὸν ὑγκώμιον ἀντὶ τὴν μητέρα τὴν γεννήσασαν.

64. Παρὰ Κασταλίᾳ τι Χαρίτων] ἀπὸ τῆς πηγῆς τοὺς Δελφοὺς νιόμασιν. ἐκωμάσθη γὰρ νικήσας ὑπὸ τῶν ἡλικιωτῶν ἑστίριος. Χαρίτων γὰρ ὁμάδῳ· οἱ μὲν τῷ χορῷ ἀποδιδώκασιν, οἱ δὲ τῷ χαριστάτῳ Θορύβῳ τῆς ἐπὶ τῇ νίκῃ πανηγύρεως, φασὶν, ἐλαμπρύνθη κωμάζων· ἅτε μέχρις ἑσπέρας ἔλαμπεν. ὁ δὲ νοῦς· παρὰ δὲ τῇ Κασταλίᾳ πηγῇ, τουτέστιν, ἐν Δελφοῖς, τῷ ἀγῶνι νικήσας, τῇ τῶν χορευτῶν χάριτι ἐπὶ τῇ νίκῃ, μέχρις ἑσπέρας ἡ νίκη αὐτῷ καὶ ἡ δόξα ἔλαμπεν. Ἦθος γὰρ ἦν φαινοχλίδας ὕμνων τοῖς νικηφόροις ἀποστελλῆσθαι. τοῦτο δὲ ὡς κατὰ τὰ Πύθια νικήσαντος αὐτοῦ, ὡς καὶ ἐν Ἰσθμίοις νενικηκότος αὐτοῦ· πότνου γὰρ γίφυρα ὁ Ἰσθμός· τετσαράκοντα γὰρ γαδίων ἀμφιθάλασσος ἦν. καὶ ἐπὶ κατὰ τὸ ἴτυμον γίφυρα, ἡ τῆς γῆς φέρουσα ὁδός. ἀπὸ δὲ τοῦ προκειμένου οὕτω προσυπακουστέον τὸ, φλίγε πότνου γίφυρα.

69. Ταυροφόνῳ τριτηρίδι] τουτέστιν, ἐν ᾗ ταύρους φονεύουσι καὶ ἱερουργοῦσι τῷ Ποσειδῶνι, ὡς καὶ Ὅμηρος· (Odyss. γ'. 6.)

Ταύρους παρμέλανας Ἐνοσίχθονι πυκαποχαίτῃ.

τριτηρίδι δὲ, διὰ τὸ διὰ τριτηρίδος τὸν Ἰσθμικὸν ἀγῶνα τελεῖσθαι. Κριοντίδαι δὲ τὸν Καλλίαν φησὶν, ὡς τοῦ πατρὸς αὐτοῦ Κρίοντος καλουμένου.

71. Βοτάνα τι νὺ ποθ' ἁ λίοντος] βούλεται ἡ ἰσχνία, ἐκ τοῦ Ἀρχιμάχου αἵματος ἀναδιδόσθαι τὸ βοτανίδιον. οἱ δὲ, ἅ καὶ βέλτιον, βοτάνη λίοντος ἡ Νιμία, παρόσον καθ' αὐτὴν διῆγεν ὁ λέων βοσκόμενος. Ἄλλως. Βοτάνῃ λίοντος τὸ σίλινον λεπτόν. σίλινον γὰρ ὁ αὐτόθι σίφανος, ὅτι ὁ Ἡρακλῆς καταγωνισάμενος τὸν λέοντα, τοῦτο ἐσταφθῆναι εἶπεν τὸ σίφμα· ἀλλ' ἀλόγως. φέρεται γὰρ ἐπ' Ἀρχιμάχῳ ὅ τι ἀγὼν τιθοῖς, καὶ τὸ σίλινον τοῖς νικῶσι διδόμενον. ἢ ὁ Ἰσθμικὸς, ὅτι ἱερὸς τῷ Ποσειδῶνι. ὁ δὲ νοῦς· καὶ ἡ Νιμία δέ ποτε νικήσαντα τὸν Καλλίαν ἔστιψεν, ἥτις Νιμία ἐστὶν ὑπὸ τοῖς συμφύτοις καὶ ἀρχαίοις τοῦ Φλιοῦντος ὄρεσι. Σίλλι δὲ αὐτὸν καὶ Νιμισσίνην ἀποδοῖξαι. δασκίοις (sic) δὲ, ἢ τοῖς δασκίοις δένδροις, ἢ παρὰ τὸ ὑψηλὸν, τοῖς μεγίστοις σκιὰν ἀπεργάσασθαι δυναμένοις. κεῖται δὲ ἡ Νιμία περὶ τὰ Φλιάσια ὄρη, παράκεισται δὲ καὶ πόλις ὁμώνυμος, ἡ Φλιοῦς, ἡ πρότερον Ἀραιθυρέα καλουμένη, ἣν καὶ Ὅμηρος οὕτω φησιν (Iliad. β'. 571.)

75. Πλατεῖαι πάντοθιν λογίοισιν] πολλαὶ καὶ πλατεῖαι ἀφορμαί εἰσι τοῖς ἱλλογίμοις, φησὶ, (πάλιν τοὺς ποιητὰς ἀκουτέον) ὥστε ὑμνῶν τὴν τῶνδε ταύτην τὴν Αἴγιναν. ἐπειδὴ αὐτοῖς χορηγίαν παρέχουσιν ἐπαίνων οἱ Αἰακίδαι, καὶ ἐξαίρετον ἀρετὴν ἐπιδείξαντο. ἀμφίβολον δὲ, πότερον τοῖς προειρημένοις λόγοις παρέχειν μᾶλλον πλατεῖαν οἱ Αἰακίδαι, ἢ οἱ Αἰακίδαι ἔπορον ἔξοχον οὖσαν τοῖς ἰδίοις πολίταις, δεξάζοντες αὐτούς.

83. Καὶ ἐς Αἰδίοσας Μίμνους οὐκ ἀπονοσάσαντος ἐπᾶλτο] ἴσι καὶ συπεσαλμένως καὶ βαρυτόνως ἀναγνῶναι, ἔπαλτο, τουτέστιν ἐπάλθη *, ἐβλήθη τὸ κλίος αὐτῶν εἰς Αἰδίοσας.

85. Βαρὺ δέ σφι νίπιος ἦμαρ' Ἀχιλλεὺς] βαρεῖαν δὲ καὶ ἐπαχθῆ μάχην διὰ φιλονικίαν αὐτοῖς ἐπέδειξεν ὁ Ἀχιλλεὺς τοῖς Αἰδίοψι, χαμαὶ κλίνας τὸν Μίμνονα

* B. ex ἐπάλθουν.

αὐτὸς ἐκ τῶν ἀρμάτων κατιλθὼν, τῆς φαιδρᾶς Ἡμέρας τὸν υἱὸν, ἡνίκα ἐφέπουσι τῇ ἅμμῃ τοῦ δόρατος τοῦ λίαν ἐργίλου. περίφρασις δὲ τὸ σχῆμα, ἵνα τὴν Ἀχιλλέως δίξῃ περὶ τὸ πολεμεῖν εὐθαρσίαν. Ἄλλως. Μίμνων υἱὸς μὲν ἦν Τιθωνοῦ καὶ Ἡμέρας, βασιλεὺς δὲ Αἰθιόπων. οὗτος ἐναντιούμενος τοῖς Ἕλλησιν ὑπὸ τῶν Τρώων ἀνῃρέθη ὑπὸ Ἀχιλλέως, καὶ διὰ τοῦτό φησι τὴν τῶν Αἰακιδῶν δόξαν καὶ μέχρις Αἰθιόπων διακτῆναι. οὐκ ἐκ παραδρομῆς δὲ ζάκοτον εἶπε τὸ δόρυ τοῦ Ἀχιλλέως, ὡσανεὶ μείλινον ἤ τι τοιοῦτον αὐτὸ ἔφη ὂν καινότητι, ἀλλ' ὅτι ἰδιώτερον παρὰ τὰ ἄλλα κατεσκεύαστο. δίκρουν γὰρ, οὗτε δύο ἀκμὰς ἔχων, καὶ μιᾷ βολῇ ὥστε δισσὰ τὰ τραύματα ἀπεργάζεσθαι. καὶ Αἰσχύλος ἐν Νηρηΐσι· (Fragm. p. 642. 1102. Pauw.),

Κάμακος εἶσι, κάμακος γλώσσημα διπλάσιον.

Καὶ Σοφοκλῆς ἐν Ἀχιλλέως ἐραστῇς (Fragm. p. 404. t. iii. Brunck.)

Ἡ δορὸς δικόρημον πλῆσον.
Δίστυχοι γὰρ ἰδοῦσαι νιν ἥρισαν
Ἀχιλληΐου δόρατος.

μετάγουσι δὲ τὴν ἱστορίαν ἀπὸ τῆς Αἰσχύλου μικρᾶς Ἰλιάδος, λέγοντος οὕτως·

—— ἀμφὶ δὲ πόρπης
Χρύσεος ἀστράπτει, καὶ ὑπ' αὐτῷ δίκρους δόρ*.

ἢ ζάκοτόν φησι κατὰ μετουσίαν τοῦ φέροντος καὶ αὐτὸ συμπνέον τῇ ὀργῇ, ἀπὸ τῶν πας' Ὁμήρῳ· (Iliad. λ'. 572. 3. σ'. 316.)

Πολλὰ δὲ καὶ μεσσηγὺ πάρος χρόα λευκὸν ἱκανεῖν
Ἐν γαίῃ ἴσαντο, λιλαιόμενα χροὸς ἅσαι.

91. Καὶ ταύταν μὲν παλαιότερα] καὶ ταύτην μὲν τὴν ὀδὸν τὴν τῶν ἱππέων, ἥτις ἐπὶ τελευτὴν κατημαξευμένη, οἱ παλαιότεροι ἡμῶν καὶ οἱ πρεσβύτεροι ἐξεῦρον, ἀντὶ τοῦ, καὶ οἱ πρότεροι ἡμῶν ἐπήνεσαν τοὺς Αἰακίδας. ἀπολουθήσω οὖν καὶ αὐτὸς ἔχων ταύτην τὴν μελίτην καὶ στεφθήν, τὸ ἐπαινεῖν τοὺς ἀγαθοὺς ἄνδρας ἀεί. μελίτην φησὶ τὴν ἐπιμέλειαν. Ὅμηρος· (immo Hesiod. Opp. 410.) " Μελίτη δέ σου ἔργον ὀφέλλει.

94. Τὸ δὲ πὰρ ποδὶ ναὸς ἱλισσόμενον] ποῦς μὲν νεὼς τὸ πηδάλιον. τὸ δὲ κῦμα τὸ παρὰ τῷ πηδαλίῳ ἱλισσόμενον δοκεῖ καὶ παράστασιν τὴν ἐκάστου θυμόν. οὐ τὸ παρειλημμένον ἐν παράστασι, ἀλλὰ τὸ ἔτι εἰλούμενον. λέγει δὲ τοῦτο ὁ Πίνδαρος, ὅτι παρίξ ἴσης εἰς τὸ ὑμνῆν τοὺς Αἰακίδας. ἔργον δὲ οὐκ ἐξίλασε τοῦτο, ἀλλ' εἰς τὸ ὑμνῆσαι τὸν Ἀλκιμίδην. διό, φησιν, αὐτὸν ὑμνήσω. ὁ δὲ νοῦς· παρασιμψάμενος οἷόν φησι, τὰ παλαιὰ τῶν νέων καὶ παρόντων ἔξομαι. καὶ γὰρ ἐπὶ τῶν πλοίων ἀεὶ τὸ παρὰ τῷ πηδαλίῳ κῦμα παρὸν καὶ ὁρώμενον τοῦ κυβερνῶντος ἀνδρὸς παράστασι τὴν ψυχήν.

97. Ἐκόντι δ' ἐγὼ νότῳ μεθίσταν δίδυμον ἄχθος] μεταφορᾷ πέχρηται τῇ τῶν ὑποζυγίων. σημαίνει γὰρ, ὅτι ἑκουσίως ἐγὼ τοῦτο τὸ μέρος ὑπήμπνα δίδυμον ὑπάρχον τοῦτο δέ φησιν, ἢ ὅτι σὺν τῷ τὸν Ἀλκιμίδην ὑμνῆσαι συμπαραλαμβάνειν μᾶλλει καὶ ἵππαινον τοῦ ἁλίστου Μιλησίου, ἢ τὸ τοῦ Ἀλκιμίδου καὶ τὸ τῶν Αἰγινητῶν. καὶ γὰρ ἑκάτερος, καὶ ἔστι τρίστοι, τοὺς Αἰακίδας ὕμνησι καὶ αὐτὸν τὸν Ἀλκιμίδην. ὁ δὲ νοῦς· ἑκὼν γὰρ ἰδιξάμην ἐπὶ τοῖς ἐμαυτοῦ νότοις τοῦτο τὸ φορτίον τὸ δικλοῦν, ἄγγελος καὶ πῆρυξ βουληθεὶς γενέσθαι τῆς ἀρετῆς τῶν ἀνδρῶν, Ἀλκιμίδου καὶ Μιλησίου. περὶ γὰρ αὐτῶν ἐξῆς φησι, ὡς εἰκοσιπέντε φιφάνες εἰλαφρότων τῶν ἀπὸ ταύτης τῆς φατρίας, ἢ καθόλου τῶν Αἰγινητῶν. Ἄλλως. φησὶν αὐτὸ τὸ προφθάσαν γένος εἰκοσιπέντε ἰσχνεῖναι νίκας, τὸν δὲ Ἀλκιμίδην εἰκοσὴν πέμπτην ταύτην νενικηκέναι. τοῦτο οὖν τὸ εἰκοσὸν πέμπτον συμνολόγημα ἐξαγγέλλων, ὅτιμε ἀπὸ τῶν ἀγώνων ἰδίξατο, ἀγώνων δὲ τούτων, οὓς ἱεροὺς καλοῦσιν (102), ἦσαν τοὺς περιοδικοὺς εἰκοσιπέντε φησὶν, ὅτιμε εἶχος καὶ συμνολόγημα τὸ εἰκοσὸν πέμπτον ὁ Ἀλκιμίδης προσίθηκε, καὶ ἐνήρκεσι παρασχεῖν, νικήσας τὸν ἀγῶνα, τῇ ἐνδεκοτάτῃ αὐτοῦ γίνῃ.

104. Δύο μὲν Κρονίου πὰρ τιμένι] ἐν Ὀλυμπίᾳ, φησὶν, ἐνόφισιν αὐτοὺς καὶ ἐχώρισιν ἡ προεξάνθησις τῶν τριχῶν. ἀκμιρέθη γὰρ, ὡς οὐ παιδικὴν ἔχοντος ἡλικίαν διὰ τὸ προηνθηκέναι τὰς τρίχας. πρὸ ὥρας γοῦν τὸ ἄνθος αὐτῆς τῆς ἥβης, φησὶ, συνεκληρώθη· οὗτος γὰρ κλῆρος ἄνθους. ὁ δὲ Πολυτιμίδας (sic) εἰκότως τοῦ Ἀλκιμίδου. κληρωθέντες οὗτοι παῖδων ἀγωνίσασθαι, μεταξὺ γενιάσαντες ἐξεκρούσθησαν τοῦ ἀγῶνος. ὁ δὲ νοῦς· δύο δὲ ἄνθη καὶ νίκας τῆς Ὀλυμπίας, τῆς οὔσης παρὰ τῷ Κρονίῳ τιμένει, ὁ προστὰς κλῆρος ὑμᾶς ἀπεστέρησεν, ὦ Ἀλκιμίδη.

108. Διλφῖνί νιν τάχος δ' ἅλμας ἴσον ἵκαμι Μελησίαν] Μελησίας εἷς τῶν εὐδόξων ἀλειπτῶν· ἐπαινεῖ δὲ αὐτοῦ τὸ τάχος, ὅτι ταχὺν αὔξει τοὺς ὑπ' αὐτοῦ ἀλειφομένους, καὶ κατάγει εἰς τοὺς ἀγῶνας. καὶ τοσοῦτόν, φησι, διαφέρει τῶν ἄλλων ἀλειπτῶν τῷ ταχίως τοὺς ἀλειφομένους κατάγειν, ὑγιείας καὶ ἰσχύος ἡνίοχον ὄντα, ὅσον ὁ διλφὶς τῶν ἄλλων ἁλίων τῷ τάχει διαφέρει· ἀντὶ τοῦ, ἴσον ἐὰν ἵκαμι καὶ τὸν Μιλησίαν τῷ ταχεῖ διλφῖνι, [τῇ τι ἰσχύϊ καὶ τῇ τίχῃ.]

* leg. αἰχμή. ad Virg. Æn. ii. Exc. i.

Carmen VII.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑβδόμου τῶν Νεμέων εἴδους.

Της ἑβδόμης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κῶλων ιϛ'. Τὸ α' ἀντισπαστικὸν τρίμετρον ὑπερκατάληκτον. Τὸ β' ἰωνομιλλογικὸν λεῖπον τῷ ἰσχάτῳ ἰάμβῳ. Τὸ γ' ἰωνικὸν, ὅπερ ἀντισπᾶσι τῷ ἰάμβῳ Τὸ δ' περίοδος διττὴ, καὶ ἡ μὲν πρώτη ἀνάδοσίς ἐστι, μέσος δὶ ἰαμβος, ἡ δὲ διττὴ, δικλοῦς στροχαῖος [λείπει.] Τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ὁ τρίτος πους δάκτυλος συναλιφόμενος. Τὸ ϛ' χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ζ' Ἀναπαιστικὸν ἐκ διττῆς ἑπτημιμεροῦς καὶ ἰαμβικῆς συλλαβῆς καταληκτικόν. Τὸ η' Ἰωνικὸν δίμετρον καταληκτικόν. ἡ γὰρ πρὸ συλλαβὴ βραχεῖα. Τὸ θ' τροχαϊκὸν Εὐριπίδιον διαλυθὲν. Τὸ ι' ἰωνικὸν, ὅμοιον τῷ γ'. Τὸ ια' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ' ἰαμβικὸν ἑφθημιμερές.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ἐστὶ. Τὸ α' χοριαμβικὸν (δίμετρον) καὶ ἴαμβος καὶ συλλαβή. Τὸ β' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. ἡ πρώτη συζυγία διτροχαῖος, εἶτα Ἰωνική. Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' Φερεκράτειον ἢ ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ε' Γλυκώνιον, ἢ μία ἀνάδοσις ἀντὶ τῆς ἰαμβικῆς συζυγίας τὴν χοριαμβικὴν ὡς συγγενῆ. Τὸ ϛ' τροχαϊκὸν δίμετρον καταληκτικόν. Τὸ ζ' τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον, ἢ Ἀρχιλόχειον παρὰ μίαν συλλαβήν.

Σωγένει Αἰγινήτῃ.] Πρῶτος ὁ Σωγένης Αἰγινητῶν ἐνίκησε παῖς ὢν πενταέθλῳ κατὰ τὴν τεσσαρεσκαιδεκάτην Νεμεάδα. ἐτίθη δὲ ὁ πένταθλος πρῶτος κατὰ τὴν τρισκαιδεκάτην Νεμεάδα.

1. Εἰλείθυια πάρεδρος Μοιρῶν] ζητεῖται διὰ τί ἀπὸ τῆς Εἰλειθυίας ἐισβίβληκε, καὶ τί δήποτε τῇ Εἰλειθυίᾳ προσδιαλέγεται. ἔνιοι μὲν οὖν φασι, νέον ὄντα τὸν Σωγένη, ἐτέρου νικήσαντος, αὐτὸν κατὰ χάριν ἀναγράφεσθαι τοῦ πατρὸς Θεαρίωνος, εἰς τοῦτο φιλοτιμηθέντος, τὸν δὲ ἀγωνισάμενον Νεοπτόλεμον τοὔνομα Ἀχαιὸν· παρὸ καὶ εἰς τοὺς ὑπὲρ Νεοπτολέμου τοῦ Ἀχιλλέως τὸν πανταὐτὸν παρεμβῆναι λόγους. αὐτοσχέδιον δέ φησι τοῦτο εἶναι ὁ Δίδυμος. οὐδεὶς γὰρ ἀφ' ἑτέρου ὀνόματος κηρύττεται, μόνον δὲ ἐν τοῖς ἱππικοῖς ἀγῶσι νενόμισται τὸ ἔθος, ὅτι τοὺς βασιλέας καὶ τυράννους ἀναγράφεσθαι. πλούτου γὰρ καὶ χορηγίας τὴν ἱπποτροφίαν ἐπίδειξιν εἶναι καὶ οὐ ῥάιστον. ἔνιοι δέ φασι, πρὸς τοὔνομα τοῦ Σωγένους παρειλῆφθαι τὴν Εἰλειθυιαν· εἶναι γὰρ αὐτήν σωγένη τινα, διὰ τὸ τὰ γενόμενα ἀπασάζειν. τὸν οὖν Πίνδαρον ψυχρευσάμενον πρὸς τοὔνομα τῆς Εἰλειθυίας μεμνῆσθαι. καὶ τοῦτο δὲ οὐκ εὖ· σύνεστι γὰρ καταφέρεται εἰς τοῦτο ὁ Πίνδαρος, ὅταν ὑπὸ της ὁρμονυμίας. οἷον· (Fragm. p. 5. sq.) ἀλλ' ἴσον ὁμόνυμοι Δαρδανίδαν καὶ Θρασύμηδες Ἀμύντα. καὶ· (Fragm. p. 8. sq.) σύνις δ' ὅτι λίγω, ζαθέων ἱερῶν ὁμώνυμε πάντερ κτίστορ Αἴτνας. νῦν δὲ οὐδὲν τοιοῦτόν ἐστιν. ἔνιοι δὲ πατέρα τοῦ Σωγένους Θεαρίωνα τῇ Εἰλειθυίᾳ ᾔφασαν ἱερᾶσθαι· ἀμάρτυρον δὲ καὶ τοῦτο. οἱ δέ· ὅτι ἐν γιγόνων ἦν τῷ Σωγένει ἱερὸν Εἰλειθυίας. οὐδὲ τοῦτο δὲ ἱκανῶται. ἄλλοι δὲ ᾔφασαν, ὅτι τοὺς ἐκ φύσεως ἀγαθοὺς ἑκάστοτε πάντοτε ὁ Πίνδαρος μᾶλλον τῶν ἐκ διδασκαλίας. καὶ ἡ Εἰλείθυια οὖν τὸν Σωγένην εὐθέως ἐκ τὴν γένεσιν ἐστηθύνειν κατεσπούδασε πρὸς ἔθλησιν. οἱ μὲν γὰρ ἄλλοι τῶν θεῶν αὐξανομένους ἀγαθὰ δωρῶνται, ἡ δὲ Εἰλείθυια καὶ αὐτὴν τὴν φύσιν καταβολήν. ἴσχι δὲ καὶ πρὸς τοῦτο λέγειν· τί δήποτε τὴν Εἰλείθυιαν ἴδιος ἐκ τοῦ Σωγένους παρέλαβεν, ἀλλ' οὐχὶ καὶ ἐκ ἄλλων εὐφυΐᾳ διενεγκόντων. Ἀριστόδαμος δὲ ὁ Ἀριστάρχου μαθητὴς βέλτιον οὕτω φησίν· ὑφί ποτι τῷ Θεαρίωνι καὶ παρὰ τὴν ἡλικίαν πρεσβύτερον, εὐξαμένῳ τῇ Θεᾷ, Σωγένη τεκνωθῆναι, καὶ τὴν τοῦ παιδὸς αὐτοῦ γένεσιν οἷον Εἰλειθυίας εἶναι χάριν. διὰ τὴν ἰδιότητα γοῦν τῆς γενέσεως τοῦ παῖ-

λητοῦ πρὸς τὴν Διὸν ταύτην ἐπήρισεν τὸν λόγον. ἐπεισεῦτο δὲ τοῦτο ἐξ ἐπιγράμματος Σιμωνίδου. ἐνικῶς δὲ εἶπεν Εἰλείθυια, ὡς καὶ Ἡσίοδος (Theog. 921.)

Ἥ δ' Ἥβην καὶ Ἄρηα καὶ Εἰλείθυιαν ἔτικτεν.

ὁ δὲ Ὅμηρος ἐκατέρως. ὅτι δὲ τῆς Ἥρης ἀδελφὴ ἡ Εἰλείθυια, πρόσκειται τὰ Ἡσιόδου. ὁ δὲ τοῦς· ὦ Εἰλείθυια, σοὶ μὲν τῆς μιγαλοφθονοῦς καὶ ἰσχυρᾶς Ἥρας, περίδρε δὲ τῶν συνετῶν Μοιρῶν. τοῦτο δέ φησιν, ἐπεὶ δοκοῦσι παρὰ τὸν τῶν ὠδίνων καιρὸν παρεῖσάναι καὶ ἐπιλαθέσθαι τὰ τῆς εἱμαρμένης.

3. Ἄνευ σέθεν οὐ φάος] ἄνευ γὰρ σοῦ, ὦ Εἰλείθυια, οὔτε τὸν ἡμίεργον θεμερήσαντες ἠδυνήθημεν τῆς σῆς ἀδελφῆς Ἥβης τυχεῖν. εἰκότως· οὐ γὰρ οἷόν τε μὴ γεννηθέντα καὶ ταῦτα ἰδεῖν καὶ αὐξηθῆναι. ἢ οὕτως· ἢ γὰρ ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ γεννώμεθα, οὐκ ἄνευ σοῦ τὴν σὴν ἀδελφὴν ἱλαζόμεθα τὴν Ἥβην· οἷον, εἰ μὴ ἐγεννήθημεν, οὐδ' ἂν ἠμάσαμεν. ἀγλαόγυιον δὲ αὐτήν φησιν, ἐπεὶ ὃν ἡδῶμεν χρόνον, εὐσχισίτερον αὐτοὶ ἑαυτῶν γινόμεθα. κἂν γὰρ πίεχρεοὶ ὦσί τινες τὰς φύσεις, εὐσχισίτεροι ἑαυτῶν γίνονται κατὰ τὸν τῆς ἀκμῆς χρόνον.

7. Ἀναπνίομεν δ' οὐχ ἅπαντες ἐπὶ ἴσα] ζῶμεν δὲ οὐχ ὁμοίως πάντες, φησίν, ἀλλ' οἱ μὲν πλουτοῦσιν, οἱ δὲ οὔ. καὶ οἱ μὲν [ἐρῶντες, ἢ] ἐρῶνται· οἱ δὲ οὔ. εἶτα ἵζωσιν προσληπτέον τὸ, πράγματα. διακωλύει γὰρ ἕτερος ἕτερα, καὶ διαζεύγνυσιν ἡμᾶς ἀπ' ἀλλήλων, ἢ ἀπ' ἄλλων πραγμάτων, τὰ συγκεκληρωμένα ἡμῖν πράγματα.

9. Σὺν δὲ τὸν καὶ παῖς ὁ Θιαρίωνος] σὺν σοὶ δὲ, ὦ Εἰλείθυια, ἀντὶ τοῦ, διὰ σε γέγονε [ἡ] ὁ τοῦ Θιαρίωνος παῖς Σωγένης ἐκκριτος γινόμενος, ἔνδοξος καὶ ἀγωνιστικὸς ὑμνεῖται, καὶ πένταθλος ἀγωνίζεται. εἰκότως δὲ οὕτως ἰσὸν ἔνδοξος, ἐπειδὴ καὶ τὸν ἰδύμονον Αἰγιναν τὸν τῶν γενικῶν Αἰακιδῶν οἰκεῖ. Φιλάμολπον (18) δὲ ταύτην καλεῖ, διὰ τοὺς γράφοντας τοῖς νικῶσιν ἐπινικίους. Σύμπεμπον (15) δὲ, τὸ συμπεπερασμένον. σβέδρα δὲ ἀεὶ θάλουσι, φησι, τὴν ἑαυτῶν ψυχὴν συμπεπερασμένην ἔχειν τῇ νίκῃ τῇ πενταθλικῇ.

16. Εἰ δὲ τύχῃ τις ἔρδων] εἰ δὲ ἐπιτύχῃ τὶς πράσσων, τὴν ἡδεῖαν αἰτίαν, τοῦ (f. τὸ) αὐτὰ ἐπιτετυχέναι, ταῖς πηγαῖς τῶν Μουσῶν ἐπίσκαλε, φυτίζει, τοῖς ὕμνοις τοῖς εἰς αὐτὸν γραφομένοις. ἢ οὕτως· οἷον, μὴ ἀπείρατοι τῶν ἀγώνων ὦσι, φυτίζει, πειρᾶσθαι θάλουσι τῶν ἀγώνων, ἐνεργῶν θάλουσι διὰ τῆς πείρας. ζύεται δὲ καὶ ἰδίως ἀκούεσθαι, ὡς φιλοπονεῖσθαι ὅταν τῶν Αἰγινητῶν, ἐπειδὴ Πηλεὺς δεκῶ εὑρηκέναι τὸν πένταθλον Αἰγινήτης ὑπάρχων καὶ Αἰακίδης. ὁ δὲ νοῦς· ἐὰν δέ τις σὺν εὐτυχίᾳ εἴη τι πρᾶττων, ἡδεῖαν προφασιν τοῖς τῶν Μουσῶν ῥύμασιν ἴδωκεν.

18. Ταὶ μεγάλαι γὰρ ἀλκαὶ] αἱ γὰρ μεγάλαι δυνάμεις καὶ τὰ μείζονα παθήματα, ὕμνων χρῄζοντα, σκότον καὶ ἀφάνειαν ἔχουσιν. ἢ οὕτως· αἱ μεγάλαι ἀλκαὶ ὕμνων δεόμεναι, σκότον πολὺν ἔχουσι, τουτέστιν, ἀφανεῖς γίνονται, ἐὰν μὴ ὑμνηθῶσιν.

20. Ἔργοις δὲ καλοῖς ἔσσετραν] τοὺς ἀγαθόν τι πράξαντάς, φησι, φιλοτιμᾶσθαι (?) δεῖ τὰ ἴδια ἔργα διὰ τῶν ποιημάτων, καὶ παραδιδόναι ἵστιτα λαμπρότητα (?) Ἄλλως. ἔσσετραν φησι τῶν καλῶν ἔργων τὸν ὕμνον εἶναι, ὅτι, ὥσπερ ἡμεῖς διὰ τοῦ κατόπτρου γινώσκομεν, οὕτω τὰ καλὰ ἔργα διὰ τῶν ὕμνων θεωρεῖται, ὡς δι' ἐσόπτρου· κἂν τελευτήσωσιν οἱ πράξαντες, ἐμβλέψαντες εἰς κάτοπτρον ἀριστῆς τοὺς ὑμνοὺς ἀντιλαμβανόμεθα τῶν καλῶν ἔργων. ὁ δὲ νοῦς· τοῖς δὲ καλοῖς ἔργοις λαμπρότητα ἴσμεν ἐνὶ τρόπῳ γινομένην, διὰ δὴ τῶν ὕμνων.

26. Σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον] οἱ μὲν οὕτως· ὥσπερ τῶν κυβερνητῶν οἱ σοφοὶ ἐπιτηδείου πνέοντος ἀνέμου οὐχ ὑπεισοῦνται πρὸς τὸ παρὸν ἀγαθὸν, ἀλλὰ μετὰ τρεῖς ἡμέρας ἰσέμενον ἄνεμον προγινώσκουσι καὶ προορῶσι τὸ μέλλον· οὕτω καὶ τοὺς ἀνθρώπους τοὺς συνετοὺς προσηκόν ἐστι μὴ τῷ παρόντι πλούτῳ βουκολεῖσθαι τὰς ἐλπίδας. ἀλλὰ φροντίζειν τοῦ μετὰ ταῦτα καὶ ἄξιόν τι δρᾶν, ὅπως καὶ μετὰ ταῦτα ὑμνηθέντες ἀθάνατον ἔχωσι τὴν εὐδοξίαν. καὶ γὰρ οἱ πλούσιοι καὶ οἱ πίνητες ὁμοίως τελευτῶσιν. διὸ δεῖ τῆς μετὰ ταῦτα μελλούσης εὐδοξίας φροντίζειν. οἱ δὲ οὕτως· ὥσπερ γὰρ τῶν διαπλεόντων οἱ σοφοὶ καὶ τῶν μετὰ ταῦτα ἀνέμων φροντίζουσι, καὶ οὐχὶ διὰ τὸ παρὸν κέρδος (κέρδος δὲ τὸ τῷ πλεῖ εὐδίαν) ἐξημιώθησαν τὸν μετὰ ταῦτα πλοῦν, οὐδὲ ἀπώλοντο ἀμελήσαντες, ἀλλὰ καὶ μετὰ ταῦτα προορώμενοι καὶ ἀσφαλούμενοι ἐσώθησαν· οὕτω δέον μὴ φιλοκερδεῖς εἶναι, ἀλλὰ προΐεσθαι τοῖς ποιηταῖς μισθὸν, ὅπως ἂν σχῶσι τῆς ἀριστῆς ἀδιάλειστον τὴν μνήμην. ὅτι δὲ φιλοκερδὴς πανταχοῦ ὁ Πίνδαρος, ἐκ τῶν ῥηθησομένων δῆλός ἐστιν. οἰκειοτέρα δὲ αὕτη ἡ ἐκδοχὴ, ὡς ἐξ ὧν ἐπάγει. φησὶ γὰρ, ὅτι ὁμοίως καὶ ὁ πλούσιος καὶ ὁ πίνης τελευτᾷ· διὸ δεῖ τὸν πλούσιον τῆς μετὰ ταῦτα εὐδοξίας φροντίζειν. οὐ γάρ ἐστιν ἀργυρίῳ τὸν θάνατον παραιτήσασθαι. ὁ δὲ νοῦς· οἱ σοφοὶ δὲ τῶν κυβερνητῶν προορῶντες, τίς ἐπὶ τρεῖς ἡμέρας πνεύσεται ἄνεμος, ἢ τίς εἰς τρίτην ἡμέραν πνεύσεται.

29. Ἐγὼ δὲ πλέον ἕλκομαι] ἐγὼ δέ, φησιν, ἐλπίζω αὐτὸν μὴ τοσαῦτα πεπραχέναι, μηδὲ τοιαῦτα, τὸν Ὀδυσσέα, οἷα Ὅμηρος πεποίηκεν περὶ αὐτοῦ. ἀγαθοῦ γὰρ τυχὸν ποιητοῦ ἐνδοξότερα καὶ μείζονα ἔσχεν ἔργα

ἢ κατώρθωσι. δυνατοὶ γάρ εἰσιν οἱ ποιηταὶ τὰ συχόντα ἴργα μιγαλύνειν καὶ αὔξειν. διὸ καὶ σὺ φρόντιζι τοῦ ὑμνεῖσθαι, ὁ δὲ νοῦς· ἰγὼ δὶ μᾶλλον ἰλπίζω διὰ τὴν Ὁμήρου ποίησιν ζῆν ἰστιλίον καὶ θρυλλεῖσθαι τὴν Ὀδυσσίως ἰὐδοξίαν. τοῖς γὰρ περὶ Ὀδυσσέως πικηρυγμένοις σιμνότης τὶς ἰστήνθει. ποτανὴν δὶ μηχανὴν τὰ ποιήματα εἶπε, καθὸ ὑψοῖ καὶ μιτιωρίζει τὰς ἀρετὰς τῶν ὑμνουμένων, ἢ καθὸ τὰ ἴπη κοινῶς λέγεται παρ' Ὁμήρῳ πτερόεντα, ἢ διὰ τὸ οὕτω μεμηχανῆσθαι, ὡσὶ κατὰ πᾶσαν χώραν πίτισθαι καὶ ὑπεκπεῖσθαι.

33. Σοφία δὶ κλέπτει παράγουσα μύθοις] ἡ τοῦ Ὁμήρου σοφία κλέπτει τὸν νοῦν ἡμῶν, ὥστι τὰ ψευδῆ δοκεῖν ἀληθῆ εἶναι διὰ χάριν καὶ σιμνότητα. ἡ ἀπόστασις πρὸς τὸ ἐξῆς ἰσορεύμινα περὶ τοῦ Αἴαντος. καθόλου ἡ σοφία ἔχει (τὸ) κλέψαι τὸν νοῦν τῶν ἀνθρώπων. ἢ οὕτως· ἡ δὶ σοφία καὶ ὁ λόγος ἱκανός ἐστι τινὰ παραστίσων ὑποκλέψαι τὴν ἀλήθιαν. συφλὸν γὰρ καὶ ἀνύπτιον ἦτορ ἔχει ὁ πολὺς τῶν ἀνδρῶν ὄχλος. βούλεται δὲ τὸν δημώδη λέγειν.

35. Εἰ γὰρ ἦν ἰὰν ἀλέθειαν ἰδεῖμεν] ἴνιοι μὶν ἀνέγνωσαν, ἰὰν, δασέως, ἀντὶ τοῦ, τὴν ἰαυτοῦ· βέλτιον δὶ ψιλῶς, (?) ὡς καὶ Διονύσιος ὁ τοῦ Χαιρεδίου. Ἄλλως. εἰ γὰρ ἦν τὴν οὖσαν καὶ δίουσαν ἀλήθειαν πάντας γινώσκειν, οὐκ ἂν οὐδὲ ὁ Αἴας τῶν ἀριστίων ἐστερήθη, εἰ μὴ διὰ τὴν τῶν κρινάντων ἔχλων ἀμαθίαν· καὶ διὰ τὴν ὀργὴν ἐνίκησζι κατὰ τῶν φρενῶν ἰαυτοῦ τὸ ξίφος.

39. Λιυρὸν ξίφος] λιυρὸν οἱ μὶν, τὸ πλατύ· βέλτιον δὶ, τὸ πλάγιον ἀκούειν, ἵνα νοήσωμιν αὐχὶ τὸ καθ' ἰαυτὸ πλαγίως ἔχον, ἀλλὰ τὸ κατὰ τὴν πληγὴν πλαγίως ἐνεχθέν. οὕτω γὰρ καὶ ὁ Εὐφορίων τὴν πληγὴν ὑπεσήματο·

Πλευρά τι καὶ θώρηκα διήρικιν ἰνίου ἄχρις.

τοῦ δὶ, ὃν κράτιστον καὶ ἐξῆς, ὁ νοῦς ὕτως· ὄνπινα ἤγαγον αἱ τοῦ Ζιφύρου πνοαὶ, τῷ ξανθῷ Μινιλάῳ τὴν δάμαρτα κομίσαι εἰς Ἴλιον. Ὅμηρος· (Iliad. β'. 768. 9.)

Ἀνδρῶν δ' αὖ μίγ' ἄριστος ἦν Τιλαμώνιος Αἴας,
Ὄφρ' Ἀχιλλεὺς μήνιεν.

44. Ἀλλὰ κοινὸν γὰρ ἔρχιται] πάντις γὰρ ἀσθινήσομιν καὶ οἱ ἄξιοι καὶ οἱ μή. καὶ τὸ κῦμα, φησι, τοῦ ᾄδου ἰνίστιοι τῷ ἀδοκήτῳ, τῷ μὴ δοκοῦντι νῦν τιλιυτήσιιν, ἀλλὰ μιτὰ ταῦτα ἐξαίφνης ἐμπίπτει ὁ Θάνατος. ἢ ἀδόκητον κύκλησι, τὸν ἄδοξον, δοκίοντα τὸν ἔνδοξον. δοκεῖν γὰρ καὶ δοξάζειν, ταυτόν. ἐπεὶ οὖν ὁ Θάνατος καὶ τὸν ἔνδοξον καὶ τὸν ἄδοξον συναναιρεῖ, σὺ ὁ μιγάλα κατιργασάμινος τῷ αἰῶνι παρακατάθιτο τὴν μνήμην διὰ τῶν ποιημάτων.—Ἄλλως. ἀδόκητον τὸν νεώτιρόν φησιν· οὐ γὰρ προσδοκᾷ ταχέως τὸ ἀποθανεῖν δαίμονα δὶ τὸν πρισβύτην· προσδοκᾷ γὰρ τὸ ἀποθανεῖν. ἐμπίπτει, φησὶν, ὁ Θάνατος ὁμοίως καὶ πρεσβυτέροις καὶ νεωτέροις. τὸ δὲ σύμπαν τῆς διανοίας τοιοῦτόν ἐστι· τὸ μὶν ἀποθανεῖν καὶ τοῖς νεωτέροις καὶ τοῖς πρισβυτέροις ἐμπίπτει. ἐκείνων δὲ ἡ τιμὴ καὶ ἡ δόξα αὔξεται, ὧν ἂν ἡ Μοῦσα αἴξήσῃ τὸν ἐγκωμιαστικὸν λόγον. βούλεται δὲ εἰπεῖν· ὅτι ἀθάνατος ἡ μνήμη τῶν ἐγκωμιαζομένων.

46. Τιμὰ δὶ γίνεται, ὧν Ζεὺς ἀξρὸν αὔξει λόγον] ἀξρὸν λόγον τὰ ἐγκώμιά φησι, Διὸς δὶ τὴν Μοῦσαν. ὁ δὲ νοῦς· τούτων δὲ τιμὴ γίνεται τιθνηκότων, ὧν ἂν Ζεὺς αὔξει λόγον, τουτέστιν, ὁ ποιητὴς ἐμπνευσθεὶς ὑπὸ τῶν Διῶν. τινὲς δὲ τὸ, τιθνακότων, πρὸς τὸ ἐξῆς.

47. Τιθνακότων βοαθόων] πρὸς τὸ ἐν ἀκουσίῳ ἔχει τοῦ (52), ἐστὶ πρόθι, καὶ γραστίον ἐν τῷ ν (50), ἵμολιν, ὡς Δίδυμος, καὶ ὑφ' ἓν ἀπὸ τοῦ, τιθνακότων, ἕως τοῦ, πρόθιν, ἀναγινώσκει. τὸ δὲ ὅλον τοιοῦτον· ἵμολι παρὰ μίγαν ἐμφαλὸν εὐρυπόλεσσυ χθονὸς Νιοπτόλιμος, Πριάμου πόλιν ἐπεὶ πρόθιν. τιθνηκότων δὲ τῶν βοηθῶν ἐν Πυθίοις δαπίδοις πίπτει. ποίων δὲ βοηθῶν; τῶν περὶ τὸν Εὐρύπυλον, οὓς αὐτὸς ὁ Νιοπτόλιμος ἀπλῶν ἐπόρθησι τὴν Ἴλιον. οὕτω γὰρ ἴδιος ὁ πόνος ἔσαι τοῦ ἥρωος. δοκεῖ δὲ ὁ Νιοπτόλιμος ἐν Δίλφοῖς ἀνηρῆσθαι καὶ τιθεῖσθαι ἐν τῷ ναῷ. ἰὰν δὲ ἐπὶ τῶν περὶ τὸν Ἕκτορα, καθὼς Ἀρίσταρχός φησιν, ἀναδράμομεν, πρῶτον μὶν μακρόθιν ἔσαι τὴν πόρθησιν συνάπτων· δεύτιρον δὲ ἐπὶ τὴν κοινότητα μεταβήσομεν, δι' ἧς τὸ ἐγκώμιον οὐκ ἔσαι. εἰ δὲ γράφοιτο, ἵμολεν, τῷ πληθυντικῷ ἀντὶ ἑνικοῦ χρῆται, ὥστι ὅμοιον εἶναι τῷ· (v. 53. s.) ὁ δ' ἀποσκλίων Σκύρου μὸν ἄμαρτιν· ἵποντο δ' εἰς Ἔφυραν, ἀντὶ τοῦ, ἵπιτο. εἰς δὲ τὸ προαλλόμινον τίνων παρίθηκι τὴν τοῦ Νιοπτολέμου ἀπώλιαν, ὅτι ἐδοκήτως αὐτῷ συνίβη.

53. Τᾷ καὶ Δαναοὶ πόνησαν] ὑπὸ δὲ, φησι, καὶ οἱ Ἕλληνις Ἰταλικωτέρησαν, ἢ ἵφ' ᾗ, ἢ ἐν ᾗ, ἢ ταύτῃ καὶ οἱ Δαναοὶ πόνησαν, ἃ καὶ ὁ Νιοπτόλιμος. παρόσον ἀπογοητεύτις εἰκαδι χιμῶνι ἐχρήσαντο καὶ ὁ Νιοπτόλιμος καὶ οἱ Ἕλληνις. Ἔφυραν δὲ εἶπι τὴν ἐν Ἠπίρῳ, ἣν Κίχυρόν φασι μετονομασθαι ἀπὸ Κιχύρου τοῦ Μιρμίρου. εἴσπραξε δὲ ἀναγράφει τὰς Ἐφύρας, πρώτην μὲν τὴν αὖτις Κόρινθον ὀνομασθίσαν· Ὅμηρος· (Iliad. ζ'. 152.) " ἔστι πόλις Ἐφύρη." ἱστέον δὲ τὴν περὶ Θισσαλίαν· Ὅμηρος· (Odyss. α'. 259.)

Ἐξ Ἐφύρης ἀνιόντι παρ' Ἴλιον Μιρμιρίδαο.

τρίτην δὲ περὶ Ἦλιν, ἧς Ἱστιὰς μνημονεύει·

στιτάρτην, τὴν ἐν Θισπρωτοῖς. συνήθως δὲ ὁ Πίνδαρος τῷ τῆς λίξεως σίχρηται σχήματι, συντάξας τῷ ἰνικῷ πλαθυτικόν· ὁ δὲ ἀποστλίων Σκίρου μὲν ἄμαρτεν, ἰνικὸν ἔλεγε δὲ, οὐκ ἐπήγαγεν ἰνικὸν, ἀλλὰ πλαθυτικὸν ἰνικῷ.

56. Μολοσσίᾳ δ' ἐν βασίλευεν ὀλίγον χρόνον] ἀνάγει τοὺς χρόνους. ὕστερον γὰρ ἀπὸ Μολοσσοῦ, τοῦ Νεοπτολέμου καὶ Ἀνδρομάχης, τοῦνομα ἔλαβεν ἡ Μολοσσία. παρεμβαίνει δὲ εἰς τὰ Νεοπτολέμου, ὡς μὲν Ἀρίσταρχος, ὅτι νικήσας καὶ χαρισάμενος τὴν ἀνάῤῥησιν τῷ Σαγίνει Νεοπτόλεμος ἦν Ἡπειρώτης τὸ γένος, ὅπερ οὐχ οὕτω φησὶν ἔχειν ὁ Δίδυμος· ὡς δὲ Ἀρίσταρχος, ὅτι ἀλείπτην ἐσίχρητο τῷ Νεοπτολέμῳ. διὸ εἰς ἔπαινον τοῦ ὀνόματος τῇ ἡρωϊκῇ σίχρηται παρεμβάσει. ὁ δὲ νοῦς· τὸ γένος τοῦ Νεοπτολέμου τὸ τῆς βασιλείας γέρας ἴσχυεν ἀεί. δοκοῦσι γὰρ οἱ ἀπὸ Νεοπτολέμου βεβασιλευκέναι ἐπὶ πλείον.

58. ᾤκητο δὲ πρὸς Ἰσθμὸν] διάφοροι αἰτίαι, δι' ἃς ἦλθεν εἰς Δίλφους ὁ Νεοπτόλεμος· ᾗ οἱ μὲν φασιν, ὅτι παῖδων αὐτῷ οὐ γινομένων ἐξ Ἑρμιόνης, ἦλθε παρὰ τοῦ Θεοῦ μαντευόμενος ὡς παιδοποιήσεται· οἱ δὲ, ὅτι ἐπιτιθέμενος τοῖς Πελοποννήσου πράγμασι, διαπράσαι πρῶτον ἐπίσκαλε τὸ ἐν Δελφοῖς ἱερὸν, ἅτοι χρησόμενος. ἄλλοι δὲ, ὅτι δίκας αἰτήσων τοῦ πατρὸς τὸν Θεόν· (Hom. Iliad. χ'. 359. 60.)

— ὅτι νίν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων
Ἐσθλὸν ἐόντ' ἐλίσσουσι ἐπὶ σκαιῇσι πύλῃσιν.

οὐκ ἴσασι δὲ συγκατανεύσεσθαι ὁ Πίνδαρος ταύταις ταῖς αἰτίαις, ἀλλ' ὅτι τιμήσων ἦλθε τὸν Θεόν.

62. Ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ] φασὶ, τοῦ Νεοπτολέμου Θύοντος, τοὺς Δελφοὺς ἁρπάζειν τὰ Θύματα, ὡς ἴδιος αὐτοῖς· τὸν δὲ Νεοπτόλεμον δυσανασχέτως ἔχοντα, διακωλύειν αὐτοὺς (δὲ) διαχρήσασθαι αὐτὸν ξίφη ἔχοντας. Ἄλλος. Ἀσκληπιάδης διὰ τῶν τραγῳδουμένων φησὶν οὕτως· περὶ μὲν οὖν τοῦ Θανάτου σχεδὸν ἅπαντες οἱ πραττοὶ συμφωνοῦσι, τιλευτῆσαι μὲν αὐτὸν ὑπὸ Μαχαιρίως, ταφῆναι δὲ τὸ μὲν πρῶτον ὑπὸ τὸν οἰδὸν τοῦ ναοῦ, μετὰ δὲ ταῦτα Μενέλαον ἰλθόντα ἀνελεῖν, ᾗ τὸν τάφον ποιῆσαι ἐν τῷ τεμένει. τὸν Μαχαιρέα φησὶν οὐδὲν εἶναι Δαῖτα *. τρεῖς δὲ αἰτίας ὅτι τοῦ Θανάτου τοῦ Νεοπτολέμου προφέρεται· πρῶτον μὲν, ὅτι τὸ πραχθὲν αὐτῷ ἀπέδωκε· δεύτερον, ὅτι πρέπον ἦν τῶν Αἰακιδῶν (τινὰ,) καὶ ὀφειλόμενον, σύνοικον εἶναι τῷ Ἀπόλλωνι· ἐτάφη γὰρ ὑπὸ τὸν οἰδὸν τοῦ ἱεροῦ· ἡ δὲ τρίτη, ὅτι ἐπισκοπεῖ τὰς τιλουμένας θυσίας ταῖς ὥραις. λέγεται γὰρ, ὅτι μετὰ τὸ Θῦσαι ἐναγισμοὺς ἐπίστινδον.

68. Ἡρωΐαις δὲ παμπαῖς] γίνεται ἐν Δελφοῖς ἥρωσι ξένια, ἐν οἷς δοκεῖ ὁ Θεὸς ἐπὶ ξένια καλεῖν τοὺς ἥρωας. εἶναι οὖν μόρσιμον, ἐν ταῖς πομπαῖς ταῖς ἡρωΐαις καὶ ταῖς πανηγύρεσιν, ἐν αἷς ἐπήρεσον τοὺς ἥρωας, θυσίαις ταῖς πολυθύτοις ἐπισκοπεῖν μετὰ Θέμιδος, καὶ τὰ νομίμως γινόμενα αὐτοῖς ξένια ἰφορῶντα. ὁ δὲ νοῦς· ταῖς δὲ ἡρωϊκαῖς πομπαῖς καὶ πανηγύρεσι ταῖς πολυθύτοις, οἷσπερ πρεσβεῖον τὸν Νεοπτόλεμον, ὅτε δίκαιον ἴφορεν.

70. Εὐώνυμον ἐς δίκαν] Ἀρίσταρχος οὕτως· ἐπὶ μίμψις τοῖς Αἰγινήταις πρὸς τὸν ποιητὴν ἦν, χάριν τοῦ Νεοπτολέμου, εἰς τὴν ἀπολογίαν τὴν περὶ Νεοπτόλεμον δικαίως διαρκέσου τρία ἔπεά, φησιν· ὅτι μόρσιμον ἦν αὐτῷ οὕτω τιλευτῆσαι, καὶ ὅτι ἐπισκοπῶν ἦν, ἵνα τῶν Αἰακιδῶν ἀποθανόντα τιθῆναι ἐν τῷ ναῷ, τρίτον, ὅτι ταῖς ἡρωΐαις πομπαῖς ἵνα τῶν Αἰακιδῶν θεμίσκοπον εἶναι. τρεῖς οὖν φησι λόγους ἱκανοὺς εἶναι εἰς τὴν εὐώνυμον δίκην, εἴον, ἱκανὰς εἶναι τρεῖς αἰτίας, ἃς ἐξαριθμῆσαι, τοῦ δικαίως αὐτῷ συμβεβηκέναι τὸν Θάνατον. ἔνιοι δὲ οὕτως ἀπολογοῦνται περὶ τῆς τοῦ Νεοπτολέμου τιλευτῆς, τρία φέροντες ταῦτα, ὅτι τὸ ὑπὲρ τῶν κρεῶν ἐπιτὶν ἀνηρῆσθαι, καὶ ὅτι οἱ Δελφοὶ ἐξαρεύσθησαν ἐπὶ τῇ ἀπωλείᾳ αὐτοῦ, καὶ ὅτι πεπρωμένον ἦν, αὐτὸν ἀναιρεθῆναι. ὁ δὲ Ἀριστόδημος ἔπεια τρία τὰς τριάδας ἀκούει. τὴν γὰρ ἀρχὴν ἔπος πρεσπηγόρευον τὴν φρεσὶν καὶ τὴν ἀντιτροφὴν, καὶ τὴν ἐπῳδὸν, τρεῖς δὲ λοιπὸν ὑπεῖναι τῷ ἐπικλήρῳ τριάδας.

73. Αἴγινα, τιῶν Διός σ' ἐκ προγόνων] ὦ Αἴγινα, τῶν τιῶν καὶ τοῦ Διὸς ἐκγόνων (τῶν Αἰακιδῶν δὲ λέγει) τὴν ταῖς λαμπραῖς ἀρεταῖς, αἷς εἴκεθεν ἔχεται, ἀδὸν κυρίαν, λόγον ἀνταξίαν κυρίως ἔχουσαν, εἰπεῖν ἀδύνατόν μοι καὶ σολμηρὸν συγχάνει. τοῦτο δέ φησιν, ὡς οὐ δυνησόμενος θρασίως τὴν τῶν Αἰακιδῶν ἀρετὴν διεξέναι. πολλοῖς γὰρ ἀνήνυτόν φησι τοῦτο.

76. Ἀλλὰ γὰρ ἀνάπαυσις ἐν πανὶ] βούλεται ἤδη λῆξαι τῆς περὶ Νεοπτόλεμον παρεκβάσεως· ἀναπαύσομαι ἤδη λέγων περὶ αὐτοῦ, ἐπεὶ κόρος ἔστιν πᾶσι. κόρον γὰρ ἔχει καὶ τὸ μέλι, φησὶ, καὶ τὰ Ἀφροδίσια. παρὰ τὸ Ὁμηρικὸν· (Iliad. ν'. 636.)

" Πάντων μὲν κόρος ἐσί."

79. Φυᾷ δ' ἕκαστος διαφέρεται] διαφέρεται, φησὶν, ἄλλοι ἄλλων τῇ φύσει· οὐ πρὸς πάντα πάντες εὐφυεῖς ἐσμὲν, ἀλλ' ἄλλοι περὶ ἄλλα· (Hom. Odyss. ξ'. 228.)

Ἄλλος γάρ σ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.

* ἴ. τοῦ Δαίτα.

τὸ δὲ τυχεῖν πάντων ἀγαθῶν ἵνα καὶ παραμεῖναι αὐτῷ μέχρι τέλους ἀδύνατον.

85. Θιαρίων, τὸν δ' ἰσιόντα] σὺ δέ, φησιν, ὦ Θιαρίων, ἡ τύχη καιρὸν εὐδαιμονίας ἀρμόδιον δωρεῖται, ὅτι γεγηραικότι ἀνακυφίζεταί σοι τὸ γῆρας ταῖς τοῦ παιδὸς εὐδοξίαις.

87. Τέλμαν τι παλῶν ἁρμίνᾳ] ὅλως ἀποδέχεται ὁ Πίνδαρος τὴν μετὰ συνέσεως τόλμαν. (Fragm.) "Τόλμα τι μὲν ζαμία" νὰς καὶ σύνεσις πρόσπορος ἰσάωσιν." ἡ μὲν σύνεσις, πρωτισπουδοῦσα, πῶς ἐκδύσεται, ἡ δὲ τόλμα ἐγχείρησις οὖσα. (Od. η'. 51.) "Θαῤῥαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων." ἐν τοῖς ἰδίοις δημόσιος καταφανὴς εἰμί, ὡς ἂν οὐδενὶ ἐνιχόμενος ἀτόπῳ πράγματι.

89. Παῖδός εἰμι σοφοτινὸν ἀκίχων ψόγον] ξένος εἰμί, φησι, τῶν Αἰγινητῶν, τὸν ἐπισκοποῦντα ψόγον ἀκίχων. οὐδείς με ψέγει, ὅτι ἐπαινῶ τοὺς Αἰγινήτας. οὐ γὰρ πολίτας ὄντας ἐμαυτοῦ διὰ τοῦτο ἐπαινῶ. προσχαρίζεσθαι γὰρ ἂν ἰδίοις διὰ τὴν οἰκειότητα ἐγκωμιάζων. "ὁ γὰρ ἐξ οἴκου" ποτὶ μῶμον ἴσαινος πέφανται" (Fragm. p. 105.). νῦν δὲ οὐκ ὢν ἐξ οἴκου ἐπαινῶ αὐτούς. διὸ οὐ φθονήσομαι. Δίδυμος δέ, οὐδένα ψέξων, φησὶ, καὶ ὅτι τοῦτο οὐκ ἀλλότριον τοῦ Πινδάρου, ἀλλὰ πολλὰ γὰρ αὐτῷ τοιαῦτα εὕρηται. τοῦτο δὲ λέγω, παρὸ εἰώθασιν οἱ πολῖται διὰ φθονεῖν τοῖς κατά τι προέχουσι. διὰ τοῦτό φησιν ὁ Πίνδαρος ξένος εἶναι, καὶ τὸν ἐπαινοῦντα ψόγον ἄπωθεν ἔχειν· καὶ οὐδένα, φησὶ, ψέξω, μᾶλλον δὲ τὸ πλέος τὸ ἀληθές, ὅσπερ ὕδατος ῥοὰς εἰς τὸν φίλον ἄγων ἄνδρα αἰνέσω, ὡς ὕδωρ ἐχέτηγός. ὡς γὰρ ἐκεῖνος ἀμφορεὰ ἄγων τὸ ὕδωρ ἐπὶ τὰ δένδρα τρέφει αὐτὰ, οὕτω κἀγὼ τὰς τοῦ ὕμνου ῥοὰς ἐπὶ τὸν φίλον ἄνδρα, ἐπαινέσω καὶ αὐξήσω τὸ πλέος. ὁ δὲ νοῦς· ξένος ὢν λίγων πάλαι, τοῦ φθόνου ἐκτὸς ὢν τῶν πολιτῶν. ἴμφυτον γὰρ τοῖς πολίταις, τὸ ἀλλήλοις διαφθονεῖν· καὶ ὅσπερ τὰ ὕδατα ἐχέτηγὸς ἀψεύστως, οὕτω καὶ ἐγὼ διασῳζομένου τοῦ ἀνδρὸς τὴν ἀρετὴν τοῖς ὕμνοις, καὶ τὴν περὶ τοὺς ἀγῶνας αὐτοῦ εὐδοξίαν, ἀψευδῶς καὶ ἀληθῶς. πρόσφορος γάρ ἐστι ταῖς ἀγαθοῖς καὶ ἀνδρείοις ὁ μισθὸς τοῦ ἀληθοῦς ὕμνος.

94. Ἐὼν δ' ἐγγὺς Ἀχαιὸς, οὐ ψεύσεταί (sic) μι ἀνὴρ] Ἀχαιὸν ἄνδρα τὸν Ἡσιεώτην, ἢ αὐτὸν τὸν Νεοπτόλεμον, ἢ ἵνα τῶν Ἡσιεωτῶν. Ἀχαιὸς γὰρ οὐ καθάπαξ ὁ Ἡσιεώτης, ἀλλὰ Μυρμιδών. Ἀχαιοὶ γὰρ οἱ ἀπὸ τῆς Θετταλίας ταχθέντες ὑπὸ Νεοπτολέμῳ, ἀπεπλάγχθησαν εἰς τὴν Μαλοσίαν καὶ κατῴκησαν εἰς τὴν Ἡσιεώτιν. οὐ μέμψοιτο ἂν οὖν με Ἀχαιὸς ἀνὴρ ἐπὶ τὸ δεξιὸν μικρολόγον παρεισαίνειν τὸν Νεοπτόλεμον, ὅτι εἶπεν αὐτὸν περὶ κριῶν μεμαχῆσθαι, διὰ τοῦτο ἀτελολίνειν. παθόλου γὰρ ἀπολογεῖσθαι βούλεται περὶ τοῦ Νεοπτολέμου θανάτου πρὸς τοὺς Αἰγινήτας. ἐπεῖπον γὰρ ἡτιῶντο τὸν Πίνδαρον, ὅτι γράφων Διλτφοῖς τὸν Παιᾶνα (Fragm.), ἔφη "Ἀμφιτό-"λοισι μαρνάμενον μυρίαν περὶ τιμᾶν ἀπο-"λωλίναι." ἀπολογούμενος γάρ τι ἀντιπάγαγι τοῦτο ὁ Πίνδαρος, ὅτι οὐκ ἔφησι περὶ χρημάτων γεγενῆναι τῷ Νεοπτολέμῳ τὴν μάχην, ἀλλὰ περὶ τῶν νομιζομένων τιμῶν τοῖς Διλφοῖς. ἔν οὖν λέγει, τοιοῦτόν ἐστι· παρὸν δέ τις ἐπαῦθι Δωδωναῖος ὢν μέμψεται μοι, ὡς ἐνοχείσαντι τῷ Νεοπτολέμῳ. ἢ οὕτως· ἐγγύς μοι γενόμενος καὶ ἀκούσας αὐτὸς ὁ Νεοπτόλεμος, ὃν εἶπον, ἢ ἕτερος Ἡσιεώτης, οὐκ ἂν μέμψοιτο.

95. Ἰονίας ὑπὲρ ἀλὸς οἰκίων] δεικνὺ ὁ Νεοπτόλεμος τὴν τοῦ πατρὸς ἀρχὴν διαδέξασθαι τῶν Μυρμιδόνων, καὶ ἡγήσασθαι ἐν Τροίᾳ. οὕτω δὲ καὶ Ἀχαιοὶ ἐκαλοῦντο, καθά φησι καὶ "Ὅμηρος· (Iliad. β'. 684.)

Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.

οὕτοι δὲ κατὰ τὸν Ἴόνιον πόντον ὥρμησαν, καθὰ καὶ αὐτὸς Πίνδαρος συμαίνει λέγων· (Nem. iv. 83.) "Νεοπτόλεμος δ' Ἀτρέος" διακρυσίᾳ, βουσὶ τόθι πρῶτος ἔρεχθε" κατάκτανε, Δωδώνα θεν ἀφικόμενος πρὸς" "Ἰόνιον πόντον." γράφεται πόρον. τὸ δὲ, πρέξιππα (96), ἀμφίβολον, πότερόν φησιν ὁ Πίνδαρος, μὴ μεμφθῆναι ἂν ὑπὸ τῶν Αἰακιδῶν· πρέξιππον γάρ ἐστα, μὴ ἂν ποτε κατὰ Νεοπτολέμου εἰπεῖν. καὶ ὅτι πρέξιππος ὢν αὐτοῖς ἐπ' οὐδενὶ μεμφθήσεται· δαῤῥῶ γὰρ αὐτοῖς. εἶον, οὐδείς με μέμψεται. ἢ πεπωθότα τῇ πρεξιππίᾳ τῇ πρὸς τοὺς Ἡσιεώτας. ἢ πιστεύω καὶ τῇ συγγενείᾳ, ἣν ἔχομεν Θεσσαλοὶ πρὸς τοὺς Αἰγινήτας. διὸ οὐ μέμψονταί μοι οὐδὲ οὗτοι.

97. Ὄμματι δέρκομαι λαμπρὸν] καὶ ἐν τοῖς ἱεροῖς (?) μου πολίταις ὁρῶ οὐχ ὑπερλαμπρον, καὶ ὑπερφυτικὸν, ἀλλὰ μέτριός τις καὶ χρηστὸς συγχάνω. ἡ δὲ ὑπὲρ συναπτία τῷ, βάλλων, ἵν' ᾖ, οὐχ ὑπερβάλλων. ἢ οὕτως· οὐδὲ μὴν ἄλλως, φησὶν, ἐν τοῖς πολίταις ὑπερφυτικός εἰμι καὶ ὑπέρογκος, οὐ προσλίπων τοὺς πολίτας ἄμμασι λαμπρῷ καὶ ὑπερηφάνῳ, ἀλλὰ μειδιῶντι καὶ προσηνεῖ, ὥστι καὶ δι' αὐτοῦ τὰ, ἄμμασι εἶναι.

98. Βίαια πάντα ἐκ ποδὸς ἐρύσαις] διέγω, φησὶ, κατὰ τὰς Θήβας μυστράζων, τὰ βλάσφημα καὶ ὑπερφυτικὰ ἐκποδὼν ἀφλιπύσας, ἤτοι, μακράν μου χωρίσας. ἢ οὕτως· οὕτω, φησὶ, ζῶ τὰ βιαστικὰ πάντα ἐκ ποδῶν μου ἄρας, τουτέστιν, οὐδένα βιαζόμενος ζῶ.

99. Ὁ δὲ λοιπὸς εὖφρων] ὁ δὲ λοιπὸς χρόνος προσέρπει καὶ βαίνει πρᾷος ὢν καὶ εὔφρων. ὁ δὲ νοῦς ἅπας· εὖδι μοι τὸ ἅπαν

τοῦ βίου οὕτω μετ' εὐφροσύνης συμπερανθείη. Τὸ δὲ, ποτὶ ἕρκει, ἀντὶ τοῦ, περισσῶς.

100. Μαθὼν δέ τις ἔν ἰρεῖ] τὶς σοφὸς μαθών. ἔστι γὰρ καὶ ταῦτα προσαπολογεῖται ὑπὲρ τοῦ Νεοπτολέμου. τὸ δὲ ἂν ὑπερβιβασέον πρὸς τὸν δὲ σύνδεσμον, ἵν' ᾖ· μαθὼν δέ τις, εἰ παρὰ τὸ προσῆκον λέγω, ἀντὶ τοῦ, εἰ ψεύδομαι. ὁ δὲ νοῦς· γνώριμος δέ τις καὶ πολίτης εἶναι ἂν τις ἔδοξε καὶ οὐκ ἀληθῆ λόγον ἐμαντᾷ.

103. Εὐξενίδα πάτραθι Σάγγινις] πρὸς αὐτὸν τὸν Σαγίνη ἀπίσρεψε τὸν λόγον. Εὐξενίδην δὲ εἶπεν, ὡς ἀπὸ τινος Εὐξένου, τῆς ὅλης φατρίας ἀφηγουμένου, ὡς Σπαρτιάδας καὶ Ἀλευάδας εἶωθε καλεῖν τοὺς Θεσσαλούς, καὶ Ἐμμενίδας τοὺς ἐκ Σικελίας. ἢ Εὐξενίδας, ἀντὶ τοῦ, εὐξένους. πανταχοῦ δὲ τοὺς Αἰγινήτας φιλοξένους προσαγορεύει, καὶ τὸν εὐξενίδα, ἀντὶ τοῦ, εὐξεινι. Ἄλλως. φατρία ἐν Αἰγίνῃ, ἀπὸ Εὐξένου, ὃς ἦσαν ὁ Σαγίνης. ὁ δὲ λόγος· ὦ Σάγινις, ὑπομνύω τῇ (sic) Εὐξενίδα πάτρᾳ, μὴ τέρμα προῖδες, θᾶον ὄρσαι γλῶσσαν, ὡς ἅπαντα χαλκοπάτερον. τοῦτο δὲ ἀπὸ τῶν πεντάθλων μετενήνεχε, τῶν τὸ ἀκόντιον παρὰ τὸ ὡρισμένον τέρμα βαλλόντων διὰ τῶν ἐξ ἄθλων γινομένων. ἐγώ, φησι, καθίημι τοῦ σπουδῆ, ἡ γλῶσσά μου ἐπὶ τὸν σκοπὸν ἀνήνικται, οὐχ ὑπερπέπτωκε τὸ τέρμα, ὡς ἀκόντιον. τοῦτο δὲ εἶπεν, ἐπειδὴ πένταθλός ἐστιν ὁ Σαγίνης. ὁ νοῦς· ὄμνυμι τῇ φατρίᾳ τῶν Εὐξενιδῶν, περὶ σοῦ λέγων μή, ὥσπερ ἀκοντισαί, οὕ δ' ἀπλησίαν ἰσχύος ὑπερβάλλουσι τὸ τέρμα, καὶ τὸ ὡρισμένον, καθ' ὃ δεῖ πίμψαι, οὕτω κἀγὼ τῇ ἀληθείᾳ.

106. Ὃς ἐξίσαμψας παλαισμάτων αὐχένα] ἀπὸ τοῦ περὶ αὐτὸν λόγου εἰς τὸν περὶ αὐτοῦ μετέστη· ὅτις, ὁ Σαγίνης, τῶν τοῦ πενταθλου ἀγωνισμάτων ἐξίσαμψεν ἑαυτοῦ τὸ γνῶον ἅπερ ἴδρωτος, περὶ ἐστησεῖν τὴν τοῦ ἡλίου ἀκτῖνα. ἐκ δὲ τούτου τὸ τῆς ἀθλήσεως ἐράσμιον καὶ ταχὺ χαρακτηρίζει. ἵνοι δὴ, ὡς νικήσας, φασὶ, τὸ ἀκόντιον ἐσίφθη, οὐκέτι μὲν τοι ἐκάλεισε, παραπεπταμένων αὐτὸν θῶν ἄλλων. ἐπεὶ δὲ οἱ παλαίοντες χρονοτριβῶσι, καὶ τὸν πάλαι χρόνον ἐν τῷ ἡλίῳ μίνουσι, διὰ τοῦτό, φησι, περὶ ἁλίῳ γνῶον ἰρατεῖν, τουτέστι, περὶ τοῦ ἐκλοθῆναι τὸ σῶμα ὑπὸ τοῦ ἡλίου διὰ τὴν πάλην, ἀντὶ τοῦ ἱδρῶν, περὶ παλαῖσαί σε.

109. Εἰ πόνος ἦν] εἰ καὶ κάματος ἦν, φησιν, ἐν τῷ ἀγωνίζεσθαι, ἀλλὰ μείζων ἡ ἐκ τῆς νίκης ἡδονή. ὁ ἀγών, φησιν, αἴτιος ὁ γενόμενος τῆς παντελοῦς νίκης, οὐκ ἐκοίνει χρεία σε ἔχειν τοῦ διὰ πάλης σε γενέσθαι τῶν ἀνταγωνιστῶν, ἀλλά σου ἄρειστον τὸν αὐχένα ἐξίσαμψε τοῦ ἀγῶνος.

110. Ἕα μὲ νικῶντί γε χάριν] τὸ ὑπερβατὸν οὕτως· ἔα με, εἴ τι περ ἂν ἀερθεὶς ἀνίκραγον, νικῶντί γε χάριν φέρειν.

112. Οὐ γὰρ τραχὺς εἰμι καταθέμεις] οὐ γάρ εἰμι ἀηδής, φησι, καὶ ἀπαινὴς τοῖς νικῶσι τὰ ἰγκώμια θέσθαι.

113. Εἴρειν στεφάνους ἁλαφρὸν] πρὸς αὐτὸν διαλέγεται. ὁ δὲ νοῦς· ἐπὶ τούτοις τοῖς κατορθώμασιν ἁλαφρῶς συντιθέναι καὶ πολίταν στεφάνους παραυτοῦ, ἀντὶ τοῦ, μίγα σε καὶ ἀξιοπρεπὴς ἐφάρμοζε τῇ νίκῃ ἰγκώμιον.

114. Ἀναβάλλεο· Μοῖσά τοι πολλᾷ χρυσὸν] ἤτοι ἡ Μοῦσα, ἡ ἰγκωμιαστική, ποικίλος πόσμῳ τοὺς ἐπαινουμένους, οἷον, ἡ Μοῦσα πᾶσι χρῆται τοῖς ἰγκωμίοις. Ἄλλως. λέγειν τὶ ἁλαφρὸν περὶ τῶν ἱερῶν στεφάνων ἀναβάλλου, οἷον, μὴ λέγε κοῦφα περὶ τῶν νικώντων, ἀλλὰ μᾶλλον μεγάλα λέγων αὔξαι αὐτούς, ἀντὶ τοῦ, ἀναπρούου καὶ ἄρχου τὶ λέγειν ἁλαφρῶς περὶ τῶν στεφάνων. εἰ μείζονα εἶρηκας αἰχμητὴς ὤν, τῶν ἁλαφρῶς ἄρχου τὶ λέγειν περὶ αὐτῶν.

116. Καὶ λείριον ἄνθεμον] τινὲς φασιν εἶναι πυρράλιον, ἱερῆσθαι δὲ αὐτὸ ποντίαν λέγουσι, διὰ τὸ δοκεῖν, ὅτε μέν ἐστι κατὰ βάθους, ἁπαλὸν εἶναι καὶ φυτῷ ὅμοιον· ὅταν δὲ ἀνασπασθῇ, καὶ γίνηται ἔξω τοῦ ὕδατος, ἀπολλύεσθαι, τοῦ ἡλίου καταλάμψαντος αὐτῷ. οἱ δὲ ποντίαν δρόσον τὴν πορφύραν φασὶ, διὰ τὴν τοῦ κογχυλίου βαφὴν, λείριον δὲ ἄνθος τὸ ἴριον. ἀναφέρει δὲ ταῦτα ἐπὶ τὴν τῶν ὑφαινομένων ποικιλίαν ταύτην, ἐπεὶ τὸ ποίημα ὑφάσματι παρέοικεν, ὡς καὶ αὐτὸς ἐν ἄλλοις· (Fragm.) " Τῷσίνω " δ' Ἀμυθαονίδαις ποικίλον ἄνθημα."

118. Διὸς δὲ μεμναμένος] τοῦ Διὸς εἰς ὑπόμνησιν ἐλθὼν, πολυθρύλλητον λόγον ἐκ τῶν ὕμνων ἀναπίνει ἐμπούσως καὶ συναγμένως περί τε τὴν Νεμέαν καὶ τὸν Δία. τοῦτο δὲ λέγει, ἐπεὶ Νεμεονίκης ὁ Σαγίνης.

120. Βασιλῆα δὲ Θιῶν] τὸν τῶν Θιῶν βασιλέα, Δία, κατὰ τοῦτο τὸ ἴδαφος ὑμνεῖν προσήκει, ἤτοι, τὸ τῆς Νεμέας· ἀνέκειται γὰρ ὁ Νεμεαῖος ἀγὼν τῷ Διΐ. ἢ κατὰ τὸ τῆς Αἰγίνης, ἅ καὶ μᾶλλον διὰ τὰ ἰπτιφερόμενα. διατί δὲ φέρεται τὸν Δία ἐν τῇ Αἰγίνῃ ὑμνεῖν, αὐτὸς ἐποίησε.

123. Λέγουσι γὰρ Αἰακὸν] τουτέστι, διὰ τὸ τὸν Δία πατέρα εἶναι Αἰακοῦ, ὃς ἦν πολίαρχος ἡμῶν. Διὸς γὰρ καὶ Αἰγίνης Αἰακός. ἰδίως δὲ φαίνεται ἐπὶ ταύτης τῆς φδῆς ἀνεγειμένος ὁ Πίνδαρος. ὅτι μὲν γὰρ αὐτὸς ἐκ τοῦ ἰδίου προσώπου διαλέγεται πρὸς τοὺς μεμφομένους περὶ τοῦ Νεοπτολέμου, ὅτι δὲ παράγει τὸν χορὸν τῶν Αἰγινητῶν διαλεγόμενον.

125. Ἐμᾷ μὲν πολίαρχον] οὐ γὰρ ὁ Πίνδαρος Αἰγινήτης. φασὶ δὲ, τὸν Δία ὑπὸ ταῖς

γυναῖς τῆς Αἰγίνης στηθυστυπίναι τὸν Αἰακόν. ὁ δὲ νοῦς· ἵδρυσε δὲ ὁ Ζεὺς τὸν Αἰακὸν, ὦ Ἡράκλεις, τῇ μὲν ἰμῇ πόλει βοηθὸν, σοὶ δὲ πρόθυμον ἀδελφόν. μνημονεύει δὲ τοῦ Ἡρακλέους, ἐπειδὴ ὁ τοῦ νιπηφόρου οἶκος ἐκατέρωθεν Ἡρακλείοις περιέχεται τιμήσεσιν. ἀπέχρησε δὲ τὸν λόγον πρὸς τὸν Ἡρακλέα, ὡς τοῦ Αἰακοῦ ὑποδιδυγμένου καὶ ἐξενικάτος. Προσκρούσας δὲ, ἀντὶ τοῦ, πρόθυμον. φησὶ δὲ καὶ, ὅτι ἀδελφὸς Ἡρακλέος ὁ Αἰακός.

127. Εἰ δὲ δύνται (sic) ἀνδρὸς ἀνὴρ] εἰ θνητὰνιόν φησι τῇ ψυχῇ καὶ ἐπιδέεται ἀνδρὸς ἀνὴρ εἰς τὰς βιωτικὰς χρείας, τί ἂν φαῖμεν χρῆμα τούτου μεῖζον εἶναι, ἢ τοὺς φιλοῦντας εὐθὺς καὶ γειτνιᾷν; ὁ γὰρ γίτων τάχιον χρείας ἀπαιτούσης ἅπαντᾷ. Ἡσίοδος· (Opp. et D. 345.)

Γείτονες ἕζωσαι ἕκιον, ζώσαντο δὲ πηοί.
ἢ οὕτως· ἐπεὶ δεῖται ἀνθρώπου ἀνθρώπου εἰς βίον, τί ἂν εἴη τούτου μεῖζον τοῦ εὑρεῖν γείτονας ἀλλήλους φιλοῦντας; Ἀρίσταρχος οὕτως· ἐπεὶ δὲ κατὰ τὰς συνουσίας καὶ γειτνιάσεις ἵπτιες ἄνθρωπος ἀφ' ἑτέρου γεύεταί τι καὶ ἀπολαύει ἀφομοιούμενος, ὥσπερ ἡ παροιμία ἔχει·

Χωλῷ παροικεῖς, κἂν ἰνὶ σκάζειν μάθοις·

εἰκαιμεν ἂν τὸν ὠφεληθέντα γείτονα ἀπὸ γείτονος ἀξιόχρεων εἶναι χάρμα. παρὸ καὶ Ἡσίοδος· (Opp. et D. 346.)

Πῆμα κακὸς γείτων, ἕσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ.

Ἄλλως. ὁ δὲ λόγος κατ' ἐρώτησιν καὶ ἀπόκρισιν. εἰ δὲ κατὰ τὰς γειτνιάσεις γεύεται καὶ ἀπολαύει γείτονος γείτων δίκαιόν τι καὶ προθύμου, τί ἂν εἴποιμεν τῷ φιληθέντι τὸν φιλήσαντα; εἶτα, ὡς κατὰ σύγκρισιν, γείτονα πάντων χρημάτων ἀξιον.

131. Εἰ δ' αὐτὸ καὶ θεὸς ἂν ἴχοι] εἰ δὲ τοῦτο οὕτως ἔχει, ὅτι οἱ φιλοῦντες γείτονες μεγάλως ἀλλήλους ὠφελοῦσι, καὶ περὶ θεῶν τοῦτ' ἂν εἴη, καὶ θεὸς τοῦτ' ἂν ἀγαθὸν ὁ Σωγένης, τὸ ἴχειν σε γείτονα, ὦ Ἡράκλεις, φιλοῦντα αὐτόν. οὐ γὰρ ἐνίκησεν ἄν, εἰ μὴ ἐκ τῆς ἰδίας ἐκτενείας. ὁ δὲ νοῦς· εἰ δὲ αὐτὸ τοῦτο καὶ θεὸς παρίχει τὸ τῆς γειτνιάσεως ἀγαθὸν, σὺν σοὶ ἄν, ὦ Ἡράκλεις, ὅσις ἐδάμασας τοὺς γίγαντας, ὁ Σωγένης εὐτυχῶς βούλοιτο διαζῆν, σὺν σὺν καὶ δικαίαν τοῦ πατρὸς αὐτοῦ θειρασιῶν ψυχὴν καὶ τῶν προγόνων τὴν θείαν καὶ πλουσίαν ὁδὸν, ἀπὸ κοινοῦ, ἀμφίτομον.

137. Ἐκεῖ τετραόρροισιν ὕσθ' ἁρμάτων ζυγαῖς] ἐκεῖθεν, φησὶν, ὥσπερ τῶν τετρόρων ἁρμάτων ὁ ῥυμὸς μεταξὺ, οὕτω καὶ ἐν τοῖς τοῦ Ἡρακλέους τιμήσεσιν ὁ νιπηφόρος ἐν μέσῳ τὸν ἑαυτοῦ οἶκον ἔχει. ὁ δὲ νοῦς· ἐκεῖ ἐν τοῖς σοῖς τιμήσεσιν, ὦ Ἡράκλεις, τὸν δόμον ἔχει μέσον· ὡς ἐκεῖ ἁρμάτων ὁ ῥυμὸς μέσος ἐστὶν, οὕτως ὁ Σωγένους οἶκος ἐξ ἀμφοτέρων τῶν χειρῶν, καὶ ἀριστερᾶς καὶ δεξιᾶς, ἔχων τὰ σὰ τιμήνη, μέσος ἐστὶν, ὡς ὁ ῥυμὸς ἅρματος τετρώρου.

141. Δύνασαι δὲ βροτοῖσιν ἀλκὰν] δύνασαι δὲ καὶ αὐτὸς τῶν ἀπόρων καὶ ἀμηχάνων ἐύρεσιν δοῦναι· ἀπὸ κοινοῦ γὰρ τὸ, δίδόμεν· ἐξ δύνασαι τοὺς ἄλλους θεοὺς θνητοὺς δοῦναι, οὓς προείπεν. ὁ δὲ νοῦς· δύνασαι, φησὶν, ἀπαλλάξειν τὰς ἀμηχανίας καὶ τὰς ἀνυχίας τῶν ἀνθρώπων. ἀλιξίπολος γὰρ ὑπάρχεις.

144. Εἰ γάρ σφιν ἰμερτόεσσα] εἴθε γὰρ αὐτοῖς ἀσφαλῆ καὶ ἀδιάπτωτον ἁρμόσας τῇ τε ἥβῃ καὶ τῷ λιπαρῷ γήρᾳ αὐτῶν παραπλέξαις. Ἄλλως. εἴθε γὰρ αὐτῇ ἱμερτόεσσαν τοῦτον τὸν βίον ἁρμόσας, ἐν τῇ ἀκμῇ καὶ τῷ λιπαρῷ γήρᾳ διαπλέκοις τὸν βίον εὐδαίμονα.

147. Παῖδων δὲ παῖδες ἔχουσι] ὡς τιμήν τινα ἐχόντων αὐτῶν, ἢ ἱερωσύνης, ἢ ἄλλο τι τοιοῦτον παρὰ τοῖς Αἰγινήταις. ἔχουν οὖν τοῦτο τὸ γέρας, φησὶν, οἱ παῖδες τῶν παίδων, ὅπερ νῦν ἔχουσι, καὶ ὅστισθν αὐτὸ ἄριστον.

150. Τὰ δὲ ἰμὲν οὔ ποτι φάτις πίπτει] οὐκ ἀτρέπτως, φησὶν, οὐδ' ἀπειπόντως, εἰς μνήμην ἐληλυθέναι Νεοπτολέμου. ὁ μὲν οὖν Καλλίστρατος ἱστόρησε, τὸν Σωγένη γείτονα εἶναι τοῦ Ἡρακλέους, καὶ ὁ Νεοπτόλεμος δὲ γειτνιᾷ τῷ θεῷ ἐν Δελφοῖς. κατὰ τοῦτό, φησὶν, οἰκείως μεμνῆσθαι τοῦ Νεοπτολέμου, διὰ τὴν ἀμφοτέρων γειτνίασιν. ὁ δὲ Ἀριστόδημος, ὅτι μεμφθεὶς ὑπὸ Αἰγινητῶν ἐπὶ τῷ δοκεῖν ἐν Παιᾶσιν εἶναι, τὸν Νεοπτόλεμον ἐπὶ ἱεροσυλίᾳ ἐληλυθέναι εἰς Δελφούς. τοῦτο ὥσπερ ἀπολογεῖται εἰπὼν, ὅτι οὐχ ἱεροσυλῶν ἐπιλελύπηκεν, ἀλλ' ὑπὲρ κρεῶν φιλοτιμηθεὶς ἀνῃρέθη. διὸ καὶ ἐπείσθη.

152. Ταῦτα δὲ τρὶς τετράκις σ' ἀμπολεῖν ἀπορία τιλίθει] οἷον, ἀπολιλόγημαι ἱκανῶς περὶ τοῦ Νεοπτολέμου. τί οὖν ἔτι μέλλω τὰ αὐτὰ ἀναπολεῖν; ἀπορεῖν γάρ ἐστι λόγων, τὰ ἀναπολεῖν τὰ αὐτὰ ὥσπερ παρὰ ὑφάσι τοῖς τέκνοις. τὸ δὲ, ἐλαύσας, ἀντὶ τοῦ ἐνυδρίσας φησίν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν νεῶν τῶν ἐλαύνοντα τὰ σώματα. ὁ δὲ νοῦς· διορίζεταί, φησι, καὶ πέπεισθεν ἑαυτῇ ἡ ἐμὴ ψυχὴ, μηδέποτε τῷ Νεοπτολέμῳ ἐνυδρίσαι.

155. Ἅτι μαψυλάκας Διὸς Κόρινθος] μαψυλάκας, ὁ μάτην φλυαρῶν. Διὸς Κόρινθος δὲ παροιμία ἐστὶν ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων. ἡ δὲ παροιμία ἐντεῦθεν ἔσχεν. Ἀλήτης ἐλθὼν περὶ τῆς ἐν Κορίνθῳ βασι-

λείας προσῆλθε τῷ μαντείῳ τῷ ἐν Δωδώνῃ, ἔ ἐστι τοῦ Διός, καὶ ἔχρησεν αὐτῷ τότε πρατήσειν, ὅτε τις δῷ βῶλον γῆς· ἐπεὶ δὲ ἡμέρᾳ πολυτιφάνῳ. ἐλθὼν οὖν ἐν Κορίνθῳ ἤστι τινὰ ἀγρεῖκον ἄρτον ὁ Ἀλήτης. ὁ δὲ λαβὼν βῶλον ἔδωκεν. ἐτελεῖτο δὲ καὶ θυσία τοῖς νικηταῖς ἐν Κορίνθῳ, δι' ἣν τῆς πόλεως ἐν μνήμασιν οὔσης ἐπῆρχεται ὁ Ἀλήτης, καὶ ἔδει Κρίνιτος συγγενίας περὶ συνθήκας γινομένας. ἴφησί τι, ἐὰν πρατήσῃ, ἕξειν τὴν θυγατέρα αὐτῶν πρὸς γάμον. καὶ πείθεται ἡ κόρη, καὶ προδίδωσι τὴν πόλιν, τὰς πύλας ἀνοίξασα, ᾗ πρατεῖ ὁ Ἀλήτης, καὶ ὀνόμασιν αὐτὴν, Διὸς Κόρινθον, ἐτυδὴ διὰ τῆς μαντείας τοῦ Διὸς ἡ ἀρχὴ εἰς αὐτὸν ἦλθε. Ἄλλως. παροιμία ἐστὶν ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων ὁ Διὸς Κόρινθος, ἔταν δυσξυλίπτους ἀναπολῶσι τὰ αὐτὰ πολλάκις. ἐγὼ οὖν, φησιν, οὐκ εἰμὶ Διὸς Κόρινθος. δοκεῖ οὖν ἀπὸ τοιούτου τινὸς εἰρῆσθαι ἡ παροιμία. Μεγαρίας φασὶ Κορινθίων ἀποίκους, καὶ πολλὰ τοῖς Κορινθίοις κατ' ἰσχὺν τῆς πόλεως ὑπείκειν ἄλλα τε, γὰρ πλείονα τοὺς Κορινθίους προτάσσειν, καὶ τῶν Βακχιαδῶν εἴ τις τελευτήσειε, (διώκουν δὲ αὐτοὶ τὴν πόλιν,) ἔδει Μεγαρέων ἄνδρας καὶ γυναῖκας, ἐλθόντας εἰς Κόρινθον, συγκηδεύειν τὸν νεκρὸν τῶν Βακχιαδῶν. ὡς δὲ ὕβριος οὐδὲν ἀπέλειπον οἱ Κορίνθιοι, τὰ δὲ τῶν Μεγαρέων ἤρῥωτο, καὶ πρὸς ἐλπίσι τοῦ μηδὲν πείθειν ἀποστάντας αὐτοὺς ἀλλ' ἀφεῖναι, (?) τίμωσιν δῆτα πρίσθαι οἱ Κορίνθιοι κατηγορήσοντες τῶν Μεγαρέων, εἴ προσελθόντες εἰς τὴν ἐκκλησίαν, ἄλλα τε πολλὰ διεξῆλθον, καὶ τέλος, δικαίως τινάξει ὁ Διὸς Κόρινθος, εἰ μὴ λήψοιτο δίκην παρ' αὐτῶν. ἐφ' οἷς παροξυνθέντες οἱ Μεγαρεῖς τοὺς πρίσθεις λίθοις ἔβαλον καὶ μετὰ μικρὸν, ἐπιβουλεύσαντες * τινῶν τοῖς Κορινθίοις καὶ μάχης γενομένης, νικήσαντες, φυγῇ τῶν Κορινθίων ἀποφυγόντων, ἐφασκόμενοι, κτείνοντες ἅμα παίειν τὸν Διὸς Κόρινθον ἐπίλιον. ἔδιν, φησὶν ὁ Δήμων, ἵνα καὶ νῦν ἐπὶ τῶν ἄγαν σιμυνομένων καὶ διαλῦσαι ἀπαλλαττόντων τὴν παροιμίαν ταύτην τιτάχθαι. (Hemst. Plut. p. 552.)

Carmen VIII.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ὠγδόου τῶν Νεμέων εἴδους.

Της ὠγδόης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐννέα. Τὸ α' ἥμισυ ἴσους καταληκτικόν. Τὸ β' ἰαμβίλιγος. Τὸ γ' Στησιχόρειον. Τὸ δ' ἰαγαμιολογικὸν, μιᾷ πλειονάζον ἐν ἀρχῇ τοῦ πενθημιμεροῦς ἰαμβικοῦ ἢ χοριαμβικὸν τρίμετρον, ταῖς ἰναντίαις καταλειόμενον. Τὸ ε' ἰαμβίλιγος, λειπούσης τῆς ἀρχῆς. Τὸ ϛ' λογαοιδικὸν Ἀρχιλοχείλιον, ἢ ἰωνικὸν ἀπ' ἐλάττονος, ἄκατον διὰ τὸν σπονδεῖον. Τὸ ζ ἀνακλωμενικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ η' Εὐριπίδιον. Τὸ θ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ἔνδεκα. Τὸ α' προσοδιακὸν ἀπ' Ἰωνικοῦ ἀπὸ μείζονος. Τὸ β' Εὐριπίδιον. Τὸ γ' ἰαμβίλιγος λείπων τῇ ἀρχῇ. Τὸ δ' Ἰωνικὸν τρίμετρον βραχυκαταλήκτου, ταῖς ἐναντίαις καταλειόμενον, ἄκατον, Ἀλκμανικῷ (?) ζύγῳ. Τὸ ε' χοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ϛ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ζ' ὅμοιον τῷ γ' τῆς ἐπῳδῆς. Τὸ η' μικτὸν ἐκ τροχαίου πενθημιμεροῦς καὶ δακτυλικοῦ πενθημιμεροῦς. Τὸ θ' ἰαμβίλιγος, ἐπιπενθημίμου τοῦ τέλους.

* L. ἐπιβουθησάντων.

Τὸ ἰ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ια τροχαϊκὸν τρίμετρον καταληκτικόν, ὅμοιον τῷ Ζεῦ πάτερ, γάμου μὲν οὐκ ἴδα-σάμην.

Διονίᾳ (sic), *ὑιῷ* Μίγα, *ταδιεῖ*.] ἔνιοί *φασι ταδιεῖς αὐτόν τι τὸν Διονίαν καὶ τὸν πατέρα, καὶ τοῦτο βλέποντα τὸν Πίνδαρον* (v. 26.), Διονίδος *δισσῶν ταδίων καὶ πατρὸς, εἰσιὼν παρίχει δέ, φησιν ὁ Δίδυμος, τοῦτο ἀσαφείαν, τὸ μηδένα* [ἕτερον] *αὐτῶν ἐν ταῖς Νεμεαπαῖς νίκαις ἀναγεγράφθαι.*

1. "Ωρα *πότνια, κέρυξ* Ἀφροδίτας] *συντάττει τὸ προοίμιον ὁ Πίνδαρος εἰς τὸ τῆς ὥρας ἄνθος τοῦ νικηφόρου, εἶτα ἐπικωμιαστικῶς τῶν πατρίων ἐφάπτεται, λίγων τὴν Αἴγιναν δι' ὀργίσματος ὑπὸ Διὸς ἀπηρτέσθαι. ὁ δὲ νοῦς· ὦ ἀκμὴ ἐντιμοτάτη, ἄγγελε τῶν Ἀφροδισίων καὶ θαυμαστῶν φιλιῶν, ἥτις τοῖς τε τῶν παρθένων βλιφάροις καὶ τοῖς παιδικοῖς ἐπικαθιζομένη, πρεπίσιν ἔρωσι ταῖς τῆς ἀνάγκης χερσὶ βαστάζεις, ἕτερον δὲ φαύλοις πάθος. πρεπίσι δέ, φησι, ταῖς τῆς Ἀνάγκης* (sic) *χερσὶν, ὅτι ἐξ ἀνάγκης ἡμῖν οἱ ἔρωτες παραγίνονται. ἱστέρεις δὲ, πρεσβυτέρον χερσὶν, οἷον, τὸν δὲ μὴ πρεπίσεις, ἀλλὰ σκληραῖς. πρὸς ἀμφότερα δὲ τὰ μέρη, τοῖς τῶν παρθένων καὶ παίδων, τοῖς παιδικοῖς, τὸ βλιφάροις ἀκουστέον, ἵν' ᾖ τὸ τῆς ἑρμηνείας κατάλληλον.*

6. Ἀγαπατὰ δὲ *καιρεῦ*] *ἀγαπητὸν δέ ἐστι καὶ εὔκαιρον, τῆς εὐκαιρίας καὶ τοῦ δέοντος καιροῦ μὴ ἀκεσφαλίντα πρὸς ἕκαστον ἔργον, τῶν βελτιόνων ἐρώντων ἐπιθυμεῖν δύνασθαι καὶ ἐπικρατεῖν, τῶν δὲ φαύλων ἀπέχεσθαι. τοιούτων οὖν ἐρώντων ἐπικρατεῖν δύνασθαι, φησι, καλὸν ἐστιν, οἷοι ἦσαν ἐπὶ Διός τε καὶ Αἰγίνης. ἔστι δὲ καὶ θαυμαστικῶς ἐκλελεῖφθαι τὸ, οἷον, ἐπαίνου ἄγαθοί ἔρωτες. πιθανῶς δὲ παιδίνας, δώρων Ἀφροδίτης τοὺς ἐρωτάς φησιν. ὡς γὰρ ὁ ποιμὴν νέμει τὴν ἀγέλην, οὕτω καὶ ὁ ἔρως τὰς συνουσίας. οἱ οὖν Διὸς καὶ Αἰγίνης στρωτόλησαν ἔρωτες τὸ λίπτρον. ὁ γὰρ Ζεὺς οὐ μόνον δι' ἐπιθυμίαν ἐμίγη τῇ Αἰγίνῃ, ἀλλ' ἵνα καὶ σπερμήνῃ τοὺς ἀρίστους ἐξ αὐτῆς, Αἰακὸν, Πηλέα, Ἀχιλλέα, Νεοπτόλεμον. οὗτοι οὖν οἱ ἔρωτες ἄριστοι, οἱ μὴ μόνον ἐρισγόμενοι τῆς ἀπολαύσεως καὶ τῆς ὥρας αὐτῆς, ἀλλ' ἀποτελισμάτων ἀξιολόγων καὶ ἔργων ἐπιφανῶν τελεσιουργοί.*

12. Ἔβλαψε δ' *υἱὸς Οἰνώνας*] *τὸ* Ἔβλαψεν *ἀντὶ τοῦ ἄφθη φησίν. ἀφὸ δὲ τῆς νήσου καὶ τὴν ἡρωΐδα ὀνόμασεν. υἱὸς γὰρ τῆς Οἰνώνης, τῆς Αἰγίνης, ὁ Αἰακός.*

13. Χειρὶ καὶ *βουλαῖς ἄριστος βασιλεὺς*] *τοιοῦτόν ἐστιν ἀνδρεῖος καὶ φρενήσιν.* Ὅμηρος· (Iliad. γ'. 179.)

Ἀμφότερον, *βασιλεύς τ' ἀγαθὸν πρυτανῆά τ' αἰχμητήν*

14. Πολλὰ *νιν πολλαὶ λιτάνευον ἰδεῖν*] *πλεῖστα δέ, φησι, πολλαὶ ἐξέσον θιάσασθαι τὸν Αἰακὸν, περιηχούμενοι τῇ τοῦ ἀνδρὸς εὐδοξίᾳ. καὶ γὰρ* [τὰ ἀναθήματα] *τῶν ἡρώων οὐχ οἱ τυχόντες, ἀλλ' οἱ ἔκπρεπεῖς τῶν περιοικούντων ἁμαχητὶ πιθέσθαι αὐτῷ ἤθελον, καὶ χωρὶς τοῦ κρατηθῆναι μάχῃ. οὕτω διάπρεπεῖ, φησιν, ὄντι τοὺς περικειμένους ἑκουσίως πιέζεσθαι ταῖς ἐξέδραις, τουτέστι, ταῖς ἀρχαῖς καὶ ταῖς βασιλείαις αὐτοῦ.*

19. Οἵ τι ἀρεταῖς ἐν Ἀθάνασιν ἄρμοζον ἔρανον] *ἅτινές, φησι, διέπουσι τὰς Ἀθήνας, ἢ ὡς συμφωνίαν ἄγον τὸ πλῆθος. ταῦτα δὲ ἀνάγκαι εἰς ἐπαῖνον, ὅτι αὐχμὸς κατέσχε τὴν Ἑλλάδα, καὶ εὐξαμένου τοῦ Αἰακοῦ ὗσεν ἐγγύθεν. ὁ δὲ νοῦς· καὶ οἱ ἐν ταῖς τροχαίαις Ἀθήναις ἅρμοζον καὶ παρεπιπλέζον, καὶ ἅτε συμμαχοῦντες αὐτῷ παρεῖχον δύναμιν, ἢ ὑπὸ τὴν αὐτοῦ ἀρχὴν ὄντες, ὁμοίως παρεπιπλέζον αὐτῷ, ἀπὸ καινοῦ καὶ οἱ Πελοποννήσιοι καὶ οἱ Δαπιδαιμόνιοι.*

24. Τοῖσδ' *ἄντομαι φίλον Λυδίαν μίτραν*] *ἀλληγορικῶς τὸν ποικίλον ὕμνον οὕτω φησίν· ἵστι ἐντεχνῶς οἱ Λύδιοι περὶ τὴν μουσικήν. τὸ γὰρ Λύδιον μέλος ποικίλον. Ἄλλως. οὕτως εἶπε τὸ ποίημα αὐτοῦ ὡς Αυδίᾳ ἁρμονίᾳ γεγραμμένον.*

26. Διονίδος *δισσῶν ταδίων καὶ πατρὸς*] *τοῦ Διονίου, ἤτοι τοῦ Διωνίου. Μίγας ὁ τοῦ Διονίου πατήρ, φησι. δισσῶν δὲ ταδίων, ὅτι διωλοδρόμου. Νίμιον δὲ ἄγαλμα, τὸ γεγραμμένον εἰς Νεμεαπὴν νίκην ποίημα.*

28. Σὺν Διῒ *γὰρ φυτευθεὶς ὄλβος ἀνθρώποισι πασμονώτερος*] *ὁ γὰρ γνήσιος Διὸς, φησιν, ὄλβος τοῖς ἀνθρώποις ἐμφυτευθεὶς καὶ δοθεὶς μονιμώτερός ἐστιν. ἔστι γὰρ ὄλβος ἐπλούτισε καὶ εὐδαίμονα πεποίηκε τῷ πλούτῳ τὸν Κινύραν ἐν Κύπρῳ τῇ νήσῳ, τούτου καὶ Ὅμηρος μεμνημένος·* (Iliad. λ'. 20.) " Τόν ποτε οἱ Κινύρας δῶκε ξεινήιον " εἶναι."

32. Ἴσαμαι δὲ *ποσοὶ πούροις*] *ἐπειδὴ τοῦ Κινύρου ἐν ὑστεροῦσι μαι τῶν διὰ Διὸς τὸν πλοῦτον ἐπησφάρου ποιουμένου", ἐπιλαμβάνεται ἑαυτοῦ ὁ Πίνδαρος. ἵνα μὴ παρεμβῇ, πλείονα εἰς τὸν περὶ Κινύρα λόγον μεταφέρων ἀπὸ τῶν πεπαθλων, φησὶν, ἴσαμαι περὶ παλαίσαι, εἰ τύχοι, τὸ πνεῦμα συλλιγόμενος. Ἄλλως. ἀντὶ τοῦ, παύομαι. πάλιν δὲ ἐπιχειρεῖ τοῖς τῶν Αἰγινητῶν παρεῖσι μέλλων, καὶ ἀγῶνα τὴν ἐπιχείρησιν γινώσκων, ἀναπτεῖν βούλεται, καὶ ὥστε ἐκ διαλείμματος πάλιν ἀγωνίζεσθαι, ὃν τρέ-*

* deest *ὑπεμνήσατο*.

σω οἱ τὰ πίνακα λαμπρύνοντες καὶ καινοποιοῦντες. Ἄλλως. οἱ μεγάλα φωνοῦντες Φίλοντες, οἷον τραγῳδοί, προσανατείνουσιν ἐπὶ πολὺ, ἵν', ὅταν ἀναφωνήσωσιν, ἐξαρκέσῃ ἐπιπλέον ἡ φωνή. πολλαὶ οὖν, φησὶ, περὶ τοῦ Κινύρου κατασβέσθηναι ἱστορίαι καὶ διάφοροι, διὸ ἀναστὰς περὶ εἰπεῖν. πολλὰ γάρ μοι περὶ τῶν Αἰακιδῶν λέγεται· ἡ πολλὴ μοί ἐστι μελέτη καὶ φροντὶς ὑπὲρ τῶν εἰς Αἰακίδας ἐγκωμίων.

34. Νικηφὸρ δ' ἐξευρόντα δόμους βασάνῳ εἰς ἔλεγχον] ἐμὲ δὲ νῦν, φησι, καινολογῆσαι περὶ τοῦ Κινύρου, παρώσαντα τὰ κοινῶς ἱστορούμενα, κινδυνώδες ἐστιν. ἐὰν γάρ τι καινοεργῶ, ἀσεπτηθήσομαι. ἢ οὖν· πώτερα δ' ἐγκώμια ἐξευρόντα καὶ ἐπινοήσαντα τῇ τῶν ἀφρόντων κρίσει δοῦναι περὶς διάκρισιν καὶ δοκιμασίαν, ἐπικίνδυνον. βασάνῳ δὲ, ἤτοι διαβολῇ, κρίσει. βασανίζοντες γὰρ οἱ ἀφρονται τὰ λεγόμενα, κρίσιν διδόασιν.

36. Ὅψον δὲ λόγοι φθονεροῖσι] τοῦτο πρὸς τοὺς ἀντεπέχοντας· τοῖς φθονεροῖς οἱ λόγοι εἰς διαβολὴν τῶν κατηγορουμένων, ὄψον εἰσὶν, ἤτοι προσόψημα, τουτέστιν, οὐχ ἑτέρῳ χρῶνται προσοψήμασι οἱ φθονεροὶ, ἢ τοῖς εἰς διαβολὴν λόγοις.

37. Ἄπεστιν δ' ἰσλῶν αἰεὶ] ἀπὸ τῶν φθονούντων ἐπὶ τὸν φθόνον μετάγαγε τὸν λόγον· οὐ τῶν τυχόντων, φησὶν, ἄπεστιν ὁ φθόνος, ἀλλὰ τῶν μειζόνων. οὐδεὶς γὰρ Θερσίτην φθονεῖ, ἀλλ' Ἀγαμέμνονι. χείρεσιν οὖν οὐκ ἰρίζει· ὁ γὰρ φθόνος εἰς καλὰ βαίνει. Τὸ, ἀμφικυλίσας φασγάνῳ, (40) ἀντὶ τοῦ, ξίφει περικυλίσας. τοῦτο δὲ ἐκ τοῦ συμβεβηκότος ἀπὸ τῆς κατασκεύσεως τῆς κατὰ ἀναίρεσιν φησιν.

41. ἦ νιν' ἔγλωσσον μὲν] ἔγλωσσον δή τινα ἢ ἄλλον *, ἤτοι δὲ ἄλκιμον, ἢ ἀνδρεῖον, ἢ λυγρῇ γήρει καθέχει λήθη ἢ θάνατος, τουτέστι, ἢ ἐτερός τις τῶν ἀλαλητέρων φθονοῦντες ἀδίκως ἐστιλίτευσεν, ἢ οἷς καὶ ὁ Αἴας. Ἄλλως. τοῦτο δὲ ὡς πρὸς τὸν Αἴαντα. Φίλει δὲ εἰπεῖν, ὅτι φιλονικίας οὔσης καὶ ἔριδος, τὸν ἀνδρεῖον τὸ σῶμα, ἀσθενῆ δὲ τὴν ἀπόκρισιν, λήθη κατέσχεν. ὁ δὲ νοῦς· καὶ δὴ, τὸν μὴ τῷ λόγῳ μὲν ἐκανὸν, ἀνδρεῖον δὲ σῶμα μόνον ἔχοντα, μεγάλη λήθη ἐν τῇ πρὸς τοὺς ἐχθροὺς μάχῃ καὶ στάσει κατέσχε. κατεκαλλίσταται γὰρ τῷ λόγῳ καὶ οἱ πάνυ ἀνδρεῖοι καὶ βαρύσωμοι ὑπὸ φρονίμων. τὸν γὰρ ἐν τῷ λέγειν μὴ δυνὸν, μηδὲ σοφιστὴν τῷ λόγῳ ὁ τοιοῦτος ὑπερβάλλει. αἰόλῳ δὲ ψεύδει τῷ ποικίλῳ φησὶ καὶ πιθανῷ· μίγνυσι γάρ ἐστι τῷ ποικίλῳ δόλῳ γήρας, φησὶ, διὰ τὸ τοῦ λόγου πιθανὸν, ὅτι ὁ πιθανὸς λόγος καὶ τὴν ἀλήθειαν οἶδε πολλάκις ἀπατᾶλίστευειν. Ἄλλως. μίγνυσι νέμεται γήρας τῷ ποικίλῳ ψεύδει. οἱ γὰρ ποικίλως ψευδόμενοι ἀπαδοχῆς συγχέουσι παρὰ τοῖς ἀνθρώποις. τούτου δὲ ἀπόδειξιν ἐποιήσατο τὰ ἑφεξῆς.

44. Κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ] κρυφίαισιν, ἤτοι ταῖς ἀδίκοις, ἢ ταῖς κρύφα φερομέναις ψήφοις· οὕτω γὰρ φέρονται. Ὀδυσσία γοῦν βασκήναντα τῷ Αἴαντι οἱ Ἀχαιοὶ κρυφίας ἐνεγκόντες ψήφους περὶ τῶν Ἀχιλλέως ὅπλων ἐθεράπευσαν οὐκ ἐρθῶς. Ἴδιοι γὰρ Αἴαντα κτεῖναι.

48. Ἦ μὰν ἐνόμισά γε] οὐχ ὁμοιά, φησι, τραύματα ἔλαβον ἕ τε Αἴας καὶ Ὀδυσσεὺς, τουτέστιν, οὐ τὸν αὐτὸν τρόπον οὐδὲ ἐξέσε τοῖς Τρωσὶν ἐκολίμπανον, ἀλλ' ὁ μὲν Ὀδυσσεὺς ἑλιλὸς ἦν, ὁ δὲ Αἴας ἀθῷτο εἰς τοὺς πολεμίους. Θερμὰ δὲ ἴλκη τὰ φλεγμαίνοντά φησι. πολεμιζόμενοι δὲ, ἀντὶ τοῦ πολεμίζοντες, ἐνεργητικοῦ, καὶ διακονοῦντες. ὁ δὲ Ἀρίσταρχος οὕτως· ἀνόμοια πλήγματα τοῖς πολεμίοις ἕ τε Ὀδυσσεὺς καὶ ὁ Αἴας ὑπὸ ἀλειμμένου λόγχης πενόμενοι. τῇ δὲ Αἴαντος ἀνδρείᾳ καὶ Ὅμηρος μαρτυρεῖ· (Od. σ'. 309. 10.)

— ὅτι μοι πλεῖστα χαλκήρεα δοῦρα
Τρῶες ἐπιῤῥίψαν περὶ Πηλείωνι θανόντι.

54. Ἐχθρὰ δ' ἄρα πάρφασις ἦν] πάρφασις, παραλογισμὸς καὶ παράστασις, ἢ ἀπάτη. ἐν ἴδιοι δὲ περιήγαγε τὸν λόγον. ἄρα, φησὶ, καὶ τότε ἦν ἡ ἐχθρὰ ἀπάτη, ἡ ἀπατητικῶν λόγων σύμφυτος καὶ δολοφραδὴς, καὶ ὄνιδος οὖσα παντοίων. Ἄλλως. ταῦτά, φησι, δυσπαρηγορήτων ἐπὶ τῷ ἀδίκως ἀναιρεθῆναι τὸν Αἴαντα διὰ τὰ ψεύδη τοῦ Ὀδυσσέως. διὸ καί φησιν· ἦν ἄρα τις καὶ παρὰ τοῖς ἥρωσιν ἀπάτη, οὐ μόνον παρ' ἡμῖν.

58 Τῶν δὲ ἀφάντων νῦδες συντίνει (sic) σαθρὸν] ἀφάντων, ἀντὶ τοῦ ἀφανῶν, ἰσταλῶν. Τὸ δὲ ἀντίνει, ἀντὶ τοῦ ἀναστίνει, ἐκαίρει, σαθρὸν, πρὸς ὀλίγον. ὁ δὲ τοιοῦτων δὲ ἀδήλων τὸ νῦδος μηκαλόνει καὶ ὑψοῖ σαθρὸν αὐτῶν τὸ κλέος. εἰκότως γὰρ ἡ τῶν ἀδίκων δόξα καὶ ὑπάπτωσις.

59. Εἰη μή ποτέ μοι τοιοῦτον ἦθος, Ζεῦ πάτερ] Ὦ Ζεῦ, μὴ γένοιτό μοι τὸ ἦθος τοιοῦτον, ἀλλὰ τὰς τοῦ βίου μοι κιλεύθους καὶ ὁδοὺς ἀπλανῶς φύλαξον, τουτέστιν, ἁπλῶς καὶ ἀπαραπόδιστος ἀνύσιμι· ἔστως μὴ τιλεντήσας τοῖς φασί μου κακὴν κατακλίνω φήμην, τουτέστιν, ἵνα μὴ δυσφημηθῶσιν οἱ ἐμοὶ παῖδες, ἄδικά μου πράξαντος.

63. Χρεὼν δ' εὔχονται, φιδίου δ' ἵτιρος ἀπείρωντος] ἵτιρος μὲν οὖν χρεὼν πολὺν εὔχονται, κτήσασθαι δηλονότι, ἄλλως δὲ γῆν πολλὴν πρὸς γιωργίαν· ἐγὼ δὲ εὔχομαι τοῖς πολίταις ἀρίσα καὶ τιθνάναι, ἐκαινῶν μὲν τὰ ἄξια τοῦ ἐκαινῆσθαι, ψόγου δὲ καὶ μίμψιν τῶν ἀδίκως ἐμβάλλων.

* Leg ἄλλον.

68. Αὔξεται δ' ἀριστὰ χλωραῖς ἱέρσαις] ἀντὶ τοῦ, ταῖς χλωροποιοῖς δρόσοις· αὔξεται γὰρ τῶν φυτῶν αὐξητικαί. τὸ δὲ ἑξῆς· αὔξεται δὲ ἀριστὰ, ἰνσοφῶς τι καὶ δικαίοις τῶν ἀνδρῶν ἀρθεῖσα, ὡς ὅτι δένδρον χλωραῖς ἱέρσαις πρὸς ὑγρὸν αἰθέρα. ὁ δὲ νοῦς· αὔξεται δὲ καὶ ἡ ἀριστὴ τῶν ἀνδρῶν ὑψωθεῖσα τοῖς σοφοῖς καὶ δικαίοις λόγοις τῶν ποιητῶν, ὥσπερ καὶ φυτὸν ἰσαίρεται πρὸς αἰθέρα καὶ αὔξεται ταῖς χλωροποιοῖς δρόσοις. ἢ οὕτως· ὥσπερ δένδρον ὕδατι ποτιζόμενον εἰς ὕψος αὔξεται. ἢ οὕτως· ἡ ἀριστὴ τῶν δικαίων ἰσπευγχάνουσα ὑψοῦται. τὸ δὲ ἑξῆς· ὡς δένδρου αἴσσει πρὸς αἰθέρα ὑγραῖς ἱέρσαις, οὕτω καὶ ἡ ἀριστὴ σοφοῖς ἀνδράσι καὶ δικαίοις αὔξεται ἀιρθεῖσα.

71. Χρεῖαι δὲ πάντοῖαι φίλων ἀνδρῶν] καὶ πᾶσαι χρεῖαι τῶν προσφιλῶν ἀνδρῶν, φησὶν οἱονεί· καὶ σχεδὸν πᾶσα ἀνδρῶν προσφιλῶν καὶ δικαίων αὐξάνεται τοῖς ὕμνοις, ἐξόχως δὲ τὰ περὶ πόνους κατορθώματα. Ἄλλως. κατὰ πολλά τις χρείαν ἔχει, φησὶ, τῶν φίλων ἀνδρῶν. οὐ διὰ πάντος δὲ τῶν αὐτῶν εἰσὶν αἱ χρεῖαι, ἀλλ' ἄλλοτε ἄλλου, πῆ μὲν ἐν τοῖς πόνοις καὶ ἔργοις, πῆ δὲ καὶ στέρνοισι ἐρῶν τις τὸν φίλον· οὗ δὲ δηλαδὴ τοῦ Πινδάρου χρεία, ἵνα ὑμνήσῃ τὸν νικηφόρον.

73. Μαστύει δὲ καὶ στέρψις ἐν ὄμμασιν] ἐπιζητεῖ δὲ καὶ ἡ τῶν ὀμμάτων στέρψις τὸ ποιητὸν, ὅτι δίδοται ἐν ὄμμασι, τουτέστι, θεωρῆσαι. καὶ ἡμεῖς δὲ φιλοῦντες ὑμᾶς κατὰ ἀλήθειαν, θεωροῦντες τερπόμεθα. Εὐριπίδης· (Ion. 732.)

Εἰς ὄμμαθ' ἥδον φωνὴ (ἡμ) βλέπειν γλυκύ.

75. Ὦ Μίγα] ὡς τιθηπόντος τοῦ Μίγα οὕτω φησίν· ἡμεῖ δὲ ἀδύνατον, ὦ Μίγα, τιθηπόντος σου τὴν ψυχὴν ὑπὸ ὄψιν καὶ πίστιν ἀγαγεῖν.

77. Κυνέαν δ' ἐλαφείαν χαῦνον σίλος] τουτέστιν, ἐὰν ἐλαφίου τὰ ἀδύνατα, κενὸς ἔσομαι. ἢ οὕτω· τῶν δὲ ματαίων ἐλαφείαν ἀσθενὴς καὶ ἀδύναμος ἡ ἴαβασις.

79. Σεῦ δὲ πάτερα Χαριάδαις τι] Χαριαδῶν φυλὴ, ἀφ' ἧς ὁ νικηφόρος. τὸ δὲ ἑξῆς· τῇ δὲ σῇ πατρίδι καὶ τοῖς Χαριάδαις ἀναστρίζαι καὶ ὑστριῶσαι ὕμνον μουσικὴν σήλην βούλομαι, ἵνα κα τῶν δυνατῶν σου ποδῶν καὶ νικηφόρων. δρόμῳ γὰρ ἐνίκησαν. ὁ δὲ νοῦς ὅλος· τὸ μὲν ἀναστῆσαι τὸν τιθηπῶτά, φησιν, ἀδύνατόν μοί ἐστι. τῇ δὲ πατρίδι καὶ τῇ φυλῇ, ἥ ἐστι Χαριάδαι, ὑστριῶσαι λίθον μουσεῖον, τουτέστι σήλην ἀπὸ Μουσῶν, ὕμνον τὸν ὕμνον, δυνατός εἰμι, ἐφ' οἷ ἡδυσμένοι ἔσονται ἔνδεξοι. Λάξρον δὲ τὸν λίθον τῶν Μουσῶν ἀλληγορικῶς τὴν ἀπὸ τῶν λόγων ὕμνον σήλην φησί. λάξρον δὲ, διὰ τὸ ῥύμπτειν χρῆσθαι τοὺς ποιητάς.

82. Χαίρω δὲ πρόσφορος] χαίρω ὅταν ᾖ, φησὶ, τὰ πεπραγμένα πρόσφορα τῷ λόγῳ· χαίρει δὲ περὶ τῶν διὰ τοῦ ὕμνου πάμπαν ποιητὴς δέ τις τοῖς ὕμνοις ἀνάθημα τίθησι τὸν πόνον τῷ νικηφόρῳ. Ἄλλως. τοῖς ἰσῳδαῖς, φησιν, ἀνάθημά τις ἔθηκε τὸ πάμπαν. ἐθέκνου γὰρ οἱ ἀρχαῖοι ταῖς ἰσῳδαῖς ἔπεσι καὶ διεκπαίειν εὐρίσκειν. Ὁμήρου· (Odyss. σ'. 457.) " Ἐκπαιδοὶ δ' αἶψα " πελάσιον ἔσχιθον." πρὸς τί δὲ τοῦτο λέγειν; ὅτι, ὡς ἐκπαιδῆ τὶς χρησάμενος ποφίζει τὸν πάμπαν, οὕτω καὶ ἐγὼ ὡς ἐκφδῇ χρησάμενος τῷ ὕμνῳ πουφίσω τὸν πάμπαν θεῖναι τοῦ ἀθλητόντος.

85. Ἦν γε μὲν ἐπικώμιος ὕμνος δὴ πάλαι] τουτέστι, τὰ ἐγκώμια ἐγράφετο καὶ πάλαι, πρὶν καὶ τοὺς Ἀργείους ἐστεφανῶσαι ταῖς Θήβαις, τουτέστι, πρὶν τὰ Νίμεια τιθῆναι, ἦν ἐγκώμια. τραπεισάντων γὰρ τῶν περὶ Ἄδραστον ἐπὶ Θήβας, ὁ Ἀρχέμορος ὑπὸ τοῦ δράκοντος διεφθάρη, οἱ δὲ ἐπ' αὐτῷ τοῦ μόρου ἄξαντες τὰ Νίμεια ἔθηκαν.

Carmen IX.

Περὶ τῶν κώλων τοῦ ἐννάτου τῶν Νεμέων εἴδους.

Η ΕΝΝΑΤΗ φδὴ μετοχοφική ἐστι κατὰ δωδεκάδας διῃρημένη. Τὸ α' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ β' τὸ αὐτό. Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' δακτυλικὸν πενθημιμερές. Τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ϛ' δακτυλικὸν πενθημιμερές. Τὸ ζ' ἐγκωμιολογικὸν μετασταθὲν τῆς πρώτης ἐπὶ τὴν ἐσχάτην. Τὸ η' ἰαμβιλλιγγος, μετασταθεὶς τῆς τελευταίας ἐπὶ τὴν ἀρχήν. Τὸ θ' πενθημιμερὲς δακτυλικόν. Τὸ ι' δίμετρον ἰαμβικὸν ἀκατάληκτον. Τὸ ια' τὸ αὐτό. Τὸ ιϛ' πενθημιμερὲς ἰαμβικόν.

Χρομίῳ Αἰτναίῳ.] Ὁ Χρόμιος οὗτος φίλος ἦν Ἱέρωνος, καταταθεὶς ὑπ' αὐτοῦ τῆς Αἴτνης ἐπίτροπος· ἔθεν καὶ Αἰτναῖος ἐκαλεῖτο. αὗται δὲ αἱ ᾠδαὶ οὐκέτι Νεμεονίκαις εἰσὶ γεγραμμέναι. διὸ περιχαρισάμενοι φέρονται.

1. Κωμάσομεν πρὸς Ἀπόλλωνος] ἀπὸ τοῦ χοροῦ ὁ λόγος. ἔνιοι δέ, κωμάσομεν εἰς τὴν Αἴτνην, φασίν.

2. Σικυωνόθεν Μοῦσαι] περὶ τῶν ἐν Σικυῶνι Πυθίων· ὁ Ἀλικαρνασεὺς οὕτω γράφει· φησὶ δὲ, ἐν τῷ πολίσματι τῶν Κρισαίων κατὰ θάλασσαν ῥᾳδίως τὰ ἐπιτήδεια περιζομένων, καὶ διὰ τοῦτο μακρᾶς γινομένης τῆς πολιορκίας, Κλεισθένην τὸν Σικυώνιον, ναυτικὸν ἴδιον παρασκευάσαντα, κωλῦσαι τὴν σιτοπομπίαν αὐτῶν, καὶ διὰ ταύτην τὴν ὑποχείριον τὸ τρίτον τῶν λαφύρων ἰδόσαν τῷ Κλεισθένει, καὶ Σικυωνίαν, ἀφ' οὗ καὶ Σικυώνιοι τὰ Πύθια πρῶτον παρ' ἑαυτοῖς ἔθεσαν.

3. Τὰν πεπτίσαν] πέπτισον δὲ ταύτην φησὶν, ἐπειδὴ ἦν ὁ Ἱέρων πρωτ αὐτὴν ἀνακτίσας, πρότερον Κατάνην καλουμένην. Ξείνων δὲ Θῆραι, αἱ τῆς φιλοξενίας. Τὸ δὲ νενίκανται, ἀντὶ τοῦ ἥττηνται. ἀνεῖ οὖν εἶκουσαι ξένῳ, καὶ οὐδένα ὑπολαύουσαι, νικῶσαι τῇ φιλοξενίᾳ τοῦ νικηφόρου. ἢ, νίκας ἔχουσιν. ἐν οἷς τρόποις ἐστεφανῶσθαι τόνδε, ἀντὶ τοῦ, στέφανον ἔχειν· τὴν δὲ ὅλην Αἴτνην εἰπὼν ἐπήνεγκε Χρομίου δῶμα, ὅστε ὅμοιον εἶναι τῷ· (Odyss. Υ'. 362. 3.)

Ἦ δ' ἐς Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη,
Ἐς Πάφον.

ὁ δὲ νοῦς οὕτω χορεύσωμεν, ὦ Μοῦσαι, καὶ ὑμνήσωμεν ἐκ Σικυῶνος ἥκουσαι, καὶ στᾶσαι* τοῦ ἐπίκλην Ἀπόλλωνος εἰς τὴν καλλίστην Αἴτνην, ἐν ᾗ πᾶσιν ἀνεῳγυῖαι Θύραι τοῦ Χρομίου τῆς οἰκίας ἥπτηνται ὑπὸ τῶν ξένων, ἵνα θᾶσσι ξένοις ὁ πλούσιος οἶκος ἀνέῳκται ὑπὸ φιλοξενίας ἡττηθείς. ἄγε δὴ οὖν, ὦ Μοῦσαι, διανύσασα καὶ ᾠράσσετε τοὺς ἡδυτάτους διὰ λόγων ὕμνους. τὸ γὰρ τοὺς λοιποὺς κρατοῦν καὶ νικᾶν ἅρμα ἱλαύνων ὁ Χρόμιος τῇ τε Λατοῖ καὶ τοῖς δυσὶν αὐτῆς παισὶ τὸ θαυμάζεσθαι δίδωσιν, οὕτω αὐτῶς τῆς ὑψηλοτάτης Πυθῶνος καὶ ὁμοκλήρους καὶ ἴσους ἱστορότος.

8. Τὸ κρατήσιστον γὰρ] κρατήσιστον ἤτοι τὸ συνίσχον ἐν τάξει τοὺς ἵππους, ἢ κρατοῦν καὶ νικᾶν τοὺς ἐναντίους.

13. Ἔστι δέ τις λόγος ἀνθρώπων, τετιλισμένον ἐπὶ μὴ χαμαὶ σιγᾷ καλύψαι] ἔστι γάρ τις παλαιὰ παροιμία καὶ παρὰ ἀνθρώποις ᾠδομένη, ὡς οὐ δεῖ τὸ ὑπό τινος κατεργαζόμενον καλὸν σιγῇ παραδίδοναι, ὅστε εἰς γῆν κατενεχθῆναι, καὶ ἄδηλον διὰ τῆς σιωπῆς γενέσθαι. τὸ οὖν ἐπιτιλεισμένον ἔργον οὐ δεῖ, φησι, τῇ σιγῇ παραδίδοναι, οὐδ' ἀπιστήμαντον ἀφιέναι.

16. Θεσπιείᾳ δ' ἐπίων καύχας (sic) ἀοιδὰ πρόσφορος] τοῖς νενικηκόσι, φησί, πρόσφορός ἐστι καὶ ἰοικυῖα ἡ διὰ τῆς καυχήσεως φδή· τίνες γὰρ ἄλλοι μᾶλλον καυχᾶσθαι ἢ οἱ νικήσαντες; Ἀττικοὶ δὲ λέγουσι καύχην τὴν καύχησιν, ᾗ ἄυθην, ᾗ ἄυθησιν, ᾗ βλάβην, ᾗ βλάθησιν. ἢ, οὕτω προσφορωτέρα ἐστὶ τῆς καυχήσεως ἡ τῶν ἵππων φδή· ἢ πρόσφορος καὶ ἀγαθή τις ἡ τῆς τῶν ἵππων καυ-

* L. παρά.

χήσιος φδὴ, ἢ παυχηστικὴ φδή.¶ ὁ δὲ νοῦς· ἀλλ' ὅτι περίφρων ἦν καὶ ἀρμόζουσα τούτοις θαυμαστή τις λόγων φδή.

18. Ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγα] ἑαυτῷ παρακελεύεται ὑμνεῖν τὸν νικηφόρον. βρομία δὲ ἡ φόρμιγξ, ἤτοι παρὰ τὸν βρόμον καὶ τὸν ἦχον τὸν τιλούμενον κατὰ τὸν κιθαρισμὸν, ἢ βρομίαν, τὴν συναναστρεφομένην τῷ Διονύσῳ. Ὅμηρος· (Odyss. ρ'. 271.)

Φόρμιγγός θ' ἣν δαιτὶ θεὸς ποίησεν ἑταίρην.

ὁ δὲ νοῦς· διὰ τοῦτο δὴ σὺν πᾶσιν ἀοιδάνεις μουσικοῖς, τοῦτο μὲν πιθάρᾳ, τοῦτο δὲ αὐλῷ, ἁρμήσωμεν ἐπὶ τὴν πορφὴν τῶν ἐπινικίων ἄθλων, ἐπὶ τὸ ἱξαίρετον, τουτέστι, τὴν νίκην.

20. Ἄστι] ἄστυ τὰ Πύθια, φησι, Φοίβῳ θῆκεν Ἄδραστος κατ' αὐτὸν τὸν Πίνδαρον· ἀνατίθησι γὰρ τὴν τῶν Πυθίων θέσιν ἐν Σικυῶνι Ἀδράστῳ, ποιητικὴν ἄγων ἄθεσιν, Κλεισθένους αὐτὰ διαθέντος, καθὰ δεδήλωται. ἵνα οὖν ἐνδεξότερον ἀποφήνῃ τὸν ἀγῶνα, ὃν φησὶν, ἄθλων μνημονεύσας ἐγὼ, καὶ τῶν ἐνδόξων μνησθήσομαι τιμῶν τοῦ ἥρωος Ἀδράστου.

25. Ὅς τότε μὲν βασιλεύων] ὅτις Ἄδραστος τὸ ταινιοῦσθαι λοιπὸν ἐκεῖ βασιλεύων ἐν Σικυῶνι, οὐκέτι ἐν Ἄργει, ταυτοίαις ἀρεταῖς, τοῦτο μὲν ἀγωνίσμασιν ἀνδρῶν τοῖς ἐν δυνάμει, τοῦτο δὲ φιλοκαλίαις ἑρμάτων γλαφυρῶν καὶ ᾠραίων καὶ καινοτέραις ἐνοχίαις, ἐμφανιζάτην καὶ ἀοίδιμον ἑαυτὸν τὴν πόλιν. καὶ Κλεισθένης μὲν τὰ ἐν Σικυῶνι Πύθια διέθηκε πρῶτος, ἀνατίθησι δὲ τὸ ὅλον Ἀδράστῳ κατατίθεται, ἐπειδὴ καὶ διωρθώσατο αὐτὸς [ὕστερον,] καὶ ἄλλως ἐνδεξότερος ὁ ἀγών.

30. Φεύγει γὰρ Ἀμφιάρεων] περὶ τῆς Ἀδράστου εἰς Σικυῶνα μεταστάσεως Ἡρόδοτος μὲν ὧδε φησίν· (v. 67. p. 405. Wess.) "Οἱ δὲ Σικυώνιοι εἰώθεσαν κάρτα τιμᾶν τὸν Ἄδρηστον. ἡ γὰρ χώρη αὕτη ἦν Πολύβου· ὁ δὲ Ἄδρηστος ἦν Πολύβου θυγατρίδιος, ἅπασι δὲ ὁ Πόλυβος τιλευτῶν δίδοῖ Ἀδρήστῳ τὴν χώρην." Μίναιχμος δὲ ὁ Σικυώνιος οὕτω γράφει· "χρόνου περιελθόντος πολλοῦ Πρόνακς μὲν ὁ Ταλαοῦ καὶ Λυσιμάχης τῆς Πολύβου βασιλεύων Ἀργείων ἀποθνήσκει, καταπαθὴς ὑπὸ Ἀμφικτύονος καὶ τῶν Ἀναξαγορίδων. Ἄδρηστος δὲ ὁ ἀδελφὸς τοῦ Πρόνακτος φυγὼν ἦλθεν εἰς Σικυῶνα, καὶ τὴν Πολύβου μητροπάτορος βασιλείαν λαβὼν ἐβασίλευσε τῆς Σικυῶνος, καὶ τῆς Ἥρας τῆς Ἀλιξάνδρου καλουμένης ἱερὸν καθ' ὅντιν' ἅρπις τόπον ἱδρύσατο. τὴν δὲ ἱστωνυμίαν ἔλαβε ταύτην τὸ ἱερὸν, διὰ τὸ φεύγοντα τὸν Ἄδρηστον ἱδρύσασθαι, καὶ καλέσαι ἱερὸν Ἥρας Ἀλιξάνδρου. τὸ δὲ φυγεῖν τινες ἐλλᾶσθαι ὑπέμαζον." Δωσιχίδας δὲ ἐν τῷ τρίτῳ τῶν Μεγαρικῶν τὸ μὲν πατέρων τοῦ Ἀδράστου ἐν Σικυῶνί φησιν, ἀποπεσθαι δὲ αὐτὸν ἐν Μεγάροις. οἱ δὲ φασιν Πρώτου ἐβασίλευσε τοῦ Ἄργους, τῶν θυγατέρων δὲ αὐτοῦ μανισῶν, Μιλάμπους μάντις ὢν παρεγένετο· ὁμολογηθέντος δὲ αὐτῷ βίᾳ θεῖν τῶν δυεῖν μερῶν τῆς βασιλείας, ἐκάθηρεν αὐτάς· ὡς δὲ ἐκάθηρεν, ἔλαβε κατὰ τὴν ὑποσχεσιν, καὶ τὸ μὲν ἥμισυ ἐκοινώνησατο τῷ ἀδελφῷ Βίαντι, τὸ δὲ ἥμισυ κατέσχεν αὐτῷ, ὅτι γενέσθαι τὴν ὅλην βασιλείαν τριμερῆ, Μιλαμποδίδας, Βιαντίδας, Περαντίδας. Μιλάμποδος μὲν οὖν Ἀντιφάτης, οὗ Οἰκλῆς, οὗ Ἀμφιάραος· Βίαντος δὲ Ταλαὸς, οὗ Ἄδραστος· Περάντου Μεγαπένθης, οὗ Ἰφινόης, οὗ Καπανεὺς, οὗ Σθένελος. διαφορὰ δὲ ἐγένετο περὶ Ἀμφιάραον ᾗ Ἄδραστον, ὅτι τὸν μὲν Ταλαὸς ὑπὸ Ἀμφιαράου ἀποθανεῖν, τὸν δὲ Ἄδραστον φυγεῖν εἰς Σικυῶνα καὶ γῆμαι τὴν Πολύβου θυγατέρα. τελευτήσαντος δὲ τοῦ Πολύβου χωρὶς ἐκγόνου ἄρσενος, τὸν Ἄδραστον ἔχειν τὴν Σικυωνίων βασιλείαν. εὐλόγως οὖν εἶπε· φεύγει γὰρ Ἀμφιάρεων Ἄδραστος διὰ τὴν φάσιν τὴν περὶ τοὺς Μιλαμποδίδας. ὕστερον μέντοι συμπλακέντες πάλιν, ἐφ' ᾧ συναλλάξει τῇ Ἐριφύλῃ ὁ Ἀμφιάραος, ἵν' εἴ τι μέγ' ἔρισμα μιν' ἀμφοτέροισι γένηται, αὐτὴ διαστᾷ. ὁ δὲ νοῦς οὗτος· ἔφυγε γὰρ πρὸ τούτου πολέμιον ὄντα τὸν Ἀμφιάραον, καὶ τὴν πρὸς αὐτὸν φάσιν διενὴν ἔσαν ἔφυγε καὶ ἐκ τῆς πατρῴας ἑστίας καὶ ἀπὸ Ἄργους.

32. Ἀρχοὶ δ' οὐκέτ' ἦσαν Ταλαοῦ παῖδες] οὐκέτι δὲ εἰς ἄρχοντας ἠριθμοῦντο ἐν τῷ Ἄργει οἱ Ταλαοῦ παῖδες, οἱ περὶ Ἄδραστον βιασθέντες ἐν τῇ φάσει καὶ τῷ πολέμῳ τῷ πρὸς Ἀμφιάραον. ἔφυγε γὰρ Ἄδραστος.

35. Κρίσσων δὲ παπαῖ δίκαν τὰν πρόσθεν ἀνὴρ] ὁ δὲ ἰσχυρὸς ἀνὴρ τὸ προσπεσὸν δίκαιον παπαπαῖ. ἐν ἄλλοις Πίνδαρος· (Fragm. p. 107 sq.) "Νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων ἄγει δικαιῶν τὸ βιαιότατον ὑπερτάτᾳ χειρί." ἢ διαπίστου τοῦτο εἰρῆσθαι διὰ τὸν ἔχθραν τὴν ἐπὶ τῷ Ἀδράστῳ. διὸ δὴ καὶ οὗτος ἰσχυθεὶς τότε ὑπὸ Ἀμφιαράου ὕστερον αὐτὸν μετῆλθε, κρείσσων φανεὶς καὶ σοφώτερος. πῶς δὲ μετῆλθε; μίσει πεπεσάμενος τὴν Ἐριφύλην τῶν περὶ αὐτὸν συμφορῶν*. ἔφθειρε γὰρ ἐπίηπη τῇ δίστι τοῦ ἄρμου, καὶ μετῆλθεν αὐτὸν, ὅτι ἀπολέσθαι. Ἀνδρομάχην δὲ, τὴν τὸν ἄνδρα ἀπολοῦσάν φασιν. ἡ γὰρ Ἐριφύλη τὸν ἑαυτῆς ἄνδρα Ἀμφιάρεων προὔδωκεν εἰς φόνον. μιμήσεται τοῦτον καὶ Ὅμηρος· (Odyss. λ'. 325. 6.)

— — συγιερὴν τ' Ἐριφύλην

* f. διαφορῶν.

Ἡ χρυσὸν φίλαν ἀνδρὸς ἰδίξατο τιμήεντα.

ὁ δὲ νῦν· συνιτὸς ἀνὴρ ἢ κρείσσων τῶν λοιπῶν ὁ Ἄδραστος κατίκαυσε τὴν μάχην τὴν πρωτίραν οὕτω· τὴν ἀδελφὴν αὐτοῦ τὴν Ἐριφύλην τὴν τὸν πρότερον ἄνδρα δαμάσασαν ἴδωκε τῷ Ἀμφιαράῳ, ἥτις, ὥσπερ τις ὄρνις πιστότατος, δαΐσσα τῷ Οἰκλίος παιδὶ Ἀμφιαράῳ, καὶ γυνὴ αὐτῷ γινομένη, ἔσχισε τὴν μάχην, καὶ οὕτω τῶν ξενοδοκόμων Ἑλλήνων ἐγίνοντο περιφανίστεροι οἱ περὶ Ἄδραστον.

41. Καί ποτ' ἐς ἑπταπύλους Θήβας] ἐντεῦθεν δὴ καὶ εἰς τὰς Θήβας ποτὲ τὰς ἑπταπύλους τράπεται ἤγαγον, οὐκ αἰσίους οἰωνοῖς χρησάμενοι, οἱ περὶ Ἀμφιάραον καὶ Ἄδραστον. οὐδὲ γὰρ ὁ Ζεὺς ἀστραπὴν δεξιὰν μηνύσας μαχῶνται αὐτοὺς καὶ ἐπιγομένους ἀπὸ τῶν φίλων ἀπεῖναι προσέταξεν, ἀλλὰ μᾶλλον ἀποσχίσθαι τῆς ἀφίξεως. οὐδὲν γὰρ αὐτοῖς ἰδεδόκει δεξιὸν σημεῖον. εἰς δὲ φαεινὰν ἄστην καὶ βλάβην τὸ τούτων ἔσεσθαι τράπεται, καὶ περιγενίσθαι σὺν τοῖς χαλκοῖς ὅπλοις φησὶ, τοῖς περὶ Σεβῆς καὶ τοῖς ἑπτεῦσιν.

52. Ἰσμηνοῦ δ' ἐπ' ὄχθαισι γλυκὺν νόστον ἱρυσάμενοι] τουτέστιν, ἀποθανόντες ἐπὶ τῇ τοῦ Ἰσμηνοῦ ἀναβολῇ. Λευκανδία δὲ λέγει τὰ σώματα· γίνεται γὰρ τὰ σώματα τῶν καιομένων νεκρῶν λευκά, ἢ ὅτι ὁ καπνὸς διὰ τὴν σιμικὴν λευκός ἐστι ἢ βαρύς, παρὸ οὐδὲ τόρρω διίκνεῖται μετέωρος, καθὼς ὁ ἐκ τῶν ξηρῶν ξύλων καπνός. ὁ δὲ νοῦς· συναγαγοῦν παρ' αὐταῖς ταῖς ὄχθαις τοῦ Ἰσμηνοῦ πεσόντες αὐτόθι καὶ τὴν οἰκεῖαν ἀναλαβόντες ἀπίθανον θανάτῳ λυθέντες, καὶ ἑαυτῶν τὰ σώματα τροφὴν δόντες τῷ πυρί. ἐπτὰ γὰρ ὅλαι πυρκαϊαὶ τὰ τῶν νεκρῶν, ἢ τὰ τῶν νίων, κατεσχήθησαν καὶ κατέφλεξαν σώματα. τὸ δὲ ἑπτὰ πυραί, οὐ πρὸς τοὺς λοχαγούς, ἀλλὰ πρὸς τὸ τῶν νίων τρατεύμα. ἰφ' ἑπτὰ γὰρ πύλῃ πολυάνδριον ἐγίνετο.

57. Ὁ δ' Ἀμφιάρηϊ (sic) σχίσε] τουτέστιν, ὁ δὲ Ζεὺς τῷ Ἀμφιαράῳ διέσχισε τὴν γῆν, πεφυκὼς βαλὰν, ὥστε καταθῆναι αὐτὸν τῷ πάντα βιαζομένῳ πεφυκῇ. τοῦτο οὖν λέγει, ὡς τοῦ Ἀμφιαράου συνεξαλμένου τῷ Περικλυμένῳ, ὃς ἦν υἱὸς Ποσειδῶνος καὶ Χλωρίδος τῆς Τυρισίου, ὁμωνύμου τοῦ* Νηλέως. περὶ οὖν, φησιν, ὑπὸ τοῦ Περικλυμένου τρωθῆναι τὰ νῶτα τὸν Ἀμφιάραον φεύγοντα, καταπαθῆναι. αἰεὶ γὰρ ἐπιδίωκεν αὐτόν. ὁ δὲ νοῦς οὕτως· ὁ δὲ Ζεὺς τῷ Ἀμφιαράῳ διέσχισε καὶ διέτησε τὴν γῆν τὴν πλατεῖαν, ἅπωθεν ἐπιστήμῳ τὸν πεφυκότα τὸν πεφυκότα, τὸν πάντας βιάζεσθαι δυνάμενον, καὶ οὕτως ὑπὸ τὴν γῆν ἐκρύφθη ὁ Ἀμφιάραος ἅμα τῷ ἅρματι τῷ ἑαυτοῦ, περὶ ἢ τῷ τοῦ Περικλυμένου δόρατι τρωθῆναι τὰ νῶτα φεύγοντος αὐτοῦ, καὶ αἰσχύνην προσρίψασθαι τῇ ἀνδρειοτάτῃ ψυχῇ αὐτοῦ τοῦ Ἀμφιαράου τὸν τοιοῦτον θάνατον.

63. Ἐν γὰρ δαιμονίοισι φίλοις] ἐν γὰρ τοῖς μεγίστοις καὶ ἐνθείοις φίλοις συνίσχυσαι καὶ οἱ τῶν θεῶν παῖδες καὶ φεύγουσι. συγγνώμη οὖν, φησι, καὶ τῷ Ἀμφιαράῳ φεύγοντι· ὁ γὰρ Ζεὺς συνεμάχει τότε τοῖς Θηβαίοις, διὸ ἔφευγε τότε ὁ Ἀμφιάραος. οὕτω καὶ ὁ Αἴας ἔφευγεν ἐντρεπαλιζόμενος, ὀλίγον γόνυ γουνὸς ἀναμείζων, τὸν Δία ἔχων ἀντιμάχην.

67. Πεῖραν μὲν ἀγάνορα] πεῖραν, τὴν ληστρικὴν ἐπίθεσιν.

Φοινικοτόλων ἐγχέων] μεθ' ὧν οἱ Φοίνικες ἐσάλησαν δοράτων, ἤτοι ὑπὸ Φοινίκων ἐσαλμένων, ἐπειδὴ Φοίνικες ᾤκησαν τὴν Λιβύην μετὰ Καρχηδονίων, οἵτινες ἀνέντες ἐκολίμου Σικελούς. διὸ νῦν εὔχεται ὁ Πίνδαρος τῷ Διΐ, ὥστε [μὴ] ἐμπεδισθῆναι αὐτῶν τὴν ὁρμήν. Ἄλλως. οἱ Καρχηδόνιοι ἦσαν τότε Φοίνικες, οἵτινες μίγα ἰσχύοντες ἐπέβαλον καὶ τῆς Ἰταλίας καὶ τῆς Σικελίας κρατῆσαι. ἀντεῖχον δὲ οἱ περὶ Γίλωνα καὶ Ἱέρωνα. διὸ καὶ φοινικόστολα εἶπεν ἔγχη, τὰ ὑπὸ Φοινίκων στέλλόμενα ἐπὶ τὴν Ἰταλίαν. τὸ δὲ λεγόμενον, ταυοῦτόν ἐστι· εἰ δυνατόν ἐστιν, ἀναβαλίσθαι τὴν πεῖραν, ἀναβάλλεμαι, περὶς εἰς πεῖραν τὰ Σικελικὰ καὶ Φοινικικὰ ἔγχη συμβαλλόμενα περὶ ζωῆς καὶ θανάτου, ἀναβάλλομαι αὐτὰ, ὦ Ζεῦ, καὶ ὑπερτίθεμαι. ἢ οὕτω· τὸν μὲν πόλιμον τὸν Φοινικικὸν ἀναβάλλομαι, ὦ Ζεῦ, αἰτῶ δέ σε καὶ ἱκετεύω, ὦ Ζεῦ, ὅστε ἐπὶ πολὺν χρόνον τοῖς τῶν Αἰτναίων παισὶν εἰρήνης μοῖραν παρέχειν. ἀπὸ μέρους δὲ τὸ πᾶν, ἀπὸ τῶν Αἰτναίων δηλοῖ τοὺς ῥύμπτανταις Σικελιώτας.

73. Ἀγλαΐαισι δ' ἀγυιόμοις ἐπιμίξαι λαὸν] καὶ πολλαῖς εὐφροσύναις ἐπιμίξαι τοὺς ὄχλους, εὐφροσύναις δὲ ἀναστρεφομέναις κατὰ τὴν πόλιν. εἰσὶ γάρ σοι ἐνταῦθα καὶ ἐπιφανέστατοι ἄνδρες καὶ νικῶντες τῇ περιουσίᾳ τὸν πλοῦτον, καὶ οὐχ ἡττώμενοι χρημάτων. ἢ οὗτος· εἰσὶν ἄνδρες ἐν Σικελίᾳ καὶ φίλιστοι καὶ ἐπιστρεφεῖς, ὡς νῦν ὁ Χρόμιος ἔπεσε νικηφόρος. εἰς τοῦτον γὰρ ἡ ἀπόστασις.

78. Ἄκιτον ἔπος· αἰδὼς γὰρ] ἄκιτον δὲ εἶπεν, ὡς ἔοικεν, ὅτι τὴν προαίρεσιν εἶσί τινες βελτίους χρημάτων. καὶ γὰρ αἰδὼς ὑποκλίνεται δίχα † τοῦ κέρδους, ἀντὶ τοῦ, οὐκ αἰδοῦνται διὰ κέρδος τί πρᾶξαι, ἥτις αἰδὼς εὐδοξίαν φέρει. καὶ ὅτι ἡ αἰδὼς, ἡ φέρουσα δόξαν, ἔστι ὅτε παραλογίζεται ὑπὸ φιλοκερδείας. Ἄλλως. κἂν τις, φησὶν,

* L. τῇ. † f. διά.

αἰδήμων ὑπάρχῃ, ὑπὸ τοῦ κήδους παραλογίζεται. ἵνα γὰρ τοῦ κήδους καὶ οἱ αἰδήμονες πολλάκις ἀναισχυντῶσι.

80. Χρομίῳ κτλ ὑπαντιζων] τῷ Χρομίῳ συμπαρὼν ἦν, ὅτε πεζομαχίᾳ ᾗ ἱππομαχίᾳ ᾗ ναυμαχίᾳ, ἵπειτας οἷός τις ὁ κίνδυνος ὁ τῶν πολίμων. φαίνεται δὲ, ὅτι βούλεται αὐτὸν ὡς ἀνδρεῖον καὶ διασώζοντα τοὺς συνόντας αὐτῷ ἀφόβως παρασῆσαι. ἐπεὶ πῶς ἂν ἀγαθὸς γένοιτο κριτὴς μετὰ δίους ἀνυπερφρόνους ἐν πολίμῳ;

85. Οὔπιπτε ἐν πολίμῳ πίνα Ζηὸς] ὁ λόγος ἐπὶ τῆς περιεργμένης αἰδοῦς. ἤδεσαν οὖν, φησὶν, ὅτι ἐν τῷ πρὸς τοὺς Φοίνικας πολίμῳ ἐπείνη ἡ Ζηὸς, δηλονότι ἡ Αἰδὼς, παρεσπεύαζεν αὐτοῦ τὸν θυμὸν αἰχμητὴν εἶναι, ὅτι ἀμόνιν λαγὸν Ἐνυαλίου. Ὅμηρος· (Iliad. ι'. 331.)

Αἰδομένων δ' ἀνδρῶν πολίονες σῶοι* ἠὲ πίφανται.

παρεσπεύαζεν οὖν ἡ Αἰδὼς τῷ Χρομίῳ, οὐχ ἵνα κτήσηται τὸ κήδος, ὡς ἄλλως ἀναισχυντοῦσιν, ἀλλ' αὐτοῦ χέριν τοῦ καλοῦ, ἵνα τῇ πατρίδι ἀμύνῃ.

89. Παῦροι δὲ βουλεῦσαι φόνου] ὀλίγοι, φησὶ, φόνου ἐφεσπόντος βουλεύσασθαι δυνατοὶ, τὴν τοῦ πολίμου νεφέλην τρέψαι πρὸς τοὺς πολεμίους, κτείνοντες αὐτοὺς, καὶ χερσὶ καὶ ψυχαῖς, καὶ ἐν τῷ δράσαι καὶ φονεῦσαι τοὺς πολεμίους, καὶ ἐν τῷ βουλεύσασθαι, πῶς δεῖ ἀνελεῖν αὐτούς. κατορθοῦται γὰρ ὁ πόλιμος γνώμῃ καὶ χειρὶ χειρὶ, τῇ ἀνδρείᾳ, ψυχῇ, τῇ φρονήσει, ἵν' ᾖ ῥώμη μετὰ φρονήσεως. ἀμφότερα δὲ ταῦτα ἔχει ὁ Χρόμιος. καὶ γὰρ οὗτος βουλῇ καὶ χειρὶ ἐγίνετο ἀγάθος ἐν τῷ πολίμῳ τῷ πρὸς τοὺς Φοίνικας.

93. Ἕκτορι μὲν πλίος ἀνθῆσαι] ἀντικάζει αὐτὸν τῷ Ἕκτορι, καὶ τῷ Ἕκτορί φησιν ἀνθῆσαι τὸ πλίος μαχομένῳ παρὰ τῷ Σκαμάνδρῳ. τοῦτο δὲ εἰς ἴσαινον παρείληπται τοῦ Χρομίου. τὸν δὲ Ἕκτορα παρείληφε, καὶ οὐκ Αἴαντα ἢ Ἀχιλλέα, τῷ καὶ τὸν Ἕκτορα μεμαχῆσθαι ὑπὲρ τῆς πατρίδος, ὡς καὶ τὸν Χρόμιον. ὁ δὲ νοῦς· λίγισται μὲν καὶ ἔβιται τῷ μὲν Ἕκτορι τὴν εὐδοξίαν† παρὰ τῷ Σκαμάνδρῳ, ἐν δὲ ταῖς ἀκταῖς τοῦ Ἑλώρου ποταμοῦ, ἀφ' οὗ δὴ καὶ ὁ Ἀρείας πάρος καλεῖται, δίδυκται τοῦτο τὸ φίγγος τῷ Χρομίῳ, ἐν τῇ πρώτῃ καὶ νέᾳ ἡλικίᾳ. ἐνίκησε γὰρ ἐναῦθα Καρχηδονίους, συμμαχῶν Γίλωνι τῷ τυράννῳ, τῷ Ἱπποκράτους διαδόχῳ.

95. Βαθυκρημνοῖσι δ' ἀμφ' ἀκταῖς Ἑλώρου] περὶ τοῦτον τὸν ποταμὸν συνίςη Ἱπποκράτει, τῷ Γιλώνος τυράννῳ, πρὸς Συρακουσίους πόλεμος. ὁ δὲ Γίλων οὗτος ἦτιρος, ὃς ἐκράχει τότε Ἱπποκράτει. ἐν δὴ τούτῳ, φησὶ, τῷ πολίμῳ εἶλεν τὸν Χρόμιον ἐκδιδίξασθαι πολλὰ ἔργα κατὰ τὴν μάχην περὶ δὲ τούτου τοῦ πολίμου Τίμαιος ἐν τῇ δεκάτῃ διδήλωκε. καθάπαξ γάρ, φησὶν ὁ Δίδυμος, οὐδαμίαν ἄλλην μάχην ἔχομεν εὑρεῖν περὶ τὸν Ἕλωρον τῶν συνηραμένων τῷ Χρομίῳ τυράννων, ὅτι μὴ τὴν Ἱπποκράτει τοῦ Γίλωνος πρὸς Συρακουσίους. ὅτι μὲν οὖν Γίλωνα ἐκράτησεν Ἱπποκράτης, σαφῶς ὁ Τίμαιος ποιεῖται γράφων οὕτως· "Ἱπποκράτης δὲ μετὰ τὸν Κλεάνδρου τελευτὴν ἅμα μὲν τοῦ Γίλωνος ἐν τῇ στασιμίῃ μεμνημένου, ἅμα δὲ τοῖς Γελώοις χαρίσασθαι βουλόμενος, μετεπεμψάμενος αὐτὸν καὶ παρακαλέσας παρὰ τὰς πράξεις, ἀπάντων τῶν ἐκείνου τὴν ἐκριάλειαν ἐκείνῳ παρέδωκε." ὡς δὲ καὶ ὁ Γίλων τῷ Χρομίῳ ἐχρῆτο ἑταίρῳ, δῆλον πάλιν ἐξ ὧν φησι Τίμαιος ἐν τῇ δευτέρᾳ γράφων οὕτως· "Ἐπιγράφουσι δὲ τοῦ πολέμου μετ' ἐκεῖνον κατάστασιν Ἀμισόνιον καὶ Χρόμιον τοὺς πηδιτάς· τούτους γὰρ ὁ Γίλων δίδωκε τὰς ἀδελφάς." Ἄλλως. Ἀρείας πάρος ἐλίγιτο πᾶς ὁ περὶ τὸν ποροθμὸν καὶ τὸ Ῥήγιον τόπος. ἔχει δὲ ὁ ποταμὸς ἰχθῦς, οἱ παρὰ τῶν διασαινόντων δίχονται τροφήν. ὁ δὲ τῆς Ἀρείας πάρος ἀνεξήγητός ἐστι. διὸ καὶ ἄδηλον, εἴτε Ἀρείας, εἴτε Ῥείας λιπτέον, εἴτε ὑφ' ὃν Ἀρειάσπορον. καὶ καλεῖσθαι μέχρι τοῦ νῦν Ἀρείας πόρον διὰ τὸ πλῆθος τῶν φυομένων†, ἢ ἀπὸ τοῦ συμπεσεῖν ἐκεῖσε πόλεμον. Ἄρια δὲ οἱ ποιηταὶ τὸν πόλεμόν φασιν.

102. Πολλὰ μὲν ἐν κονίῃ χέρσῳ] χέρσῳ τῆς ἠπείρου φησί. γίγεται δὲ πόντῳ, ἀντὶ τοῦ, ἐν ταῖς νήσοις καὶ θαλασσίοις τόποις. ἐν ὑπερόχῳ δέ φησιν· ἐν δὲ ἄλλαις ἠμέραις φήσω καὶ διελεύσομαι τὰ ἐν τῇ γῇ τῆς ἠπείρου καὶ τὰ ἐν ταῖς νήσοις αὐτῷ διανύσματα. ἢ οὕτως· ἐὰν κατορθώσῃ, πάλιν ἐρῶ ὕστερον τὰ ἐν τῇ γῇ τῆς ἠπείρου καὶ τὰ ἐξῆς.

104. Ἐκ πόνου δὲ οἱ σὺν πίστωι γίνωνται] ἐκ τῶν πόνων τῶν ἐκτιλισθέντων τῇ πίστηι, καὶ πόνων γε τοιούτων τῶν σὺν δικαίῳ τιλισθέντων, μίαν ἡμέραν αἰῶνος ὅλου τάξιν ἔχειν εἰς εὐφροσύνην· ἐπιδεῖν τινας ἐν πίστηι πιστοτάτους ὄντας, καὶ βιβιωκότας δικαίως, ἡμέραν μίαν ἐν τῇ γήρᾳ συγκριτικὴ ἐστι πρὸς ὅλον τὸν αἰῶνα· τινὲς δὲ Σηλυκοῦ φασὶν ἐξευρηκέναι τὴν ἡμέραν, ἀντὶ τοῦ ἤμερος, καὶ τὸν αἰῶνα Σηλυκοῦ εἰρῆσθαι· ἢ αἰὼν ἐστιν αὐτοῖς ἡμέρα, ἀντὶ τοῦ, ἤμερος καὶ πρᾶος ἐστιν αὐτοῖς ὁ βίος πρὸς γῆρας, ὅταν ὦσιν ἐν πίστηι πιστοτάτοις δικαίως. τὰ δὲ προσηῆ κατὰ μεταφορὰν ἀπὸ τῆς ἡμέρας σημαίνεται, ὥστιρ τὰ χαλεπὰ ἀπὸ τῆς νυκτός. ἢ οὕτως· ὁ δὲ ἐκ πόνων καὶ

* σόοι. † ἀνθῆσαι vel γιγονέναι. ‡ an. φοινυομένων?

ἀνθόνων αἰὼν καὶ χρόνος, οἵτινες ἂν πόνοι μιγῶσι δικαιοσύνης ἐν τῇ νίκᾳ ἀνυσθῶσιν ἡλικίᾳ, τούτῳ ὁ πρὸς τὸ γῆρας πᾶς χρόνος, ὥστιε μίκ ἡμέρα παρακρίχει, διὰ τὸ εὐθυμεῖν καὶ μὴ ἀπαισθάνεσθαι τῶν φαύλων. τὸ δὲ ἑξῆς· ὁ δὲ αἰὼν πρὸς τὸ γῆρας τούτοις τιλέθοι ἀεὶ φῶς τοῖς πόνοις, οἵ ἂν ἐν νεότητι γίνωνται καὶ δίκῃ. ἴσι δὲ ἐκ τοῦ ἐναντίου τῶν Ὁμήρου· (Odyss. σ'. 360.)

Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.

109. Εἰ γὰρ ἅμα κτεάνοισι πολλοῖς] εἰ γὰρ ἅμα τῷ πλουτεῖν καὶ δοξασθήσεταί τις καλὰ ἐργασάμενος, οὐκ ἔστιν ὑπερθίσθαι ταύτην τὴν μακαριότητα, ὅταν συνέλθῃ δίξα πλούτῳ. ὁ δὲ νοῦς· ὁ γὰρ ἅμα πλοῦθοι περιουσίας καὶ δόξαι εὐκλιῆ κεκτημένος οὐκέτι περαιτέρω, θνητὸς ὤν, ἀφιλίλιι περισκοπεῖν, οὐδὲ ἄλλης εὐτυχίας ἀδοὺς ἐπιζητεῖν τοῖς αὐτοῦ πόσιν· ἀνωτέρω ἔλπτος γάρ, φησιν, αὕτη ἡ ἀρετή. παρέμιαι δὲ τῇ ἄνω διανοίᾳ (iii. 33.) "εἰ δὲ ἐν "καλὸς, ἴδοιτ' ἂν ἰοικότα μορφῇ, οὐκέτι "πόρσω," καὶ τὰ ἑξῆς.

114. Ἡσυχίαν δὲ φιλεῖ μὲν συμπόσιον] τῇ μὲν οὖν εἰρήνῃ καὶ ἡσυχίᾳ προσφιλὴς ἐστι τὸ συμπόσιον, ἡ δὲ νικὴ καταστρεχθεῖσα νίκῃ συναίξεται τῇ μαλθακῇ καὶ ἁβλίᾳ φδῇ. ἡ οὕτω· τὸ συμπόσιον τὴν ἡσυχίαν φιλεῖ· καί ἐστιν ὅμοιον τῷ (v. 11.)· "Μετίῳ "οἰνάνθας ὀπώρᾳ." ἡ δὲ νικηφορία οὐ φιλεῖ ἡσυχίαν.

117. Θαρσαλία δὲ παρὰ κραπῆρα φωνὰ γίνεται] παρὰ δὲ τὸν κραπῆρα, ὃς ἔσται διὰ τὸ τέλος τῆς νίκης, θαρσαλεωτέρα ἡ φωνὴ γίνεται, καὶ δύνανται τις Θαλλῶν ἐπὶ τῇ τοῦ νικηφόρου ἀνδραγαθίᾳ μετὰ παῤῥησίας τὸν ὕμνον φδεῖν ἐπὶ τῇ νίκῃ. ἢ ἄλλως· ὅταν τὶς νικήσῃ, μετὰ παῤῥησίας εἰς αὐτὸν φωναὶ γινέσθωσαν καὶ ὕμνοι.

119. Ἐγκερνάτω τίς μιν γλυκεῖ] τοίνυν, τὸν κραπῆρα τὸν ἰσάμενον ἐπὶ τῇ νίκῃ ἐγκερνάτω τὶς, προηγητὴν ὄντα τοῦ ὕμνου. προηγητὴν δὲ ἴφη τοῦ ὕμνου τὸν κραπῆρα, ἐπειδὴ τῇ νίκῃ ἅμα κραπὴρ τῆς σποδῆς*, ἐφ' οὗτος ὁ ὕμνος ᾄδετο. ὁ δὲ νοῦς· ἤδη κερνάτω τὶς τὸν κραπῆρα, ὃς ἐστι προοίμιον καὶ προφήτης τοῦ κώμου. καμάζομιν οὖν αὐτὸν καὶ ὑμνῶμεν, ὅτι νενίκηκεν.

121. Ἀργυρέαισι δὲ νωμάτω φιάλαισι] μετὰ τὸ κιρανῦναι τὸν κραπῆρά, φησι, καὶ ἀποδεκατίζεσθαι τὶς τὰς φιάλας, καὶ διαμίσω τὸν οἶνον τοῖς καταπιμπίνοις ἀργυρέαις φιάλαις, ἃς ἔλαβεν ὁ Χρόμιος νικήσας Ἴσθμ. ἐν γὰρ τοῖς κατὰ Σικυῶνα Ποσθίοις ἀργυραῖ φιάλαι ἐπαθλα. βιατὰν δὲ ἀμπέλου παιδα τὸν οἶνόν φησι, ἤτοι τὸν βίᾳ θλιβόμενον. ἢ τὸν βιάζεσθαι εἰδότα καὶ εἰς μέθην ἄγειν. (Explevit hæc B.)

123. Ἃς ποθ' Ἕλικι πτησάμεναι] ἃς τινας φιάλας αἱ τοῦ Χρομίου ἵπποι προσενόμισαν διὰ τῆς νίκης τῷ διοκόντῃ, ἅμα τοῖς μετὰ δικαιοσύνης ὑπάρξασιν αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος στιφάνοις ἐκ τῆς ἱερᾶς Σικυῶνος. οὐ παρῆν δὲ ὑπὸ τὴν νίκην, ἀλλ' ἐπεκόμιζι τὸ ἅρμα. ἃς ἠνιγκάν, φησι, ἅμα τοῖς στιφάνοις οἱ ἵπποι. Θεμιστόκλεους δὲ τοὺς στιφάνους φησὶν, ἤτοι νομίμους, καθηκόντως, πεπλεγμένους, ἃ καθὶ πάριδρός ἐστι τοῦ Ἀπόλλωνος ὁ Θέμις χάρις τοῦ χρηστηρίου· καὶ γὰρ ἦν προφῆτις· ἢ ὅτι δικαίως καὶ ἐπὶ τὰ ἐν ἁρμοδιότητι ἐφέρθη. ἱστορεῖται δὲ τὰ ἐν Φωκίδι χρήματα ἀνύεσθαι. (?) διὸ καὶ περόσκυται ἐνταῦθα τὰ ἐν Σικυῶνι. εἰκότως δὲ ἱερὰν τὴν Σικυῶνα προσηγόρευσεν. ἡ γὰρ Μηκώνη ἐπ' αὐτῆς ἐστιν, ἐφ' ἧς οἱ Θεοὶ διεδάσαντο τὰς τιμάς. Ἡσίοδος· (Theog. 534. 5.)

Καὶ γὰρ δὴ ἐρίσαντο θεοὶ θνητοί σ' ἔνθα καὶ ἔνθα

Μηκώνῃ.

καὶ Καλλίμαχος· (Fragm. 195. T. i. p. 513.)

Μηκώνην μακάρων ἕδρανον αὖτις ἰδεῖν.

127. Ζεῦ πάτερ, εὔχομαι ταύταν ἀρέτᾱν] εὔχομαι δὴ οὖν, ὦ Ζεῦ πάτερ, ταύτην αὐτοῦ τὴν ἀρετὴν ὑμνῆσαι ἐπιχαρίεντως, ἐπὶ πολλῶν τε καὶ ἄλλων τὴν νίκην ἐνδεξιωσάμενος τοῖς λόγοις τοῖς ἐμοῖς, πίμπων μου τὴν Μοῦσαν ἐγγὺς τοῦ σποτοῦ· οἰκεῖ ἐπαξίως αὐτὸν ὑμνῆσαι. "Αλλως. τιμαλφοῦν λόγοις, ἀντὶ τοῦ, τιμᾷν αὐτὸν λόγοις, προσβάλλων ταῖς μουσικαῖς τὴν νίκην, καὶ συναρμόζων αὐτὴν, τοῖς ὕμνοις βάλλων τὴν νίκην. τινὲς δὲ ἀνίγνωσαν περισσωμένους, νικᾶν, ἵν' ᾖ, ὑπὲρ πολλῶν νικῶν τιμᾷν τοῖς λόγοις· ἀποστίζων δὲ ἐγγὺς τοῦ σποτοῦ τὴν μουσικὴν, ἤτοι διϊκνούμενος ταῖς μουσικαῖς.

* Excidit ἱκράντων.

Carmen X.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δεκάτου τῶν Νεμέων εἴδους.

Τῆς δεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κῶλα ια'. Τὸ α' ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον δισύλλαβον. Τὸ β' ἰαμβίλιγος. Τὸ γ' ἰαμβίλιγος λύσιν μιᾷ ἐν ἀρχῇ, ἢ πυρίχιος. Τὸ δ' προσοδιακὸν ἀπὸ Ἰωνικοῦ καὶ χοριαμβικοῦ. Τὸ ε' τὸ αὐτὸ τῷ γ'. Τὸ ς' πυρίχιος τροχαϊκὴ, ἰσύστιχος ἢ χοριαμβος διὰ τὴν ἀπόδοσιν. Τὸ ζ' Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ η' ἰαμβίλιγος μιτασυζυγίᾳ τῆς τιλιγταίας ἰσχὺ τὴν ἀρχήν. Τὸ θ' δακτυλικὸν πενθημιμερές. Τὸ ι' ὅμοιον τῷ· Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἰδασάμην. Τὸ ια' τὸ αὐτό. τὸ δὲ πολιῷ (v. 11) ἀντὶ τοῦ πολῷ κατὰ συνίζησιν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ιβ'. Τὸ α' ἰσχιοραμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ β' ὅμοιον τῷ ζ' τῆς στροφῆς. Τὸ γ' ὅμοιον τῷ α' τῆς ἐπῳδοῦ. Τὸ δ' ὅμοιον τῷ β'. τὸ δὲ χαλκίας (v. 26.) ἀντὶ τοῦ χαλκοῖς, κατὰ συνίζησιν. Τὸ ε' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ ς' δακτυλικὸν πενθημιμερές. Τὸ ζ' ὑπακουμολογικόν. Τὸ η' Εὐριπίδιον. Τὸ θ' ἀνακλωμενικὸν Ἀριστοφάνειον ἥμισυ ἀπροσίλιγτον. [Τὸ ι' παιωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ Παιώνος τετάρτου, Κρητικοῦ καὶ συλλαβῆς. Τὸ ια' ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ιβ' Εὐριπίδιον.]

Θυμέλῃ παιδὶ Οὐλίου.] Ἐν Ἄργει τιλίγται τῇ Ἥρᾳ ἀγὼν ἱερὸς, Ἐκατόμβοια, ὃν καὶ Ἥραια καλοῦσιν. ἐν γὰρ τῇ τοῦ ἀγῶνος πανηγύρει ἑκατὸν βοῦς θύουσι τῇ Ἥρᾳ. ὁ δὲ Δαναὸς Βήλου παῖς ὢν τοῦ Ἄργους ἐβασίλευσεν. ὁ δὲ Αἴγυπτος τῆς ὁμωνύμου χώρας. ὁ δὲ Ἀγήνωρ τῆς Φοινίκης.

1. Δαναοῦ πόλιν ἀγλαοθρόνων τι] ἴνιοί φασιν, εἰς πλείους νίκας τὸν ἱππικὸν τιτάχθαι· λαβεῖν γὰρ αὐτὸν καὶ Ἰσθμια καὶ Πύθια καὶ Νέμεα. περὶ δὲ τῶν Ὀλυμπίων εὔχεται, ὅτι φησί· (v. 33.) Ζεῦ πάτερ, τῶν γε μὲν ἕρεται. ὁ δὲ Πίνδαρος, ὅτι βούλεται ἰσαριθμεῖν τὰς πατρίδας τῶν νικηπότων, ἀθροίζειν εἴωθε τὰ πατρούμενα ταῖς πόλεσι περιφανῆ, καθὼς ἐν τῇ ᾠδῇ, ἧς ἡ ἀρχὴ (Fragm. p. 44 sq.), Ἰσμανὸν, ἣ χρυσηλάκατον Μιλήτου. ὁ δὲ λόγος· ὑπισχνεῖται, ὦ Χάριτες, τὴν τοῦ Δαναοῦ πόλιν καὶ τὰς πεντήκοντα αὐτοῦ θυγατέρας. ὁ δὲ νοῦς ἅλος· τὴν τοῦ Δαναοῦ πόλιν καὶ τῶν πεντήκοντα θυγατέρων αὐτοῦ, φημὶ δὲ τὸ Ἄργος, ἥτις πόλις Ἀργείων εἰσπτύριον θεωδίκητόν ἐστι τῆς Ἥρας, ὑμνήσασι, ὦ Χάριτες. οὗ δὲ παρὰ τὸ Ὁμηρικόν (Iliad. δ'. 51. 2.)

Ἥτοι ἐμοὶ μὲν τρεῖς πολὺ φίλτατοί εἰσι πόληες,
Ἄργος τε Σπάρτη τε καὶ εὐρύαγυια Μυκήνη.

καὶ Καλλίμαχος· (Fragm. 108. p. 480.)

Τοῖς μὲν ἀριστεύῃς εὖτε ἄνακτα Διὸς
Ἄργος ἔχειν, ἕλιόν περ ἐὸν λάχος· ἀλλὰ γενέθλῃ
Ζηνὸς ὅπως σπουδῇ τρηχὺς ἄελλα ἴοι.

τὸ δὲ φλέγεται ἀντὶ τοῦ, λάμπεται καὶ δεξάζεται· ἐκλάμπει χάριν τῶν ἀρετῶν ὧν ἴσχει.

6. Μακρὰ μὲν τὰ Πιερίων] ἀντὶ Πιερίων ἄρχεται· Ἀργεῖος γὰρ οὗτος· μακρὰ οὖν, φησὶ, τὰ διηγήματα τὰ περὶ Πιερίων, ἃ ἔπραξε κατὰ τὴν Γοργόνα. μακρὰ δὲ αὐτὰ εἶπεν, ἤτοι, ὅτι πολλά ἐστι τὰ λεγόμενα, οἷον, ἀπὸ πολλοῦ χρόνου μήκους δεῖσθαι εἰς ἀκρᾶς· ἢ μακρὰ, οἷον ὑψηλὰ καὶ ἔνδοξα· ἢ καὶ τρίτον, μακρά ἐστι τὰ διηγήματα, ἂν ἄρξωμαι ἐπιτῶ τὰ περὶ Πιερίων. μακρὰ τοίνυν ἂν εἴη λίγειν καὶ διηγεῖσθαι τὰ Πιερίως καὶ Μιδούσης, τῆς Γοργόνος. ᾧ ῥητορικῶς δὲ τοῦτο ποιεῖ· δοκῶν παρακωτῦσθαι τὸ λίγειν πᾶν ἔπασε τῶν Ἀργείων ἀνδραγαθήματα, λιληθότως παταριθμεῖται αὐτά. Ἔστι δὲ ἡ ἱστορία αὕτη· Μίδου-

να (μία δὲ τῶν Γοργόνων αὕτη), ἤρισέ ποτε διὰ κάλλους τῇ Ἀθηνᾷ, ἡ δὲ πρὸς πρόκλησιν ἀγανακτήσασα πτίδι Περσέα εἰς τὸν Ὠκεανὸν διαβῆναι, παρασχοῦσα αὐτῷ καὶ τὴν Ἄϊδος κυνέην· εἴη δ' ἂν ἡ ἀφανεία· ᾗ ἀποτεμὼν τῆς Γοργόνος τὴν κεφαλήν. ὁ δὲ τῷ αὐτοῦ τάχει διαβὰς καὶ τῇ τῆς Ἀθηνᾶς συμπαρεξίᾳ ἐπὶ τὸν ἄθλον τέλλεται, καὶ πετυλημένας τὰς Γοργόνας, καὶ ἰδὼν διαδούσας ἀλλήλαις τὸν ὀφθαλμὸν, (ἐνὶ γὰρ αἱ πᾶσαι ἐχρῶντο) ἁρμοζόμενον τὸ διδόμενον πρὸς τὸ ἐγχείρημα σπασάσας, ἀποτέμνει τῆς Μεδούσης τὴν κεφαλὴν καὶ δίδωσι τῇ Ἀθηνᾷ· ἡ δὲ διξαμένη ἐνίδρυται τῷ ἰαυτῆς τέρατι, ὅπως ἂν ἐν τῇ παρατάξει ἡ τοῦ πάλαι τέρπῃ διάπρεπις. ἐδυνήθη δὲ καὶ τῇ τῆς Γοργόνος κεφαλῇ τὴν Ἀνδρομέδαν τοῦ κήτους ἀπολύσασθαι. δείξας γὰρ τῷ κήτει τὴν Γοργόνα καὶ ἀπολιθώσας αὐτὸ, ἀπέλυσε τῆς βορᾶς τὴν παρθένον. οἱ γὰρ ὁρῶντες τὴν κεφαλὴν τῆς Γοργόνος ἀπελιθοῦντο.

8. Πολλὰ δ' Αἰγύπτῳ κατῴκισθεν ἄστη] πολλὰ δ' ἂν εἴη λέγειν, ὅπως ἐν τῇ Αἰγύπτῳ κατῳκίσθησαν πόλεις ὑπὸ τῶν τοῦ Ἐπάφου χειρῶν. Ἔπαφος δὲ Διὸς καὶ Ἰοῦς, Ἰὼ δὲ Ἰνάχου τοῦ ἐν Ἄργει ποταμοῦ καὶ νύμφης· οὗτος οὖν ὁ Ἔπαφος βασίλευσεν Αἰγύπτου, Ἀργεῖος ὢν ἀπὸ μητρός.

10. Οὐδ' Τπερμήστρα παρεκλάγχθη] τί δ' ἄν τις φήσειε περὶ τῆς Τπερμήστρας, ἥτις οὐκ ἐφάλη, φυσαμένη τοῦ αὐτῆς ξίφους, καὶ μὴ ἀπέλυσε τὸν Λυγκέα. παρεκλάγχθη δὲ, ἀντὶ τοῦ, τοῦ δίκτυος ἀποκλαπέντος λογισμοῦ. Ἄλλως. καὶ τοῦτο εἰς Ἴπασιόν φησι. τῶν γὰρ ἄλλων Δαναΐδων κοινῇ γυώμῃ ἐπιθυμούντων τοῖς Αἰγυπτιάδαις, μόνη ἡ Τπερμήστρα, ἐπεὶ διεφύλαξεν αὐτὴν ἀγνὴν καὶ παρθένον ὁ Λυγκεύς, οὐκ ἐφαίνετο ἰσόψηφος ταῖς ἀδελφαῖς, ἀλλὰ μονόψηφος ἐγίνετο. ψῆφον ἤνεγκε μόνη καθ' ἑαυτὴν, ἀπολυτικὴν τινα ταύτην, ἐν κολιῷ κατασχοῦσα τὸ ξίφος, τουτέστι, μόνη παρὰ τὰς ἄλλας Δαναΐδας, ἰδίᾳ ψύφῳ χρησαμένη, οὐκ ἴσασι κατὰ τοῦ Λυγκέως τὸ ξίφος.

12. Διομήδεια δ' ἔμμορεν] καὶ οὗτος Ἀργεῖος, ὃς δι' ἀρετὴν ἀπηθανατίσθη· καί ἐστι περὶ τὸν Ἀδρίαν Διομήδεια νῆσος ἱερὰ, ἐν ᾗ τιμᾶται, ὡς Διός. καὶ Ἴλιος οὕτω· (p. 119. Ursin.) "τὸν Ἑρμιόνην γήμας ὁ Διομήδης ἀπηθανατίσθη σὺν τοῖς Διοσκούροις· καὶ γὰρ συνδιαιτᾶται αὐτοῖς." καὶ Πολέμων ἱστορεῖ· "ἐν μὲν γὰρ Ἀργυρίπποις ἕδρυόν ἐστιν αὐτοῦ ἱερόν· καὶ ἐν Μεσσαπίᾳ δὲ διὰ πολλῆς αὐτὸν αἴρεσθαι τιμῆς, ὡς Θεόν, καὶ ἐν Θουρίοις εἰκόνας αὐτοῦ καθιδρύσθαι, ὡς Διοῦ." Ἄλλως. οὐχὶ δὲ καὶ τὸν Διομήδην ὁ Ἀθηνᾶ Διὸν ἐποίησε; κατὰ γὰρ τὸν Θηβαϊκὸν πόλεμον Μελάνιππος (ἦν δὲ οὗτος ἥρως Θηβαῖος) ἔτρωσε τὸν Τυδέα. ὁ δὲ πρὸς τὴν σλαγὴν θυμήνας καθικέτευσε τὸν Ἀμφιάραον, ἀπολιπεῖν τὸν Μελάνιππον, καὶ προσαγαγεῖν αὐτοῦ τὴν κεφαλήν. προσαχθείσης δὲ αὐτῷ τῆς κεφαλῆς, καὶ τῆς ὀργῆς νικησάσης τὸν δίκαια λογισμὸν, ἀπεγύσατο τῶν Μελανιππείων κρεῶν, ὡς καὶ Εὐριπίδης ἐν τῷ Μελανίππῃ φησίν. (n. 18. Musgr. Fr.)

Εἰς ἀνδροβρῶτας * ἥδονὰς ἀφίξεται
Κάρηνα Τυδέως † γένυσι Μελανίππου
σπάσας.

στεφομένῳ οὖν τῷ Τυδεῖ ἡ Ἀθηνᾶ τὴν ἀθανασίαν παρήγαγε, καὶ οὐκ ἀπήλαυσε τῆς δωρεᾶς ἐπεὶ διὰ τὴν τῶν ἀνθρωπείων κρεῶν βρῶσιν εἶπε, ὡς αὐτὸς οὐκ ἠδυνάθη τῆς ἀθανασίας τυχεῖν, ἐξέωσε τὴν Διὸν ἐπὶ τὸν Διομήδην τὸ δῶρον μεταθεῖναι. τιμᾶται γοῦν καὶ παρὰ Θουρίοις καὶ Μεσσαπονπίοις, ὡς Διὸς, Διομήδης, καὶ οὐκ ἔστι παρὰ τοῖς ἑσπερίοις ὑρίσθαι αὐτοῦ τὸν θάνατον.

14. Γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο] ὁ Ἀμφιάραος Ἀρξίου. Θηβαῖοι δ' ὑπὸ ἴσχυσεν ὡς Διὸν τὸν Οἰκλέος καθδα Ἀμφιάραον· σχισθείσης ὑπὸ κεραυνοῦ τῆς γῆς ᾗ διξαμένης αὐτόν. ὁ γὰρ Ζεὺς εἰς τιμὴν αὐτοῦ σχίσας τὴν γῆν τῷ κεραυνῷ, κατασχθῆναι ἐποίησεν αὐτὸν σὺν τῷ ἅρματι, καὶ ἐποίησεν αὐτὸν ἀθάνατον. ἀφ' οὗ δὴ μέχρι νῦν τὸ τοῦ Ἀμφιαράου μαντεῖον ἐνδεξότατον τῶν ἐπὶ τῆς Ἑλλάδος. ἀμφίζολον δὲ, πότερον τὸν Ἀμφιάραον ἐδέξατο ἡ γῆ, πολέμου ὄντα νίφος, ἢ ὅτι τὸ τοῦ πολέμου νίφος τοῖς Ἀργείοις ἐπῆλθε τὸ ἀπὸ Θηβῶν, τότε ὁ Ζεὺς κηδόμενος τοῦ Ἀμφιαράου ἐπέλευσεν αὐτὸν ὑπὸ τῆς γῆς δεχθῆναι καὶ εἶναι ἀθάνατον.

17. Καὶ γυναιξὶ καλλικόμοις] περιξαρισθησάμενος τὰς τῶν Ἀργείων ἀρετὰς φησι, μὴ μόνον ἥρωσι διαφέρειν αὐτοὺς, ἀλλὰ καὶ ἡρωΐσι γυναιξὶ διαφέρειν πάλαι, ἀρχῆθεν. τίς ἀπόδειξις, ὅτι καὶ γυναιξί; Ζεὺς ἐπ' Ἀλκμήναν Δαναέαν τι μολών. τοῦτον κατίφησι τὸν λόγον, ὅτι καὶ γυναιξὶν ἀρετεύει τὸ Ἄργος, οὐχ ἥτισος μάρτυς, ἀλλ' ὁ Ζεὺς, ὃς καὶ πρὸς Ἀλκμήνην ἀφίκετο καὶ Δανάην, Ἀργείας οὔσας.

21. Πατρὶ σ' Ἀδράστου Δυγκεῖ τε] οὐχὶ δὲ καὶ τῷ τοῦ Ἀδράστου πατρὶ Ταλαῷ καὶ τῷ Λυγκεῖ ἄρισον λογισμὸν παρίσχε καὶ μετὰ δικαιοσύνης συνήρμοσε; καρτὸς δὲ φρενῶν ὁ λογισμός. τίς δὲ συνήρμοσεν; ὁ Ζεύς. ὁ δὲ νοῦς· καὶ ἐπὶ Ταλαῷ γοῦν καὶ Λυγκεῖ τὸν τῶν φρενῶν καρτὸν ὑδὸν ἐποίησεν, ὅ ἐστι, δίκαιον αὐτῶν τὸν νοῦν ἐποίησεν ὁ Ζεύς. ἀπὸ Λυγκέως δὲ αἱ περὶ Περσέα.

24. Ὁ δ' ὄλβῳ φίτατος] κοινωσάμενος

* vulg. ἀνδροβόστους. † et Περσεύς.

τῷ Ἀμφιτρύωνι τὴν γυναῖκα ὁ Ζεὺς ἔλαθ' εἰς ἑαυτοῦ γυναῖκ. πῶς δὲ παρεγένετο συγγενέσθαι; ὁ μὲν γὰρ Ζεὺς τῇ προτέρᾳ ἡμέρᾳ ἐγίνησε τὸν Ἡρακλέα, ὁ δὲ Ἀμφιτρύων τῇ ἑξῆς τὸν Ἰφικλέα, καὶ ἐμίχθη τὰ γένη ἀμφοτέρων. καὶ οὕτως εἰς τὸν οἶκον ἐλθὼν τῆς Ἀλκμήνης ἐκλησίασεν αὐτῇ καὶ τὸν Ἡρακλέα ἔσπειρεν. ἄλλοι γάρ ἡ Ἀλκμήνη τὸν ἑαυτῆς γάμον προῦθηκε τῷ τοὺς Τηλεβόας καταπολεμήσαντι. ἔκρατεν οὖτος ὁ Ἀμφιτρύων, καὶ ἑαυτοῦ πρὸς πόλεμον ἀσχολουμένου ὁ Ζεὺς ἀφομοιωθεὶς συνῆλθεν αὐτῇ. Ἀδείμαντον δὲ ἔφη τὸ στόμα, ὃ ἔμελλεν εἰς τὴν τοῦ Ἡρακλέους γένεσιν καταβαλεῖν ὁ Ζεύς, ὅ ἐστι ἄφοβον. ὁ γὰρ ἐξ αὐτοῦ γεννηθεὶς ἦν ἄφοβος Ἡρακλῆς.

31. Οὗ κατ' Ὄλυμπον ἄλεκτος] οὗ τινος Ἡρακλέος ἡ γαμετὴ κατὰ τὸν Ὄλυμπον Ἥβη παρὰ τῇ τελείᾳ ἑαυτῆς μητρὶ περιοῦσα πορεύεται τῶν θείων ἀπραγματίστου. λέγει δὲ μητέρα τελείαν τὴν Ἥραν. καὶ Αἰσχύλος· (Fragm. p. 649.)

Ἥρα τελεία, Ζηνὸς ἐυναία δάμαρ.

ἔστι γὰρ αὐτὴ γαμηλία καὶ ζυγία. ἔστι δὲ ὁ γάμος τέλειος διὰ τὸ τελειότητα βίου κατασκευάζειν.

35. Βραχύ μοι τόμα πάντ' ἀναγήσασθαι] ἥττηταί μοί, φησι, τῶν Ἀργείων ἀνδραγαθημάτων ὁ λόγος, καὶ ἀδυνάτως ἔχει πάντα διηγήσασθαι τὰ τοῦ Ἄργους παλά. διατί δὲ εἰς ταῦτα παρεισέδυσεν; ὅτι ὁ ἀγών, ὃν ἐνίκα ὁ Θησεύς, τὰ Ἑκατόμβοια, οὐκ ἦν ἐπίσημος, οὐδ' ἐκτροπὰς ἔχων. ἵν' οὖν ἔχῃ μῆκος περιποιῆσαι τῇ φδῇ, ἐπὶ τὴν ποιότητα τῶν ἐπαίνων τῆς πατρίδος αὐτοῦ κατήντησεν.

37. Ἔφι δὲ καὶ κόρος ἀνδρώσιν βαρὺς ἀντιάσας] ἔστι μὲν γὰρ ὁ τῶν ἀνδρώπων φθόνος βαρὺς πρὸς ἑαυτόν. οὐκ ἐδίως γὰρ ἀκούουσιν ἀλλοτρίων θαυμάτων οἱ ἄνδρωποι, ἀλλ' ἰδίους κόρον ἔχουσι τῶν ἐπαίνων διὰ βασκανίαν. Ἄλλως. ὁ κόρος βαρύς ἐστιν ὁ ἀπὸ τῶν ἀνδρώπων ἀντιάσας καὶ συναντῆσαι, τουτέστιν, ἀντίος γενηθεὶς ὁ κόρος τῶν ἀνδρώπων βαρύς ἐστι καὶ δυσβάστακτος· διὸ, τὸν ὕμνον τῶν Ἀργείων καταλείψας, τὸν κόρον φυΐξομαι, ὅ ἐστι τὸν φθόνον.

39. Ἀλλ' ὅμως εὔχομαι ἴγκυρι λύρᾳ] πρὸς ἑαυτόν φησι ταῦτα ὁ Πίνδαρος· ὅμως μέντοι τὴν εὐάρμοστον λύραν λάμβανε, καὶ τὴν φρονίδα τῶν παλαισμάτων δίξαι, τουτέστιν, ἐπαίνει τὸν παλαιστήν. Χάλκιον δέ φησι τὸν ἀγῶνα, τουτέστιν ἰσχυρὸν, ἢ ὅτι χαλκοῦν ἔπλον τὸ ἔπαθλον. ὁ τοίνυν ἀγὼν ὁ γιββόστατος τὸν δῆμον παρορμᾷ εἰς τὴν τῆς Θεοῦ θυσίαν, εἴς τι τὴν τῶν ἄθλων κρίσιν τὸν δῆμον ὁ τοῦ Οὐλίου παῖς Θησεύς παρορμᾷ. τὸ παρορμᾷ δὲ ἀπὸ κοινοῦ. δὶς δὲ αὐτὸν φησι νενικηκέναι τὰ Ἑκατόμβοια, καὶ ἰσχυπέναι εὐφρόνων λήθην πόνων. ἐπιλελῆσθαι γὰρ οἱ ἄνδρωποι τῶν κατὰ τὴν ἄθλησιν πόνων, ὅταν νικήσωσι. χρέφονται δὲ καὶ εὐφρόνων. εὐφόρων μὲν, ὅτι εὐφοροί εἰσιν οἱ τοιοῦτοι πόνοι τῷ ἄριστα ἄθλα ἐνηνοχέναι· εὐφρόνων δὲ, τῶν εὐφραντικῶν.

46. Ἐκράτησε δὲ καὶ σοῦ Ἕλλανος στρατὸν Πυθῶνι τύχᾳ] τὸ πλῆθος στρατὸν εἶπεν, ὡς καὶ Πύθια πυκνηρότος αὐτοῦ καὶ Ἰσθμια καὶ Νέμεα. ἦ οὖν· παροιγένου δὲ καὶ ἐκράτησε πάντων τῶν ἀνταγωνιστῶν ἐν τοῖς Πυθίοις. ὁ δὲ νοῦς· σὺν εὐτυχίᾳ δὲ παραγενόμενος ἐκράτησε πάλαι καὶ τοὺς ἐν Ἰσθμῷ καὶ Νεμέᾳ στεφάνους.

49. Μοίσαισί τ' ἴδωκε ἀρέσαι] τουτέστι, ταῖς Μούσαις ἔδωκεν ἀρέσαι καὶ στεῖραι τοὺς στεφάνους διὰ τὸν ὕμνον· ἢ ὡς ἐτέρων σοφισάντων καὶ ὑμνησάντων αὐτὸν ἐπὶ ταῖς νίκαις ἐκείναις, τοῦτό φησιν. ὁ δὲ νοῦς· καὶ παρέσχε πρόφασιν ταῖς Μούσαις. τρέτον μὲν γὰρ πληρωθεὶς ἐνίκησε τὰ Ἴσθμια. Πέντου γὰρ πύλας εἶπε τὸν Ἰσθμὸν, διὰ τὸ ξενον. τρὶς δὲ τὰ Νέμεα, κατὰ τὴν Ἀδράστου διοίκησιν καὶ νομοθέτησιν τελούμενα· οἱ γὰρ ἐπτὰ ἐπὶ Θήβας ἀπενεύσαντο τὰ Νέμεα, ὧν ἦς Ἄδραστος. ἐπεὶ οὖν καὶ αὐτὸς τῶν ἐν Ἄργει ἐπιφανῶν, διὰ τοῦτο, Ἀδραστίῳ νόμῳ, φησὶ, χαριζόμενος καὶ διὰ τοῦτον πλέον τι τοῖς Ἀργείοις. Σιμωνὶς δὲ δακτύλοις, τοῖς Νεμείοις φησὶν ὁ Δίδυμος. πλησίον γάρ ἐστι Σικυῶνος. Ὅμηρος· (Iliad. β'. 572.) "Ἐνθ' Ἄδρηστος πρὸς ἐμβασίλευσεν. ἱστόρηται δὲ πάλαι ἐν τῇ Σικυῶνι τὰ Νέμεια. οὐ γὰρ ἦν σημαίνει τὰ Πύθια [τὰ ἐν Σικυῶνι ἀγόμενα. οὐ γάρ ἐστιν ἐκείνος περιοδικὸς ὁ στέφανος, ἀλλ' ὁ τῶν Νεμείων, βούλεται δὲ νῦν τοὺς περιοδικοὺς εἰπεῖν. τὸ λειπὸν γὰρ ἐπιφέρει τὸν Ὀλυμπιόνικον, εὐχόμενος τελειωθῆναι ὑπ' αὐτοῦ τὸν περίοδον.

53. Ζεῦ πάτερ, σῶν μὲν ἕρκεα] διὰ τούτων φησὶν, ὅτι περὶ τῶν Ὀλυμπίων λέγω, φάμενος αὐτὸν ἐστιθυμεῖν καὶ τοῦτον τὸν στέφανον λαβεῖν, ἵν' ἐκπληρώσῃ τὴν περίοδον, σιγᾷν δὲ καὶ ἐπιτρέπειν τῷ Διῒ. διὰ δὲ τοῦ, παραιτεῖται χάριν, ὑπαπαντᾷσιν, ὅτι παρὰ σοῦ αἰτοῦσα τὴν χάριν, ἀλλὰ καὶ τολμῶν καὶ μεχθῶν τι περιστειν τῶν πρὸς τὸ ἔργον συντεινόντων. ὁ δὲ νοῦς· ὧν γε μὲν ἐστιθυμεῖ τυγχεῖν, ἵν σῇ δαιμονίᾳ κρύπτει, σιωπᾷ διὰ τὸ πρωτεῖον. βούλεται δὲ λέγειν τὰ Ὀλύμπια. διὸ καὶ τῷ Διὶ εὔχεται. ἰὰν οὖν, φησὶ, σὺ Θέλῃς, καὶ τὰ Ὀλύμπια ἕξει. ταυτὸς γὰρ σεβάσματος τέλος ἐν σοί ἐστιν, ὦ Ζεῦ.

55. Οὐδ' ἀμέχθῃ παρδίᾳ] οὐ χωρὶς μέχθων αἰτεῖται τὰ Ὀλύμπια, ἵνα ἀμέχθως αὐτὰ λάβῃ, ἀλλὰ μεχθήσας καὶ πονήσας καὶ παλαίων παραιτεῖται τὴν χάριν. οὐ συνήθως δὲ τὸ παραιτεῖται ἀντὶ τοῦ αἰτεῖται, ὅ ἐστιν ἐπικέκληται. ἐπιφέρει γάρ· παρὰ

σοῦ αἰφνίδιαι τὴν χάριν ταύτην καὶ τὴν δωρεὰν, ὦ Ζεῦ, τὰ Ὀλύμπια νικῆσαι.

57. Γνώτ' ἀείδω Διΐ τι (sic)] εἴρηται δὲ λίγω αὐτῷ τῷ Διῒ καὶ τῷ Θυμάρῃ, ὅς τις Θιταῖος ἀμιλλᾶται καὶ σκευδάζει περὶ τῆς κορυφῆς τῶν ἱσχάτων ἄβλων. ἱσχάτων δὲ τῶν τὸ τέλειον ἐχόντων τῆς δίξης. ἡ οὕτω· φαιεραὶ δὲ λίγω τῷ τι Διΐ, καὶ τῷ βουλομένῳ παντὶ ἀμιλλᾶσθαι καὶ σκευδάζειν περὶ τῆς κορυφῆς τῶν τελειοτάτων ἄβλων. ἄβλων δὲ κορυφὴ καὶ τέλος τὰ Ὀλύμπια. εἰκότως δέ, φησιν, ἱστάμενος τῶν Ὀλυμπίων. τὸν γὰρ ἐνδεξόμενον καὶ ὑπερίσχοντα θυσμὸν ἴσχιν ἀπὸ τοῦ Ἡρακλέος, τὰ Ὀλύμπια. ἢ οὕτως· ἐπεὶ προεῖπεν αἰνιγματωδῶς, ὅτι οὐ δύναμαι εἰπεῖν, τίνων ἐρᾷ (ἦν δὲ τῶν Ὀλυμπίων) ἐπεῖπε· ταῦτα γνωστὰ λίγω ᾧ σοί, ὦ Ζεῦ, καὶ σοὶ τῷ ἱστάμενος ἀμιλλήσεσθαι περὶ τούτων τῶν ἄβλων, οἵ εἰσι κορυφαὶ ἰσχάται τῶν ἄβλων. καὶ γὰρ τὸ πρῶτον ἰσχατόν ποτε δύναται γενέσθαι, καὶ τὸ ἔσχατον πρῶτον. πίχρης καὶ Σοφοκλῆς τῷ ἰσχάτῳ, ἀντὶ τοῦ πρώτου. " Ἤδη γὰρ ἦβα Ζεύς," φησιν, " ἐν ἰσχάτῳ Διών," ἀντὶ τοῦ ἐν πρώτῳ. (Fragm. inc. n. 82. Br. ἴχει γὰρ ἦβαν)

61. Ἀδεῖαι γε μὲν ἀμβολάδαι] ὡς δὶς αὐτοῦ νενικηκότος τὰ Παναθήναια, ταῦτά φησιν. ἀμφεὶ οὖν ᾠδεῖαι τῶν Ἀθηναίων ἐκώμασαν αὐτὸν ἀμβολάδαν, τουτέστιν, ἀναστάμενος τῇ φωνῇ, καὶ λαμπρῶς· ἢ, ἀμβολάδην ἀναπερούμενοι, καθὸ πρεσβεύουσι λίγουσι τὰ πρὸ τοῦ προοιμίου. δὶς οὖν ὑμνήθη καὶ ἐκωμάσθη, φησὶν, ᾄδόντων καὶ ὑμνούντων αὐτοῦ τὴν νίκην τῶν Ἀθηναίων ἐν ταῖς τελεταῖς. ἴζει δὲ καὶ οὕτω προσυίγμασθαι, τὸ ἀδεία ἐν τελετῇ, ἐν ᾠδείᾳ τελετῇ ἐκόμασαν αὐτὸν αἱ τῶν Ἀθηναίων ὀμφαὶ δίς. τινὲς δὲ τὸ ἀμβολάδην οὕτως ἀκούουσιν· ἅς τις δὶς μὲν ἐνίκησε τὰ Παναθήναια, οὐκ ἐφιζῆς δέ, ἀλλὰ ἀναβολάδην, τουτέστιν, ἀναβολῆς τινὸς γινομένης μεταξύ.

64. Γαίᾳ δὲ κευθιτῷ περὶ καρπὸς ἐλαίας ἅμολε] γαῖαν δὲ κεκαυμένην εἶπε τὴν ὑδρίαν, ἐν ᾗ τὸ ἔλαιον. ἐστᾶται γὰρ ὁ κέραμος. διὰ δὲ τούτου σημαίνει τοὺς τὰ Παναθήναια νενικηκότας. σίθεται γὰρ ἐν Ἀθήναις ἐν ἱστάθλου τάξει ὑδρίαι πλήρεις ἐλαίου. διὸ καὶ Καλλίμαχος· (Fragm. 122. p. 490.)

Καὶ παρ' Ἀθηναίοις γὰρ ἐπὶ τίγος ἱερὸν ἥνται
Κέλητιδες· οὐ κόσμου σύμβολον, ἀλλὰ πάλης.

γῇ οὖν διὰ πυρὸς καυθίσῃ ὁ καρπὸς τῆς ἐλαίας ἅμολε, τὸ ἔλαιον. Ἥρας δὲ εὐάνορα λαὸν τὸ Ἄργος. ὁ γὰρ Θιταῖος Ἀργεῖος. οὐκ ἴζει δὲ ἐξαγωγὴ ἐλαίου ἐξ Ἀθηνῶν, εἰ μὴ τοῖς νικῶσι. φησὶν οὖν τὴν ὑδρίαν πλήρη ἐλαίου πεπομπέναι ἐξ Ἀθηνῶν εἰς Ἄργος τὸν Θιταῖον νικήσαντα. τοῖς γὰρ ἐθλητοῖς τοῖς τὰ Παναθήναια νενικηκόσι δίδοται ὑδρία ἐλαίου πλήρης.

67. Ἐν ἀγγίων ἔρπεσι πυμπακίλλοις] ἐν ποικιλμένοις ἀγγείοις. ἐζωγράφητο γὰρ αἱ ὑδρίαι. Ἄλλως. ἐν ἀμφιφορεῦσι χαλκοῖς ἔλαιον ἐτιμῶντο οἱ ἀγωνιζόμενοι Ἀθήνῃσι τὰ Παναθήναια, ἐπεὶ τὴν ἐλαίαν εὗρεν ἡ Θεός. τὰ δὲ χαλκᾶ ταῦτα ἄγγη ἐκ γῆς κεκομένης γίνεται· ἡ οὖν γῆ κεκομένη δίδωσι τὸν χαλκὸν, ἐκ δὲ τοῦ χαλκοῦ γίνεται τὰ ἀγγεῖα, ἐν οἷς βάλλεται τὸ ἔλαιον. ταύτην οὖν φησι τὴν διάνοιαν. τούτοις γὰρ ἐτιμῶντο.

69. Ἕπεται δὲ, Θιταῖε] ἐπακολουθεῖ δέ, φησι, κατὰ τὸ πολύγονον ὑμῶν γένος τὸ ἀπὸ τῆς μητρὸς (μήτρωες γὰρ οἱ τῆς μητρὸς πρόγονοι) εὐάγων τιμὴ, τουτέστιν, ἡ ἐπὶ τοῖς ἀγῶσι τοῖς ἐν ἀγωνισθεῖσιν, ἢ ἐν ᾧ καλῶς, τιμὴ, σὺν Χάρισι καὶ Τυνδαρίδαις. τὴν δὲ αἰτίαν διὰ τῶν ἑξῆς ἀποδίδωσιν.

73. Ἀξιωθείη κεν] ἐγώ, φησι, κατεξιωθείην τῶν περὶ Θράσυκλεν καὶ Ἀντίαν συγγενὴς ὤν, ἐν τῷ "Ἀργει διάγων καὶ ζῶν, ἔνθα οὐκ ἂν ἀπαρρησίαστος διετέλεσα, οὐδὲ κάτω βλέπων καὶ κρύπτων ἐμαυτοῦ τὸ ἰλιόθρεον. οἱ γὰρ νικῶντες μετὰ παῤῥησίας ἄνω βλέποντες βαδίζουσιν, οἱ δὲ ἡττημένοι οὐχ οὕτως. Ἄλλως. τοῦτο εἶπεν, ὡς ἐκ τοῦ Θιταίου προσώπου, ὡς αὐτοῦ περὶ ἑαυτοῦ διαλιγομένου· τοῦ γὰρ Θρασύκλου καὶ τοῦ Ἀντίου συγγενὴς ὤν, ἐν τῷ "Ἀργει οὐ κρύψω τὸ φῶς τῶν ὀμμάτων, τουτέστιν, οὐκ ἀπαῤῥησιάστως ὄψομαι, ὡς οὐ νενικηκὼς, ἀλλὰ μετὰ παῤῥησίας· νενίκηκα γάρ· ἄξιον οὖν ἂν εἶην μὴ κρύπτειν τὸ τῶν ὀμμάτων φάος, μηδὲ κατηφὴς εἶναι.

76. Νικαφορείαις γὰρ ἔπεσι ἐπιστρέφομαι] πόσαις γὰρ ἐπιστροφίαις, φησὶν, αὕτη ἡ πόλις οὐκ ἦλθεν ἡ τοῦ Πρόκτου, τοῦτο μὲν ἐν τῷ Κορινθίᾳ Ἰσθμῷ, τοῦτο δὲ ἐν τῇ Νεμέᾳ, τετράκις νικήσασα. ἀπὸ Σικυῶνος δὲ καὶ τῶν ἐκεῖσε Πυθίων ἀργυρέαις φιάλαις τιμηθέντες ἀνεχώρησαν ἐπὶ τὸ Ἄργος οἱ πρόγονοι τοῦ Θιταίου.

82. Ἐκ δὲ Πιλλάνας] ἀντὶ τοῦ, καὶ ἐν Πιλλήνῃ ἐνίκησε. τίθεται δὲ σαχία ἱματία ἐν Πιλλήνῃ ἄγναφα. δυσχείμερος δὲ οἱ τόπος. περιφραστικῶς δὲ τὴν χλανίδα μαλακὴν πρόκην εἶπε. καὶ ἑτέρωθι· (Ol. ix. 146.) " ψυχρᾶν ἐπόντ' εὐδιανὸν φάρμακον " αὐρᾶν Πιλλάνα παρίχει." ὁ δὲ ἀγὼν Διὸς· καλεῖται δὲ Δῖα. ἢ οὕτως· ἐκ τῆς Πιλλήνης δὲ τὰ ῥιζίνια νικῶντες, χλανίσιν ἐστηθιοτάταις κοσμηθέντες, ἀπὸ ναοῦ τὸ, ἀνεχώρησαν. λέγεται δὲ, ὅτι καὶ ἐξεμίδας ἐτιμῶντο.

84. Ἀλλὰ χαλκὸν] τὸ δὲ τοῦ χαλκοῦ πλῆθος οὐ δυνατὸν εἰπεῖν ἁπλῶς. μακρο-

τίρας γὰρ, εἶμαι, δεῖται σχολῆς. λίζηται γὰρ ἐτιμῶντο ἐν πολλοῖς τῶν ἀγώνων καὶ ἀσπίδας χαλκᾶς.

87. Ὅν τι Κλείτωρ] ὄντινα χαλκὸν αἱ περὶ Κλείτορα καὶ Τιγίαν πόλεις Ἀργολικαὶ ἀθλον ἔθηκαν, ὃν καὶ τὸ Λύκαιον ἔθηκε χαλκὸν παρὰ τῷ τοῦ Διὸς βωμῷ, τοῖς δυναμένοις νικῆσαι σὺν ποδῶν δρόμῳ, καὶ χειρῶν σθένει, πάλῃ, καὶ παγκρατίῳ, καὶ πυγμῇ.

91. Κάστορος δ' ἰλαθέντος] τοῦ δὲ Κάστορος ξενωθέντος παρὰ τῷ Παμφάῃ, τῷ προγόνῳ σου, ὦ Θεμιστᾶ, σὺν τῷ ἀδελφῷ Πολυδεύκει, θαυμαστὸν οὐδὲν, ἀγαθοὺς καὶ θαυμασίους γιγνῆσθαι τοὺς προγόνους σου ἀγωνιστάς· ἱστόρηται γάρ εἶσι τῶν ἀγώνων οὗτοι. διὰ τοῦτο γοῦν ἐν τοῖς ἑτάνω εἶπε, (v. 71. 2.) Χαρίτεσσί τε καὶ σὺν Τυνδαρίδαις τὴν νίκην αὐτῶν ἰλήλυθέναι τῷ γένει.

96. Ἐπεὶ ἰερυχόρου ταμίαι] ἐπεὶ οἱ τῆς ἰερυχόρου Σπάρτης ταμίαι καὶ διεπόται, Διόσκουροι, σὺν τῇ Ἑρμῇ καὶ Ἡρακλεῖ τὴν τῶν ἀγώνων μοῖραν τῆς ἰσονχίας δίκουσι καὶ διοικοῦσι.

100. Μάλα μὲν ἀνδρῶν] πάνυ μὲν ὑμῶν τῶν ὄντων δικαιοτάτων ἀνδρῶν φροντίζοντες διὰ τὸ τῆς ξενίας δίκαιον, καὶ ἄλλως δὲ καὶ κατὰ φύσιν οἱ Θεοὶ πιστοί τινες καὶ φιλάνθρωποι περὶ τοὺς εὐσεβοῦντας ὄντες ἢ οὕτως· ὅτι πίστιν σώζοντες πρὸς τὸν προγονόν φησι τὸν ὑποδεξάμενον αὐτοὺς, νίκην τούτῳ νῦν ἐδωρήσαντο. ἢ οὕτοι, φησὶ, πιστεσῶς πηδόμενοι τῶν δικαίων ἀνδρῶν. δοκοῦσι γὰρ ἐπιφανόμενοι κατὰ τὸ πίλαγος σώζειν τοὺς δικαίους.

103. Μεταμειζόμενοι δ' ἐναλλὰξ] μεταλαβόντες δ' αὐτοὶ οἱ Διόσκουροι, καὶ ἐκ διαδοχῆς ἐναλλάσσοντες τὰς ἡμέρας, μίαν μὲν διάγουσιν ἐν τῷ οὐρανῷ ὡς Θεοὶ, μίαν δὲ ἐν τοῖς ὑπογείοις τῆς Θεράπνης, ὁμοίαν καὶ ἴσην ἐκπληροῦντες σύγχυ. ἰσίον δὲ ὅτι περικίστωκε τοῖς ἐν τῇ Νεκυομαντείᾳ λεγομένοις περὶ τῶν Διοσκούρων· (Hom. Odyss. λ'. 302 sq.)

Ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε
Τεθνᾶσιν, τιμὴν δὲ λελόγχασιν ἴσα θεοῖσι.

φησὶ γὰρ τοὺς Διοσκούρους μίαν μὲν ἡμέραν ὑπὲρ γῆς εἶναι, ἑτέραν δὲ ὑπὸ γῆν, ὥστε κατὰ μὲν τὸν διεκπεραιότατα παρ' Ὁμήρῳ, παρ' ἡμέραν αὐτοὺς ἀποθνήσκειν· κατὰ δὲ Πίνδαρον μίαν μὲν ἡμέραν παρὰ τοῖς ἀθανάτοις διατᾶσθαι, μίαν δὲ ἡμέραν ὁρῶντας τὰ παρ' ἀνθρώποις σὺν αὐτοῖς εἶναι.

107. Ἐπεὶ τοῦτον, ἢ πάμπαν Ζεὺς ἴμμενε] ἐπειδὴ μᾶλλον τοῦτον εἵλετο τὸν αἰῶνα, φησὶ, Πολυδεύκης, τὸν ἀδελφὸν ἔχων μεθ' ἑαυτοῦ, ἐκ διαδοχῆς Διὸς γενέσθαι καὶ πάλιν ἀθρόους, ἢπερ μόνος ἐν οὐρανῷ Διὸς κατακεῖν, Κάστορος τοῦ ἀδελφοῦ αὐτοῦ φθαρέντος ἐν πολέμῳ. αὐτοῦ γὰρ τρωθέντος καὶ μέλλοντος ἀπόλλυσθαι εἵλετο Πολυδεύκης, ὁ τούτου ἀδελφὸς αὐτὸς ἀθάνατος ὤν, μᾶλλον παρ' ἡμέραν ἄνθρωπος εἶναι ἅμα τῷ ἀδελφῷ, καὶ πάλιν θεὸς, ἅμα τῷ ἀδελφῷ, ἀπολουμένου αὐτοῦ. καὶ οὕτως ἐποίησαν οἱ Θεοί.

112. Τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν ποτε] ἡ ἱστορία ἐπὶ τοιαύτη. Λυγκεὺς καὶ Ἴδας οἱ Ἀφαρέως παῖδες, ἐμνηστεύσαντο τὰς Λευκίππου θυγατέρας, Φοίβην καὶ Ἱλάειραν. κατὰ δὲ τὴν τῶν γάμων ἑορτὴν τὰς Διοσκούρους εἰς ἱερίαν ἐκάλεσαν. οἱ δὲ τὰς κόρας ἁρπασάσαντες, ἀπέφυγον, οἱ δὲ ἐπεδίωξαν, καὶ συνέστησαν τοῖς Ἀφαρεταῖδαις καὶ τοῖς Διοσκούροις μάχη περὶ τῶν γάμων, καὶ ἀναιρεῖται Κάστωρ. εἶτα Πολυδεύκης ἀνέλιν ἀμφοτέρους, συμπεράξαντος τοῦ Διὸς καὶ κεραυνὸν αὐτοῖς ἐπιπέμψαντος. ὁ δὲ Πίνδαρος οὐ διὰ τὰς νύμφας φησὶν αὐτοὺς γενέσθαι τὴν φάσιν, ἀλλὰ διὰ βοῶν ἀπέλασίαν. ψυχοπομπαγοῦντος οὖν τοῦ Κάστορος Πολυδεύκης ὢν ἀθάνατος πρὸς τὸν ὄντα φθαρτὸν εἵλετο καταμερίσασθαι τὴν ἀθανασίαν, τῇ τῆς φύσεως ἐπινικώμενος ἀνάγκῃ. οὕτως οὖν αὐτοὺς καὶ Ὅμηρος ἑτερημέρους καλεῖ. ὁ δὲ νεῦς· τὸν Κάστορα γάρ, φησι, τῆς τῶν βοῶν ἁρπαγῆσεως ἕνεκεν ὁ Ἴδας ὀργισθείς πως, ὁ Ἀφάρεως παῖς, ἔτρωσε.

114. Ἀπὸ Ταϋγέτου] ὁ μὲν Ἀρίσταρχος ἀξιοῖ γράφειν, ἤμενοι, ἀπολοῦθως τῇ ἐν τοῖς Κυπρίοις λεγομένῃ ἱστορίᾳ. ὁ γὰρ τὰ Κύπρια συγγράψας φησὶ, τὸν Κάστορα ἐν τῇ δρυῒ κρυφθέντα ὀφθῆναι ὑπὸ Λυγκέως. τῇ δὲ αὐτῇ γραφῇ καὶ Ἀπολλόδωρος κατακολούθηκε. πρὸς οὓς φησι Δίδυμος, ἀμφοτέρων ὑπὸ τῇ δρυῒ λοχώντων, τοῦ Κάστορος καὶ τοῦ Πολυδεύκους, μόνον ὁ Λυγκεὺς τὸν Κάστορα εἶδε. μήποτε οὖν δεῖ, (f. δεῖ) φησι, ἀναγινώσκειν τὴν παραλήγουσαν συλλαβὴν ὀξυτόνως, τοῦ ἤμενος, ὡς ἠρμένος, ἵνα κατ' ἀμφοῖν ἀκούηται; ὁ δὲ Λυγκεὺς δρυὸς ἐν σχίζῃ ἤμενος, (—ος) ἀντὶ τοῦ ἠμένους, δηλονότι τοὺς Διοσκούρους· ὡς ἀλλότως, καὶ τρίτως· (—ως) "οὐχ ἵδως" "ἰσὶ, γεραιὲ," ἀντὶ τοῦ, οὐχ ἵδους. παρατίθενται δὲ καὶ τὰ Κύπρια γράψαντα, οὕτω λέγοντα·

— — — αἶψα δὲ Λυγκεὺς
Ταΰγετον προσίβαινε, θοῶν ταχίεσσι πιτυσσῶν.
Ἀκρότατον δ' ἀναβὰς, διιδέρκετο νῆσον ἅπασαν

* Leg. ἴδες Iliad. λ'. 647.

Ταντα λίδου Πίλιτος, τάχα δ' ἐδιδι κύδιμος ἥρως
Εἰν. ὀφθαλμοῖσιν ἴσω δρυὸς ἄμφω καλ-
λης *
Κάστορά θ' ἱπποδάμων καὶ ἀνθλίφορον
Πολυδεύκεα.
Νύξι δ' ἄρ' . . . . . .

Ὁ Κάστωρ ἐλόχα τὸν Ἴδαν, φησὶν, ἐν κοίλῃ δρυῖ κρυφθείς, καὶ τὸν Λυγκέα. ὁ δὲ Λυγκεὺς ἐξυδιερκὴς ὤν, ὡς καὶ διὰ λίθων καὶ διὰ γῆς τὰ γινόμενα βλέπειν, ἰδὼν διὰ τῆς δρυὸς τὸν Κάστορα ἵτρωσε λόγχῃ. ἀπὸ γὰρ τοῦ ὄρους σκοπῶν ὁ Λυγκεὺς ἐθεάσατο αὐτοὺς ἐγκαθιζομένους ἐν στελέχει δρυὸς καὶ ἐλλοχῶντας. τοῦ γὰρ Λυγκέως ὑπὲρ πάντας ἀνθρώπους ἐξύτατον ἦν τὸ ὄμμα.

118. Λαιψηροῖς δὲ] τάχιστα δὲ ἐκ τοῦ ὄρους πρὸς τοὺς Διοσκούρους δραμόντες πυρεγίνοντο καὶ μάγιστον ἔργον κατειργάσαντο, τρώσαντες τὸν Κάστορα τάχιστα. ἀλλὰ μὴν καὶ ὑπέστησαν δεινὸν ἔργον· οἱ πρωτεφημένοι τοῦ Ἀφαρέως παῖδες ὑπὸ τῶν Διοσκούρων. εὐθέως γὰρ ἦλθον ὁ Πολυδεύκης τοῦ ἀδελφοῦ πυθόμενος· αἱ δὲ ἐλθόντι αὐτῷ ἀνθυπέστησαν ἐξ ἐναντίας περὶ τὸν τάφον τοῦ πατρὸς αὐτῶν Ἀφαρέως, καὶ ἐπέβαλον τῷ στέρνῳ τοῦ Πολυδεύκους τάλην ἐνὸς τῶν κειμένων ἀρπάσαντες καὶ πίμψαντες τῷ Πολυδεύκει ἀπὸ τοῦ τύμβου τοῦ πατρὸς αὐτῶν Ἀφαρέως, ἀλλ' οὔτε αὐτὸν ἔπληξαν τὸν Πολυδεύκην, οὔτε ὑποχωρῆσαι [ὑπὲρ τοῦ πατρὸς] πυθόμενοι οἱ Ἀφαρετιάδαι.

129. Ἐφερμηθεὶς (sic) δ' ἄρ' ἔπεμψι θοῇ] ὁ δὲ Πολυδεύκης, φησὶν, ἐφερμήσας τῷ τάχει, δέρατι ἐπέβαλε ταῖς τοῦ Λυγκέως πλευραῖς τὸν σίδηρον.

132. Ζεὺς δ' ἐπ' Ἴδᾳ πυρφόρου] οἱ μὲν ἐπὶ τῷ Ἴδᾳ φασὶν, οἱ δὲ ἐν τῷ ὄρει τῇ Ἴδῃ, ἵνα Ἴδην πᾶν ὄρος ὑψηλὸν ἀκούσωμεν. οὐδὲ γὰρ νῦν τοῖς κατὰ τὴν Ἀρκαδίαν τελουμένοις ἡ κατὰ Τροίαν συντελεῖ. ὁ δὲ νοῦς οὗτος· ὁ δὲ Ζεὺς πυρφόρου καὶ τηρωδῆ περαυνὸν πρασίῤῥηξιν ἀμφοτέρους, ὁμοῦ δὲ ἐπαίθυσσε ἐρημωθέντες. χαλεπὴ δὲ καὶ δεινοτάτη ἡ ἔρις τοῖς ἀνθρώποις ἡ κατὰ τῶν πρωτόνων. ἡ γὰρ πρὸς τοὺς κρείττονάς, φησιν, ἔρις χαλεπή ἐστιν, ὥστι ὁμαλεῖν αὐταῖς καὶ προσφέρεσθαι. ἀποδιακομεῖσθαι δεῖ οὖν τὴν ἔριν πρὸς τοὺς κρείττονας. ἡ μὲν πρὸς τοὺς ἴσους ὁμιλία εὐκτὴ, ἡ δὲ πρὸς τοὺς κρείττονας χαλεπή. οἱ γοῦν Ἀφαρετιάδαι ἐρίσαντες κρείττοσι ταῖς Διοσκούροις, ἀπώλοντο.

137. Ταχίως δ' ἐπ' ἐδιλφιοῦ] ταχίως δ' ἐπὶ τὸν ἀδιλφὸν ὁ Πολυδεύκης ἦλθεν ὑποσρίψας, καὶ δὴ αὐτὸν οὕτω τεθνηκότα, ψυσιῶντα δὲ κατίλαβεν. οὕτω, φησὶ, τὸν Κάστορα ἰδὼν τεθνηκότα, τὰς δὲ πνοὰς ἀποψυχρούμενον ἀπὸ τῆς φρένης. καταψύχονται γὰρ οἱ πυρούμενοι.

142. Πάτερ Κρονίων] ὦ πάτερ Ζεῦ, τίς δὴ λύσις γενήσεται τούτων τῶν πόνων; καί μοι θάνατον ἐπίθες καὶ δίιζον, ὦ βασιλεῦ.

146. Οἴχεται τιμὰ φίλων ταπομένῳ] ἀντὶ τοῦ περισκομένῳ. οὐδεὶς συμπονεῖ, φησιν, ἐὰν μὴ φίλος ᾖ καὶ ἀγαθὸς ἀδελφός· περηθεὶς δὲ τούτου, τίνα ἕξω κοινωνὸν τῶν πόνων; ἢ οὕτως αὐτῷ δεῖ τοῦν· τὸ ταπομένῳ φησὶ Δωρικῶς· ἀνδρὶ γὰρ τῶν φίλων περισκομένῳ πᾶσα διάθασται τιμή. ἢ οὕτως· ἐάν τις καθυπερέχῃ τοῦ προσφιλοῦς, ἀποστρεῖται τοῦ συμπράσσοντος, ἀπραγὴς δὲ γινόμενος οὐ τιμᾶται ὑπ' οὐδενός.

147. Παῦροι δ' ἐν πόντῳ πιστοὶ βροτῶν] ἀντὶ τοῦ, οὐδὲ ὀλίγοι. ὡς καὶ παρ' Ὁμήρῳ· (Iliad. δ'. 800.)

Ἦ ὀλίγον οἱ παῖδα ἰοικότα γείνατο Τυδεύς.

ὁ δὲ νοῦς· οὐδὲ ὀλίγοι † δὲ ἀνθρώπων εἰσὶν, ἐν τοῖς ὑπερβάλλουσι κινδύνοις τῶν δεινῶν κοινωνεῖν. ἢ οὕτως· οὐδὲ ὀλίγοι δὲ τῶν ἀνθρώπων πιστοὶ, κατὰ τοὺς πόνους πάσχουσι τοῖς ἑταίροις τοῦ καμάτου κοινωνεῖν.

150. Ἐσσί μοι υἱὸς] ὁ μὲν Ἡσίοδος ἀμφοτέρους Διὸς εἶναι γενεαλογεῖ· ὁ δὲ Πίνδαρος ἑτέρους τῶν ἑσπερίων ἐξαπολουθήσας τὸν μὲν Πολυδεύκην ἐκ Διός, τὸν δὲ Κάστορα ἐκ Τυνδάρεω εἶναί φησιν, ὡς καὶ Ἡρακλῆς μὲν ἐξ Ἀλκμήνης καὶ Διός, Ἰφικλῆς δὲ ἐξ Ἀμφιτρύωνος. λέγεται γὰρ τοῦτο, ὅτι Πολυδεύκης καὶ Ἑλένη ἐκ Διός εἰσι καὶ Λήδας, Κάστωρ δὲ ἐκ Τυνδάρεω. ὁ μέντοι Ἡσίοδος οὔτε Λήδας οὔτε Νεμέσεως δίδωσι τὴν Ἑλένην, ἀλλὰ Θυγατέρα Ὠκεανοῦ καὶ Τηθύος. τὸ δὲ σαφὲς οὕτως· σὺ μέν, ὦ Πολύδευκες, συγχάνεις μοι υἱὸς, τὸν δὲ Κάστορα μετὰ ταῦτα ὁ Τυνδάρεως, σπέρμα θνητὸν ὄντα, τῇ σῇ μητρὶ συνελθὼν ἐσπείρεν.

153. Ἀλλ' ἄγε τῶνδέ τοι] ἀλλ' ἄμως τούτων ἀμφοτέρων σοι τὴν κρίσιν καὶ τὴν αἵρεσιν ἐπιδίδωμι· εἰ μὲν γὰρ τὸν θάνατον ἐφυγὼν καὶ τὸ γῆρας τὸ ὀδυνηρὸν, αὐτὸς βούλει τὸν οὐρανὸν οἰκεῖν σὺν ἐμοὶ καὶ Ἀθηνᾷ καὶ Ἄρει, ἴσι σοι τούτων μερίς. εἰ δὲ ὑπὲρ τοῦ ἀδελφοῦ Κάστορος διαμάχῃ, πάντων δὲ τῶν καλῶν βούλει αὐτῷ ἀπομερίσασθαι τὸ ἴσον, τὸ μὲν ἥμισυ τοῦ χρόνου ἵξεις ὑπὸ τὴν γῆν διατρίβων, τὸ δὲ ἥμισυ ἐν τῷ οὐρανῷ καὶ ταῖς τιμίοις τῶν θεῶν οἰκοις.

166. Ὡς ἄρ' αὐδάσαντος] οὕτω ταῦτα τοῦ Διὸς εἰπόντος, οὐ κατεμερίσθη τὴν γνώμην ὁ Πολυδεύκης, ἀλλ' εὐθέως ἐπὶ τὸ ἕτερον ἐχώρησεν, ἐπὶ τὸ τὴν εὐδαιμονίαν τῷ ἀδελφῷ μερίσασθαι.

* v. V. L. ad v. 116.

† f. ὀλίγων.

168. Ἀνὰ δ' ἕλωσι μὲν ὀφθαλμὸν] ὁ Ζεὺς δηλονότι· οἷον, ἤδη μύοντα καὶ κλειόμενον διὰ τὸν θάνατον ἀναβλέψαι ἐποίησεν. ὁ δὲ νοῦς· ἀνέλωσι μὲν, καὶ πάλιν ἐρῶν παρεισύησι τὸν τοῦ ἀδελφοῦ ὀφθαλμὸν, ἵστατα καὶ τὴν φωτὸν ἐνίζαλε, τοῦ χαλκαμίτρα Κάστορος.

Carmen XI.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑνδεκάτου τῶν Νεμέων εἴδους.

Τῆς ἐνδεκάστης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἓξ. Τὸ α' Πινδαρικόν, ἔστι δὲ ἰαμβίλιγγος, λείπων τῇ ἀρχῇ, καὶ πάλιν ἰαμβικὸν πενθημιμερὲς, λεῖπον τῷ τέλει, ὃ παλίντακτοι ἀμφιλικτίδες, ἐπεὶ καὶ ἐν ἀρχῇ καὶ ἐν τῷ τέλει λείπει. ἡ δὲ ἀπόδοσις τὸ, ἀοιδαῖς, ᾠδαῖς σοφαῖς (23). Τὸ β' σύνθεσιν ἐκ τριμέτρου στραχαίου ἡμίσους ἴσους. Τὸ γ' ἴσος παρὰ συλλαβήν. Τὸ δ' ὅμοιον τῷ· Ζεῦ πάτερ, γάμου μὲν οὐκ ἐδεσάμην. Τὸ ε' χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἢ πενθημερὲς δακτυλικὸν πλειονάζον μιᾷ συλλαβῇ. Τὸ ϛ' ἰσχιοραμβικὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ἑνία. Τὸ α' δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ β' δακτυλικὸν πενθημιμερές. Τὸ γ' ὅμοιον τῷ α' τῆς στροφῆς. Τὸ δ' δακτυλικὸν πενθημιμερές. Τὸ ε' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ϛ' δακτυλικὸν πενθημιμερές. Τὸ ζ' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ η' ὅμοιον τῷ δ' τῆς στροφῆς. Τὸ θ' σύνθετον ἐκ πενθημιμεροῦς στραχαίου καὶ ἡφθημιμεροῦς δακτυλικοῦ.

*** *** ***

Ὅτι οὐκ ἐχρῆν τὴν ᾠδὴν ταύτην εἰς ἐπινικίους συνενῶσθαι.

Οὐδὲ ὅλως, φησὶν ὁ Δίδυμος, ἐχρῆν τὴν ᾠδὴν ταύτην εἰς τοὺς ἱστιαπλοΐας συντιθῆσθαι. ὁ γὰρ ἱερὸν ἀγῶνα νενικηκὼς ὁ Ἀρεστοκράτης, ἀλλὰ περιχόρους. γεγράφθαι (δέ) φασι τὴν ᾠδὴν εἰς στρατηγοῦντα καὶ τῆς πόλεως προεστῶτα τὸν Ἀριστοκράτη. σαφὲς δὲ τοῦτο, ἐξ ὧν φησιν· (10. sq.) Ἀλλὰ σὺν δίκᾳ τέλος δυωδεκάμηνον πράσσει. ἱστατῆσθαι δέ φησιν ὁ Δίδυμος νίους, ὡς δοκεῖν ἱεροὺς στεφάνους αὐτὸν ἀνηρῆσθαι. διὰ τῆς φθῆς δὲ σημαίνεται, ὅτι στεφάνους ἴσχυν ὡς δικαίξ, ἀλλ' οὐχὶ περιόδους, ὡς ἱπλανήθησαν ἐκ τοῦ λήγεσθαι· (28 sq.) Ἐλπίδος δ' ἐκπεφύτρωται γονέων παιδὸς βίαν ἴσχον ἐν Πυθῶνι πιεράσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων. οὐ γὰρ σημαίνει διὰ τούτων, ὡς Ἰσθμια καὶ Νίμεια νενικηκέτος αὐτοῦ, ἀλλὰ τοὐναντίον· οἱ γονεῖς δ' ἐὐλάξαιεν συγγενεὶν οὐκ ἀστεφάνων αὐτὸν ἐπὶ τοὺς ἱεροὺς στεφάνους, ἐπεὶ καὶ "Ισθμια καὶ Νίμεια εἰλήφει. ἐπεύξατο γάρ· (30 sq.) Ναὶ, μὰ γὰρ ξένον, ἐμὸν δέξαν παρὰ Κασταλίᾳ καὶ παρ' εὐδένδρῳ μολὼν ἔχθρᾳ Κρόνου πάλλων ἂν δρομάσιν νικήσας (sic) ἀντετάλαν. ὁμνύει γὰρ ὁ Πίνδαρος, ὅτι κατὰ τὴν ἑαυτοῦ δέξαν, εἰ ἐξιδήμησεν εἰς Πυθῶνα καὶ Ὀλυμπίαν, πάλλειν ἂν τῶν ἀνταγωνιστῶν ἐσπλαλάθη εἰς τὴν πατρίδα, τουτέστιν, ἐνίκησεν ἄν. νῦν δὲ ἐλπίδες ἐπηρέτραι κατέσχον τῶν γονέων αὐτόν. διὸ οὐδ' ὅλως ἐξιδήμησεν. συντακτέον οὖν, φησὶν ὁ Δίδυμος, εἰς τὰ παροίνια, καθὰ καὶ τοῖς περὶ τὸν Φασηλίτην* ἀρέσκει. ὅλως οὖν οὐδὲ δεῖ τιτάχθαι τὴν ᾠδὴν· οὐ γὰρ οἷον Νιμεονίκης ἐστίν· ἀλλ' οὐδ' ὅλως ἀθλοῦντι γέγραπται ἔτι, ἀλλ' ἀνδρὶ τελείᾳ πρυτανεύοντι τῆς πατρίδος. εἰ δὲ

* Theodectes?

παραμυθήσεται, ὅτι στερηχόρους ἀγῶνας ὑπέμεινε παῖς ὤν, οὐ διὰ τοῦτο ἀθλητὴς· καθὸ οὖν ἀθλητὴ γίγραπται, ἀλλὰ πρυτάνει, καθὸ ἱερυτάνευεν ἔτυχε δὲ ἐπὶ τῆς παιδικῆς ἡλικίας ἄθλων. διὸ δὴ καὶ ὡς πρυτανεύοντος τὴν Ἑστίαν προσφωνεῖ. ἔοικε δὲ ὁ Ἀρισταγόρας μὴ νῦν νενικηκέναι. φασὶ γὰρ οἱ ἱστορικοί, παιδὶ μὲν ὄντι κωμικὰς ὑπεκριθῆναι νίκας, ἀνδρωθέντι δὲ νῦν καὶ πρυτανεύοντι τὸν Πίνδαρον, πρόσχημα μέν, ἐπινίκιον γράψαι, τὸ δὲ ἀληθές, προσφωνητικὸν εἰς τὴν πρυτανείαν. Τίνιδος δέ ἐστι καὶ τῆς Λιβύης καὶ τῆς Τροίας.

1. Παῖ Ῥέας, ἅτε πρυτανῖτα λίλογχας] πρυτανεῖά φησι λαχεῖν τὴν Ἑστίαν, παρόσον αἱ τῶν πόλεων ἑστίαι ἐν ταῖς πρυτανείαις ἀφίδρυνται, καὶ τὸ ἱερὸν λιγόμενον πῦρ ὑπὸ τούτων ἀσύλωται. εἰκὸς δ' ἦν πρυτανεῖον, καθὰ τὸ Ἰτυμον, πυροσταμεῖον, κατὰ συγγένειαν τοῦ μ εἰς τὸ π, ὡς τὸ μὶν, νὶν· ἢ κατὰ κοινωνίαν τοῦ β πρὸς τὸ π, βρυτανεῖον παρὰ τὸ βρύειν, ὅ ἐστιν αὔξειν καὶ θάλλειν, ἀφ' οὗ καὶ τὸ ἔμβρυον, τὸ ἐν τῇ γαστρὶ αὐξανόμενον. "καί τι βρύει ἄνθει λειμών" Ὁμήρου (Iliad. ρ. 56.) ὁ δὲ νοῦς· ὦ Ἑστία, τῆς Ῥέας παῖ, ἥτις ἴλαχες τὰ πρυτανῖα, τοῦ ὑψίσου Διὸς ἀδελφὴ συγχάνουσα, καὶ τῆς Ἥρας τῆς ὁμοθρόνου καὶ τῆς συμβασιλευούσης τῷ Διΐ, καλῶς μὲν τὸν Ἀρισταγόραν ὑπέδεξαι εἰς τὸ πρυτανεῖον, καλῶς δὲ καὶ τοὺς ἱπαίρους τοὺς συμπρυτανεύοντας αὐτῷ, τοῦ σοῦ σκήπτρου φίλας. ἐκ τούτου οὖν πρόδηλον, ὡς εἰς τὴν πρυτανείαν γράφεται. ἴδρυται δὲ ἐν ταῖς πρυτανείοις ἡ ἑστία.

5. Οἵ σε γεραίρουσι] οἵτινες σε τιμῶντες, οἱ πρυτάνεις, ἐν δικαιοσύνῃ διαφυλάσσουσι τὴν Τίνιδον, πολλάκις μὲν σπονδαῖς καὶ θυσίαις ἐξιλεούμενοι πρώτην τῶν ἄλλων θεῶν, πολλάκις δὲ ἐν ταῖς θυσίαις. πρώτην δὲ ταύτην εἶπε, καθόσον ἀπ' αὐτῆς ἤρχοντο. καὶ Σοφοκλῆς· (Fragm. 82. Brunck.) "ἐ πρώρα (πρώτα) λαοῖς Ἑστία." ἀπὸ οὖν τῆς μύσεως, ἥ ἐστι, τῆς μυήσεως, καὶ τὰς θυσίας (sc. αἰνίττεται).

8. Λύρα δὲ σφιν βρίμισα] λύρα δὲ αὐτοῖς κατὰ τὰς πανηγύρεις ἠχεῖ καὶ φδὰ, καὶ τοῦ ξενίου Διὸς Ξένιος ἀσπίτας καὶ ἀπασάζεται παρ' αὐτοῖς δαπανᾶς ἐν ταῖς τραπέζαις. ἀντὶ τοῦ, φιλέξενοί εἰσιν.

10. Ἀλλὰ σὺν δέξᾳ τίλος] εὔχεται τὴν ἀρχὴν μετὰ δέξης αὐτὸν τιλίσαι. σὺν ἀσφώτῳ καὶ ἀλύτῳ παρδίᾳ, τουτέστιν, ἀπταίστῳ καὶ ἀβλαβεῖ, τὴν ἰνιαυσίαν ἀρχὴν διανύσιεν. δῆλον δὲ, καθὼς καὶ προείπομεν, διὰ τούτων, ὅτι οὐκ ἴζιν ἰσυνίκιος ἡ φδή. ὁ δὲ νοῦς· παράσχοι οὖν αὐτοῖς διανύσαι σὺν εὐδοξίᾳ τὴν πρυτανείαν, καὶ σὺν ἀλύτῳ παρδίᾳ.

13. Ἄνδρα δ' ἐγὼ μακαρίζω] τὸν δὲ ἄνδρα ἐγὼ μακαρίζω Ἀρκεσίλαν τὸν σὸν πατέρα, καὶ τὸ ἐκείνου ἀνδρεῖόν τι καὶ ἱππέρασον σῶμα. Ἄλλως. τὸν πατέρα αὐτοῦ Ἀρκεσίλαν μακαρίζω, ζηντὸν ὄντα τὸ σῶμα, καὶ τὸν σύγγονον αὐτοῦ Ἀτρεμίαν ὡς ἀδελφοῦ αὐτοῦ ὄντος Ἀτρεμίου, ἢ ὡς ἀδελφῆς· ἀμφίβολον γάρ· ἤ, τὴν συγγινομένην αὐτῷ ἀφοβίαν.

16. Εἰ δέ τις ὄλβον ἔχων] εἴτις δὲ πλούσιος καὶ παλὸς, καὶ ἐν ἀβλαβείαις διάγειαι τῶν ἄλλων, γινωσκέτω, ὅτι θνητός ἐστι, καὶ μηκέτι παρὰ ταῦτα εὐδαιμονίαν μείζονα ζητείτω· μὴ ὡς Διὸς τῶν μειζόνων ἐφιεμένου. ἢ οὕτως· εἰ δὲ ἀνθρώπων τις εὐδαιμονίαν πεπημένος καὶ τῷ ἰδίῳ παρέχεται τοὺς ἄλλους, καὶ ἐν τοῖς ἄθλοις ἀριστεύσας ἐφανέρωσε τὴν ἑαυτοῦ ἰσχὺν, γινωσκέτω μέλλων ἀποθνήσκειν. ἡ δὲ τοῦ νοῦ φαντασία τοιαύτη· μὴ διὰ τὸ ὑπερβεβλημένον τῆς εὐδαιμονίας Διοῖς ἑαυτὸν καταριθμείτω. γινωσκέτω δὲ ὅτι ἀνθρωπίνην ἔχει τὴν φύσιν.

22. Ἐν λόγοις δ' ἐσθλῶν ἀγαθοῖς] ἐν δὲ τῇ τῶν ἀγαθῶν γνώμῃ ἑαυτεῖσθαι τοὺς ἀγαθοὺς πρέπει, φησίν. ἢ οὕτω· τοὺς τοιούτους καὶ τοιαῦτα ἀσπαζόντας ἔρχοντας διὰ ὑπὸ τῶν ἀγαθῶν καὶ λόγοις ἑαυτεῖσθαι καὶ νομιζεσθαι ποιήμασιν.

24. Ἐκ δὲ πυριπτώνων ἑκαλέσθη] Ἀρισταγόραν] ὡς τῶν ἀγωνιστῶν τοῦ Ἀρισταγόρου τοσούτων ὄντων τῷ ἀριθμῷ. ὁ δὲ νοῦς· ἐκ δὲ τῶν πυριπτώνων ἀνταγωνιστῶν ἐκαλέσθαι ὄντων, τὸν Ἀρισταγόραν αἱ νῖκαι, καὶ τὴν τούτου πατρίδα ἐστεφάνωσαν τὴν Ἐσθλέξου, πάλῃ καὶ παγκρατίῳ νικήσαντα.

28. Ἐλπίδες δ' ἀκηρότεραι γονέων] παιδὸς δὲ ὄντος τοῦ Ἀρισταγόρου, φησὶν, αἱ τῶν γονέων ἐλπίδες ἀκηρότεραι διατεθεῖσαι, ἐνεπέδησαν εἰς τε τὸν Πυθῶνα καὶ τὴν Ὀλυμπίαν ἁλῶναι τῶν ἄθλων. εἶπεν.

30. Ναὶ μὰ γὰρ ὄρκον, ἰμὰν δόξαν] ἐνταῦθα ὄνομα οὐ πρόκειται. ἰδίως γὰρ οἱ παλαιοὶ κατ' αὐτοῦ τοῦ ὅρκου ὄμνυον, ὡς καὶ Ἡσίοδος· (Theog. 231 sq.)

"Ὅρκον θ' ὃς δὴ πλεῖστον ἐπιχθονίοις ἀνθρώποις
Πημαίνει, ὅστις κεν ἑκὼν ἐπίορκον ὀμόσσῃ.

Ἄλλως. ἰὰ παλαιὰ τοῦ ὁμνύειν οἱ ἀρχαῖοι παρειλήμμασιν τὰ ὀνόματα τῶν θεῶν. διὸ καὶ ψιλῆς εἶπε· ναὶ μὰ γὰρ ὄρκον, τὴν ἰμὰν δόκησιν, ἴν τι Πυθῶνι καὶ ἐν τῷ ἰοδίνδρῳ ὄρει τοῦ Κρόνου, ὅ ἐστι, καὶ ἐν τῷ Ὀλυμπίᾳ, πέλλιον ἓν τῶν ἀγωνιζομένων ἐκαπέλθει ὁ Ἀρισταγόρας τῇ πατρίδι, τὴν πενταετηρικὴν πανήγυριν, διάταξιν καὶ νόμον οὖσαν Ἡρακλέος, κωμάσας καὶ ἀναδησάμενος τὴν πόμην.

31. Καὶ πας' ἰοδίνδρῳ μολὼν ἔχθρ Κρόνου] ἰοδίνδρῳ διὰ τὰ τῶν ἰλαιῶν φυτὰ,

ἄστρ᾽ Ἡρακλῆς ἐξ Ὑπερβορέων κομίσας ἐνεφύτευσε τῇ γῇ. τὸ δὲ, παρ᾽ ἔχθρ᾽ Κρόνου, ἀντὶ τοῦ, παρὰ τὴν λύρᾳ, τῷ κατὰ τὴν Ὀλυμπίαν ἀνειρωδίστῃ τῷ Κρόνῳ.

37. Ἀλλὰ βροτῶν κινήσεις αὔχει] αἱ ταυχήσεις. ἀλλὰ τῶν ἀνθρώπων τὸν μὲν αἱ μεταιθρώσεις ταυχήσεις καὶ ἀλαζονείαι ἐκ τῶν παρὰ θεοῦν καλῶν ἀστυχεῖν παρεσκεύασαν, τῷ τῶν μειζόνων παρὰ δύναμιν καὶ τὸ πρόσηκον ὀρέγεσθαι, ἔνιον δὲ, ἰσχυρὸν ὄντα κατὰ φύσιν, μεγαλύζοντα δὲ, καταμεμφόμενον τὴν ἑαυτοῦ δύναμιν, τῶν προσόντων καλῶν σφαλῆναι ποιοῦσιν ἡ ψυχὴ, ἄτολμος οὖσα καὶ τῆς χειρὸς αὐτὸν εἰς τοὐπίσω ἕλκουσα, τουτέστιν, ἄτολμον ποιοῦσα.

43. Συμβαλεῖν λίαν ἐυμαρὲς ἦν] ἐκ δὲ τῆς Ἀριστάγόρα ἀριστῆς ἐυμαρὲς ἦν διαγῶναι συμβαλόντας, ὅτι τῷ Λακωνικῷ Πεισάνδρῳ ἀστόγονος ἦν, τοῦ ποτὲ σὺν τῷ Ὀρέστῃ ἀποικίαν ἀπὸ τῆς Λακεδαίμονος εἰς Λέσβον στειλαμένου τὸ τῶν Αἰολέων γένος. τὸ δὲ δεύτερον, ὡς πρὸς τὴν Τένεδον, τὴν (f. ὑπὲρ) τῆς Λέσβου. ἦν δὲ συμβαλεῖν καὶ τὸ μητρῷον αὐτοῦ γένος περὶ τὰ Ἰσμηνοῦ ῥεύματα, πεπραμένον τῷ Θηβαίῳ Μελανίππῳ. ἢ οὕτω· συμβαλεῖν λίαν ἐυμαρὲς καὶ σημειώσασθαι τὸν ἰδόντα τὸν Ἀριστάγόραν, ὅτι τὸ πάλαι αὐτοῦ αἷμα καὶ τὸ γένος ἦν ἀπὸ Πεισάνδρου τοῦ Σπαρτιάτου, ὡς ἀπό τινος τῶν παλαιῶν Πεισάνδρου ὄντος τοῦ Ἀριστάγόρου. οὗτος δέ, φησι, σὺν Ὀρέστῃ ἀπῴκησεν ἐν Σπάρτῃ, καὶ τὴν Τένεδον κατῴκησε. Τιμαῖος γὰρ ὁ Ἀριστάγόρας. περὶ δὲ τῆς Ὀρέστου εἰς τὴν Αἰολίδα ἀποικίας Ἑλλάνικος ἐν τῷ πρώτῳ περὶ Αἰολικῶν ἱστόρηκεν. Ὁ δὲ Μιλάνιππος οὗτος Θηβαῖος ἦν ἐκ τοῦ πολίμου συτὰς τῷ Τυδεῖ. τούτου δοκεῖ διὰ τὴν ὀργὴν λαβὼν ὁ Τυδεὺς τὴν κεφαλὴν καὶ ῥήξας ἐκροφῆσαι τὸν ἐγκέφαλον. διὸ καὶ ἀντιστράφη ἡ Ἀθηνᾶ τότε νομίζουσα αὐτῷ τὴν ἀθανασίαν. τὸ μὲν οὖν ἀπὸ πατρὸς γένος εἰς Πεισανδρον, τὸ δὲ ἀπὸ μητρὸς εἰς τοῦτον τὸν Μιλάνιππον. μήτρωες γὰρ οὗτοι οἱ κατὰ μητέρα πρόγονοι.

48. Ἀρχαῖαι δ᾽ ἀρεταὶ] αἱ ἀρχαῖαι τῶν προγόνων φύσει ἀρεταὶ ὕστερον ἐκλάμπουσιν. ἐνίοτε γάρ τις γίγονεν ἀπὸ πατρικοῦ τινος ἀνδρὸς, εἶθ᾽ οἱ ἐκείνου ἀπόγονοι ἄσκαπτοι ἄφθησαν, ἕως διὰ πολλῶν ἐτῶν πάλιν εἰς ἐξέλαμψιν. οὗτος οὖν, φησι, ἀπὸ Μιλανίππου γεγονὼς καὶ Πεισάνδρου, δρεπτρίων γεγονότων, τὸ δὲ μεταξὺ ἀμαυρομένου, αὐτὸς ἐξέλαμψε τῶν ἐκείνου ἀρετῶν, αὐτὸς ἐφ᾽ ἑαυτοῦ ἴδιξε τὸ γένος, οἷον ἦν. ἢ οὗτος· αἱ δὲ παλαιαὶ ἀρεταὶ ἀποφέρονται σθένος ἐναλλασσόμεναι ταῖς τῶν ἀνθρώπων γενεαῖς. οὗτοι γὰρ ἐφθῆς αἱ ἄρουραι καρπὸν δυνατῶς ἀποδιδόασιν, οὗτοι μὲν τὰ φυτὰ βούλεται ἐν ἀπάσαις ἴσων πεφυδὸς καρπὸν καὶ βλαστὸν ἰσῶδη καὶ ἰσαιρεῖη φέρειν, ἀλλ᾽ ἐξ ὑπαλλαγῆς καὶ διαστάματος ταῦτα δίδοται, καὶ τὸ τῶν ἀνθρώπων γένος τὸν αὐτὸν τρόπον τοῖς φυτοῖς καὶ τοῖς ἀρούραις ἀναδίχεται.

55. Τὸ δ᾽ ἐκ Διὸς ἀνθρώπους σαφὲς ἐκ ἴστηται σῆμα] τὸ ἀποζευγόμενον τέλος ἐκ τοῦ Διός, φησὶν, οὐ προγινώσκομεν οἱ ἄνθρωποι, ἀλλὰ μεγαληγοροῦμεν, μεγάλα τι μεμνῶντες καὶ φρονοῦντες ὑπὲρ ἑαυτούς. τίνι δὲ πρὸς Ἀριστάγόραν, ἐσωδὴ τότε ἦρχε καὶ ἐφρυτάνευε, παραινῶν αὐτῷ μὴ ὑπερφανιοῦσθαι, ἀλλὰ μετρίως βιοῦν, πράσσειν τε καὶ ἐν ἀρετῇ διάγειν.

59. Δεῖται γὰρ ἀναδεῖ ἐλπίδι γοᾶς] τουτέστιν, ἐμπίφυσιν ἡμῖν ἐλπὶς ἄσωθεν. ἀναδὴ δὲ τὴν ἐλπίδα εἶπεν, ὅτι οἱ πολλοὶ ἡμῶν ἀδύνατα ἐλπίζουσιν. ἢ ἀναδῆ τὴν ἐλπίδα εἶρηκε, διὰ τὸ πολλάκις τοὺς ἐλπίζοντας ἀστυγχάνειν καὶ πάλιν ἐλπίζειν. ἢ οὕτω· συνδέδεται δὲ τὰ ἡμέτερα σώματα ἀναδεσέᾳ ἐλπίδι. τὸ δὲ προδοκᾶσθαι καὶ μανθάνειν μακρὰν ἡμῶν ἀπῴκησεν. ἤτοι, τῆς δὲ προγνώσεως αἱ ὁδοὶ ἄσωθεν ἡμῶν κεῖνται, ἀντὶ τοῦ, οὐ δυνάμεθα, ἐνθρωποι ὄντες, τὰ μέλλοντα προγινώσκειν.

62. Κιρδέων δὲ χρὴ μέτρον θαρσύνεμεν] οὐ δεῖ, φησι, ζητεῖν ὠφελείας ὑπερμέτρους, οὐδὲ κερδαίνειν τὰ ὑπὲρ ἡμᾶς. ἀπροσίπτων δὲ, ἀντὶ τοῦ, ἀμηχάνων, ἂν οὐκ ἦσι δίκαιον. τῶν γὰρ ἱρύτων συλητραί εἰσιν αἱ μανίαι καὶ σύντονοι αἱ ἐκπνθυμίαι. τῶν οὖν ἀμηχάνων ἱρύτων, φησὶν, ἐκπνθυμίαι, ἔξοντες ἔχουσι τὰς μανίας. πρὸς τί δὲ τοῦτο λέγει; ἀντὶ τοῦ εἰσεῖν, ὦ Ἀριστάγόρα, οἷς ἴσχυπας καὶ ἴλαφις δικαίᾳ στεφάνοις, στλουτοῖς, ἄρχαις, πρυτανείαις· ἀρκεῖ τούτοις· μηκέτι ὑπὲρ ταῦτα ζήτει.

SCHOLIA

IN PINDARI ISTHMIA.

Ὑποθεσις Ἰσθμίων.

Ἐτελοτντο μὲν οἱ παλαιοὶ πάντες ἀγῶνες ἐπί τισι στιλιτνηκόσιν. ἐστιλίτο γὰρ ὁ μὲν Ὀλυμπιακὸς τῷ Διὶ διὰ τὸν Πίλοπα. ὁ δὲ Πυθικὸς, τῷ Ἀπόλλωνι, διὰ τὸν δράκοντα, ὃν ἀπέκτεινε Πυθώ. ὁ δὲ Νεμεακὸς, κατά τινας, τῷ Ἡρακλεῖ ὑπ' αὐτοῦ, ἐπὶ τῇ τοῦ λέοντος ἀναιρέσει. ὁ δὲ Ἰσθμικὸς οὗτος, τῷ Ποσειδῶνι. ἔστι δὲ ἡ ἱστορία, αὕτη. Ἰνοῦς καὶ Ἀθάμαντος παῖδες, Λέαρχος καὶ Μελικέρτης. τὸν μὲν δὴ Λέαρχον μανεὶς ὁ Ἀθάμας ἀπέκτεινεν. εἶτα ἡ μήτηρ αὐτοῦ καθῆκεν αὐτὸν εἰς λέβητα ὕδατος ζέοντος. μανεῖσα δὲ καὶ αὐτὴ, τὸ παλιστραῖον ἦλλετο μετὰ τοῦ Μελικέρτου εἰς Θάλασσαν. καὶ ἐγένετο μὲν ἡ Ἰνὼ, μία τῶν Νηρεΐδων. ἧς καὶ ὁ ποιητὴς μέμνηται. ἔστι δὲ αὕτη Λευκοθέα. ὁ δὲ Μελικέρτης, μετεβλήθη εἰς δαίμονα. ἔστι δὲ οὗτος ὁ Παλαίμων. χορεύουσαι τοίνυν ποτὲ αἱ Νηρεΐδες, ἐπεφάνησαν τῷ Σισύφῳ, καὶ ἐπέλευσαν εἰς τιμὴν τοῦ Μελικέρτου ἄγειν τὰ Ἰσθμια.

Ἄλλως. Ὑπόθεσις τῶν αὐτῶν.

Τὸν τῶν Ἰσθμίων ἀγῶνα, οἱ μὲν, ἐπὶ Σίνιδι τῷ Προκρούστῃ διατθῆναι φασὶ τὸν Θησέα, ἀνελόντα αὐτόν. ὅτι περὶ καὶ τοὺς ἄλλους. ὃς φησι Σοφοκλῆς *, λέγων περὶ αὐτοῦ " ὃς παρακτίαν σείχων, ἀνημέρωσε " κνωδάλων βόας." ὁ δὲ Σίνις, Ποσειδῶνος παῖς. ὃς δίνδρα κάμπτων, εἶτα συνδεσμῶν εἰς ταὐτὰ, τοὺς περιόντας, ἀθρόους ἀφιεὶς τὰ δίνδρα, οὕτω διέφθειρεν. οἱ δὲ, ἐπὶ Μελικέρτῃ, ὅτι τῷ Ἰσθμῷ ἅταφος προσετιλάσθη, καὶ, μεταξὺ λιμοῦ τὴν Κορινθίων πόλιν κατασχόντος, τοῦ Διοῦ εἰπόντος, οὐκ ἄλλην ἔσεσθαι τῶν ναῶν λύσιν, ἢ τὴν ἐκείνου κηδείαν, καὶ τιμὴν δι' ἀγῶνος ἐπιτα-φίου. ταῦτα δὲ πρὸς ὀλίγον ποιησάντων τῶν Κορινθίων, λιμὸς πάλιν ἐπέθετο. καὶ ἴσχεσεν ὁ Ζεὺς αἰώνιον τὴν εἰς τὸν ἥρωα τιμὴν ὑπάρχειν. καὶ στέφανον σελίνου, διὰ τὸ κατα-χθόνιον εἶναι τὸ φυτόν. ὕστερον μέν που, καὶ τῷ Διῒ προσήνεγκαν τὸν ἀγῶνα ἐπαλλάξ ἐστιλοῦντες. καὶ πίτυϊ λοιπὸν ἐστέφανον, διὰ τὴν πρὸς τὴν Θάλασσαν ὁμοιότητα τοῦ φυτοῦ. καὶ διὰ τὸ ἄπαρπον αὐτὴν εἶναι, ὅσπερ τὴν Θάλασσαν. διὸ καὶ ἀτρύγιτος. εἶτα σημαίνοντες, ὡς οὐδὲν κέρδος τοῖς νικῶσιν ἀπὸ τοῦ στεφάνου πλὴν δόξης, ὅπερ καὶ ἐν Ὀλυμπίᾳ ἐποίησαν, κοτίνῳ στεφανοῦντες. πάντας δὲ εἰπόντας τοὺς γενομένους ὑπερφάνους καὶ γηταίους, Ποσειδῶνος παῖδας φασιν οἱ ποιηταὶ, ἐπὶ τὸ τῆς Θαλάσσης ἄγριον καὶ σαθρὸν ἀφορῶντες. ὅπερ καὶ Ὅμηρος ὑποδηλῶν λέγει· " Γλαυκὴ δέ σ' " ἔτικτε Θάλασσα, Πόντοιο ἁλίζωνε, ὅτι " σοι νόος ἶσιν ἀπηνής" (Iliad. σ'. 34.) οἱ δὲ κομίσαντες τὸ σῶμα τοῦ Μελικέρτου ἀπὸ τῆς Σχοινοντίας, ἐκεῖ γὰρ ἐξέβλῆθη, Ἀμφίμαχος καὶ Δοναξῖνος ἐπαλεῦντο.

Ἄλλως.

Τὸν Ἰσθμικὸν ἀγῶνα στεφῆναι φασὶ δι' αἰτίαν τοιαύτην. Ἰνὼ, ἀπὸ Ἀθάμαντος ἁναιρεθῆναι μέλλουσα, κατὰ μανίαν περα-γηρεμένου τοῦ υἱοῦ αὐτῆς Λιθέρχου, καὶ αὐ-τὴ μανεῖσα, τὸν λοιπὸν παῖδα Μελικέρτην ἁρπάσασα, διὰ Γερανείας τοῦ ὄρους τοῦ Μεγαρικοῦ φυγοῦσα, ᾗ τάχα ἐπὶ τῆς παλαιμό-νης Μολουρίδος πίτυος, ἥλατο σὺν τῷ βρέφει εἰς τὴν ὑποκειμένην Θάλασσαν. αὐ-τοὺς μὲν οὖν λόγος ἔχει ἀποτεθεῶσθαι. καὶ τὴν μὲν, μετονομάσθαι ἀντὶ Ἰνοῦς, Λευ-κοθέαν. τὸν δὲ, ἀντὶ Μελικέρτου, Παλαί-μονα. τὸ δὲ τοῦ παιδὸς σῶμα ἐκπεμφθὲν ὑπὸ δελφῖνος εἰς τὸν Ἰσθμὸν, ἐνθα Σίσυφος ὁ τότε τῆς Κορίνθου βασιλεύων, καὶ ἰδὼν

* f. in Theseo.

διὰ τὴν συγγίνειαν. ἦν γὰρ Ἀθάμαντος παῖς. Ἴστιον δὲ, ὁ Σίσυφός, καὶ Ἀθάμας, Αἰόλου παῖδες τοῦ Διός. Ἐκάλεσε δὲ τὸν ἀγῶνα Ἰσθμια, ἀπὸ τοῦ διείργεσθαι τὰς δύο θαλάσσας δι' Ἰσθμοῦ. τίφος δέ ἐστι τοῦ ἀγῶνος, πίτυς. τὸ δὲ ἀνέκαθεν, σέλινα καὶ αὐτοῦ ἦν ὁ στέφανος.

Ἄλλως.

Ἀθάμαντος μανέντος διὰ χόλον τῆς Ἥρας, ᾧ σφάξαντες ἵνα τῶν παίδων τὸν Δίερχον, μέλλοντος δὲ ἅμα εἰς λέβητα βαλεῖν τὸν Μελικέρτην, προλαβοῦσα ἡ Ἰνὼ κλέπτει. διωκομένη δὲ ἁλίσκεται εἰς θάλασσαν μετὰ τοῦ παιδός. Νηρεῖδες δὲ αὐτὴν ἔσωσαν. αἳ καὶ θεὸν αὐτὴν ἐποίησαν. φανεῖσα δὲ μία τῷ Σισύφῳ, εἶπεν ἄγειν τὸν ἀγῶνα. ἐστεφάθη δὲ πρὸς χρόνον διὰ τοὺς λῃστάς. Θησεὺς δὲ ἐλθὼν, ἐκάθηρε τοὺς τόπους, καὶ ἦγε δεύτερον.

Carmen I.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πρώτου τῶν Ἰσθμίων εἴδους.

Τὴν πρώτην τῶν Ἰσθμίων ᾠδὴν ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἑκτά. Τὸ α' ἐγκωμιολογικόν. Τὸ β' ἐγκωμιολογικὸν, παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ γ' ἰαμβίλεγος, τὴν τελευταίαν συλλαβὴν μεταστάθμευον ἐπὶ τὴν ἄρχουσαν. γεγίνηται δὲ καὶ παρὰ τὸ Σαπφικὸν συστέλλει τὴν παρατέλειστον πλεονάσαν μίαν συλλαβήν. Τὸ δ' ὅμοιον τῷ β'. Τὸ ε' προσοδικόν. Τὸ ϛ' Πινδαρικὸν, ἐκ Σαπφικοῦ πλεονάσαν χορεάμβῳ, καὶ συστέλλει τὴν παρατέλειστον. Τὸ ζ' Εὐριπίδιον.

Περὶ τῆς ἐπῳδῆς αὐτοῦ.

Ἡ ἐπῳδὴ κώλων ἑνδεκα. Τὸ α' ἰαμβέλεγος, ἢ πενταμέτρου καταληκτικὸν, δακτυλικόν. Τὸ β' ἰαμβικὸν μονόμετρον καταληκτικὸν, δύο συλλαβαῖς. Τὸ γ' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ δ' δακτυλικὸν τετράμετρον βουκολικόν. Τὸ ε' δακτυλικὸν πενθημιμερές. Τὸ ϛ' τροχαϊκὸν, ἢ ἐπίτριτος. Τὸ ζ' ἰαμβέλεγος. Τὸ η' ἰαμβικὸν πενθημιμερές. Τὸ θ' ὅμοιον τῷ· Τίς σὰς παρῄσιες φρένας; Τὸ ι' προσοδικὸν ἑνδεκάσημον, ἑνδέκατον συλλαβῇ τοῦ Ἀρχιλοχείου. ἢ τοῦ, Ἐρασμονίδη χαρίλαε. Τὸ ια' Στησιχόρειον.

Ἡροδότῃ Θηβαίῳ.] Γέγραπται ἡ ᾠδὴ Ἡροδότῳ τῷ Θηβαίῳ. τινὲς δὲ, Ὀρχομενίῳ. βέλτιον Θηβαίῳ ἐπιγεγράφθαι. καὶ γὰρ ταῖς Θήβαις προσδιαλέγεται. καὶ ἐξῆς δέ, φησιν, ἐπεὶ στεφάνους ἔξ ὅπασεν Κάδμου σταθῷ, τουτέστι τοῖς Θηβαίοις, καὶ πάλιν περὶ αὐτοῦ λίγων φησί· τιμὰν ἐπασάμενος Θήβαισι τυύχοντα. τὸ δὲ ἐξαπατῆσαι τὰς γραφούσας Ὀρχομενίῳ, ἤγουν (51) τὸ, Ὀρχομενοῦ πατρῴαν ἔρουσαν. πρὸς ὃν φησι Δίδυμος, ὅτι εἰκός ἐστι τὸν πατέρα Ἡροδότου Ἀσωπόδωρον, διά τινας πολιτικὰς στάσεις εἰς τὸν Ὀρχομενὸν μεταστάντα, ὕστερόν τι εἰς Θήβας καταλθόντα, ἐπίσημον γενέσθαι. τοῦτο γοῦν καὶ τὸν Πίνδαρον αἰνιττόμενον, φάναι· "ἃ νιν ἰρευδόμενον ναυαγίαις, ἐξ "ἀμετρήτας ἁλὸς, ἐν πρυίσσῃ δίξατο συν- "τυχίᾳ." ναυαγίαν γὰρ εἶπε τὴν ἐκ τῆς πατρίδος εἰς τὸν Ὀρχομενὸν φυγήν. Ἄλλως. Οἱ Κεῖοι Δηλιακὸν Παιᾶνα ἀείσουσι τὸν ποιητὴν γράψαι. ἀρχομένου οὖν γράφειν, ἐπείνοις ἐπῆλθεν ἡ νίκη Ἡροδότου Θη-

ζαίου πολίτου, εἰς δὲ προέκρινε μᾶλλον σκέψασθαι, ἀναζαλλόμενος τὸ τῆς Διοῦ καὶ τῶν Κιλίων. διὸ καὶ τὴν ἰσοζυγίαν ποιεῖται τοῦ ἐπινικίου συντάξει Θηβαίᾳ ὄντι. μέλλοντος γὰρ Κιλίοις γράφειν προσῳδιακὸν παιᾶνα, καὶ ὑπογύου ὄντος τοῦ χρόνου, καθ' ὃν ἴδιοι συντιτλίσθαι τὸ ποίημα τὸ Δηλιακὸν, ἵνα μηδὲ τὴν γραφὴν ἀσχολούμενος, μεταξὺ Ἡρῳδότου Θηβαίου ὄντος, καὶ νικήσαντος τὰ Ἴσθμια, ἰάσας ἀσυμπέραστον τὸ εἰς Δῆλον ποίημα, συντάττει τῷ Ἡρῳδότῳ τὸν ἐπινίκιον. τὰ Ἴσθμια δὲ διὰ τριετηρίδος ἄγεται.

1. Μᾶτερ ἐμὰ] παρόσον καὶ ὁ Πίνδαρος Θηβαῖος. τοῦτο γὰρ τὸ πρὸς τὸν Ἡρόδοτον δίκαιον καθίστησι τὸν λόγον πρὸς τὴν Θήβην, καὶ, τῶν ἐν χερσὶν ἀφίμενον, παρίθηξε καὶ τῆς τοῦ ἐπινικίου γραφῆς φροντίσαι. ἐν ταυτῷ δὲ καὶ πρὸς τὴν πατρίδα, καὶ πρὸς τὴν ἡρωΐδα, ἀφ' ἧς ἡ πόλις καλεῖται, τοὺς λόγους ποιεῖται. ἡ γὰρ χρύσασπις, ἐπὶ τῆς ἡρωΐδος. ἣν Ἀσωποῦ καὶ Μετώπης τῆς Λαΐδανός φασιν. ὁ δὲ νοῦς· ὦ Θήβη ἐμὴ μῆτερ, τὸ σὸν πρᾶγμα, πάσης ἀσχολίας περῖσσον προτίθημι καὶ κρίνω. μαθαμῶς μοι ἡ τραχεῖα καὶ πετρώδης Δῆλος ἐμεσήσειεν, ἐφ' ᾗ νῦν πᾶς ἵκνημαι. τί βέλτιον ἢ προσφιλίσασιν τοῖς ἀγαθοῖς τῆς ἑαυτῶν πατρίδος; φησί. τὸ γὰρ κιδνῶν τοκίοις, ἀντὶ τῆς πατρίδος. χρύσασπις ἀντὶ τοῦ τιμίᾳ κατὰ τὰ ὅπλα. ἐκ δὲ τούτου, ὦ γενναίους ἔχουσα ἄνδρας.

3. Κραναὰ] τραχεῖα καὶ πετρώδης ἡ νῆσος. ἔστι δὲ μία τῶν Κυκλάδων, κατὰ τὸ Αἰγαῖον πέλαγος. ἐκ τούτου δῆλον, ὅτι εἰς Δῆλον ἔγραφε Κίοις. ὅστι καὶ ὑποζαίνων φησίν· ἐν Κίῳ ἀμφιῤῥύτῳ. ἐν ᾗ πίχυμαι. τουτέστιν, ἐφ' ᾗ νῦν, τῇ Δήλῳ, τὴν σπουδὴν εἶχον τῆς γραφῆς.

6. Εἶχον ὦ Θηλωνιὰς ἀμφοτέρων τῶν χαρίτων] δύο χαρίτων. μιᾶς μὲν ὅτι αὐτῇ τὸ ἀσυμπέραστον γράφει ποίημα. διττὰς δὲ, ὅτι πεισθεῖσα ὑπεχώρησε τῷ νῦν τοῦ Ἡροδότου ἐγκωμίῳ. τὸ δὲ ἔξῃς, ὑπεχώρησεν, ὦ τῷ Ἀπόλλωνι τιμωμένη, καὶ τετιμημένη Δῆλε, ὅτι παρ' αὐτὴν ἐγένετο ὁ Διός. δύο γὰρ χαρίτων ὄντων, συμπρασσόντων τῶν Διῶν, παρασκευάσω σοι ὕμνον. ἴσως δὲ οὕτως· ἀμφοτέρων τῶν χαρίτων τὸ τέλος συζεύξω καθ' ἓν τί σοι χαρισίον ἐσί· καὶ καθ' ἓν τῇ πατρίδι. οἱονεὶ, ἀμφότερα ποιήσω, καὶ τὸν Ἀπόλλωνα ᾧ δεῖ καιρῷ ὑμνήσω, καὶ τὸν ἐπινίκιον πληρώσω. τὸ δὲ χορεύσω, ἀντὶ τοῦ μετὰ χοροῦ ὑμνῶν. ἐπεὶ οἱ χορεὶ ἀπαγγέλλουσι τὰ ποιήματα ἐν Δήλῳ εἰς τὸν Ἀπόλλωνα. πῶς οὖν τὸ Δηλιακὸν ποίημά φησιν ᾆδειν ἐν Κίῳ; μή ποτε οὖν προαναλαμβάνοντας ἐν ταῖς πατρίσιν, οὗ οἱ χορευταὶ ἐμελέτων τὰς ᾠδὰς, καὶ οὕτως ἀκήκοαν; ἀπὸ οὖν τοῦ παρακολουθοῦντος τοῖς ὕμνοις τοῦτό φησιν, ἀντὶ τοῦ ὑμνῶν. ὅτι μετὰ χορείας ἐλίσσοντο οἱ ὕμνοι.

8. Ἐν Κίῳ ἀμφιῤῥύτῳ σὺν πεντείοις ἀνδράσι] τοῖς κατὰ τὴν Κίω φησί. πεντείους δὲ αὐτοὺς ἴδρη, ὡς πεισίστας. τὸ δὲ ἐξῆς. καὶ τὸν ἔσμηνον τὰς κόμας Ἀπόλλωνα ὑμνῶν ἐν τῇ Κίῳ σὺν τοῖς πεισίστας ἀνδράσι, καὶ τὴν περιελιλημένην, καὶ ὑπὸ θαλάσσης περιῤῥιζομένην τοῦ Ἰσθμοῦ ἰξοχήν. ἴν' ᾖ ὅλον, ὅτι ὑμνήσω καὶ τὴν Κῶ, καὶ σὲ ὦ Δῆλε, καὶ τὸν Ἰσθμόν. καὶ ὕστερον σοὶ πάλιν τὸν ἐπινίκιον ἀποδώσω.

11. Στιφάνους ἴξ] καταχρησικώτερον ἀπὸ τῶν στλιπόνων. Ἄλλως. ἤτοι ἀριθμητικῶς ἴξ, ἢ καταχρησικώτερον ἐπὶ πολλῶν.

Ἑπτὰ στιφάνους ἴξ ἅπασι Κάδμου στρατῷ] διατρεῖται, εἰς ἐνιχείρισι τῷ Κάδμου στρατῷ, τουτέστι ταῖς Θήβαις τοὺς στιφάνους. ἴνιοι μὲν οὖν τὸν Ἰσθμὸν ἀκούουσιν. ὡς ἴξ νενικηκότων τῶν Θηβαίων τὰ Ἴσθμια. ἴνιοι δὲ, αὐτὸν Ἡρόδοτον. τοῦτον γὰρ ἐξάκις Ἴσθμια νενικηκέναι Θηβαῖον ὄντα. τούτων δὲ εὐδόκιμον ἐν ταῖς Ἰσθμιακαῖς ἀναγραφαῖς ὁμολόγηται, δι' ἣν αἰτίαν οἱ Ἀριστάρχειοι ψιλοῦντες, καὶ ἐπὶ τοῦ νικηφόρου ἐκλαμβάνουσι τὸν λόγον. περισσὸν εἶναι λέγοντες τὴν ἐξ προθέσιν, ποιητικῇ συνηθείᾳ. τὸ γὰρ ὅλον εἶναι· ἐπὶ ἅπασιν, ἢ ἐπὶ περισσοῖσιν. ἄλλως τε, οὐκ ἀναγκαῖον ἀριθμὸν κεῖσθαι. πολλῷ γὰρ μᾶλλον κυδαίνεσθαι τὸν νενικηκότα. Ἀρισθένης δὲ ὁ Ἀλιξανδρεὺς δασύνων, καὶ διαιρῶν, τὸ μὲν ἐξ ἐπὶ τοῦ Ἡροδότου ἀκούει. τὸ δὲ ἅπασιν, ἐπὶ τοῦ Ἀπόλλωνος. πρεσβύτης γὰρ τῶν ἀγώνων ὁ Διός. ἐξ οὗ προοίμια, φησί, τοῦ Διοῦ νενικηκέναι τὸν Ἡρόδοτον, οὐκ Ἰσθμιακοὺς ἀγῶνας, ἀλλὰ συμπίπτοντας, οἷς καὶ αὐτὸς ἐπιλέγειν Πίνδαρον. ἐν μὲν Θήβαις, Ἰόλαια, ἢ Ἡράκλεια. ἐν δὲ Ὀρχομενῷ, Μινύεια. ἐν δὲ Εὐβοίᾳ, Βασίλεια. ἐν δὲ Θετταλίᾳ, Πρωτεσίλαια. καὶ ἐν Ἰσθμῷ νῦν. καὶ ἄλλους δὲ περιχωρίους, οὓς διὰ μακρῶν παρῆλθεν ὁ Πίνδαρος.

13. Ἐν ᾧ] ἐν τῇ Θήβῃ, καιριωτάτην ἑαυτῷ τῶν πατρίων εἰσοζυγίαν παρίσχετο.

15. Θρασεῖαι] συλληπτικὸς ὁ τρόπος. εἰς γὰρ ἦν ὁ Γηρυόνου κύων. Ἡσίοδος φησὶν· " Ὄρθον μὲν πρῶτον." εἰς τὸ αὐτό. ἅπας τῷ Πινδάρῳ, πρὸς τὸ ἑαυτοῦ συμφέρον, καὶ τὰς ἰσαρίας βιάζεσθαι. ἴνιος γὰρ ὄντος τοῦ Γηρυόνου κυνὸς, ὃς γε καὶ Ἡσίοδος μαρτυρεῖ· " Ὄρθον τε κτείνας, καὶ βουπό-" λον Εὐρυτίωνα" (S'. 293). ὅστι τῷ σλη-θυντικῷ καταχρησάμενος, κύνες φησί. καὶ μή ποτε ἀνῄρει Ἡρακλέους ἡγήσατο πρὸς

ἆθλον καὶ κατάθυμα τοῦ ἥρωος, ἀντικαταστάξαι τὸν πύκα.

17. Ἀλλ' ἰγὼ Ἡρωδότῳ τιύχων] ἀλλ' ἰγὼ τῷ Ἡρωδότῳ κατασκευάζων τὸν μῦθον, ὅτι τιθρίπτῳ αὐτὸς ἀγωνισάμενος δι' ἑαυτοῦ νίκησι. τὸ δέ, ὅτι χ ἐστοτρόφησιν, αὐτὸν βούλομαι ἰφαρμόσαι, ἢ Κάστορες, ἢ Ἰολάου ὕμνῳ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τὸν Ἡρόδοτον ἐστοτροφήσαντα, χ δι' ἑαυτοῦ ἀγωνισάμενον, καὶ νικηκότα, ὁμοίως Κάστορι καὶ Ἰολάῳ ἁρμόσαμι. διὰ τούτων δὲ συνίσησιν, ὅτι αὐτὸς ἡνιόχησεν ὁ Ἡρόδοτος κατὰ τὸν ἀγῶνα. ὃ δὲ λόγος, ἰγὼ δὲ τὸ μέλος τῷ Ἡροδότῳ τιύχων, τὸ μέν τι, καθόσον νίκησι, τὸ δέ τι, καθὸ αὐτὸς ἐστοτρόφησι. τὸ μὲν ἅρμασι, τιθρίπτῳ, ὡς ἐστοτροφήσαντα, καὶ ἱλάσαντα.

19. Ἀνίας' ἀλλοσρίαις οὐ χτερὶ νομάσαντ' ἰθίλω] ἱλλείπει, διὰ τὸ νομᾶσθαι.

21. Ἢ Καστορίῳ] ἢ Κάστορος ἐστικοῦ ὄντος.

Ἢ Ἰολάου] Ἰόλαος δὲ ἦν Ἡρακλέους ἡνίοχος. ἀλλ' * ἰυρήματα Πινδάρου ἐν Τποερχήμασιν. ὡς καὶ ἴυρημα Κάστορες, ὡς αὐτὸς λέγει.

23. Κεῖνοι γὰρ] εἰ χ μὴ ἡ ἱστορία συγχωρεῖ, ἀλλ' οὖν γε αὐτὸς σχηματίζει τὸν λόγον. ὅταν γὰρ λέγῃ, κεῖνοι γὰρ ἡρώων διφηλάται, τὴν αἰτίαν αὐτὸς ἰσιφέρει. ἐστὶ οὖτοι οἱ ἥρωες διέτρεψαν ἐστὶ ἐστικῇ, αὐτοὶ ἡνιοχεῦντες. ἰδίως δὲ ὁ λόγος κατὰ τοῦ Ἰολάου ἐυρεθήσεται τοῦ Ἡρακλέος ἡνιόχου· κατὰ δὲ τοῦ Κάστορος, οὐκέτι. ἀλλὰ τὸ χωρὶς συμβιζηκὸς τῷ Κάστορι καὶ Ἰολάῳ, κατ' ἀμφοτέρων κοινῶς ἰρηται. Λακεδαιμόνιοι μὲν γὰρ ὁ Κάστωρ. Θηβαῖος δὲ ὁ Ἰόλαος. παλλίων δέ ἐστιν αὕτη ἡ ἐκδοχή, ἵνα ἐπαμφοτερίζοντα τὸν λόγον νοήσωμεν. ἐκεῖνοι γάρ, Κάστωρ τε καὶ Ἰόλαος, ὑπὲρ πάντας ἥρωας ἄρισοι γεγόνασιν.

26. Ἐν τ' ἀέθλοισι] κατὰ τὸ ἐναντίον ἀπίδωκεν. οὐδεὶς γὰρ ἐν ἆθλοις ἀγώνων συγχάνει, ἢ ἐν ἀγῶσι τῶν ἆθλων. ἀρχαιοτρικὴς οὖν καὶ ποιητικώτατος ὁ λόγος. ὥστε κατὰ τὸ Ὁμηρικὸν δῆλον· (Il. δ'. 545) " ὁ δὲ χασσάμενος πιλιμίχθη." ἔστι γάρ, πιλιμιχθεὶς ἀνιχώρησεν. Ἄλλως. ἀντὶ τοῦ, καὶ ἐν τοῖς ἀγῶσι πλείστων ἤψαυσαν ἆθλων. καὶ τοῖς τρίποσι καὶ ταῖς χρυσαῖς φιάλαις, ἃ ἦν ἐπάθλα τῶν ἀγώνων, τὸν ἑαυτῶν ἐκόσμησαν οἶκον, τῶν τῆς νίκης στεφάνων μεταλαβόντες.

30. Λάμπει δὲ σαφὴς ἀρετὰ] σαφῶς, ἐπιῤῥηματικῶς. τὸ δὲ ἐξῆς· λάμπει δὲ σαφῶς ἡ ἀρετὴ, ἐν τε γυμνικοῖς σταδίοις, καὶ ἐν τοῖς τῶν ἱππικῶν δρόμοις, ὧς πᾶν ἀγώνισμα τούτων ἀγωνισαμένων. ἱπποσυλλητικῶ δὲ κέχρηται τῷ σχήματι. ἐν γὰρ τῷ ἐπὶ Πελίᾳ ἀγῶνι ὁ Ἰόλαος τὸν ἁρπίστην ἵππον. ἦν κοινὸν ἐπ' ἀμφοτέρων ἴθησεν. ὁ δὲ Κάστωρ τὰ διωτιρεῖα ἵλαζε, διωκόμενος καὶ ἀποστίζων. καὶ τοῦτο κοινὸν ἔταξι. τὸ δὲ οἷα, θαυμαστικῶς. οἷα γὰρ ἦσαν ἀποστίζοντες τὰ δίφρια. καὶ λιθίνοις ἐπέτι δίσκοις ἔβαν. ἃ ἀποτομάδας καλοῦσι. παρέσαν οἱ ἀρχαῖοι τοῖς πυκτεύουσιν ἀποστίμονοι τῆς γῆς ἔπαθλοι, ὅσοι ἐνικηφόροι ἠθύναβολλόν.

35. Οὐ γὰρ ἦν πίνταθλον] οὔκ ἦν φησὶ τότε ὁ πίνταθλος ἀγών. τὸ δὲ πίντε ἀγωνισμάτων συνιστηκὸς ἆθλημα, παρ' ἰδίαν δὲ ἑκάστῳ τίλος ὑφιστήκει. τίλος δὲ λέγει, τὸ νικηφορῆσαι. ἢ τὸν ἐφ' ἑκάστῳ τιθέμενον στέφανον.—Ἄλλως. οὕτω γὰρ ἦν ἐπὶ Κάστορος καὶ Ἰολάου τὸ πίνταθλον. ὅτε ἦν ἅλμα, δίσκος, ἀκόντιον, δρόμος καὶ πάλη· ἀλλὰ διαλελυμένος ἐφ' ἑκάστῳ ἀγωνίσματι καὶ ὁ στέφανος ἦν.

36. Ἔργματι κεῖτο τίλος] καὶ Ὅμηρος· (Odyss. θ'. 190.) " Βάμβησεν δὲ λίθος, " κατὰ δ' ἔπεσεν ποτὶ γαίῃ." τὸ (discus, 34.) δὲ κεῖτο τίλος, ἀντὶ τοῦ ἦν ἐκβάζων καὶ ὁ στέφανος.

Τῶν ἀθρόοις] ὧν τινων στεφάνους πλέξους ἀναδησάμενοι βλαστήμασι τὰς κεφαλὰς, ἐδοξεν ὀφθῆναι κατὰ τὰς Θήβας καὶ Λακεδαίμονα. πάλιν δὲ πρὸς αὐτὸ συγκέρασας τὸ ἑκατέρῳ συμβιζηκὸς· ἐστὸν, αὐτοὺς φανῆναι νικηκότας πίλας τῆς Δίρκης, καὶ τοῦ Εὐρώτα. Ἰόλαος μὲν γὰρ παρὰ τῇ Δίρκῃ. ἔστι δὲ αὖτη, Θηβῶν. Κάστωρ δὲ παρὰ Εὐρώτα. οὗτος γὰρ Λακεδαιμόνιος ποταμός.

38. Ῥιθρωσί τι] πρὸς τὸν Εὐρώτα, τὸ ῥιθροις ἀκουστέον. ἴδιοι δὲ ἕκαστον οἰκείως ἐστὶ τῶν ἰδίων χωρίων ἀποῦσαι.

40. Ἰφικλίος μὲν παῖς] τὸ ἐξῆς· ὁ μὲν τοῦ Ἰφικλίος παῖς Ἰόλαος, πολίτης ὢν Θηβαίοις. ὁ δὲ τοῦ Τυνδάρεω Κάστωρ, ἐν τοῖς Ἕλλησι τὴν ἐπίδοξον καὶ ὑψηλοτάτην οἰκῶν Λακεδαίμονα. ἀπὸ κοινοῦ, τὸ ἐπίδοξα ὤφθησαν.

41. Σπαρτῶν γένει] οἱ γὰρ ὑπὸ Σπαρτῶν ὑπολιφθέντες, εἰσιγαὶ τῶν Θηβαίων γεγόνασιν, Ὑπερήνωρ, Χθόνιος, Πίλαρος, Οὐδαῖος, Ἐχίων.

43. Τψίπιδον Θερσάνδρας εἰκίου ὗδος] Θερσάνδρης, τῆς Λακεδαίμονος. Θερσάνδρα γὰρ, κώμη αὐτόθι. τὸ δὲ ὑψίπιδον ὗδος, δοκεῖ ἐναντίως εἰρῆσθαι τῷ Ὁμηρικῷ. φησὶ γάρ· (Odyss. δ'. 1.) " Οἱ δ' ἵζον κοίλην " Λακεδαίμονα κηπτώεσσαν." ἀλλ' ἀναλυσόμεθα οὕτως. ὑψίπιδος, ἡ Λακεδαίμων, καθ' ἑαυτήν. κοίλη δὲ, ὡς πρὸς τὰς πλησίον πόλεις. ἢ ὑψίπιδον αὐτὴν φησι, διὰ τὰς τῶν οἰκούντων ἀρετάς τε καὶ εὐδοξίας.

* f. ἄλλα, et περὶ τοῦ Κάστορος.

Ἄλλως. τουτέστι Σπαρτιάτης ὤν. ἡ γὰρ Θεράπνη τῆς Σπάρτης. Ἀχαιοὺς δὲ ἱέρηκε, τοὺς Σπαρτιάτας, ἐπειδὴ πρότεροι οἱ Ἀχαιοὶ τὴν Σπάρτην ᾤκουν. αὖθις δὲ τῶν Ἡρακλειδῶν μετὰ Δωριέων ἀφικομένων, Δωριεῖς προσωνομάσθησαν. ἴσιον, ὅτι τῆς Λακωνικῆς ἡ Θεράπναις τὸ ἱερὸν ἴσι τῶν Διοσκούρων.

44. Χαίρετ'. ἐγὼ δὲ] ὁ λόγος παρὰ τοῦ Πινδάρου, πρὸς τοὺς ἥρωας. τὸ δὲ ἐξῆς· ἱλήκοιτε, ὦ ἥρωες, ἐγὼ δὲ τῷ Ποσειδῶνι καὶ τῇ Ἰσθμῷ τῇ Θεᾷ, καὶ τῷ Ὀγχηστῷ, τὸν ὕμνον ἐπιμελῶς παρέχων ἐν ταῖς τιμαῖς καὶ τοῖς κατορθώμασι τοῦ νικηφόρου ὑμνήσω τοῦ πατρὸς αὐτοῦ Ἀσωποδώρου τὴν εὐδαιμονίαν. Ὀγχηστὸς δὲ, τῆς Βοιωτίας χωρίον παράλιον ἀνιερωμένον Ποσειδῶνι. ὡς καὶ Ὅμηρος μαρτυρεῖ· (Iliad. β'. 506.) " Ὀγχηστὸν θ' ἱερὸν Ποσειδήϊον ἄγλαὸν ἄλσος." ἀϊόνεσσι δὲ εἶπεν, ἐπειδὴ παράκειται τῇ Ὀγχηστῷ πόλει τῆς Βοιωτίας ἡ Κωπαΐς λίμνη.

47. Περὶ τίλλων ἀοιδὰν] Θεραπνίων τὸν ὕμνον· τυτίζει, ἐπιμελείας χ' ἑκατὸν ἄξιῶν.

51. Ὀρχομενοῦ τε πατρῴαν ἄρουραν] πρσείρηται, ὅτι ὁ τοιοῦτος μὲν, Θηβαῖος, ὁ δὲ πατὴρ, Ὀρχομένιος. ἦ οἱ μὲν τοῦ πατρὸς γονῆς, Ὀρχομένιοι, ὁ δὲ πατὴρ Θηβαῖος, διὰ τὸ ἐκεῖ γεννηθῆναι. καὶ Ὀρχομένιος, διὰ τὸ εἶναι ὑπὸ μητρὸς δεχθῆναι ἐκπεσόντα. ἡ γὰρ μήτηρ Ὀρχομενία· ὁ δὲ πατὴρ, Θηβαῖος. ἢ κατά τινας, ὅτι Θηβῶν μέν ἐστιν Ὀρχομενὸς ἡ πόλις. ἐγκωμίου τρόπῳ δὲ, Θηβαῖον γράφει.

52. Ἃ νιν ἐριδόμενον] φυγαδευθὶς γὰρ ὁ Ἀσωπόδωρος Θήκηθεν, ἐν Ὀρχομενῷ ἐπολιτογραφήθη. Ἄλλως. ναυαγήσας ὁ Ἀσωπόδωρος, ἐν Ὀρχομενῷ ἐξεβράφη.

Ἃ νιν ἐριδόμενον] ἢ τις ἡ Ὀρχομενὸς αὐτὸν, ἐπὶ ταύτῃ γὰρ ὁ λόγος, βαρυνόμενον ἐπὶ * τῆς ναυαγίας ἐδέξατο. ἀλληγορεῖσαι δὲ, τὴν ἔκπτωσιν θαλάσσῃ καὶ χειμῶνι παραβάλλων. ἀμφίζολον δέ, φησιν ὁ Δίδυμος, ἴσι, πότερον τὸν Ἡρόδοτον, ἢ τὸν Ἀσωπόδωρον λέγει. δύναται γὰρ ἑκ' ἀμφοτέρων ἀκούεσθαι συντυχίᾳ. καὶ Ἀλκαῖος τὴν δυσυχίαν, χειμῶνα καὶ τρικυμίαν λέγει· (ἐ. ἐπὶ) τῇ φυγῇ. καιρὸν γὰρ ἡ συντυχία.

56. Ὁ ποντίσας δὲ νόῳ] ὁ Χρύσιππος ἐμφαίνει φησὶν, ὡς καὶ πρότερον μὲν συνιεὶς ἐγχωρήσαντα, ὡς μὴ κινδυνεύσῃ, καὶ κατὰ τὴν κάθοδον ἠσφαλισμένον τὰ καθ' ἑαυτόν· τοῦτο οὖν φησιν· ὁ ποθὲν καὶ τῷ νῷ προμαθὴς γένεται. Ἀλκμάν· " Πείρα τοι, " μαθήσιος ἀρχά." καὶ Ὅμηρος· (Il. ρ'. 32.) " Πάγχυ δέ τε νήπιος ἔγνω." (Hesiod. Ἔργ. 218.)

58. Εἰ δ' ἀριστὰ] ὅτι ἄριστοι κατάκεινται, εἴρηκεν ἐπιζεύξας πληθυντικῷ ἑνικὸν ῥῆμα, τὸ, κατάκειται. καὶ ὅτι ἀργὸν, τὸ ἦθος λέγει.

Εἰ δ' ἀριστὰ κατάκειται] Ἀρίσταρχος σὺν τῷ ῑ γράφει, καὶ περισπᾷ. καὶ Ἀττικὴν δέχεται τὴν σύνταξιν. ἵν' ᾖ ὁ λόγος· εἰ τῇ ἀρετῇ κατὰ τρόπον †, ἵν τε τῷ ποντίῳ αὐτὸν τῷ ἰδίῳ σώματι, τῷ μὲν δικαιᾷ, καθόσον ἐπιστρέφησι, τῷ δὲ ποντίῳ, καθόσον ἡνιόχει. χρὴ τοὺς εὐρῶσι τὴν τοιαύτην ἀρετὴν, τὸν ἀγήνορα κόσμον μὴ φθονερῶς φέρειν γνώμαις φέρειν. τουτέστι τὸ σιμὸν αὐτῶν καύχημα μὴ φθονερῶς φέρειν, ἀλλ' ἐπαινεῖν. ἔνιοι δὲ, οὕτως· εἰ οὖν ἐν ἀρετῇ κεῖται καὶ δικαιῶν καὶ ποντίων, διὰ τὴν τοιαύτην τοῖς εὑροῦσιν ἀρετὴν μὴ φθονεῖν, μηδὲ βασκάνους ἐπιφέρειν λόγους. ἔστι δὲ ἄκυρον τὸ μέν.

60. Χρὴ μὲν εὑρόντι σοί] καὶ ταῦτα περὶ Ἡροδότου τοῦ λόγου ἔνεκα, καὶ ἐπαναλαμβάνοντος τοῦ Πινδάρου τὴν ἀρετὴν τοῦ Ἡροδότου. ἔνιοι δὲ πληθυντικῶς ἀναγινώσκουσιν· εἰ δὲ ἀριστὰ κατάκεινται, κατὰ τὴν Πινδάρου συνήθειαν· ἵν' ᾖ, εἰ αἱ ἀριστὰ κατάκεινται. ὃ καὶ μᾶλλον. βέλτιον δὲ φησιν ὁ Δίδυμος τό· εὑρόντι σοί· τὸν ἀγήνορα κόσμον, τουτέστι τὸν ὕμνον εἰς τοὺς δαπάνῃ καὶ ἐσχῃ κεκτημένους τὴν ἀρετὴν, μὴ φθονεῖν. ὅθεν καὶ τὸν Πίνδαρον μὴ δεῖν φθονεῖσθαι διὰ τοὺς εἰς τὸν Ἡρόδοτον ἐπαίνους. λέγει δ' ἓν ἀγήνορα κόσμον, τὸν ἐκ τῶν ἀγαθῶν ἔπαινον, τὸν ἐκ τῶν ποιημάτων. τοῦτο δὲ σαφὲς ἐκ τοῦ ἐπιφερομένου.

61. Ἐπεὶ κούφα δόσις ἀνδρὶ σοφῷ] σοφὸν δ' ἂν εἴη λέγων καὶ τὸν τοὺς ἀγαθοὺς ἐπαινοῦντα. τῷ γὰρ σοφῷ κούφη ἐστὶ δόσις, φησὶν, ἀντὶ ποντοίων μόχθων, ἐπαινέσαντα τὸ κοινῇ νομιζόμενον παλὸν ἀνεῳδῶσαι. Ἄλλως. κούφα δόσις ἀνδρὶ σοφῷ. ἐπὶ τῷ σοφῷ ἀνδρὶ ῥαδία φησὶ καὶ ἀπταχθὴς ἐστὶν ἡ τῶν λόγων δόσις. κοινὸν δὲ καλὸν τὸν ἔπαινόν φησιν, ἐπιδιατείνει γὰρ εἰς τοὺς ἐκτός. κόσμος γάρ ἐστι καὶ τῶν ἄλλων πολιτῶν, τὸ περὶ ἕνα γινόμενον ἐγκώμιον.

67. Μηλοδόσταν', ἀρόστᾳ', ὀρνιχελέχωτι] τῷ τὰ μῆλα νέμοντι, τῷ ποιμένι, καὶ τῷ τὴν γῆν ἀροῦντι, καὶ τῷ τὰς ὄρνις θηρεύοντι, καὶ δι' ὀπτοῦ τρίβοι. Χρύσιππος, τὸν ἔμπορον. Δίδυμος δὲ τὸν ἁλιέα φησί.

69. Γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν] πᾶς γὰρ τὸν λιμὸν ἀποθεραπεύων, φησὶν, ἐκίκισται τοῖς ἔργοις καὶ κάμνει. αἰανῆ δὲ, οἱ μὲν τὴν χαλεπὴν, παρὰ τὸ αἰ, αἴ· οἱ δὲ τὸν διηνεκῆ λιμὸν, παρὰ τὸ αἰέν. τὸ δὲ τίστασι, ἀντὶ τοῦ στυγεῖ.

71. Ὅς δ' ἀμφ' ἀϊθλοις] ἴσως δὲ ἂν τῶν

* ἀπὸ Valken. ad Ammon. p. 159. † Laborat Schol.

ἀνθρώπων ἐν ἀγῶσι καὶ πολίμοις ἀνίλησαι δόξαν ἀνθηρὰν ἐγκαμιασθεὶς, μισθὸν ὑψηλὸν καὶ ἐπίδοξον δίκηται παρὰ τῶν πολιτῶν καὶ τῶν ξένων τῆς γλώσσης τὴν εὐφημίαν. γλώσσης γὰρ ἄωτόν φησι τὸ ἐγκώμιον.

76. Ἄμμι δ' ἴοικε Κρόνου σεσιχθὸν υἱὸν] Χρύσιππος, παρίληφε, φησὶ, τὸν Ποσειδῶνα, διὰ τὴν γειτνίασιν τοῦ Ὀγχηστοῦ. καθὸς συμβέβηκεν ἱστορεῖσθαι Ποσειδῶνος ἱερὸν ἐν Θήβαις εἶναι. ὁ δὲ νῦς· ἡμῖν δὲ προσήκει, ἀμειδομένους τὸν ἱππικώτατον Κρόνου παῖδα Ποσειδῶνα, ἐνεργίσην ὄντα τῶν ἁρμάτων, ἀνυμνῆσαι· ἀντιδιδόντας τῷ Θεῷ τὸν ὕμνον, ἀντὶ τῶν εἰς σὸν νικηφόρον ἐνεργεσιῶν. ἐντεῦθεν δὲ λελῆθότως, καταλέγει τὰς ἐξ αὐτοῦ νίκας.

77. Γείτον' ἀμειδομένοις] γείτονα, τὸν Θηβαῖον, ὡς πρὸς τὸν Ὀγχηστόν· καὶ γὰρ αὕτη τῆς Βοιωτίας.

79. Καὶ σίθεν] κατὰ σύλληψιν Ἀμφιτρύωνος ἴδρη παῖδας, τόν τε Ἡρακλέα, καὶ τὸν Ἰόλαον, ὃς ἦν Ἰφικλέους τοῦ Ἀμφιτρύωνος υἱός. Ἰολάεια δὲ ἐν Θήβαις ἀγὼν καὶ Ἡράκλεια. Μινύα δὲ μυχὸν, τὸν Ὀρχομενὸν εἶπεν. οὗτος γὰρ λίγιστος, καὶ Ὀρχομενὸς Μινύειος. ταύτην γὰρ ἐνῴκησεν ὁ Μινύας. τοῦτον δὲ τὸν Μινύαν οἱ μὲν Ὀρχομενοῦ γενεαλογοῦσι. ὡς Φερεκύδης. ἔνιοι δὲ ὕμναλιν τὸν Ὀρχομενὸν, Μινυοῦ. ἔνιοι δὲ ἀμφοτέρους Ἐτεοκλέους γενεαλογοῦσι. Διονύσιος δὲ τὸν Μινύαν Ἄρεως ἀναγράφει. Ἀριστόδημος δὲ Ἁλιοῦ τὸν Μινύαν. καὶ τοὺς Ἀργοναύτας δὲ Μινύας ἐντεῦθεν γράφει προσηγορεῦσθαι.

81. Καὶ τὸ Δάματρος] ὅτι ἐν Ἐλευσῖνι Δήμητρός ἐστιν ἀγὼν, καὶ στέφανος ἦν κριθαί. ἀπὸ καινοῦ γὰρ, (f. ἐπὶ) πάντων τῶν ἀγάνων, τὸ προσιτικὸν ἀκουστέον, ἵνα ἔχῃ οὕτω· προσῆκεν προσιτικὸν, καὶ τῆς Δήμητρος τὸ ἱερὸν ἄλσος τὴν Ἐλευσῖνα καὶ τὴν Εὔβοιαν, καθ' ἣν νικηφόρος ἐνίκησεν. Ἄλλως. ἐν τοῖς δρόμοις τούτοις καὶ ἀγωνίσμασι, προσῆκεν ἡμῖν ἐστι, ἀνυμνῆσαι Ἐλευσῖνα καὶ Εὔβοιαν. τὸ δὲ γναμπτοῖς δρόμοις, πρὸς πάντα ληπτέον τὰ λιγόμενα. καὶ γὰρ τὸν Ποσειδῶνά φησι καὶ τοὺς ἄλλους, Εὐβοιάν τε, καὶ Ἐλευσῖνα, διὰ τοὺς δρόμους, καὶ τοὺς ἐν αὐταῖς ἀγῶνας, καθ' οὓς ἐνίκησεν ὁ ἐγκωμιαζόμενος.

83. Πρωτισίλα, τὸ τιὸν δ' ἀνδρῶν Ἀχαιῶν] τὸ ἰζῆς, καὶ τὸ σὸν δὲ τίμινος, ὦ Πρωτισίλαε, τὸ ἐν Φυλάκῃ, συγκαταριθμοῦμαι ταῖς τοῦ Ἡρακλέους νίκαις. ἔτι δὲ Πρωτισιλάου τίμινος ἐν Φυλάκῃ. τίμινος δὲ λέγεται, οὐ μόνον τὸ ἱερὸν, καὶ ὁ ναὸς, ἀλλὰ καὶ ἡ ἀφωρισμένη χώρα. Ὅμηρος· (Iliad. ζ'. 194.)

Καὶ μὲν οἱ Λύκιον τέμενος τάμον ἴζοχον.

αὐτῷ δὲ τῷ Πρωτισιλάῳ κατὰ τὴν Φυλάκην ἱππότριος ἀγὼν, καθ' ὃν ὁ νικηφόρος ἐνίκησεν.

85. Πάντα δ' ἐξιστῖν] πάντα γὰρ διεξελθεῖν, φησιν, ὅσα ὁ τῶν ἀγώνων προεστὼς Ἑρμῆς τῷ Ἡροδότῳ ἐχαρίσατο τέμματα ἵπποις ἀγωνιζομένοις, βραχὺς ὢν ὁ λόγος, ἐξασθενεῖ εἰπεῖν. ἤτοι ὅτι, πρὸς τὸν διδόμενον μισθὸν, καὶ τὰς ᾠδὰς ἐξίστησιν· ἢ ἡ οὕτω, πάντα αὐτοῦ τὰ ἀγωνίσματα ἐστὶν, βραχὺν μισθὸν ἔχων ὁ ὕμνος, οὐ συγχωρεῖ μοι. ἢ ὅτι ἡ συμμετρία τῶν ἱερημένων λόγων ἀφαιρεῖται τὴν ἔκτασιν καὶ τὸ μῆκος. Ἀριστόδημος δὲ ἐξ οὗτου λαμβάνων πρὸς τὸ, μόνων τῶν ἐκτεθέντων αὐτὸν μνημονεύειν, τοὺς δὲ λοιποὺς παραδυκεῖναι, βραχύ φησι μέτρον ἱερημένου τοῦ ὕμνου, διὰ τὸ τὰς ἐκδόσεις τῶν ἐπινικίων πρὸς ἀριθμὸν εἶναι, καὶ τριάδων ἔχειν τοὺς μισθούς. παρὸ καὶ ἑκατοντὼ ἐπιλαμβάνεσθαι.

88. Ἡ μὲν πολλάκι καὶ τὸ σεσωπαμένον] διὰ τούτων ἴσως φασιν ὑφαινύττεσθαι τὸ περὶ τὴν Νίμέαν αὐτῷ συμβεβηκὸς ἐλάττωμα, ὡς νικηθέντος αὐτοῦ ὑπὸ τῶν ἀγῶνα. περὶ γὰρ τῶν ἄλλων εὐχομένος αὐτῷ νίκαν ἀγώνων, τούτου ἡσύχασε. παρὸ σεσιγημένην τὴν ἧτταν. ἡσυχαθεῖσι γὰρ ἴσίστι τῶν φαύλως ὑπομεῖναι χάριν, ἥπερ λεχθεῖσα. ἔνιοι δὲ λέγεσθαι ταῦτα ὡς εἰς τὴν χάριν τοῦ ἐγκωμιαζομένου· δύνασθαι μὲν αὐτὸ (f. αὐτὸν) ἐπαινεῖν τὸ ἐγκώμιον καταλέγοντα τῆς νίκης. ἐπεὶ δὲ ἀνάξιοι ἦσαν τοσοῦτο παρὸ καὶ γνωμικῶς ἐπιλέγων· τὸ σωπηθὲν καλῶς, μεῖζόν παρέχει τῷ ἐγκωμιαζομένῳ χάριν. Ἄλλως. καὶ γὰρ δὴ καὶ τὸ σεσιωπημένον μεῖζόν τὴν εὐκλειαν φέρει. φησὶ δὲ τοῦτο, ὡς καὶ ἀδυνάτως ἔχων λόγῳ τὰ τοῦ νικηφόρου ἐρμηνεῦσαι κατορθώματα.

90. Εἴη μιν] εὔχεται, ὅστις ἐν τοῖς περιερημένοις ἀγῶσιν ἐκίσυχεν, οὕτω καὶ Πύθια, καὶ Ὀλύμπια· καὶ τυχεῖν αὐτὸν τῶν Μουσῶν ὕμνων. ὁ δὲ νοῦς· εἴη δὲ αὐτὸν, εὐφώνων Μουσῶν τοῖς ἐγκωμίοις μέλεσι ἐνίδοξον γεγονέναι, καὶ ἐν τῇ Πυθίᾳ, καὶ ἐν τῇ Ὀλυμπίᾳ, τοῖς ἐξαιρέτοις καὶ περίσσοις τοῦ Ἀλφειοῦ στεφάνοις πληρῶσαι τὴν χεῖρα. ἔρνος δὲ Ἀλφειοῦ, τὴν ἐλαίαν λέγει, ἀφ' ἧς ὁ στέφανος τοῖς Ὀλυμπιονίκαις, τιμὴν καὶ δόξαν ταῖς ἐκατονβύλοις Θήβαις ἀπεργαζόμενον. ἐπεὶ οὖν ἐπὶ τούτοις ἐστεφάνωσαι, ὅτι Θηβαῖος ἦν ὁ Ἡρόδοτος. Ἄλλως. ἔρνος φράζει φησὶ χεῖρα, ἀντὶ τοῦ στεφανωθῆναι. ἀπὸ τοῦ παρακολουθοῦντος· οἷον, τοὺς στεφάνους πατίχειν.

96. Εἰ δέ τις ἔνδον νέμει πλοῦτος] εἰ δέ τις τῶν ἀνθρώπων ἔνδον ἀποσαμενόμενος ἄδοξον πλοῦτον, τοῖς δ' εὐδοξίαν ἀναλίσκουσιν ἐπαμβαίνων καταγελᾷ, οὐ διαλογίζεται τὴν ἑαυτοῦ ψυχὴν ἄδοξον ἄδῃ περιστέλλων

καὶ τιμῶσιν. ἤτω, οὐ διακοῦται τῷ ἄδῃ τηρῶν τὴν ἑαυτοῦ ψυχὴν ἀνευ δίξης. οἶον, οὐ νοεῖ, ὅτι ἀνευ δόξης τελευτήσει. Χρύσιππος δὲ γράφει, ἀλαοῖσιν. ἐξ οὗ σημαίνει τυφλοῖς. ἐπιδὴ ὁ πλοῦτος τυφλός.

CARMEN II.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δευτέρου τῶν Ἰσθμίων εἴδους.

Τῆς δευτέρας ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἡ'. Τὸ α' προσοδιακὸν καταληκτικόν. Τὸ β' ἰφθημιμερὲς τροχαϊκὸν Εὐριπίδιον. Τὸ γ' τὸ αὐτὸ Εὐριπίδιον. Τὸ δ' Πινδαρικὸν ἐκ Σαπφικοῦ. Τὸ ε' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ϛ' τρίμετρον δακτυλικὸν ἀκατάληκτον. Τὸ ζ' ἐγκωμιολογικόν. Τὸ η' Στησιχόρειον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὴ κώλων ἐκτά. Τὸ α' πενθημιμερὲς δακτυλικόν. Τὸ β' Πινδαρικόν. Τὸ γ' Πραξίλλειον. Τὸ δ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ε' τρίμετρον τροχαϊκὸν εἰς ἴαμβον. Τὸ ϛ' Πινδαρικὸν ἐκ Σαπφικοῦ. Τὸ ζ' τροχαϊκὸν δίμετρον.

Ξενοκράτει Ἀκραγαντίνῳ.] Οὗτος ὁ ἐπινίκιος γέγραπται μὲν εἰς Ξενοκράτην Ἀκραγαντῖνον. πέμπεται δὲ Θρασυδούλῳ, διά τινος Νικασίστου. ὃς τε εἶναι ἀποστελλὼν αὐτόν. τὸν δὲ Ξενοκράτην τοῦτον, οἱ μὲν προστομηματισάμενοι, Θηρωνος ἀδελφὸν εἶναί φασιν. ὁ δὲ Ἀρτέμων σφόδρα τὰ περὶ τοὺς Σικελιώτας περιεργοτέρως μνημονεύσας, αὐτὸν μόνον συγγενῆ φησιν εἶναι Θήρωνος. οὗτος δὲ ὁ Ξενοκράτης, οὐ μόνον Ἰσθμια νενικηκὼς ἅρμασι, ἀλλὰ καὶ Πύθια, τὴν εἰκοστὴν τετάρτην Πυθιάδα, ὡς Ἀριστείδης ἀναγράφει. καὶ Σιμωνίδης δὲ ἐπαινῶν αὐτὸν, ἀμφοτέρας αὐτοῦ τὰς νίκας κατατάσσει. Θρασυδουλοι δὲ, Σικελιῶται, δύο τοί. ὁ μὲν Διονυσίου νεώτατος ἀδελφὸς τῶν περὶ Ἵππωνα καὶ Γέλωνα· ὁ δὲ, τῆς γυναικὸς τοῦ Ἱέρωνος ἀδελφὸς, οὗ νῦν μνημονεύει Πίνδαρος. ὁ δὲ Ἀρίσταρχος, ἀδελφὸν ὑπείληφε τοῦ Ξενοκράτους τὸν Θρασύδουλον. ἦσαν δὲ υἱοὶ Ξενοκράτους. ὁ δὲ Ἀσκληπιάδης, κατὰ εἰσβολὴν λέγων ἐπὶ τετελευτηκότι τῷ Ξενοκράτει τοὺς λόγους εἶναι, ἐκ τοῦ πολλοῦ ἐν τῇ ᾠδῇ ἐπὶ παρεγκειμένου χρόνου λέγεσθαι, λειχθησόμενα ἂν ἐπὶ τοῦ παρόντος, εἴπερ παρῆν ἔτι. Καλλίστρατος δέ φησι τὸν Πίνδαρον μὴ τυχόντα κατ' ἀξίαν μισθοῦ, διά τινα μικρολογίαν τοῦ Ξενοκράτους, προσδιαλέγεσθαι Θρασυδούλῳ τῷ υἱῷ αὐτοῦ, καὶ οὐκ εἰς Ξενοκράτην φησὶ γέγραφε τὴν ᾠδὴν, ἀλλ' εἰς Θρασύδουλον. καὶ γὰρ ἡ εἰσβολὴ περὶ ἀργυρίου μεμψιμοιρεῖ ἐστιν. ὡς Διλούντος αὐτοῦ τὸν κατ' ἀξίαν μισθὸν κομίσασθαι. βέλτιον δὲ, ἀδελφὸν εἶναι τοῦ Ξενοκράτους, ἢ υἱὸν, τὸν Θρασύδουλον. οὐχ ὅς τινες πατέρα.

1. Οἱ μὲν πάλαι ὦ Θρασύδουλε φύντες, ὅσοι χρυσαμπύκων] οἱ τῶν Μουσικῶν ἐπίζηλον ἁρμάτων, καὶ τῆς λύρας μετέσχον, οὗτοι ῥᾳδίως τοῖς μουσικοῖς τόξοις ἔβαλον τοὺς παιδικοὺς ὕμνους, εἴτις ὧν καλὸς εἶχε τοῦ σώματος ὥραν, τὴν μητέρην ἱμειρούσαν τῆς Ἀφροδίτης. ὅτι δὲ περὶ παιδικοῦ ἔρωτος ἦν τοῖς λυρικοῖς ἡ τῶν ποιημάτων σπουδὴ, δηλοῦσι ὁ λόγος. ἐξειργάσατο δὲ τὸ προοίμιον ὁ Πίνδαρος πάλαι, ἑαυτῷ τῆς τοῦ ἐπινικίου γραφῆς μισθὸν προιζόμενος. φησὶ δὲ, ὅτι τῶν λυρικῶν οἱ πολλοὶ ἀμισθὶ πρὸς τὰ καλὰ τὴν σπουδὴν εἶχον, ἐπὶ δὲ τοῦ παρόντος, ἀργυρίου πιπράσκεται τὰ ποιήματα. ταῦτα δὲ τίνου καὶ εἰς τοὺς

περὶ Ἀλκαῖον καὶ Ἴβυκον καὶ Ἀνακρέοντα, καὶ εἴ τινες τῶν περὶ αὐτοῦ δεινοῦσι περὶ τὰ παιδικὰ ἠσχολῆσθαι. οὗτοι γὰρ παλαιότεροι Πινδάρου. Ἀνακρέοντα γοῦν ἱστορήσαντα, φασί, διατί οὐκ εἰς Θεοὺς γράφει ὕμνους, ἀλλ' εἰς παῖδας; εἰπεῖν, ὅτι οὗτοι ἡμῶν θεοί εἰσι.

2. Χρυσαμπύκων] ἄμπυξ μὲν κυρίως, κόσμος τις περὶ τὰς γυναικείας περιφαλάς. Ὅμηρος· (Iliad. χ'. 469.) "Ἄμπυκα καὶ "κρυφαλόν τε*." νῦν καὶ ἀπὸ μέρους, τὰς τιμιάς λίγει.

7. Ὅσις ἰὼν καλὸς] ὅσις, σὺν τῷ καλὸς εἶναι, καὶ ἀκμαῖος ἦν. ὁπόταν μὲν οὖν ἁπλῶς εἴπῃ λίγων Ἀφροδίσης, τὴν σὺν σώματος ὥραν, καὶ τὸ σὺν κάλλους ἄνθος. τὸ δὲ μνάστειραν, πρὸς τὸ Ἀφροδίτας. τουτέστι τὴν τοῦ σώματος ὁπώραν. τὴν τῆς Ἀφροδίτης μνήμην ἱμασσούσαν.

9. Ἁ Μοῖσα γὰρ, οὐ φιλοκερδὴς] νῦν, φησι, μισθοῦ συντάττουσι τοὺς Πιτανίους, πρώτου Σιμωνίδου προσαναζωμένου. οὐδ' ἐργάτις, ὃ ἐστιν αἰτοῦσα μισθὸν ἐφ' οἷς ἔπραττεν. ἔνθεν καὶ Καλλιμαχός· (v. Fr. p. 436) "Οὐ γὰρ ἐργάτιν τρίφω τὴν "Μοῦσαν ὡς ὁ Χῖος ὑλλιχοῦν ἵππους." λίγει δὲ ταῦτα πρὸς Σιμωνίδην, ὡς φιλάργυρον διασύρων τὸν ἄνδρα. τὸ δὲ ἑξῆς· ἡ γὰρ Μοῦσα τὸ παλαιὸν οὕτω φιλοκερδὴς ἦν, οὐδὲ μισθοῦ συντάττουσα τὰ ποιήματα. οὐδὲ πρὸ (πρὸς) τῆς Τιρψιχόρης ἐποιήσαντο αἱ γλυκεῖαι καὶ ἐυφθόγγοι ἀοιδαλιψάμεναι τὴν παῤῥησίαν ᾠδαί. ἤτοι πρόσωπον πεποιημένοι καὶ λαμπρυνθεῖσαι, ὡς τὰ ὦνια, ὅτι τῶν πωλούντων τὰ πρόσωπα κεκοσμοῦντο, ἵνα δοκῇ παρέλκειν καὶ ἀργυρίου αὐτὰς πιπράσκουσαι καὶ μισθοῦ λιγόμεναι. περιφραστικῶς οὖν εἶρηκεν, ἀπὸ τοῦ γράφοντος, ἀργύριον λαμβάνειν. τοιοῦτον δέ τι καὶ Ἀνακρέων εἶρηκε. καὶ μή ποτε ἡ ἀπόστασίς ἐστιν εἰς τὰ ὑπ' ἐκείνου εἰρημένα; φησὶ γάρ· "Οὐδ' ἀργυ- "ρίη κε κόπτοι ἵλαμαι Πυθώ." (Πινδ. Fisch. Fragm. p. 395.)

15. Νῦν δ' ἰφίτῳ σ' ὠρχησίου φυλάξαι βῆμα] νῦν δ' ἰφίτῳ, τίς; ἡ Μοῦσα δηλονότι. τιθοῖ δὲ καὶ ταῦτα εἰς τὸν Σιμωνίδην. ἀντὶ τοῦ, ἐνδίδωσιν ἡμῖν λίγειν ὁ καιρός. τὸ δὲ ἑξῆς· ἐπὶ δὲ τοῦ παρόντος ἡ φιλοκέρδεια ἰφίτῳ καὶ ἐνδίδωσι λίγειν τὸ τοῦ Ἀρισοδήμου ῥῆμα, ἐγγὺς ἀληθείας βαῖνον.

17. Χρήματα, χρήματ' ἀνήρ] ὁ μίντοι Πίνδαρος τὸ ὄνομα οὐ διεδήλωκεν. οὗτος οὖν ὁ Ἀρισόδημος Σπαρτιάτης ὤν, πίνης γεγονὼς, καὶ συναπολίσας τὴν τῶν φίλων ἐπαιρείαν, ἔφη· χρήματα χρήματ' ἀνήρ. οὐδὲν δὲ θαυμαστὸν, εἰ Σπαρτιάτην ὄντα τὸν Ἀρισόδημον Ἀργεῖον ἔφη. ἴσι καὶ παρ' Ὁμήρῳ τὸ τοιοῦτον ὑρίσθαι. καὶ γὰρ Ἀργείην Ἑλένην φησί (Iliad. β'. 161.) καὶ τοι γε Λακεδαιμονία ἦν. Ἄλλως. Χρήματα χρήματ' ἀνήρ. τοῦτο ἀναγράφεται μὲν εἰς τὰς παροιμίας ὑπ' ἐνίων. ἀπόρθημα δέ ἐστιν Ἀριστοδήμου, καθάπερ φησὶ Χρύσιππος ἐν τῷ περὶ παροιμιῶν. τοῦτον δὲ τὸν Ἀριστόδημον Πίνδαρος μὲν οὐ τίθησιν ἐξ ὀνόματος, ὡς δῆλον ὄντος, ὃς ἐστιν ὁ τοῦτο εἰπών. μόνον δὲ ἰσημειώσατο τὴν πατρίδα, ὅτι Ἀργεῖος. Ἀλκαῖος δὲ ἐκ τὸ ὄνομα ἐκ τὴν πατρίδα τίθησιν, οὐκ Ἄργος, ἀλλὰ Σπάρτην· "ὃς γὰρ δήποτε φασιν "Ἀριστόδημον ἐν Σπάρτᾳ λόγον οὐκ ἀπά- "λαμνον εἰπεῖν· χρήματ' ἀνήρ. πενιχρὸς "δὲ οὐδεὶς πέλετ' ἐσλὸς οὐδὲ τίμιος." καὶ τάχα ἂν τὸν Σπαρτιάτην εἰρηκε Πίνδαρος Ἀργεῖον, παρόσον ἡ πᾶσα Πελοπόννησος, Ἄργος καλεῖται ὁμωνύμως τῇ πόλει. Ὅμηρος οὖν τὴν Ἑλένην Ἀργείαν φησὶν, ἀντὶ τοῦ εἰπεῖν Λακεδαιμονίαν. Ἀργείαι δὲ εἶπεν, ἀντὶ τοῦ, Πελοποννησιακάν. Σπαρτιάτην δὲ Ἀριστόδημον, ἐν τοῖς ἑπτὰ σοφοῖς ἀναγράφεται Ἀνδρων ὁ Ἐφέσιος.

18. Ὅς ῥᾳ, κτεάνων δ' ἅμα λειφθεὶς καὶ φίλων] ὅς τις Ἀριστόδημος ἰφθίγξατο τὸ τοιοῦτον, ἅμα τι τοῦ πλούτου καὶ τῶν φίλων στερηθείς. ἴσιεν δὲ οὗτος ἀκούουσιν ὅς τις Ἀριστόδημος τῶν χρημάτων ἐνδεὴς γινόμενος, καὶ τῶν φίλων ἐστερήθη.

19. Ἐσσὶ γὰρ οἷν σοφὸς] ταῦτα οἱ περὶ Καλλίστρατον συνεργεῖν φασιν ἑαυτοῖς. φανερὸν γὰρ, ὡς μισθὸν αἰτῶν τὸν Θρασύδουλον τότε ἀπόρθημα περοίηνκε τὸ περὶ τῶν χρημάτων, καὶ περοστικλίγει· οὐκ ἄγνως† ἀείδω. σοφὸς γὰρ εἶ, καὶ συνήσεις περὶ τί ταῦτα εἴρηται. ἴσιεν δὲ τὸ ἄγνωτα προκαροξύνοντες, οὐ κατὰ συναλοιφὴν ἀκούουσιν, ἀντὶ τοῦ, οὐκ ἄγνωσ† ἀείδω. ἀλλ' ἐπὶ αὐτοῦ καὶ τοῖς Ἰσθμικοῖς φασὶ νίκης λίγειν αὐτόν. οὐ περὶ ἀγνώτων φησὶν ᾠδω. ὁ δὲ Δίδυμος, μισθοῦσθαί, φησι, τὸ ἄξιωμα τοῦ ποιητοῦ, εἰ μαθόντα τοῦ ἐπινικίου συντεταγμένου, γνώριμός ἐστιν ὁ τοῦ Ξενοκράτους νίκης. ἔμελλεν γὰρ ὁ Πίνδαρος, ἀφανεῖς καὶ ἀδόξους φησὶν εἶναι τὰς νίκας, εἰς ἃς αὐτὸς μηδὲν γέγραφε, γελοίως. ὁ δὲ νοῦς· τυγχάνεις οὖν σοφὸς, ὦ Ξενοκρατες, καὶ συνορᾷς τὸ τοῦ λόγου αἴνιγμα. οὐ γὰρ ἄγνωστον λέγω. εἶτα ἀπὸ κοινοῦ τὸ, ἀείδω. ᾠδὴ καὶ τὴν Ἰσθμικὴν νίκην, ἣν τοῖς ἵπποις ἀγωνιζομένῳ τῷ Ξενοκράτει, ὁ Ποσειδῶν δωρησάμενος, ἀπὸ Κορινθιακῶν αὐτῷ σιλίνων στέφανον αὐτοῦ ταῖς πόλεσι κατιδεῖν παρέσχετο, τιμῶν τὸν ἐπιφανέστατον ἄνδρα, δόξαν καὶ φῶς ὄντα τῷ τῶν Ἀκραγαντίνων δήμῳ. ἀπὸ δὲ τοῦ πρὸς αὐτὸν λόγου, εἰς τὸν περὶ αὐτοῦ ἐπανέρχεται.

* l. πεπρύφαλον.

† deb. ἀγνῶτ' et ἀγνῶτι esse.

Δωρίων οὖν στεφάνωμά φησιν, ἀντὶ τοῦ, Ἰσθμίων· Δωριεῖς γὰρ ἐστίν· ἐποίησαν τὴν Πελοπόννησον. ἢ Δωρίων σελίνων, τῶν Κορινθιακῶν· ὅτι Δωριεῖς ἐποίησαν τὴν Κόρινθον. ἡ δὲ Κόρινθος πύλαι τῆς Πελοποννήσου. Ἀλήτην γὰρ αὐτὴν φασιν εἶναι. Ἴθεν καὶ Ἀλητίδαι οἱ Κορίνθιοι. τοῖς οὖν τὰ Ἴσθμια ἀγωνιζομένοις, σέλινον ξηρὸν ὁ στέφανος. ὑγρὸν δὲ, τοῖς τὰ Νέμεα.

26. Ἐν Κρίσᾳ δ' ἰδρυσθεὶς] τοῦτό φησιν, ὡς τὰ Πύθια νενικηκότος αὐτοῦ. ἡ γὰρ Κρίσα τῆς Φωκίδος ἐχεῖ χωρίον. ὁ δὲ νοῦς· ἐν δὲ τῇ Κρίσᾳ ὑμνῶν ὁ Ἀπόλλων ἐθέσπισε τὸν Σινοκράτην. καὶ ἀγωνιζομένῳ τὴν νίκην ἐμαντεύσατο.

28. Καὶ τόθι κλεινοῖς Ἐριχθειδᾶν] καὶ ὅτου τοῖς ἐνδόξοις φησὶ τῶν Ἀθηναίων χάρισιν ἠρμοσμένος, ἐν ταῖς λιταρραῖς Ἀθήναις, οὐκ ἐμίμψατο τὴν ἡνιοχικὴν χεῖρα.—Ἄλλως. τόθι, τοπικῶς, ἐν ἐκείνῳ τῷ τόπῳ, ἐν ταῖς Ἀθήναις, ὁ ταῖς χάρισιν ἠρμοσμένος Ἀπόλλων, ἀπὸ ποινοῦ γὰρ τοῦτο, οὐκ ἐμέμφθη τὴν ῥυσίδιφρον χεῖρα, ἀπὸ τοῦ πλεξίππου φωτός, τουτέστι, τοῦ Θήρωνος. ὁ γὰρ Νικόμαχος Ἀθηναῖος ὤν, ἀμφοτέρους ἡνιόχει, Θήρωνι καὶ Σινοκράτει. ἐπὶ μὲν οὖν τοῦ Σινοκράτους, οὐχ οἷόν τε ἀπούειν. οὐ γὰρ ἀνήρητο Ὀλυμπιακὴν νίκην, ἀλλ' ὁ Θήρων. κοινοποιεῖ δὲ τὰς νίκας ἀμφοῖν ὁ Πίνδαρος συνήθως αὐτῷ. τὸν δὲ Νικόμαχόν, φησιν, ἀρχαίναι ταῖς λιταρραῖς Ἀθήναις, παρόσον Ἀθηναῖος ἦν. ὄν, διὰ τὸ φιλοφρονήσασθαι τοὺς Ἠλείων σπονδοφόρους Ἀθήναζε ἥκοντας, ἀντεστάζοντο Ἠλεῖοι παρ' αὐτοῖς ὅτι Θήρων ἡνιόχει. ῥυσίδιφρον δὲ χεῖρα, ἀπὸ μέρους, ἀντὶ τοῦ ῥαδίως καὶ ἀμεταγώγως τὰς ἡνίας ἰθύνοντα.

34. Ὅντι καὶ πάρουσις] ὄν τινα τὸν νικηφόρον οἱ κήρυκες, φησιν, οἱ τὸν καιρὸν καὶ τὴν ὥραν τοῦ Ὀλυμπικοῦ ἀγῶνος κηρύσσοντες, καὶ σπονδεφόροι ὄντες τοῦ ἐν Ἤλιδι Διὸς, ἐγκώμασαν προσαθόντες τὸ ᾠδὸν παρ' αὐτοῦ διὰ τὸ φιλόξενον τῆς ὑποδοχῆς. καὶ τῇ ἠδείᾳ αὐτῶν φωνῇ ἠσπάζοντο τὸν Σινοκράτην τῆς τιμίας Νίκης τοῖς γόνασι προσελθόντα. ἐκ δὲ τούτου νικῶντα. ἠσπάζοντο δὲ κατὰ τὴν Ὀλυμπιακὴν αὐτῶν γῆν, ἅντινα καλοῦσι Ὀλυμπίου Διὸς ἄλσος. ἔνθα τοῖς ἀθανάτοις τῆς νίκης τιμαῖς καὶ οἱ τοῦ Αἰνησιδάμου παῖδες, Θήρων καὶ Δεινομένης, ἐμίγησαν. Ἄλλως. οἱ κήρυκες, οἵ τὰς ὥρας καὶ τὸν καιρὸν τοῦ Ὀλυμπιακοῦ ἀγῶνος ἐκήρυσσον, καθ' ὃς ἐπελίσσετο.

36. Ζηνὸς Ἀλσίου] τοῦ Ἠλείου Διὸς, τοῦ ἐν Ἤλιδι τιμωμένου. Ἦλις δὲ χώρα τῆς Ὀλυμπίας.

37. Φιλόξενον ἔργον] ὑπεδέξατο γὰρ αὐτοὺς, καὶ φιλοξένως ἐξένισεν.

42. Ἴν' ἀθανάτοις Αἰνησιδάμου] Αἰνησιδάμου παῖδες, Θήρων καὶ Δεινομένης, ὧν πυρίως μνημονεύει, ὡς Σικελιωτῶν τυράννων. Σικελιώτης δὲ ὁ νικηφόρος.

44. Καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν ἐντὶ δόμοι] καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν εἰσιν οἱ οἶκοι, ἀντὶ τοῦ ἄπειροι, ὦ Θρασύβουλε, οὔτε ὕμνων ἐπειράσω, οὔτε ὑψηλῶν ᾠδῶν. πάλιν δὲ ἐκ τούτου ὕμνον φησὶν Ἄλλως. ἤτοι περιφρασικῶς αὐτὴν Ὀλυμπίαν δόμους εἶπεν, ἢ οὐκ ἀγνῶτες ὑμῶν εἰσιν οἱ δόμοι τῆς φιλοξενίας, ὅπερ ἄμεινον. τὸ δὲ ἐντὶ, ἀντὶ τοῦ, εἰσὶ, Δωρικῶς.

47. Οὐ γὰρ πάγος] οὐδὲ προσάντης ἀ πίλιυδες] οὐ τραχεῖά, φησιν, ἡ ὁδὸς γίνεται τοῖς τοὺς ἐνδόξους ἐπαινοῦσιν ἄνδρας. τοὐναντίον δὲ, ῥᾴδιος καὶ εὐπαίφορος. αὐτοῦ γὰρ ἀφορμὰς εἰς τοὺς ἐπαίνους διδόασι. τιμὰς γὰρ Ἑλικωνιάδων τὰς τῶν Μουσῶν φησι, τουτέστι, τοὺς ὕμνους καὶ τὰς ᾠδάς.

51. Μακρὰ διεκπήσαις ἀκοντίσαιμι] μακρῶς καὶ μιγάλως τὸν ἐμὸν λόγον ῥίψας, φησὶ, καὶ τὸν νικηφόρον ἐγκωμιάζων, ὑπερβαλοῦμαι τοὺς ἄλλους, ὁπόσον καὶ ὁ Σινοκράτης τρόπον γλυκὺν καὶ σταυδαιότερον πάντων ἀνθρώπων ἔσχιν.

54. Αἰδοῖος μὲν ἦν ἀστοῖς] ἀμφίσολον. ἦτοι γὰρ αὐτὸς ἦν, φησιν, ἐντροπῆς ἄξιος ὁμιλῶν τοῖς ἀστοῖς, ἢ αὐτὸς ἐνετρέπετο, ἐν τῷ τοῖς ἀστοῖς ὁμιλεῖν. Διίδυτος δὲ ὁ Ἀριστοφάνειος μὴ νοήσας, ὅτι ἐπὶ τοῦ παρειληλυθότος χρόνου κεῖται τὸ ἦν, ᾠήθην φησὶ γιγράφθαι. οὗτοι ἐκεῖνο νοήσας, ὅτι παρὰ τοῖς ποιηταῖς ἐναλλάττονται οἱ χρόνοι, οὕτε τὸ ἐπὶ τέλους λεγόμενον, τὸ, Νικάσατε· ἀπόνειμον. ὅταν ξένων ἐμὲν ἐθέλῃς· ᾠρὸς τὸν ζῶντα, οὐ ᾠρὸς τὸν τετελευτηκότα. ἢ ἔχει οὕτως· αἰδέσιμος ἦν τοῖς πολίταις συναναστρεφόμενος.

55. Ἱπποτροφίας τι νομίζων] ἤτοι, ἱπποτροφεῖν ἐν Ἕλλησιν αὐτὸς νομοθετῶν. ἢ νόμιμον ἐν Ἕλλησιν εἶδως τὸ ἱπποτροφεῖν. ἀπὸ κοινοῦ δὲ τὸ ἦν. ἢ οὕτως· ἱπποτροφίας νομίζων καὶ τρίφων, τῷ τῶν Ἑλλήνων νόμῳ καὶ ἔθει. ἤτοι πείνων καὶ νομιστέων τοῖς Ἕλλησιν. ἢ ἀπαιτήμους ᾠοὺς ᾠιρὶ τὸ νόμισμα.

57. Καὶ θεῶν διαίτας] καὶ πάσας θεῶν πανηγύρεις ἐπισταδίους προσιδίχετο. ἐκ δὲ τούτου δῆλον, ὅτι εὐσεβῶς καὶ πρὸς θεοὺς διέκειτο. ἢ οὕτω· κατὰ διάνοιαν προσήγετο καὶ ἐσπάζετο. οὐδὲ νόμιμον καὶ ἔθος ἦγε τὰς ἑορτὰς, ἀλλ' οἰκείως ἔχων πρὸς τοὺς θεούς.

58. Οἰδίστοτι ξενίαν οὖρος] ἀλληγορικώτερον ἐχρήσατο τῷ λόγῳ ἀπὸ μεταφορᾶς τῶν οὐριοδρομουσῶν, καὶ μὴ συγκλουσῶν τὰ ἱστία πῶν· τὸν γὰρ φθόνον ἀνίμῳ εἴκασε· τὴν δὲ τῶν ξένων πρᾶσιν, νηῒ οὐρίως καὶ ἀζλαβῶς πλεούσῃ. εὐδὶ ποτί φησι τὸ ἱστίον τῆς τραπέζης ὁ Σινοκράτης, ἢ τοὺς ξένους ὑπεδέχετο, συνίστιλεν οὐρίοις ἄνεμος πτύσας,

ἀλλ' ἀεὶ πλήρεσι τοῖς ἰσίοις (πρὸς) τὰς τῶν ξένων ἰσιάσεις ἐποιήσατο. Χρύσιππος οὕτω. Εὐπειράσης δὲ εὐδίκησεν οὕτως ἐχειμάσθη, ὅστις μὴ διομαλίσαι τὴν τράπεζαν. ὁ δὲ νοῦς, οὕτως· εὐδίκησεν δὲ παρὰ τὴν φιλόξενον αὐτοῦ τρόπεζαν· ἵν' ἢ τοὺς ἐπιφοιτῶντας ἰδιζεύοντο ξένους. φθόνος τις ἐπιστυήσας τὰς τῆς φιλοξενίας ἔπαυσεν ἰσιάσεις, ἀλλὰ πλήρεσι τοῖς ἰσίοις τοὺς πάντας ἐφιλοφρόντιζε.

61. Ἀλλ' ἐπίρρ. ποτὶ μὲν Φάσιν Θερείαις] Φάσις, ποταμὸς τῆς Σκυθίας. ψυχρότατα δὲ τὰ περὶ αὐτὸν πνεύματα ἔχει. τὸ δὲ, Νείλου πρὸς αὐγάς, ἢ ἀκτάς, τινὲς μὲν τὰς τοῦ Νείλου ῥύσεις. τινὲς δὲ, ὅτι ἀπὸ ἀνατολῶν ἡ ῥύσις αὐτοῦ γίνεται. διὸ καὶ Θερμοτάτης καὶ ὑγιεινῆς κρασίως μετέχει τὸ χωρίον. διὰ τούτων δὲ, τὴν περὶ τοὺς καιροὺς διξότητα τοῦ Ξενοκράτους παρίστησιν ἀλληγορῶν. οὕτω γὰρ εὖ πρὸς τοὺς καιροὺς ἥρμοσε, καθάπερ οἱ ἐν μὲν τῷ θέρει, πρὸς τὰ χειμερινὰ ὠθούμενοι, τῷ δὲ χειμῶνι, πρὸς τὰ θερινά. ὁ δὲ νοῦς, πάλιν ἐστὶ τῆς φιλοξενίας τοῦ Ξενοκράτους, οὕτως ἔχει· ὁ Ξενοκράτης φιλοφρονούμενος τοὺς ξένους, ἅπλει τῷ τῆς τραπέζης ἰσίῳ, θέρους, πρὸς τὰ ψυχρότερα· χειμῶνος δὲ, πρὸς τὰ θερμότατα· ὥστε πανταχόθεν αὐτοῦ τὸ εὔκρατον καὶ προσηνὲς τῆς φιλοξενίας δηλοῦσθαι. ἢ καὶ ἐπὶ τῶν ξένων τὴν διάνοιαν ἐκτείνων. ἵν' ᾖ· ἵκανός, φησι, τῶν ξενιζομένων, ἐκ μὲν θερμότητος καὶ καμάτων, πρὸς ψυχρότητα καὶ ἀνάπτησιν ὥστε *, πρὸς αὐτὸν ἵστασθαι. ἐκ δὲ χειμῶνος, πρὸς θερμότητα.

63. Μὴ νῦν ἔστι φθονεραὶ] μὴ ὄ ἔστι, φησὶ, περὶ τὰς φρένας τῶν ἀνθρώπων φθονεραὶ κρίμνανται ἐλπίδες καὶ διαθέσεις, τοιαῦται, μὴ, διότι φθονεροί εἰσιν οἱ ἄνθρωποι, περὶ τοῦτο στιλάκινος, τὴν τοῦ πατρὸς ἀρετὴν στιλάτω, σιγάτω. λεγέτω δὲ, τὰν φθονούντων ἀφρονεστέων. τὰς δὲ ἐλπίδας, ἀντὶ ἐνὸς τούτων φρονεσίδος, διανοίας, διαθέσεως. μὴ οὖν, φησι, τὴν τοῦ πατρὸς ἀρετὴν σιγῇ παραδόσω, ἀλλ' εἰς τὸ πανὸν φερέτω. τοχὼν γὰρ τῆς νίκης, τὴν τοῦ πατρὸς ἀρετὴν, εἰ προσηγαγε τῇ ἰδιοτῇ δόξῃ. 68. Ἰσίου, ὅτι τὸν εἰς Ξενοκράτους ὕμνον, εἰς Ἀκράγαντα δὰ Νικασίστου πίμπει πρὸς Θρασύδουλον, τὸν Ξενοκράτους ἀδελφόν. τὸ γὰρ ἀπόνιμον, ἀντὶ τοῦ ἀνάγωθι. Σοφοκλῆς ἐν Ἀχαιῶν συλλόγῳ " Σὺ δ' ἐν θρήνοισι † γραμμάτων στύχας " ἔχων, ἀπόνιμον." (καὶ·) " νίμει τις, οὐ φέρεις τίς ξυνάμοσε." καὶ Παρθένιος ἐν τῇ Ἀρήτῃ τὸ ἄνιμι ‡, ἀντὶ τοῦ, ἀνάγωθι· καὶ ἀνίμη Δωριστὶ ἡ βουκόλος §.

Carmen III.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τρίτου τῶν Ἰσθμίων εἴδους.

Τοῦ τρίτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶ δέκα. Τὸ α' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ β' τὸ αὐτό. Τὸ γ' τροχαϊκὸν ἐπίτριτον. Τὸ δ' ἀσκληπιάδειον Ἰωνικὸν, δίμετρον ἀκατάληκτον. Τὸ ε' ἰγκωμιολογικόν. Τὸ ς' τὸ αὐτό. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η' ἰφθημιμερὲς δακτυλικόν. Τὸ θ' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ι' τὸ αὐτό.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ἐστὶν ἑνδέκα. Τὸ α' τροσοδικὸν δωδεκάσημον. Τὸ β' μονόμετρον Ἰωνικὸν, ἢ ἀναπαιστικόν. Τὸ γ' δίμετρον δακτυλικὸν ἀκαταλήκτον. Τὸ δ' Εὐριπίδειον. Τὸ ε' ὅμοιον τῷ· Τίς σὰς παρῴτιδας φρένας. Τὸ ς' ὅμοιον τῷ· Ἐραστιδείᾳ Χαρίλαι. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατά-

* fuit ὥστις πρὸς ψ.
† θρήνωσι Toup. add. ad Theocr.
‡ ἄννιμι.
§ ἀνιέμη Valck. ad Theocr. p. 155.

λητον. Τὸ ἡ' Εὐριπίδειον. Τὸ δ' προσοδιακὸν δωδεκάσημον. Τὸ ι' Εὐριπίδειον. Τὸ ια' Ἰαμβικόν.

Μιλίσσῳ, Θηβαίῳ] Γέγραπται Μιλίσσῳ Θηβαίῳ. οὗτος ἐνίκησεν Ἰσθμια καὶ Νέμεα. πρόκειται δὲ τῇ ὠδῇ, ἵππιος. διὰ τὸ μὴ δηλοῦν τὸν Πίνδαρον τὸ τοῦ ἀγωνίσματος εἶδος, πύκτην, πάλητι, ἢ στιβίσασθαι. μόνου δὲ ἱπποδρομίᾳ λίγυι ἱστιφανῶσθαι.

1. Εἴτις ἀνδρῶν εὐτυχήσαις] ὁ λόγος, εἴτις εὐτύχησεν ἐν ἀέθλοις, ἢ ἐν πλούτῳ, ὡς τὸν ἐν εὐπραγήμασι δύνασθαι φέρειν κόρον, μὴ ἐξυβρίζων, ἄξιός ἐστιν εὐλογεῖσθαι ὑπὸ τῶν πολιτῶν. διατί δέ, αὐτὸς ἐποίησε.

6. Ζεῦ μεγάλαι δ' ἀρεταὶ σίθεν ἵπονται] Ἐκ σέθεν εὐτυχοῦσιν οἱ ἄνθρωποι. καὶ γὰρ οὐ δι' αὐτοὺς, ἀλλὰ διὰ θεῶν πρόνοιαν. ἐξ ὧν αὐτοῖς καὶ μεγάλαι ἀρεταὶ ἵπονται.

7. Ζώει δὲ μάσσων ὄλβος ἐπιζαμίνων] ὅπερ μὲν ἡ τοῦ μέλλοντος ἐπιστροφὴ, καὶ τοῦ μετὰ ταῦτα ἐσομένου. "Ομηρος· (Odyss. ξ. 82.) "Οὐκ ὄπιδα φρονέοντες." ὁ δὲ λόγος, ζῇ δὲ ἐπὶ πλείονα χρόνον ὁ ὄλβος, καὶ συναυξανόμενος παραμένει, τοῖς ἐπιζομένοις καὶ ἐντρεπομένοις. πεμίζονται γὰρ ἀντὶ τῶν πόνων ἐπαίνους, οἱ μὴ ὑπερφυεῖς. τοῖς δὲ σκολιόφροσι καὶ παρανόμοις ἀνθρώποις, οὐχ ὁμοίως ἀπολοῦται ὁ ὄλβος. οἷον οὐδέποτε ὁμιλήσει τοῖς κακοῖς ἡ θάλλουσα εὐδαιμονία.

11. Εὐκλίων δ' ἴργων ἄπειτα] τῶν δὲ εὐδόξων κατορθωμάτων, φησὶν, ἀμοιβὴν τοῖς ἀγαθοῖς προκεῖται τὸν ἐγκωμιαστικὸν λόγον παρασχεῖν. χρὴ δὲ τὸν τοιοῦτον ὑμῶσαι, καὶ μετιωρίσαι ταῖς χάρισιν.

15. Ἔφι δὲ καὶ διδύμων ἀέθλων] ἤτοι διπλῶν ἄθλων καὶ νικῶν τῷ Μιλίσσῳ μερίς. ἔστι πρὸς εὐφροσύνην γλυκυτάτην τρέψας αὐτοῦ τὴν ψυχήν· τοῦτο μὲν, ἐν τοῖς βασίμοις τόποις τοῦ Ἰσθμοῦ δεξαμένῳ τοὺς στεφάνους, ἀντὶ τοῦ, νικήσαντι τῷ Ἰσθμῷ· τὰ δέ ἐστιν ἐν τῇ πεδίλῃ καὶ βαθυτέρῳ πάτῃ τοῦ λίαντος, τουτέστι, τῇ Νεμέᾳ, ἵππων δρόμου νικήσαντι. ἀνακήρυξε γὰρ Θήβην φησί. τοῦτο οὖν λίγυι, ὡς καὶ Ἰσθμια καὶ Νέμεα νενικηκότος αὐτοῦ ἱπποδρομίᾳ.

24. Ἴστι μὲν Κλεωνύμου] γινώσκειν μὴν τὴν περὶ τὰ ἅρματα τοῦ Κλεωνύμου ἀρχαιοτάτην ἀρετήν τι καὶ δέξαν. τούτου δὲ τοῦ Κλεωνύμου, ὡς προγόνου τοῦ Μιλίσσου κατὰ πατέρα, μέμνηται. ὁ μὲν γὰρ πατὴρ αὐτοῦ, Τελεσιάδας ἦν. ἐν δὲ τῇ ἐξῆς ᾠδῇ, καθύλου τοὺς συγγενεῖς αὐτοῦ Κλεωνυμίδας κέκληκε.

26. Καὶ μητρόθεν Λακεδαιμόνιοι σύντομος] ὡς κατὰ μητέρα ἀπὸ Λακεδάκου καὶ Οἰδίποδος τοῦ Κλεωνύμου ὄντος. διό φησι, καὶ μητρόθεν σύντομοι πλοῦτον. τὸ γὰρ πρὸς μητρὸς τοῦ Μιλίσσου καὶ Κλεωνύμου γένος, συνάπτεται τοῖς Λακεδαιμονίοις, διαπρέψασι κατὰ τὴν ἡνιοχικήν. τὸ δὲ σαφὲς· τὸ δὲ μητρῷον γένος εἰς τοὺς Λακεδαιμονίους ἀνάγονται. καὶ κοινωνεῖ τῆς ἐκείνων ὕστις εὐδοξίας πλοῦτον ἱκανὸν περιπτῶντο. ἅρμασιν ἀγωνιζόμενοι. τὸ γὰρ πλούτου διέσχον, ἀντὶ τοῦ, διὰ πλούτου ἤρχοντο. τουτέστι, πλοῦτον ἐκτῶντο.

29. Λίαν δὲ κυλινδομέναις ἀμέραις] ὑποφαίνει διὰ τούτων, ὡς ποικίλαις χρωμένων τύχαις τῶν τοῦ Μελίσσου προγόνων. ὁ γὰρ βίος φησὶν ἐν ταῖς ἡμέραις εἱλούμενος, καὶ ἐν τοῖς ἐνιαυτοῖς, ἀλλοίας καὶ ἀλλοίας ἀπογινῇ περιστάσεις. ἔσως μὲν οὖν εἰς τὰ ἐπὶ τοῖς Λακεδαιμονίοις στιβευλλημένα ἀποβλέπει. ἄμεινον δὲ εἰς τὰ ἐν τῇ ἐξῆς ᾠδῇ λιγόμενα. τίσσαρας γάρ φησι κατὰ πόλεμον συγγενεῖς τοῦ Μιλίσσου τιλευτῆσαι.

31. Ἀτρωτοί γε μὰν παῖδες Διῶν] ἀντὶ τοῦ οἱ Διοί. ὡς καὶ παῖδες Ἑλλήνων. ὁ δὲ νοῦς· μόνοι Διοὶ οὐκ ἴσχουσι μεταβολὴν εἰς κακόν. ἄτρωτοι γὰρ οὗτοι. τὰ δὲ τῶν ἀνθρώπων, ὑμετάστατά, φησίν, ἐστι.

Carmen iv.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς, καὶ τῆς ἐπῳδοῦ τοῦ τετάρτου τῶν Ἰσθμίων εἴδους.

Τοῦ τετάρτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος, καὶ ἡ ἐπῳδὸς, ταυτὸν μέτρον ἴσχει τῷ τρίτῳ.

Hoc εἶδος rationem metricam cum præcedente eanden habet: nisi quod nonum κῶλον στροφῆς καὶ ἀντιστροφῆς in hoc εἶδει habeat duos epitritos secundos - υ - - - υ - -, cum in præced. habeat duos ditrochæos - υ - υ - υ - υ. Tametsi nullum dubium, si textus depravatione careret, utrobique consensum inventum iri. Schmid. Et sane hæc diversitas Scholiastæ vix cognita fuit. Neque ea major est, quam quod unica longa pro brevi usurpetur, modo textus esset integer. Ultimarum enim κώλων syllabarum nulla habenda est ratio. Observandum tamen, Pæonem tertium pro Ionico a minore usurpari in κώλ. 4. si nostram admittas emendationem: 45. et 66. et 76. quæ omnia cum quarto loco annumerentur ταῖς στροφαῖς et ἀντιστροφαῖς, non committunt scribæ, ut eos accusare erroris vel negligentiæ possimus. Interim hujus rei immemores Intt. ingenium suum ad textum depravandum adhibuerunt, scil. in κώλοις 98 et 109. Eadem enim ratione se habet metrum istis in locis. Ex κώλοις 106 et 117 patet, permutationem esse ditrochæorum cum epitritis secundis.

1. Ἐφί μοι Θιῶν ἔπατι μυρίᾳ] Θιῶν, τῶν Μουσῶν, καὶ τοῦ Ἀπόλλωνος. ἢ τῶν Θιῶν πρεσβίᾳ, ἴσι μυρίᾳ ὠδὸς εἰς τοὺς ὕμνους. πολλάς φησιν ἴσχιν ὑμηναίας καὶ ἀφορμὰς εἰς τοὺς τοῦ Μιλήσσου ἐπαίνους, διὰ τὸ νικῆσαι τὰ Ἰσθμια. ὁ δὲ νοῦς οὕτως· τῶν Μουσῶν ἐπιτρεπουσῶν, ἴσι μοι πανταχοῦ, οὐ προσάντης, ἀλλ' ὑμαρὴς ἡ τῶν ὕμνων ὁδὸς ὦ νικηφόρε. τὰ γὰρ Ἰσθμια νικήσας, ὑμηναίας ἐποίησας τῷ ὕμνῳ, ἀνυμνῶν τὰς προγονικὰς ὑμῶν ἀρετάς.

6. Αἶσι Κλεωνυμίδαι] Κλεωνυμίδας κέκληκε τοὺς προγόνους τοῦ Μιλήσσου, ἀπὸ προγόνου τινὸς Κλεωνύμου. προσεπῶς δὲ τὰ περὶ τῆς τύχης συμπτώματα οὕτω φησί. προεῖπον δὲ (iii. 16.) ὡς τῆς βασιλείας ἐξίστασθαι μοτί. ὁ δὲ νοῦς· αἷς ταῖς ἀγωνιστικαῖς ἀρεταῖς οἱ σοὶ πρόγονοι διαπρεπῶς λάμποντες εὐδαιμονίᾳ τύχης, τὸ θνητὸν διατελοῦσι τοῦ βίου τέλος.

8. Ἄλλοτι δ' ἀλλοῖος οὖρος] ὅμοιόν ἐστι τῷ· "αἰὼν δὲ πυλιδομέναις ἀμέρσας, ἄλλ' "ἄλλοτ' ἐξάλλαξε" (iii. 29.) καὶ γὰρ ἐν τούτων ἐπιφαίνει τὴν περὶ τὸν οἶκον τῶν Μιλήσσου δυσκραγίαν. ὁ δὲ νοῦς οὕτως· ἄλλοτι ἀλλοῖος καὶ οὐχ' ὁ αὐτὸς παρὰ τῆς τύχης ἄνεμος ἐπνεύσας, πάντας ἀνθρώπους συμφέρεσθαι πράγμασι παρέχει.

11. Τοὶ μὲν ὧν Θήβαισι τιμάεντες ἀρχᾶθεν λίγονται] τουτέστιν, ἄνωθεν ἔνι ἐντίμοι εἰσὶν οἱ Κλεωνυμίδαι, διὰ τὸ Δαβδακίδαι εἶναι, καὶ πρεσβείαν παρέχειν τοῖς περιοίκοις. ὁ δὲ νοῦς ἔστω· οἱ μὲν ὧν σοὶ πρόγονοι, ἄνωθεν καὶ ἐξ ἀρχῆς διαβεβόηνται κατὰ τὰς Θήβας ἐντίμοι καὶ ἔνδοξοι γεγονέναι πάντων τῶν ἐνοικούντων, καὶ ξεινοί. τῆς τε Δωριώδους ὕβρεως πανταλῶς ὄντες ἀλλότριοι. Χρύσιππος οὖν πιθανῶς τὴν ὕβριν κιλαδεινὴν εἴρηκε, διὰ τὸ λάλους εἶναι τοὺς ὑβριστάς. τὸ δὲ ἐφανοὶ, οἷον ἐντιμίου ὕβρεως. οὐκ ὄντες ὑβρισταί, ἀλλὰ τῶν τοὐναντίον, ἥμεροι, καὶ ἐπιεικεῖς.

15. Ὅσσα δ' ἐπ' ἀνθρώπους] ὅσα δὲ φέρεται ἐπὶ τοὺς ζῶντας ἀνθρώπους καὶ τιθηνόντας μαρτύρια ἀρετῆς κατὰ πᾶν τέλος, τούτου ἐφίψαυσεν, φησι, Κλεωνυμίδαι.—Ἄλλως. ὁπόσα δὲ ἐν ἀνθρώποις φέρεται, τῶν τιτιλιστηπόσων καὶ τῶν ζώντων τῆς μεγίστης εὐδοξίας μαρτύρια, ταῦτα οὗτοι ἐν παντὶ πράγματι ἀναδεξάμενοι φαίνονται. ἢ οὕτως· ἴστις καὶ πρὶν τιθηνὸς, ἢ νῦν ὤν, ἴσχυν ἐξαίρετόν τι, τοῦτο ἴσχυν.

18. Ἀνορέαις δ' ἰσχάτοισι] ταῖς δ' ἀρεταῖς αὐτῶν ἐπὶ τῶν Θηβῶν μίχρις Ἡρακλείων σηλῶν τὸ τέλος διῆκται. οἷον, ἄχρι περάτων κατὰ πάντα τρόπον κεκήρυκται αὐτῶν ἡ ἀνδρεία. ὁ δὲ νοῦς· ταῖς οἰκείαις δὲ ἀρεταῖς, καὶ τῶν Ἡρακλέος ἄθλων ἅπτονται σηλῶν. καὶ προσήκει ταύταις ταῖς ἀρεταῖς μὴ ζητεῖν μείζονα. ὁ δὲ Χρύσιππος οὕτως·

αἱ δ' ἀνδρεῖαι ὑμῶν, καὶ ἐν ὅλῳ διαφαίνονται, καὶ μίχρι τῶν Ἡρακλείων ϛηλῶν δεικνοῦνται. ϛήλαις δὲ ἔστιν ἀντὶ τοῦ ϛηλῶν· ὡς καὶ, στιφάνοισι Σίγον, ἀντὶ τοῦ στιφάνων.

21. Καὶ μηκίστῃ μακροτέραν στεῖβειν ἀρίστην] ὑπὸ Ἡρακλέους φησὶ ϛήλας μὴ δύνασθαι τὴν ἀρίστην πίμψαι.

23. Ἱπποτρόφοι τ' ἐγένοντο] καὶ πρὸς ἱπποτροφίαν εἶχον. καὶ ἤρισαν τῷ Ἄρει, ἣ ἤρισεν, ὃ καὶ πρῶτον. καὶ πολέμων τουτέοισι ἦσαν ἅμπυροι. ὅ ἐστι πολεμικοί.

25. Ἀλλ' ἀμέρᾳ γὰρ] Χρύσιππος ἀποδίδωσιν, ὅτι δ' οἱ συγγενεῖς πρεσπεπώκασιν ἐν μιᾷ ἡμέρᾳ κατὰ πόλεμον αὐτῶν. καὶ τοῦτο λέγει λελυπηκέναι τὸν οἶκον. ὁ δὲ νοῦς· ἀλλ' ἐν μιᾷ ἡμέρᾳ τοῦ πολέμου τραχύτατος χειμὼν τὴν μακαριωτάτην ἑστίαν τετεύκασιν ἀνδρῶν ἔρημον ἑστίασε.

29. Νῦν δ' αὖ] νῦν δέ φησι, καθάπερ ἐν χειμῶσιν, ἵνα καθέστηκεν αὐτῷ νενικηκέναι. ὥσπερ ἐαρίζουσα γῆ ἐν χειμῶσιν ἐκδίδωσι τὰ ῥόδα. οἷον ἐξ ὑπαρχῆς αὐτοῖς ὁ οἶκος (f. ἀνθεῖ). Χρύσιππος δέ, μετ' ἐκείνην τὴν ἀτυχίαν καὶ τὸν χειμῶνα ἥνθησαν, ἀλληγορεῖ ἐπὶ τοῦ βίου. εἰς ἔαρ μετέβαλε, φησίν, ἡ οἰκία Μιλέσσου. τὸ γὰρ πολέμων μητῶν, ἤτοι καθὸ πολέμια ἐν τῇ χρόνῳ γίνεται, ἤτοι πολέμων τῶν παρῶν, καθ' οὓς ὅλη ἡ γῆ πολέμια γίνεται τῇ τῶν φυτῶν ἐξαναθήσει. ὅπερ ἄμεινον.

32. Ὀκυπτέρῃ δὲ γᾶς] ὁ Ποσειδῶν. καὶ γέγονε παρὰ τὸ ἐνοσίγαιος.

33. Ὀγχηστὸν οἰκίων] ἱερὸν γὰρ τῷ Διῒ τὸ χωρίον, ὡς καὶ Ὅμηρός φησι. (Iliad. β'. 506.) γίφυραν δὲ Ποντιάδα τὸν Ἰσθμὸν ἔφη, διὰ τὸ ἐκατέρωθεν θάλασσαν εἶναι, καὶ τὴν διατείνουσαν ζώνην γίφυραν ἐκάλουν. τὸ δὲ σαφὲς οὕτως· ὁ δὲ τῆς γῆς κινητὴς Ποσειδῶν, ὁ τὸν Ὀγχηστὸν οἰκῶν, καὶ τὴν θαλασσίαν γίφυραν τὴν πρὸ τῶν τειχῶν τῆς Κορίνθου, τοῦτον ἐπὶ τῇ νίκῃ χαρισάμενος τὸν ὕμνον τῷ τοῦ Μιλέσσου γένει, ἐκ τῶν κατῶν ἀσθενήσασαν καὶ νοσηλευομένην πάλιν αὐτῶν τὴν παλαιὰν ἀναῤῥώννυσι δόξαν. ἣν γὰρ ἀφυπνώσασα καὶ ἀφανὴς γενομένη. Ἄλλως. ὁ Διὸς αὐτῶν τὴν καθυπνωκυῖαν φήμην ἀνεγείρει καὶ ἀνανεοῦται. παρόσον ἐν ταῖς δυσυχίαις καὶ ὁ πλοῦτος ἠλαττώθη, καὶ ἡ ἱπποκὴ ἰσχὺς ἐμαράνθη. νῦν δὲ ταῖς νίκαις ἐπίστυχεν.

39. Ἀλλ' ἀνεγειρομένα, χρῶτα λάμπει] ἡ περιεμένη, φησὶ, φήμη ἀνεγειρομένη λάμπει, καὶ οὕτως, ὡς ὁ ἱωσφόρος συγκρινόμενος τοῖς ἄλλοις ἄστροις. διὰ τὴν τοῦ Μιλέσσου νίκην. τῷ αὐτῷ τρόπῳ καὶ Εὐριπίδης πέχρηται· " Ἰδοῦσ' ἀδίνοῦς συμφορᾶν πο- " λὺν χρόνον, νῦν ἅμ' ἐγείρει *." ὁ δὲ νοῦς ἀλλὰ πάλιν ἀναῤῥῶσα καὶ διαφανὴς γενομένη, οὕτω τὸν χρῶτα λάμπει, ὥσπερ ὁ ἱωσφόρος ἐν τοῖς ἄλλοις ἄστροις ἐκδηλότερός ἐστιν.

42. Ἅτι κ' εἰν γουνοῖς Ἀθηνᾶν] ἥτις φήμη καὶ δίξα ἐν Ἀθήναις καὶ Σικυῶνι κατὰ τὸν Ἀδράστου ἀγῶνα τὰ τούτου ἅρματα πηνίξασα, τὴν νίκην ἐνεχείρισεν. Ἄλλως. ἡ φήμη φησὶν ἡ περιεμένη νικᾶν πηνίξασα τὸ ἅρμα ὑμῶν ἐν Ἀθήναις, καὶ ἐν Σικυῶνι, ἐδωρήσατο ὑμῖν τοιάδε, ἅπερ ἐγὼ νῦν γράφω εἰς σὲ διὰ τῶν ὕμνων. τοιαῦτα ἔσχον καὶ οἱ πρόγονοί σου παρὰ τῶν τότε γιγονότων ποιητῶν· ὡς καὶ εἰς Ἰκαρίους γεγραφότων τινῶν Ἀτινικίους. τὸ δὲ ἐξῆς, τοιαῦτα τῶν ὑμετέρων προγόνων τὰ ἐγκώμια τὰ ἐπὶ τοῖς στεφάνοις ᾠδόμενα. ἵνα δὲ, τοιαύτας ἔσχον καὶ οἱ πρόγονοί σου παρὰ τῶν τότε ποιητῶν ᾠδάς. τοῦτο δὲ Χρύσιππός φησιν, ὡς ἄλλων ἐγκωμιαστῶν ποιητῶν κατὰ τὸν καιρὸν τὸν πάλαι τὰς τίμας.

47. Οὐδὲ πανηγύρεων ξυνῶν ἀτιτῖχον] οὐδὲ τῶν κοινῶν, φησὶ, πανηγύρεων τὸ ἐπιτιμητὰς αὐτῶν ἅρμα ἀπιχώριζον. ὃ δέ φησι, τοιοῦτόν ἐστιν· ὅτι οὕτω φιλαγωνιστικοὶ καὶ φιλόδοξοι ἦσαν, ὥστε καὶ ἐν τοῖς ἀγῶσι τῶν κοινῶν πανηγύρεων ἀγωνίζεσθαι. καὶ πᾶσι τοῖς Ἕλλησι δὲ ἱπποτροφίας ἐρίζοντες ἔχαιρον. τῶν γὰρ μὴ καθιέντων αὐτοὺς εἰς ἅμιλλαν καὶ πειρωμένων ἀγῶνος, οὐθεμίαν μνήμην ἐσῖν. ἔ ἐστι, σιωπᾶται ὁ βίος τῶν μὴ ἀγωνιόντων ἐν τοῖς ἀγῶσιν ἀνδρῶν. Χρύσιππος δὲ, σεσημείωται, φησὶν, ὁ τόπος διὰ τὴν φράσιν. τὸ γὰρ ἐναντίον βούλεται εἰπεῖν. τῶν ἀπειράτων καὶ ἀπράκτων ἄγνωστοί εἰσιν αἱ λαλιαί, ὅ ἐστιν, ἂν τις μὴ πειραθῇ πραγμάτων καὶ παθῶν, οὗτος ἀλλοῖος γίνεται. γελοίως.

52. Ἔστ δ' ἀφάνεια τύχας] τὸ ἐξῆς οὕτως ἐστὶ δὲ τὸ τῆς ἐκδάσεως τέλος τῶν μαχομένων ἀτελὲς, πρὶν ἐπὶ τὸ τέλος καὶ ἄκρον, τὴν νίκην, παραγινέσθαι, ὅ ἐστι, νικῆσαι. πολλάκις γὰρ τούτων τι πάσχουσιν ἡ τύχη δίδωσι τὴν νίκην καὶ ἥττας. ὁ δὲ νοῦς αὐτοῦ πρὸς τοῦτο παρείληπται. οἱ σοὶ πρόγονοι διηνεκῶς διετέλουν ἱπποτροφοῦντες. καί τοι, τῆς κατὰ τὸν ἀγῶνα τύχης ἄδηλον ἐχούσης τὴν ἔκδασιν, ὅταν καὶ ἐν ἄλλοις· " πρὸς " ἔργον κινδύνῳ κεχαλασμένοι" (Ol. v. 36.) Ἄλλως. καὶ αὐτοῖς τοῖς ἀγωνιζομένοις ὃ δή ποτε ἀγώνισμα ἀφανὲς ἐστι καὶ ἀπερόρατον τὸ ἐκ τῆς τύχης ἀποβησόμενον, πρὶν τὸ τέλος γενέσθαι, πότερον νικήσουσιν ἢ οὔ. τὸ δὲ σαφὲς οὕτω· ἔστι δὲ καὶ τῶν μετὰ πόλεμον μαχομένων τῆς τύχης ἀφανὴς ἡ ἔκδασις, πρὶν τὸ τέλος περιγενέσθαι.

* Fragm. Inus. Ἰδοῦσα δ' Ἰνοῦς.

ἄλλα γὰρ ἄλλοις ἡ τύχη δίδωσι. 56. καὶ πολλάκις τὸν κρείττονα τῇ τύχῃ ὑπὸ τῶν χειρόνων τοῦ δίκαιος ἀποσφαλῆναι εἰσαῦθις. τὸ δὲ καταμάρψαι, ἀντὶ τοῦ, καταμαρφθῆναι. προσεπισφραγίζεται οὖν διὰ τούτων, ὅτι πολλάκις καὶ τύχη τὸν κρείττονα ὑπὸ τοῦ ἥττονος ἡττῆσι καταγωνισθῆναι τύχῃ. τὸ δὲ τύχῃ νῦν ἀντὶ τοῦ δόλῳ καὶ μηχανῇ εἶπε.

58. Ἶφι μὰν Αἴαντος ἀλκὰν] τὸ, ταμὸν, πρὸς τὴν ἀλκὴν λῆστον. τὸ δὲ ὑψίῳ ἰν νυκτὶ, τριχῶς νοεῖται. ἢ γὰρ τὴν ὑψίαν τῆς ἡμέρας· ὅτι γὰρ ὑψὶ τῆς ἡμέρας ἐστὶ, τότε ἀρχὴ τῆς νυκτὸς ἀφ' ἑσπέρας· ἢ κατὰ τὸ ὑψὶ τῆς νυκτὸς, οἷον τὸ μεσονύκτιον. μετὰ τὴν ὑψίαν ἄραν τῆς νυκτός. ὅτι ἅλον ἅμοιον εἶναι τῷ, ἰν νυκτὸς ἀμολγῷ, ὅτι ἀμίλγουσι περὶ ἑσπέρας. ἢ τὸ πρὸς ἕω, ὅτι ἐγὶ τῆς νυκτὸς ὑψὶ πρὸ τοῦ ὄρθρου. τοῖς δὲ τὸν ὄρθρον ἀκούουσι, καὶ τὰ ἀπὸ τῆς ἱστορίας συνᾴδει. ὁ γὰρ τὴν Αἰθιοπίδα γεράφων, περὶ τὸν ὄρθρον φησὶ τὸν Αἴαντα ἑαυτὸν ἀνιλεῖν. Ἀποροῦσιι δ' ἄν τις, πρὸς τί βλέπων, τὸν Αἴαντα προσῆκται; εἰ μὴ ἴσιν ὅτι βραχὺς ὢν ὁ Μίλισσος, τῶν ἀλαπαδνοτέρων, τὸ σῶμα μειζόνων, τίχῃ περιῆν, ὅπερ καὶ ὁ Αἴας ὑπὸ Ὀδυσσέως ἔπαθεν ἰν τῇ κρίσει τῶν ἄθλων καὶ ὅπλων, ἀφαιρηθεὶς τούτων, καὶ νικηθεὶς ὑπὸ τοῦ δολίου. ὁ δὲ Χρύσιππος, αἰνιγματωδῶς φησι προσῆχθαι τὴν περὶ Αἴαντος ἱστορίαν. ἄδηλον γὰρ, πότερον εἰς τὴν πάλην τείνει τὴν γινομένην παρὰ τοῦ νικηφόρου, ὅτι νίκησι δόλῳ, ἢ εἰς τὰ περὶ τὴν κρίσιν τῶν ὅπλων. ἄμεινον δέ φησιν, ὅτι καὶ ὡς ὁ Αἴας, μείζων ἂν κατὰ τὸν ἀγῶνα βασάζων τὸν Ὀδυσέα, δόλῳ παρ' αὐτοῦ ἐλείφθη, οὕτω καὶ ὁ Μίλισσος μείζων ὢν τὸν ἀνταγωνίσην τῇ τίχῃ ἐνίκησι. Χρύσιππος οὕτω φησίν· ἴσι Αἴαντα· ὃς μέγας ἦν, ἐνιδὼς τοῖς Ἕλλησι περιπτοίησι, τὴν καυσκερίσιαν αὐτῶν φανερὰν ποιήσας, ἐπεὶ προσιχαρίσαντο τῇ Ἀθηνᾷ. ὁ δὲ νοῦς· γινώσκειτι μὲν τὴν τοῦ Αἴαντος δύναμιν τὴν φυσίαν, καὶ πολεμικὴν, ἣν ἰν ὑψίᾳ περὶ τῷ ἑαυτοῦ ξίφι διατιμῶν καὶ διαφθείρας, οὐκ ὀλίγην μέμψιν ἴχει ἰν τοῖς Ἕλλησιν παισὶ τοῖς ἰν Τροίᾳ διαζιζηκόσιν.

63. Ἀλλ' Ὅμηρός του τιτίμακε] Χρύσιππος ἀμφίσολόν φησι τοῦτο εἶναι, πότερον ἐπ' Αἴαντος ἢ ἐπὶ Ὀδυσσέως λέγει. πάντοτι γὰρ ὁ Πίνδαρος τὸν Αἴαντα θαυμάζει. νῦν δὲ ὁ λόγος συνᾴδει Ὀδυσσεῖ. καὶ γὰρ τὸ λέγειν, ὃς αὐτοῦ πᾶσαν ἀρδώσας ἀρετὴν κατὰ ῥάζδον ἔφρασεν, ἐπ' Ὀδυσσέως συμφωνεῖ. ἐπεὶ καὶ μᾶλλον τῆς Ἰλιάδος ἡ Ὀδύσσια ῥαψῳδεῖται. καὶ ἡ Ἰλιὰς μὲν, πολλῶν καινὸν ἐγκωμίων· ἡ Ὀδύσσια δὲ, μόνου Ὀδυσσέως. καὶ οὐκ ἄν, Φίλων συσῆσαι τὸν κρείττονα ὑπὸ τοῦ ἥττονος ἡλαττούμενον διὰ τύχην καὶ τίχνην, τὸν Αἴαντα ἐγκωμιαζόμενον ὑπ' ἀγαγεῖν ἀφ' Ὁμήρου. τοῦτο γὰρ ἔλεγχον ἴζει τῷ ἐγκωμιαζομένῳ ὑπ' αὐτοῦ. κατὰ δὲ τοῦτον ὁ μὲν ἀλλὰ πείμενος ἴσαι διαπαλαιστής. ὁ δὲ λόγος, καίτις ἐλάττονα τὸν Ὀδυσσέα γενόμενον Ὅμηρος τετίμηκει. γελοίως. δύνανται γὰρ μάτην τὸ αὐτὸ ἄλεγον. καὶ γὰρ ταῦτα λέγων, ἐπὶ τῆς ἰδίας μάτης κρίσιως, καὶ ἐγκαλῶν μὰν ἴσαι τῷ ποιητῇ, Ὀδυσσέα δὲ ψέγων. Ἄλλως. παρέλκει, τίνα τετίμηκεν Ὅμηρος. νοητέον δὲ, ὅτι τὸν Ὀδυσσέα. ὁ γὰρ ἀλλὰ, χωρισμὸν ἔχει, παραπλησίως τῷ λόγῳ. ἀλλ' ὅμως χείρονα ὄντα τὸν Ὀδυσσέα, τετίμηκεν Ὅμηρος. ὁ δὲ νοῦς οὕτως· ἀλλ' Ὅμηρος τῇ ἑαυτοῦ ποιήσει τιμιώτατον ἀπεργάσατο τὸν Αἴαντα· ὅτις αὐτοῦ πᾶσαν ἀρετὴν τοῖς ἐγκωμίοις ἀνεῤῥάσας, κατὰ ῥαψῳδίαν, ἐξέφρασι Φιλων ἐκῶν συνθέτως, καὶ δέδωκε τοῖς μετὰ ταῦτα, ἰν παιδιαῖς, καὶ ὑμνῳδίαις, ᾄδειν τὴν Αἴαντος ἀρετήν. τὸ δὲ κατὰ ῥάζδον, οἱ μὲν, ἀντὶ τοῦ κατὰ ῥαψῳδίαν. οἷον· οὐκ ἰάσας χαμαὶ πεσεῖν, ἀντὶ πεσεῖν ὡς ἄγαλμα. καὶ κατὰ ῥάζδον ἴφρασι. τουτέστιν ἐῤῥαψῴδησεν. οἱ δὲ, οὐκ ἀκούουσι νῦν κατὰ ῥάζδον, ἐπεὶ μετὰ βακτηρίας οἱ ῥαψῳδοὶ τὰ ποιήματα ἀπήγγελλον, ἀλλὰ, κατὰ ῥάζδον, ἀντὶ τοῦ, κατὰ τίχος. τὸ δὲ ἀθύρειν, ἀντὶ τοῦ μίλπειν καὶ ὑμνῆν. ἢ οὕτω· τοῖς μετὰ ταῦτα ᾄδειν, ὅτι τῇ Θυμηδίᾳ καὶ ἡ ᾠδὴ ἔπεται. ἢ λοιπὸν ἀθύρειν, ἐπεισοδίοις ἀναῤῥάσει μίλπειν. ἢ μετὰ τοὺς εἰς Θεοὺς ὕμνους. καὶ γὰρ ἐν ἑστίᾳ φησὶν, " ἴδιστε καὶ Ὁμηρίδαι τὰ " πόλλ' ἀειδῇ." (Nem. ii. i.)

68. Τοῦτο γὰρ ἀθάνατον] τοῦτο γὰρ τὸ ἐγκώμιον ἀθάνατον καὶ πολυθρύλλητόν ἐστιν, ὅστις ἂν τις καλῶς εἴπῃ, ἐπί τι τὸν πολύπλαστον γῆν καὶ διὰ θαλάσσης διαπορεύεται τῶν καλῶν ἡ ἄσεστος ἀκοίς. τουτέστιν ὁ ὕμνος. ἢ οὕτω· τὸ ἐγκώμιόν, φησιν, ὃ ἂν ῥηθῇ φωνὴν ἔχον, ἴζεται πάντα καὶ πορεύεται, οὐκ ἐφ' ἑνὸς τόπου ἵστασι. Χρύσιππος ἴφη, αὐτὸ τὸ ποίημα τοῦ Ὁμήρου ἀθάνατον λίγειι, ἢ τὰς τῶν ἐμπεριεχομένων πράξεις τῷ ποιήματι.

73. Προφρόνων Μουσῶν] ἐπεὶ προαίρεσιν, τοῦτο γὰρ ἀθάνατον φωνὴν ἔχειν, ἐστὶν ἐγκειι εὐστικῶς, γίνεσθε καὶ ἡμῖν προφρόνων τῶν Μουσῶν εὐχεῖν. ὅτει ὑπ' ἐκείνου ἐκφωνήσασθαι τοῦ ποιήτ. ἵνα, παραπλησίως Ὁμήρῳ, τὸ μέλος ὑμνήσω. ἢ οὕτως· ἵζε προθύμων τῶν Μουσῶν τύχωμεν, ἐκείνου τὸν ποιητὴν, τουτέστι, τὸν τοιοῦτον ποιητὴν τῶν ἐγκωμίων ἀναφάναι καὶ τῷ τοῦ Μιλίσσου παγκρατίῳ· αὐτὸς γὰρ συνᾴδει καὶ τῇ τῶν στιφάνων εὐδοξίᾳ· ἐστέξιον αὐτῶν τῶν κατορθωμάτων ὄντα στέφανον.

77. Ἕρκει Τελισιάδα] οἱ μὲν οὕτως.

Μιλίσσῃ τῷ Τιλισιάδου βλαστήματι· ὡς ὄντος Τιλισιάδου πατρός· οἱ δὲ ἐν τῷ Ἱρνεῖ φάσκουσι, καὶ ἱστιφίρουσιν οὕτω· Τιλισιάδα τόλμα γὰρ εἶπώς. ὡς τοῦ Τιλισιάδου ἱκαγωνίου προγόνου γινομένου. ὁ δὲ νοῦς· τῷ γὰρ Τιλισιάδῃ τῇ προθυμίᾳ ὅμοιος ὤν, ἐν μὲν τοῖς πόνοις καὶ τοῖς ἀντικαγωνισταῖς τοιοῦτος ἦν τὴν τόλμαν, οἷοι οἱ λίοντες ἐν Θηρσίν. ἐν δὲ ταῖς μηχαναῖς, τεχνικὸς ὡς ἀλώπηξ. ἤτις καὶ τῶν ἀετῶν τὴν ἑρμὴν καὶ τὸν βαῖζον, δολερῶς ἀναπλισομένη, πολλάκις ἀνίκρουσιν. Ἄλλως· εἰκότως δὲ τόλμῃ, τὸν τῶν λεόντων θυμὸν ἐν τοῖς πόνοις θηρᾷ. καὶ τῇ μὲν τόλμῃ φησὶν αὐτὸν λέοντι θηριώντι ἐοικέναι, κατὰ δὲ τὴν μῆτιν, ἀλώπεκι. ἥτις ἀναπιλιμένη ὑφαίνει πρὸς τὸ ἑτοίμως ἀμύνεσθαι, ἰσχίει τὴν τοῦ ἀετοῦ ἑρμὴν, ὅταν ἱστιρμοῦ αὐτὴν βουλόμενος ἁρπάσαι. ἴσμι δὲ διδάσκειν αὐτοῦ τὸ πάλαισμα· ὡς χαμαὶ πιμπόνου, καὶ τὸν μείζονα τίχνῃ νικηπόνος. καὶ γὰρ ἡ ἀλώπηξ ὑφαίνει τοῖς ποσὶν ἀμύνεται, τὰ μὲν συλλαβομένη, τὰ δὲ ἀμύσσουσα.

81. Χρὴ δὲ πᾶν ἴρδοντ'] προσήκει δέ φησι πᾶσαν ἀναπνεύοντα μηχανὴν, ἔδεξο κατασῆσαι τὸν ἰχθρόν. τοῦτο δὲ λέγει, ὡς τοῦ νικηφόρου μηχανῇ νικήσαντος. τὸ δὲ ἀμαυρῶσαι, ἰλαττῶσαί ἤγιν. Ἡσίοδός φησι. "Ῥεῖα δέ μιν μαυροῦσι Διοί." (E. 325.) διὰ δὲ τούτων παρίστησιν, ὅτι κυλιστικὸς ἦν ὁ Μίλισσος, καὶ ἑαυτὸν ἐξυπτιάσας περιεγίνετο.

83. Οὐ γὰρ φόσιν Ὠαριωνίαν] τουτέστιν οὐχ' ὑπερμεγίθης ἦν, ἀλλὰ τοὐναντίον μιμητὴς καὶ ἰύτιλὴς κατὰ τὴν τοῦ σώματος ὄψιν. συμπαιστὴν δὲ κατὰ τοὺς ἀγῶνας, βαρύτατος. ὑπερμεγίθη γὰρ τὸν Ὠρίωνα ἱστοροῦσιν. Ἄλλως. οὐ γὰρ φύσιν Ὠαριωνίαν ἔλαχεν. ὁ γὰρ Ὠρίων, διαζόντος ἐπὶ ἀνδρείᾳ, ὡς καὶ Ὅμηρος· (Odyss. λ'. 308. 9.)

> Τοὺς δὲ μετ' εἰσορόωντα θρίψι ζείδωρος ἄρουρα,
> Καὶ πολὺ καλλίονας μετά γε κλυτὸν Ὠρίωνα.

καὶ πάλιν ὁ Πίνδαρος, βραχὺν εἶδὼς κατὰ τὸ σῶμα τὸν νικηφόρον τῇ ἑαυτοῦ τίχνῃ, τὸ ὑπερέχειν εὐσωματεῖν καὶ ἀνδρεῖον εἶναι βλάβην ὑπαινίττεται. ὅτι δὲ ὁ Ὠρίων, τοιοῦτος ὤν, τῶν ὑπὲρ ἑαυτὸν ἐσθύμησε, καὶ τὴν Ἄρτιμιν ἐπιχείρει βιάζεσθαι.

87. Καὶ τοι πόθ' Ἀνταίου] πάλιν ἐπίφορα ἀπολογίαν προσάπτει τὴν κατὰ Ἀνταῖον καὶ Ἡρακλέα. ὁ γὰρ Ἀνταῖος τὴν ἔρημον τῆς Λιβύης οἰκῶν, καὶ τὴν ἐρημίαν ἐφέδιον τῆς ἀπανθρωπίας ἰσχηκὼς, πάλῃ καταγωνιζόμενος τοὺς παριόντας ἀνῄρει. ὃν ἱστιὰς Ἡρακλῆς ἀπέκτεινε. τοῦτο γοῦν φησι· καὶ Ἡρακλῆς μικρὸς ὢν πρὸς σύγκρισιν τοῦ Ἀνταίου, ἦλθεν ἐπ' αὐτόν. εἶπεν οὐ μάτην, ἀλλ' ἐπεί τινες σύμμετρον εἶναι φασὶ τῷ σώματι. Ἡρόδωρος γοῦν ἐν Οἰδίποδί φησι τῶν ἄλλων αὐτὸν περιττεύειν, ὥστε τὸ ὅλον σῶμα πηχῶν εἶναι τεσσάρων καὶ πεδός. ὁ δὲ νοῦς· καί ποτε ἐς τοὺς τοῦ Ἀνταίου οἴκους ἐκ Θηβῶν, τὴν μὲν μορφὴν ἐς τὸ σῶμα βραχὺς, τὴν δὲ ψυχὴν ἀπαταμέχητος, παλαίσων ἦλθεν εἰς τὴν σιτοφόρον Λιβύην Ἡρακλῆς. Χρύσιππος ἀνυφάντριάν φησι τὴν Λιβύην εἶρηκε πυροφόρον. οὐ γὰρ πᾶσα τοιαύτη. μήποτε δὲ, ὅτι τῇ Αἰγύπτῳ παράκειται; ἤτις ἐστὶ πολύσπορος.

92. Κρανίοις ὄφρα ξίνων] ἴδιος τὸν Ἀνταῖον φησι τῶν ξίνων τῶν ἀποκτεινόντων τοῖς κρανίοις ἱρίφειν τὸν τοῦ Ποσειδῶνος ναόν. τοῦτο γὰρ ἱστορῶσι τὸν Θρᾶκα Διομήδην ποιεῖν. Βακχυλίδης δὲ, Εὔβοιον ἐπὶ τῶν Μαρσίππης * μητέρων. οἱ δὲ Οἰνόμαον, ὡς Σοφοκλῆς. "Ἄλλως. ὅπως ταῖς τῶν ἀναιρουμένων κιφαλαῖς τὸ αὐτόθι τοῦ Ποσειδῶνος τίμενος ἰμφράττοντα Ἀνταῖον ἰσίσχῃ. ἰδυτύχει γὰρ ἀπανθρωπίαν ἅμα καὶ εἰς Διοὺς ἀσέλγειαν. καὶ ἐπίσχων Ἡρακλῆς, μισθὸν τοῦ κατορθώματος τὴν εἰς Ὄλυμπον ἀνάβασιν ἰδίξατο. εἶτα παριεμβάσει τῶν Ἡρακλείων κατορθωμάτων τὸν λόγον ποιεῖται ὁ Πίνδαρος, καί φησιν ὅτι πάσης τῆς γῆς καὶ τῆς πολυθαθοῦς θαλάσσης ἀνερευνήσας καὶ κατιλκφὼς τὸ τέλος. θίναρ μὲν γὰρ κυρίως, τὸ κοῖλον τῆς χειρὸς, παρὰ τὸ θίνειν ἡμᾶς αὐτῷ καὶ τύπτειν. νῦν δὲ ἀπὸ τῆς κοιλότητος, ἐπὶ τοῦ πυθμένος ἴταξι. καὶ ταῖς ναυσὶ τὴν ὁδὸν καὶ τὴν πορείαν ἡμίρως ἐυπρατίσας, ἀπὸ ποινοῦ τὸ, εἰς Ὀλυμπίαν ἦλθε. ἐπεῖνος οὖν φησιν ἐξευρὼν τὸ πλάτος τῆς θαλάσσης, ἡμερώσας γῆν καὶ θάλασσαν, καὶ καθάρας ἀπὸ ληστῶν καὶ θηρίων, εἰς Ὄλυμπον ἀνῆλθ.

104. Τῷ μὲν Ἀλικτρᾶν ὕπιρθιν] Ἀλικτρίδις πύλαι ἐν Θήβαις, ἐφ' ὧν ἱερουργοῦσι Θηβαῖοι, τιμῶντες Ἡρακλέα, καὶ τοὺς ἐκ Μεγάρας τῆς Κρέοντος ἐκτὸ παῖδας αὐτῷ γιγονότας, κατὰ δὲ χόλον Ἥρας ἀναιρεθέντας ὑπ' αὐτοῦ μεμηνότος. Ἄλλως. Χρύσιππος πρὸς ταῖς καλουμέναις φησὶν Ἡλίκτραις πύλαις ἤκουσι τοῦ Ἀμφιτρύωνος, μετὰ ταῦτα, Ἡρακλῆς. (f. ἐφ') αἷς κατ' ἔτος Θηβαῖοι ἐναγίζουσί τι τοῖς παισὶ καὶ ἀγῶνας ἐπιταφίους ἄγουσι. τῷ μὲν οὖν Ἡρακλεῖ, φησὶν, αὖξομεν ἔντομα. ἔστιν φησὶν ἵμαυρα. τουτέστι τοῖς υἱοῖς αὐτοῦ συνιχῶς ἵμαυρα κατ' ἐνιαυτὸν αὔξομεν. οὐ γὰρ διὰ παντὸς λέγει. Χρύσιππος δὲ, ἐν περιφράσει τοὺς βωμοὺς αὐτοὺς στιφανώματα βωμῶν εἰρηκέναι. ἢ

* Μαρσίσσης.

κατὰ παραγωγὴν τίμια τὰ Νίμεα πάθ-
ματα. ὁ δὲ νοῦς οὕτω· τῷ μὲν οὖν Ἡρακλεῖ
τῶν Ἠλιτηρίδων πυλῶν ὑπεράνω τὴν Θυσίαν
παρίχοντες οἱ πολῖται, ᾗ τὰ παρὰ τίμιμα
τῶν βωμῶν, αὔξομεν τὰς θυσίας τῶν πο-
λεμικῶν ἐπὶ θανόντων αὐτῷ παίδων.
οὓς ἡ Μίγαρα, ἡ Κρέοντος Θυγάτηρ, ἔτι-
κεν. χαλκοβῶν δὲ εἶπεν, ὡς βαιωθεισῶν
γεγαμένων τῶν τοῦ Ἡρακλέους παίδων. καὶ
ὅτι ἐκτὸς φησιν αὐτοὺς εἶναι. Ἄλλως.
περὶ τῶν Ἡρακλέους ἐκ Μεγάρας παίδων
Δουσιμαχός φησί τινας ἱστορεῖν, μὴ ὑπὸ
Ἡρακλέους, ἀλλ' ὑπό τινων δολοφονηθῆναι
ξένων. οἱ δὲ, Δύκου τὸν βασιλέα φασὶν αὐ-
τοὺς φονεῦσαι. Σωφράτης δὲ, ὑπὸ Λυγίου
φησὶν αὐτοὺς δολοφονηθῆναι. καὶ περὶ τοῦ
ἀριθμοῦ δὲ διαλλάττουσι. Διονύσιος μὲν ἐν
πρώτῳ κύκλων, Θηρίμαχον καὶ Δηϊκόοντα.
Εὐριπίδης δὲ, πρεσβύτατον αὐτῶν καὶ
Ἀριστόδημον. Αἰνίας * δὲ ὁ Ἀργεῖος, Θη-
ρίμαχον, Κρεοντιάδην, Δηϊκόοντα, Δηΐο-
πα. Φερεκύδης δὲ ἐν δευτέρῳ, Ἀντίμαχον,
Κλύμενον, Γλῆνον, Θηρίμαχον, Κρεοντιά-
δην· λέγων αὐτοὺς εἰς τὸ πῦρ ὑπὸ τοῦ πα-
τρὸς ἐμβεβλῆσθαι. Βάτος δὲ ἐν δευτέρῳ
Ἀστικῶν ἱστοριῶν, Πολύδωρον, Ἀνίππτον,
Μηνιγένην, Παγκρατίδαν, Τελέπλειτον, Μη-
νοβρέντην, Χερσίδιον. Ἡρόδωρος δὲ, καὶ δίς
φησι μανῆναι τὸν Ἡρακλέα· ἐκαθάρθη
δὲ ὑπὸ Σικάλου, ὅς φησι Μενεσράτης, λέ-
γων αὐτοῦ τοὺς υἱοὺς εἶναι ἐκεῖ, καὶ κα-
λεῖσθαι οὐχ Ἡρακλείδας, οὐδέπω γὰρ Ἡ-
ρακλῆς ὠνομάζετο, ἀλλ' Ἀλκαίδας.

110. Τοῖσιν ἐν δυσμαῖσιν αὐγαῖς] τοῦτό φη-
σιν ὡς περὶ τὴν ἑσπέραν τελουμένων τῶν νομί-
μων τοῖς Ἀλκαίδαις. διὸ ὅλης οὖν φησι νυκτὸς
τὴν πανσελήνου μίνυσιν, μίχρις ἀνατολῆς ἡλίου.
Ἄλλως. Ἴθος περὶ δυσμὰς ἱερουργεῖν τοῖς
ἥρωσι, κατὰ τὰς ἀνατολὰς τοῖς Θεοῖς. καὶ
συμβολικῶς ἐκάστῳ τὸ τῆς θυσίας πρός τι τὴν
αὔξησιν καὶ φθορὰν ἐκατέρως ἐφιλομάνην.
ὁ δὲ νοῦς οὕτω· τούτοις τοῖς Ἡρακλέους παισὶ,
τῶν ἡλιακῶν αὐγῶν κατὰ τὰς δυσμὰς,
ἢ τῶν Θεῶν † ἀναφαινομένη φλὲξ συνεχῶς
λάμπει διὰ πάσης τῆς νυκτὸς, τῷ κυπάττει
πανυχὶ λαμπίζουσα τὸν ἀέρα. σελαγεστέρα
δὲ κέχρηται μεταφορᾷ. ἐχρῆν γὰρ εἰπεῖν,
ψαύουσα ἢ διηγάπουσα τοῦ αἰθέρος ἡ κύπασ
τοῦ πανυοῦ. Ὅμηρος φησί· (Iliad. α'.
317.) " Κύπη δ' οὐρανὸν ἶκεν ἱλισσομένη
" περὶ πανυχίῃ."

114. Καὶ δεύτερον ἦμαρ ἐτείων ἀίθλων] μετὰ δὲ τὰς θυσίας φησὶ τῇ δευτέρᾳ ἡμέρᾳ,
τῶν ἐπιετείων ἀγωνισμάτων τὸ τέλος αὐ-
τοῖς συντελεῖσθαι. τοῦτο δὲ ἀνδρείας ἔργον.
τιλεῖσθαι γὰρ αὐτοῖς ἀγὼν τὰ Ἡράκλεια.
Ἄλλως. Ἀμφίσελον, ὕστερον μετὰ θυ-
σίαν ταῖς ἑξῆς ἡμέραις δύο ἆθλα ἄγων τῶν Ἡ-
ρακλείων συντελεῖται, τῇ μὲν πρωτίστῃ πύ-
ταθλος καὶ ἱππικὸς, τῇ δὲ ἐχομένῃ γυμνι-
κός· ἢ δεύτερον ἦμαρ, τὸ μετὰ τὴν θυσίαν.
ὡς τῇ ἱπποφοσύνῃ τοῦ ἀγῶνος ἀγομένου
τῇ ὑστεραίᾳ.

117. Ἔνθα λεοντωθὶς πάρα μύρτος] ἐν
ᾧ ἀγῶνι στεφανοῦνται τοῖς μύρτοις ὁ νικηφόρος
διπλῆν νίκην ἴσχυι, πρίτην παίδων κατὰ τὸν
φθάσαντα χρόνον ἀνυσχήσας, καὶ πεπθόμε-
νος τῇ τοῦ παιδοτρίβου ‡ γνώμῃ. τὸ δὲ μύρ-
τος, ὅτι μυρσίνης στέφανος ἐν Θήβαις στέφα-
νοῦνται οἱ νικῶντες τὰ Ἰολάεια. μυρσίνῃ γὰρ στεφανοῦνται διὰ τὸ εἶναι τῶν νεκρῶν
σίφος.

120. Τὴν τρίταν πρόσθιν, κυδιρατῆρος] πάσας αὐτῷ κατὰ τὸν ἱστιχόριον ἀγῶνα
τρεῖς δίδωσι νίκας. καί φησιν ὅτι μετὰ παί-
δων προαγωνισάμενος ἐνίκησεν. ἔσχε δὲ καὶ
ἑτέρας δύο κατὰ τὸν αὐτὸν ἀγῶνα μετὰ
ταῦτα. Ἄλλως. ὃς τρὶς αὐτοῦ τοῦτον
ἐστεφανωμένον τὸν ἱστιάφιον· δὶς μὲν ἐν παι-
σὶν, ἅπαξ δὲ, ὅτε ἐγένετο ἀνήρ. Χρύσιπ-
πος διασαφεῖ νῦν (123), ὅτι δεύτερον ἐνίκη-
σεν ἀκμάζ. (an ἄπηζος?) ἅπαξ δὲ παίδων
τὸν ἀγῶνα. τὸ τετρίταν πεῖται ἐκεῖ τῷ πρώ-
ταν (πρώτῳ). διὸ καὶ πρόσκεισαι τὸ πρόσθιν,
ὅτι πρώτου ἐνίκησε παίδας.

123. Σὺν Ὀρσίᾳ δί νιν] σὺν δὲ τῷ τιχ-
νικῷ Ὀρσίᾳ τὸν νικηφόρον ὑμνῶν καὶ χο-
ρεύων ἀνυμπόνως. τιρσηνὸν ἰγκωμίαν ἐκτιτά-
ζων τὴν παρὰ τῶν Μουσῶν χάριν. Ὀρσίας
δὲ, ὄνομα πύριον τοῦ ἁλίπτου.

* Δικαίας Valck. ad Theocr. p. 304. † deb. τῶν ἱερῶν. ‡ erat πρωτρίστου.

Carmen v.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πέμπτου τῶν Ἰσθμίων εἴδους.

Τ'ΗΣ πέμπτης τῶν Ἰσθμίων ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶ. Τὸ α' Πινδαρικὸν ἰγκωμιολογικόν. τὴν τελευταίαν συλλαβὴν μετατιθὶν εἰς τὴν πρώτην. Τὸ β' τροχαϊκὸν εἰς ἰαμβικὸν καταλῆγον. Τὸ γ' τὸ αὐτὸ τῷ α'. Τὸ δ' πενθημιμερὲς δακτυλικόν. Τὸ ε' τὸ αὐτὸ τῷ α'. Τὸ ς' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ζ' τροχαϊκὸν ἐπίτριτον. Τὸ η' τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδῆς αὐτοῦ.

Ἡ ἐπῳδὴ κώλων ἐνδεκα. Τὸ α' τὸ αὐτὸ τῷ α' τῆς στροφῆς. Τὸ β' τροχαϊκὸν τρίμετρον καταληκτικὸν Ἀρχιλόχειον. Τὸ γ' Πινδαρικὸν ἐκ Σαπφικοῦ. Τὸ δ' πενθημιμερὲς δακτυλικόν. Τὸ ε' τροχαϊκὸν τρίμετρον εἰς ἰαμβικόν. Τὸ ς' τὸ αὐτὸ τῷ α' τῆς στροφῆς καὶ ἐπῳδῆς. Τὸ ζ' Πινδαρικὸν ἐκ Σαπφικοῦ. Τὸ η' πενθημιμερὲς δακτυλικόν. Τὸ θ' Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ ι' πενθημιμερές. Τὸ ια' πενθημιμερὲς ἰαμβικόν.

Φυλακίδᾳ Αἰγινήτῃ.] Ταύτην τὴν ᾠδὴν Ἡφαιστίων μετὰ τὴν ἐξῆς φησι γεγράφθαι τὴν "Θάλλοντος ἀνδρῶν" καὶ αὐτὴν Πυθίᾳ γέγραφθαι. ἐχρῆν οὖν καὶ πρωτοτάχθαι. καὶ γὰρ ἐν μὲν ἐκείνῃ (vi. 4) τὸν Φυλακίδαν ἅπαξ μόνον Ἰσθμιά φησι νικῆσαι. "ἐν Νεμέᾳ μὲν πρῶτον ὃ Ζεῦ τὸν "ἄωτον διξάμενοι στεφάνων. νῦν αὖτ' ἐν Ἰ- "σθμοῦ δισσόταν Νηρηΐδεσσί τι." ἵστα· "ἐν δὲ τρίτον" ὡς γὰρ πρῶτον καὶ ἅπαξ ἐν Νεμέᾳ νενικηκώς, (νῦν) ἐν Ἰσθμῷ, τρίτον εὔχεται ἐν Ὀλυμπίᾳ. διὰ δὲ ταύτης, δίς. "Τὸν δ' ἐν Ἰσθμῷ δισσὰ Θάλλοι' ἀρετὰ Φυλακίδα κεῖται" (v. 21.) διαπατῆσθαι δὲ τοὺς προτιθέντας φησὶ ταύτην· ἴσως ὅτι φησὶ, "δεύτερον "κρατῆρα μοισίων μελίων περάμενα." ὑπαλλαξὶν γὰρ, ταύτῃ δευτέραν ἐκείνην λέγων. τὸ δὲ οὐκ ἴχνι οὕτως, ἀλλὰ δευτέραν αὐτῷ κατασκευάζει ἐκείνην Νίμεια γεγεφθαι, καὶ Νεμεακὴν εἰς αὐτοὺς ᾠδὴν, (Nem. v.) ἧς ἡ ἀρχή· "Οὐκ ἀνδριαντοποιὸς εἰμὶ, "ὅστι·" ἥτις ἦν καὶ πρώτη, ὡς φανερὸν ἐκ τῶν ποιημάτων. προκατασκευάζοντες ἵνας, ὅτι Φυλακίδᾳ μόνῳ γεγράφθαι, φασὶ τὸν Πυθέαν μὴ νενικηκέναι Ἰσθμια, ὅς τι Ἰσθμιακὴν οὖσαν τὴν ᾠδὴν μὴ ἀναγεγράφθαι κἀκείνῳ. Νίμεια γὰρ κἀκεῖνος ἐνίκησεν, ὥσπερ ὁ Φυλακίδας. λανθάνει δὲ αὐτούς. ἐν γὰρ τῇ γεγραμμένῃ πρώτῃ ᾠδῇ, ὡς οἰκείῳ αὐτῷ ἱστορεῖ, ὅτι καὶ ὁ Πυθέας Ἰσθμια ἐνίκησε. λέγει δὲ ἤδη τετελευτηκότα τὸν Πυθέαν· "Κεῖ μοι τίν' ἄνδρα τῶν θανόν- "των," καὶ τὰ ἑξῆς. (?) τὸ μὲν οὖν πρώτως τετάχθαι τῆς "Μᾶτερ ἀιλίου" τὴν "Θάλλοντος ἀνδρῶν" ὑγιές. οὐκ αἰτιατέον δὲ τοὺς διατάξαντας τὸν Πίνδαρον. οὐ γὰρ κατὰ χρόνους συνίστασσον αὐτὸν, ἀλλὰ κατὰ τὰ εἴδη. Ἄλλως. Καλλίστρατος Φυλακίδᾳ μόνῳ γεγράφθαι φησί. συμπεριλῆφθαι δὲ ἕξωθεν τὴν τοῦ Πυθέου νίκην. καθάπερ καὶ ἐν τῇ μετὰ ταύτην τὴν Εὐθυμένους, ὄντος αὐτῶν συγγενοῦς.

1. Μᾶτερ Ἀιλίου πολυώνυμε Θεία] ἀκολούθως τῇ Ἡσιόδῳ. καὶ γὰρ ἐκεῖνος Ἡλίου μητέρα τὴν Θείαν γενεαλογεῖ· (S'. 371. 4.) "Θεία δ' Ἠέλιόν * τέκε μέγαν, "λαμπράν τε Σελήνην Γείναθ' ὑποδμη- "θεῖσ' Ὑπερίονος ἐν φιλότητι." Ἄλλως. Θείας γενεαλογοῦσι τὸν Ἥλιον, διὰ τὸ τῆς θείας καὶ τῆς ὄψεως ἡμῶν αἴτιον εἶναι. ὁμωνύμως τῷ περὶ τὴν ὄψιν πάθει. καλὰ καὶ τὸν ἔρωτα καὶ τὴν ἐλπίδα. εἰσὶ δὲ, οἳ ἀπὸ τοῦ θεῖν αὐτὴν φασὶν ὀνοματοποιεῖσθαι. ἐφορᾷ γὰρ ὁ ἥλιος ἀεί. ἀφ' οὗ λίγου καὶ

* Leg. Θείη δ' Ἠέλιόν τε μέγαν.

τὸν πατέρα Τιτρίσια, διὰ τὸ ὑπὲρ ἡμᾶς εἶναι.

2. Σοῦγ' ἔπαται καὶ μιγασθινῆ] Ἴσμεν φιλόχρυσον ὄντα πανταχοῦ τὸν Πίνδαρον. κἀνταῦθα οὖν τὸν ἑαυτοῦ φιλάργυρον προαίρεσιν τιμηρεῖ, τὸν πλοῦτον ἐγκωμιάζων, καὶ ὑπαινιττόμενος, ὡς προσήκει τοὺς ἐγκωμιαζομένους χρυσῷ ἀμείβεσθαι τὸν Πίνδαρον. Ἄλλως. ἐκ Θείας καὶ Τιτρίσιος, Ἥλιος· ἐκ δὲ Ἡλίου, ὁ Χρυσός. ἐπάγει δὲ τῶν ἀρίστων ὕλη τις ἀνάγεται. Ἡλίᾳ μὲν ὁ χρυσός· Σελήνῃ δὲ ὁ ἄργυρος· Ἄρει, σίδηρος· Κρόνῳ, μόλιβδος· Διΐ, ἤλεκτρος· Ἑρμῇ, κασσίτερος· Ἀφροδίτῃ, χαλκός. τὸ δὲ σαφὲς οὕτω· πολυώνυμοι καὶ τιμία Θεία, σοῦ χάριν καὶ ἄγαν ἰσχυρὸν τὸν χρυσὸν ἐνόμισαν οἱ ἄνθρωποι, περισσῶς τῶν ἄλλων κτημάτων. καὶ γὰρ ἐν θαλάσσῃ νῆες ἁμιλλώμεναι, οἱονεὶ ἐμπορευόμεναι, καὶ ὑπὸ ταῖς ἄρμασιν ἵπποι, καὶ πάλιν κατὰ ποινοῦ διαμιλλώμενοι, διὰ τὴν σὴν ὦ δίστοινα τιμὴν, τὸν χρυσὸν, ταῖς κατὰ θάλασσαν ἁμίλλαις θαυμασοὶ καὶ ἔνδοξοι γίνονται. καὶ ἐν τοῖς ἀγωνιστικοῖς ἄθλοις ἑκάστων δόξαν ἰσχύπασι, ταῖς χερσὶν ἀγωνισάμενοι καὶ πυκνηπότης, ἐάν τινα πλίξῃσι φέρανοι ἀναφίψωσι κατὰ τὰς κόμας. νικήσαντα δὲ, ἢ χερσὶν ἢ ποδῶν ταχυτῆτι. Ἄλλως. ἐνομίσαμεν, σοῦ φησιν εἵνεκα, ὦ Θεία, καὶ τὸν χρυσὸν τετιμήκαμεν, καὶ πᾶν καὶ ἴσταν δρόμους ἐθισάμεθα. εἰ μὴ ἐθιώμεθα ταῦτα, βύκ ἂν ἐτιθήτιμεν.

9. Ἔν τ' ἀγωνίοις] τοῦτο οἰκείως ἐπὶ τῶν ἵππων καὶ τῶν ἁρμάτων. ἐπάγει δὲ, καλὸς ἔπραξεν. ἔθος γὰρ Πινδάρῳ, ἀπὸ πλεθυντικοῦ εἰς ἑνικὸν ἀποστίπτειν ἀριθμόν.

13. Κρίνεται δ' ἀλκὰ] πρόσεισι δύναμις, διὰ τοὺς Θεούς. Ἄλλως. ἅτοι δοκιμάζεται, ἢ χωρίζεται ἡ τῶν ἀνδρῶν ἀλκὴ, τῇ τῶν Θεῶν εὐμενίᾳ.

14. Δύο δέ τοι ζωᾶς ἄκοντ] τὸ εὖ πάσχειν, καὶ τὸ, λέγων ἀκούειν, δύο ὄντα, τειμαίνουσι καὶ παραθάλπουσι τὸν ἀνίλκιστον, τῆς ζωῆς ἄκοντον, τουτέστι τὸν δυσίλκιστον, ὡς ἀπρόσκοπτον, τὸν κακοπρόσκοπτον. γεάφουσι δὲ ἔνιοι τὸν ἄλπιστον, τουτέστι, τὸν ἥδιστον ᾧ προσηνίσκατον. ταύτῃ δὲ τῇ γραφῇ ᾧ τὰ τῆς ἀντιγεάφου συνῳδεῖ. ὁ δὲ νοῦς οὕτω· δύο δὲ μόνα τῆς ζωῆς πάλλιστα ἀκουσθίσματα συγχάνει. ἃ ᾧ μόνα τειμαίνει τὸν εἰκτρὸν τῶν ἀνθρώπων βίον ἀνθηρᾷ σὺν εὐδαιμονίᾳ. εἴ τις καλῶς πάσχων καὶ ἀγαθῶν ἀνυμνητὴς ἀκούει λόγων. ἤτοι δὲ καθολικώτερος ὁ λόγος πρὸς τοὺς τρῶτι τὴν ψυχὴν ἔχοντας, ἢ πρὸς τὸν νικηφόρον ὡς εὐδαιμονοῦντα καὶ ἐγκωμιαζόμενον.

18. Μὴ μάστιν Ζεὺς γενίσθαι] ὅτι ἀκαταλλήλως ἐκίζιυξεν. ἔμπροσθεν γὰρ, περί τινος ὁ λόγος· εἴ τις εὖ πάσχοι, φησὶν. εἶτα ὡς πρός τινα ποιούμενος τὸν λόγον, φησὶ, μὴ μάστιν Ζεὺς γενίσθαι. ἀσύχρη γάρ σοι τῆς εὐδαιμονίας τὸ μίγιθος, ἐάν σε τούτων τῶν καλῶν μερίς τις καταλάβῃ· ταῖς γὰρ φθαρτοῖς ἰφάμιλλα τῇ φύσει προσήκει καὶ τὰ τῆς εὐδαιμονίας παρεῖναι.

21. Τὶν δ' ἐν Ἰσθμῷ] σοὶ δὲ ἐν τῷ Ἰσθμῷ διαλῇ θάλλυσα, ὦ Φυλακίδα, ἀρετὰ εὐδόξως ἀνάκειται. ἐν δὲ τῇ Νεμέᾳ ἀμφοτέρας (leg. ἀμφοτέραις) ὑμῖν· σοί τε καὶ τῷ Πυθέᾳ παγκρατίου. ἀπὸ ποινοῦ ἀρετὰ ἀνάκειται. ἡ δὲ ἐμὴ ψυχὴ γιάταί, φησι, τῶν ἐγκωμίων, οὐκ ἄπιν τῆς τῶν Αἰακιδῶν μνήμης. Αἰγινῆται γὰρ ἀμφότεροι. οἶσι, ἐστιτνίοισί μοι οἱ Αἰακίδαι εἰς τὸ ὑμνεῖν ὑμᾶς. Αἰγινῆται γὰρ οἱ περὶ τὸν Φυλακίδαν. ἡ οὗτος· οὐ χωρὶς τοῦ τοὺς Αἰακίδας συμπεριλαμβάνειν τοῖς ὑμετέροις ὕμνοις ὑμνῶ ὑμᾶς, ἀλλὰ μεθ' ὑμῶν πρωτίνους ὑμνῶ. σὺν γὰρ ταῖς μουσικαῖς χάρισι παρεγινόμην καὶ σὺν τοῖς τοῦ Λάμπωνος υἱοῖς, εἰς ταύτην τὴν εὐνομον πόλιν Αἴγιναν. ἀπὸ ποινοῦ δὲ, τὸ σὺν χάρισι καὶ Δάμπωνος υἱοῖς.

28. Εἰ δὲ στίφανται] τὸν λόγον πρὸς ἑαυτὸν ἀποστίνισι ὁ Πίνδαρος. εἰ δὲ τοῦτον ὁ βίος καθορᾷ εἰς ὕδὼν καθαρωτάτην θείων ἔργων, μὴ φθόνει τὸν ἀντὶ τῶν πόνων καὶ πατορθωμάτων προσήκοντα τῇ φδῇ ὕμνον ἀναπειρᾶν καὶ λίγειν. οἷον μὴ φθόνει αὐτῷ ἐν τῷ ἑαυτοῦ ἐπαινεῖσθαι καὶ ἀπολαμβάνειν τοὺς ἐξ ἐπαίνων κόμπους, ἀνθ' ὧν ἔπόνησε.

32. Καὶ γὰρ ἡρώων ἀγαθοὶ] καὶ γὰρ τῶν ἡρώων οἱ ἀγαθοὶ καὶ ἀνδρεῖοι τὸν ἐγκωμιαστικὸν λόγον καὶ μισὲ τὸν θάνατον παρὰ τῶν ποιητῶν ἐκέρδαινον. ὑμνοῦνται δὲ πάντα τὸν χρόνον ἐν τι πιθέρᾳ καὶ αἰλῷ ταῖς ποικίλαις συμφωνίαις διὰ παντὸς τοῦ χρόνου.

36. Μελίσαι δὲ σοφισταῖς] σοφιστὰς μὲν ᾧ σοφοὺς ἔλιγον τοὺς ποιητάς. Σοφοκλῆς. (Fr. p. 739. f.) "Μὶν' εἰς σοφιστὴν ἰμόν." ὁ δὲ νοῦς· τοῖς δὲ σοφοῖς ἀνδρισάμενοι παρέσχοντο τὴν τῶν ἐγκωμίων φροντίδα. καὶ, διὰ τὴν τοῦ Διὸς γνώμην τιμώμενοι, τύνδε τὴν ἐγκωμίων φροντίδα καὶ σύνθεσιν. τὸ γὰρ σιζιζόμενοι, ἀντὶ τοῦ θαυμαζόμενοι, τιμώμενοι, σιζόμενοι. καὶ, τὸ τοὺς Θεοὺς δὲ σίζεσθαι, θαυμάζειν ἐστίν. Ὅμηρος· (Odyss. γ'. 123.) "Σίζας μ' ἔχει εἰσορόωντα." ἀντὶ τοῦ, ἔκπληξις.

38. Ἐν μὲν Αἰτωλῶν θυσίαισι] ἐν ταῖς πανηγύρεσι ταῖς ἐπιδήξας καὶ λαμπρᾶς οἱ τοῦ Οἰνέως παῖδες ἀνυμνοῦνται οἱ ἰσχυροί. ἐν δὲ ταῖς Θήβαις ὁ ἐπτακώτατος Ἰόλαος τιμὴν ἔχει. ὁ δὲ Περσεὺς ἐν Ἄργει. τοῦ δὲ Κάστορος καὶ Πολυδεύκους ἡ αἰχμὴ, ἐπὶ ταῖς Εὐρώτου ῥεύμασι. πάλιν ἀπὸ ποινοῦ τὸ, γέρας ἔχει.

44. Ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες] τὸν-

ἴσιν, ἐν τῇ Αἰγίνῃ. οὕτω γὰρ τὸ πρότερον ἐκαλεῖτο πρὶν ὑπὸ Διὸς Αἴγιναν τὴν Ἀσωποῦ τοῦ Βοιωτικοῦ ποταμοῦ θυγατέρα αὐτόθι ἐνοικισθῆναι. ὁ δὲ νοῦς· ἀλλ' ἐν τῇ Αἰγίνῃ οἱ μεγαλόψυχοι καὶ ἀνδρεῖοι τρόποι τῶν Αἰακοῦ παίδων ἀνυμνοῦνται, καὶ τιμιώτατοι τυγχάνουσιν, οἵ τινες ταῖς ἑαυτῶν συμμαχίαις τὴν τῶν Τρώων ἐπόρθησαν πόλιν. τὸ μὲν πρότερον συστρατεύσαντες Ἡρακλεῖ, διὰ τὴν Λαομέδοντος ἀδικίαν, ὡς καὶ Ὅμηρος ἱστορεῖ λέγων· Iliad. ε'. 640)

"Ὅς ποτε δεύτ' ἰλιόθεν ἴκτην' ἄπτων Λαομέδοντος.

τὸ δὲ δεύτερον, σὺν Ἀτρεΐδαις. πάλιν δὲ τῷ συλληπτικῷ τρόπῳ κέχρηται. οὐ γὰρ αὐτοὶ δὶς ἐπόρθησαν τὴν Ἴλιον, ἀλλὰ Τελαμὼν μὲν σὺν Ἡρακλεῖ, Νεοπτόλεμος δὲ σὺν Ἀτρεΐδαις. τὸ δὲ ἑκατέρῳ συμβὰν, λαβὼν εἷς ἐν ἔφη.

48. "Ελα νῦν μοι πειθόθεν] ἴλα νῦν, ὦ Μοῦσα, ἵν' εὐθείας ὁδῷ, καὶ δι' ἀμαλοῦ. τοῦτο γὰρ τὸ πειθόθεν. σά σι τούτων ἰαμάτων ἐξ ἀρχῆς ἀνύμνησεν. ᾧ λέγε, τίνες τὸν Κύκνον, καὶ τὸν Ἕκτορα ἀπέλυσαν, καὶ τὸν τῶν Αἰθιόπων ἡγεμόνα Μέμνονα τὸν τῷ χαλκῷ τοῖς ἐναντίοις προσομιλοῦντα, ἤτοι τὸν πολλοὺς χαλκῷ ἀνιλόντα, ἢ τὸν ὑπὸ χαλκοῦ βλαβέντα. ἐκάτερον γὰρ παρὰ τὴν ἀρήν*. τίς δὲ τὸν ἀνδρεῖον Τήλιφον ἔτρωσε τῷ ἑαυτοῦ δόρατι, τοῦ τῆς Μυσίας ποταμοῦ Καΐκου παρὰ τὰς ὄχθας; εἶτα κατὰ ἀκόλουθον ὁ λόγος. οὗτοι τάδε καὶ τάδε ἔπραξαν, οἷς ὁ λόγος τὴν Αἴγιναν πατρίδα δίδωσιν. "Αλλως. πρὸς τὴν Μοῦσαν ὁ λόγος. λέγε μοι τὰ περὶ αὐτούς, φησιν, ἐκ ῥιζῶν. ἢ ἴλα κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν νεῶν, πρόκυρ εἰς τοὔμπροσθεν, ἀρξάμενος ἄνωθεν, καὶ ἐξ ἀρχῆς λέγε, τίνες εἰσὶν οἱ ἀνελόντος Κύκνου, "Εκτορα, Μέμνονα. δῆλον δὲ, ὡς ἐξ τῶν Αἰακιδῶν Ἀχιλλεύς.

55. Τοῖσιν Αἴγινα πρωθήρεϊ γόμε] τουτέστι τοῖς πρωτεραιωθεῖσι. κατὰ ἀπόδοσιν δὲ ὁ λόγος· οὗτοι τάδε καὶ τάδε ἔπραξαν, οἷς ὁ λόγος τὴν Αἴγιναν πατρίδα δίδωσιν. ὁ δὲ βούλεται λέγειν, τοιοῦτόν ἐστιν· εἴτις ἐρωτήσειεν αὐτοὺς, τίνες εἰσὶν οἱ τὰ πρωτείμενα διαπεπραγμένοι, πάντες ἂν εἴποιεν, ὅτι οἱ ἀπὸ Αἰγίνης.

56. Τετιέχεσαι δὲ πάλαι πύργος] κατεσκεύασαι δὲ ἐν πολλοῦ ταῖς τῶν Αἰακιδῶν ἀρεταῖς πύργος ὑψηλότατος τῷ ὄντι, ἀναβαίνειν καὶ ὑψοῦσθαι, ἐφ' ὅσον βούλεται. "Αλλως. τετεύχεσαι εἰσὶ περὶ τοὺς Αἰακίδας ἀρεταὶ, ὥστε πύργον ἐξ αὐτῶν οἰκοδομεῖσθαι. ἀλληγορεῖ δὲ ὡς ἐπὶ τούτων πρότερον. διὸ καὶ τεῖχος ὑψηλὸν εἶπε. Σίλλι δὲ εἰσιν, ὅτι ὑφίστηκεν αὐτοῖς ἡ εὐδοξία, ὥστε διὰ τῆς ἀρετῆς ἐπ' αὐτὴν ἀναβαίνειν. οἷον ὑψοῦται αὐτῶν ἡ ἀρετὴ, ὥσπερ τεῖχος. οὗτος γὰρ τὴν αὔξησιν, πύργον καὶ τεῖχος εἶωθε λέγειν, ἀφ' οὗ πυργοῦν τὸ αὔξειν καὶ ὑψοῦν, λέγεται.

58. Πολλὰ μὲν ἀρτιπὰς γλῶσσά μοι τεξεύματα] τεξεύματα μεταφορικῶς λέγει τοὺς ἐγκωμιαστικοὺς λόγους, ὡς καὶ ἐν ἄλλοις· (Olymp. ii. 149) " Πολλά μοι ὑπ' " ἀγκῶνος ὠκέα βέλη."

60. Καὶ νῦν ἐν Ἄρει] ἤτοι τῷ Πιλοστονησιακῷ πολίμῳ. ἤκμαζε γὰρ κατὰ τὴν τούτων νίκην· ἢ ὅτι μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν προσφάτως γιγνημένην ἐγράφη οὗτος ὁ ἐπινίκιος. ὁ δὲ νοῦς τοιοῦτος· καὶ ἐπὶ τοῦ παρόντος (ἐν) τῷ πολυφθόρῳ πολίμῳ τῇ τῶν Αἰγινητῶν ἀρετῇ μαρτυρήσειεν ἂν ἡ Σάλαμις, ἀνορθωθεῖσα τῶν κινδύνων, τοῖς Αἰγινήταις κατὰ τὴν ναυμαχίαν ἀριστεύσασιν. ἰμβαλόντων γὰρ τῶν Περσῶν τῇ Σαλαμῖνι, συμμαχήσαντες οἱ Αἰγινῆται ᾗ κατορθώσαντες, τὸ πλεῖον τοῦ πολίμου κατειργάσαντο. ἢ οὕτω· καὶ γὰρ ἐν τῷ "Αρει, ᾗ τῷ χαλκοζήνῃ Διὸς ὄμβρῳ, ᾗ τῷ πολυφθόρῳ τῶν ἀναρίθμων ἀνδρῶν φόνῳ, μαρτυρήσειεν ἡ πόλις τοῦ Αἴαντος Σαλαμὶς ἠρθωθεῖσα ὑπὸ τῶν ναυτῶν Αἰγινητῶν· νησιῶται γάρ.

63. Ἐν πολυφθόρῳ, Σαλαμὶς, Διὸς ὄμβρῳ] ὄμβρον μὲν τὸν πόλιμον εἴρηκεν, οἷον, τὸν ὑπὸ τοῦ Διοῦ κατακιμφθέντα, διὰ τὸ τῆς βαρβαρικῆς τραπέζης πλῆθος. ὑπαινίττεται τὴν περὶ Σαλαμῖνα ναυμαχίαν τῶν Ἑλλήνων, ἧς ἔλαβον τὰ ἀριστεῖα οἱ Αἰγινῆται. καθά φησιν Ἡρόδοτός τε καὶ Ἔφορος. ὁ δὲ νοῦς· ἐν ᾧ, ἐν τῷ πολυφθόρῳ πολίμῳ, τὸ τῶν πεπτωκότων πλῆθος ἰσάριθμον ἦν τῷ χαλκοζήνῃ Διὸς ὄμβρῳ.

65. Ἀλλ' ὅμως πεύχημα κατάβρεχε σιγᾷ] ἀλλ' ὅμως, εἰ καὶ τηλικαῦτα εἰσὶ τῶν Αἰγινητῶν τὰ κατορθώματα, βρέχε καὶ ἐπικάλυπτε τῇ σιωπῇ, διὰ τὸν ἔξωθεν φθόνον. ὁ γὰρ δὴ Ζεὺς τὰ πάντα τοῖς ἀνθρώποις ἀκονίμει, καὶ τὰ φαῦλα καὶ τὰ ἀγαθά.

67. Ἐν δ' ἑρατινῷ μίλιτι] ἦναι οὕτως· ἐν τοιούτῳ μίλιτι γὰρ καὶ ἀδοντῇ ὄντες, καὶ τιμῇ τοιαύτῃ, τὸ ἐπινίκιον χάρμα ἀγαπῶσιν, ὅ ἐστι, τὸν ὕμνον. ἢ οὕτως· αἱ τῶν νικηφόρων τιμαὶ τὴν ἐπινίκιον ᾠδὴν ἀγαπῶσιν ὡς μέλι καὶ φιλοῦσιν. οἷον, ὡς ἐν μέλιτι γλυκύτης ἐστὶν, οὕτω καὶ τοῖς νικῶσιν οἱ ἐπινίκιοι ᾠδαί. ἢ οὕτω· καὶ αἱ τοιαῖδε τιμαὶ, καίπερ ἐν μέλιτι οὖσαι, τουτέστιν ἡδύσουσαι, ὅμως ἀγαπῶσι τὸ καλλίνικον χάρμα, τουτέστι, τὴν ἐκ τῶν γεγραμμένων ἐπινικίων χαρὰν ἀγαπῶσι. τιμὰς γὰρ λέγει, τὰς ἐκ τῶν νικῶν περιγινομένας δόξας. ὁ δὲ νοῦς οὕτως· ἐν δὲ τοιαύτῃ τοῦ λόγου ἡδονῇ καὶ

* f. παρὰ τὸν Ἄρην.

τῇ τῶν πανηθυμάτων νίκῃ καὶ τιμῇ τὸ τῆς νίκης ἐγκώμιον ἀγαπητῶς καὶ οὐχ ὑπερφυῶς δίκαιον· καίτοι παρὰ αὐτοῖς βλαξοπύθοις ἐπὶ τῇ τῶν πανηθυμάτων τιμῇ.

70. Μαρράθι δέ τις ἔφυν] ὁ λόγος προτρεπτικός. ἀγωνίζεσθε, φησί, τις ἐν ἀγῶσι καὶ ἀντιχίζεσθε τῶν ἄθλων, τοῦ Κλεοπίνου τὸ γίνος ζηλώσας. Κλεόπινος δὲ πατὴρ ἦν τοῦ Δάμωνος· ὁ δὲ Δάμων, τοῦ Φυλαπίδα. .αἰδαμῶς γὰρ ἀπαπίερωται καὶ ἀφανὴς ἦν ὁ τῶν πολυχρονίων πόνων σταυδή.

73. Οὐδ' ἑστάσαι δαπάναι] Ἀρίσαρχος οὕτως· οὐδὲ ἑστάσαι δαπάναι αὐτοῖς ἐγεννήθησαν ἐπὶ τῶν ἐκδεδημηκότων ἐλπίδων τῶν περὶ τὸν νίκην, ἵνπερ τῇ φωνῇ· (ἐστί.) αὐδὲ ἐλπιόθην· ἀλλὰ τοὐναντίον ὕμνησε αὐτούς. ἵνα δὲ καταλληλότερον γράφωσι σὺν τῷ νῷ. (leg. τῷ νῦ ὅτιν.)

74. Ἔπαξ ὅτιν] ἢ ἐξ Πινδαρικὸν σχῆμα· οὐκ ἴσχυσαν αἱ δαπάναι, οὐδὲ μέχθος αὐτῶν στενόψωσαι, ἀλλὰ ἐξεδημησεν, καὶ ἴχυ καλὰ ἀποστιλίσματα, ὥστε εἶναι· οὐδὲ ἑστάσαι δαπάναι τὴν τῶν ἐλπίδων ὅτιν, στενίστι τὸ μέλλον ἑστάσει ἵστασθαι, ἵπτασαι καὶ ἐλπόπτασαι.

75. Αἰνέω καὶ Πυθέαν τὸ γυμνάδμαις] οὗτος ὁ Πυθέας ἱστορήσει τοῦ Φυλαπίδα. ἢ καὶ ἐμόνυμός τις τούτῳ. ἱστικῶ οὖν, φησι, καὶ τὸν ἀλείπτην αὐτοῦ, τὸν πόνον τοῖς γυμνάδμαις πονήσαντα τὸν τῶν πλειόνων βέρμον εὐθυτερῆσαι. πανηγυρικὸν γὰρ, διὰ εὐθυτέρου αἱ πλαγαί. ὅτου τὸν τῶν πλαγῶν ἑρμόν τι καὶ εὐουδὲν, πλαγῶν δέρμα φησίν, ἵνα λίγῃ τὸ πανηγυρόπαν συνιχεῖ γὰρ αἱ τῶν χειρῶν ἔξαρμάτις. τὸ γυμνάδμαις δὲ, τοῖς ἀθλητοῖς, τοῖς τὰ γοῦν τῇ γυμνασίᾳ πανταπονοῦσιν, ἢ τοῖς πανταπονοῦσι τὰ τῶν ἐναντίων γυῖα.

77. Χερσὶ δεξιὸν, νέφ ἀντίσαλος] τοιοῦτόν ἐστιν, ἵσα ἐστιν ἐγκάγματα ἔχοντα ἐν τῇ παλαίστρᾳ, καὶ τοῖς ἐναντίοις (?) τῶν χειρῶν. οἷον, καθ' ἑκάστην ἐστίαν ἐστάδιον.

78. Ἀφροδιτᾷ οἱ στέφανον] οἱ μὲν τὸν λόγον πρὸς τὴν Αἴγιναν φασὶν εἶναι· ἐπαδέχου αὐτῷ τὸν στέφανον. οἱ δὲ, πρὸς τὸν Μοῦσαν. καὶ στέφανον μὲν τὸν ἐπινίκιον λόγον. ἐμμαλλον δὲ μίτραν, τὸν ταινίαν τὸν ἐξ ἰρίου ξανθοῦ τοῖς στέρνοις (?) περιπλεκόμενον.

Carmen VI.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἕκτου τῶν Ἰσθμίων εἴδους.

Τοῦ ἕκτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ'. Τὸ α' ἰαμβέλεγος. Τὸ β' τροχαϊκὸν εἰς ἴαμβον καταλῆγον. Τὸ γ' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ δ' δακτυλικὸν ἡφθημιμερές. Τὸ ε' ἴαμβος δίμετρος ὑπερκατάληκτος. Τὸ ς' πενθημιμερὲς δακτυλικόν. Τὸ ζ' δίμετρον ἰαμβικὸν ἀκατάληκτον. μετὰ τοῦ ι' ἴσρηται. Τὸ η' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ θ' τροχαϊκὸν, ἰσίστροπον. Τὸ ι' τρίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ια' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. Τὸ ιβ' βακχιακόν. Τὸ ιγ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ια'. Τὸ α' ἐκ Σαπφικοῦ τοῦ ια' Πινδαρικὸν, ὅτου πενθή ἐστι. Τὸ β' ἰαμβέλεγος, τοῦ τέλους ὄντος τὸν δεκτὸν μετασυθίνου. Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' πενθημιμερές. Τὸ ε' Εὐριπίδιον. Τὸ ς' παρὰ τὸ Ἀρχιλόχειον Ἑρασμονίδη Χαρίλαε. ἔστι δὲ σαγματίμενον πεντεκαιδεκατος μιᾷ συλλαβῇ, καὶ Ὑφαλλικοῦ μεμιγμένου τοῦ Ὑφαλλικοῦ ἐν τροχαίῳ. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η' ἐγκωμιολογικόν. Τὸ θ' ἐγκωμιολογικὸν παρὰ συλλαβὴν μίαν τῷ πενθημιμερεῖ ἰαμβικοῦ. Τὸ ι', τὸ ια' Σαπφικόν.

Φυλαπίδᾳ, Πυθέᾳ, Εἰθυμένει.] Ποιοῦνται ὁ ἐπινίκιος οὗτος Φυλαπίδᾳ, καὶ Πυθέα

καὶ Εὐθυμένει, παγκρατιασταῖς, καὶ Νεμέᾳ. τῶν δὲ ῥηθέντων ὁ Εὐθυμένης οὗτος μητράδελφος ἦν.

1. Θάλλοντος ἀνδρῶν ὡς ὅτι συμποσίου] ὥσπερ ἀκμάζοντός, φησι, συμποσίου καὶ δύστηνον κρατῆρα, οὕτω καὶ ἡμεῖς τοῖς Λαμπόνος υἱοῖς, Θάλλουσι καὶ ἀκμάζουσιν αὐτοῖς, καὶ δύστηνον φήσομεν κροῦμα μουσικῶν ἐγκωμίων· τὸ δὲ Δάμπωνος ἰδέσθαι γαμβὰς, τουτέστι, ὑπὲρ τῶν κατορθωμάτων τοῦ Λάμπωνος.

4. Ἐν Νεμέᾳ μὲν πρῶτον ὦ Ζεῦ] διξάμενοί, φησι, τὸ ἄνθος τῶν στεφάνων ἐν Νεμέᾳ, σοὶ ὦ Ζεῦ πρῶτον κέρασμεν κρατῆρα. ὁ πρῶτος οὖν κρατὴρ, Διὸς Ὀλυμπίου· ὁ δεύτερος, Γῆς καὶ ἡρώων· ὁ τρίτος, Διὸς σωτῆρος. v. ad 10.

7. Νῦν αὖτ' ἐν Ἰσθμῷ] νῦν δὲ παήσαντος ἐν Ἰσθμῷ, τουτέστι τὰ Ἴσθμια, τοῦ πατρὸς Φυλακίδου, τῷ διστόνῳ αὐτοῦ Ποσειδῶνι καὶ ταῖς Νηρεΐσι κέρασμεν τὸν δεύτερον κρατῆρα.

10. Εἶτ' ἐπὶ τρίτον σωτῆρι πορσαίνοντας] ὁ λόγος εὐκτικός. εὔχεται δὲ τὸν τρίτον τῶν φίλων κρατῆρα κεράσαι, παήσαντος αὐτοῦ τὰ Ὀλύμπια. τὸν δὲ τρίτον κρατῆρα Διὸς σωτῆρος ἔλεγον. καθὰ καὶ Σοφοκλῆς ἐν Ναυτιλίᾳ· " Ζεῦ πανοίλυσσ, καὶ " Διὸς σωτηρίου σπονδὴ τρίτου κρατῆ- " ρος." τὸν μὲν γὰρ πρῶτον Διὸς Ὀλυμπίου ἐκέρων. τὸν δὲ δεύτερον ἡρώων. τὸν δὲ τρίτον Διὸς σωτῆρος. καθὰ καὶ Αἰσχύλος ἐν Ἐπιγόνοις· " Λοιδᾶς Διὸς μὲν πρῶτον " ὡραίου γάμου Ἥρας τε." εἶτα· " τὸν " δεύτερον γε πρᾶξιν ἥρωσι νέμω." εἶτα· " τρίτον, Διὸς σωτῆρος εὐκταίαν λίβα." Διὸς δὲ σωτῆρος ἔλεγον τὸν τρίτον, διὰ τὸ τοὺς σεσῶσι πίνοντας, σωθεροὺς γίνεσθαι· τοὺς δὲ μετὰ σεῦσιν, εἰς ἄστυ καὶ δημόσιον καὶ ἀσύλληπτον τρέπεσθαι. ἔλεγον δὲ αὐτὸν καὶ τέλειον, διὰ τὸ τέλειον εἶναι τὸν τρίτον ἀρεσθέντα, ἀρχὴν ἔχοντα, καὶ μέσον, καὶ τέλος. ὁ δὲ νοῦς· εἴη δὲ ἡμῖν καὶ τρίτον τῷ σωτῆρι καὶ Ὀλυμπίῳ Διὶ σῆσαι κρατῆρα, καὶ ταῖς ἡδείαις φδαῖς ἀνυμνεῖν τὴν Αἴγιναν. δύνασαι μὲν οὖν τοῦτο καὶ οὕτω· κατὰ Αἴγιναν σεσῶσθαι. δύνασαι δὲ καὶ τὸ ἐξῆς, κατασεσῶσθαι τὴν Αἴγιναν. χαρίεντως δὲ τὸ κατασεσῶσθαι, ὡς ἐπὶ κρατῆρος καὶ σπονδῆς, διὰ λόγου τροπικῶς ἐφυλάχθη. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· γέγονεν αὐτὸν καὶ Ὀλύμπια νικῆσαι.

14. Εἰ γάρ τις ἀνθρώπων] εἰ γάρ τίς φησι τῶν ἀνθρώπων καὶ ἐπὶ τὸ δυσπαῖν εἰς τὰ τοιαῦτα χαρεὶς, καὶ οὐχ' ὑποστειλάμενος δυσάπην, καὶ ἐπὶ τὸ πονεῖν τῷ ἰδίῳ σώματι, τουτέστι, καὶ φιλοπονήσας περάσσει τὰς Θεοδμήτους ἀρετὰς, ὅ ἐστι, ὑπὸ Θεῶν δεδαιμονισμένας, καὶ κατεσκευασμένας, ὁ Διΐ τι αὐτῷ συμφυτεύει δῶρον· πάντων φησὶ τούτων μετέχων, πρὸς ταῖς ἰσχναταῖς τοῦ ἔλκειν βάλλεται ἄγκυραν. οἷον, ὀρμίζει ἐπ' ἄκρον τῆς εὐδαιμονίας. ἔστι δὲ μὴ παβλωτέρῳ δύνασθαι πρὸς ἀθλῶν τῆς εἰς ἄνθρωπον πιστούσης εὐδαιμονίας. ὁ δὲ νοῦς· εἰ γάρ τις ἀνθρώπων ἐστὶ τῇ δυσπάνῃ χαρὶς καὶ ἡσθεὶς, γλυκυῖαν ἴσχει τὴν ἔμπασιν, καὶ τὰς ἐν Θεῶν ἀρεταὶς κατορθοῖ, καὶ ἡ τύχη αὐτῷ ἰσοφύᾳ δέξει ἐπέρασεν, γινωσκέτω ἅδε πρὸς τὸ ἴσχατον καὶ ἄκρον τῆς εὐδαιμονίας ἐπετὸν προσορμίσας.

20. Τοίαισιν ἐργαῖς εὐχέται ἀντιάσαις] τοιούτοις τρόποις, φησὶν, εὐδαιμονίας ὁ παῖς τοῦ Κλεωνίκου Λάμπων συντυχὼν εὐχέται λιπὼν τόν τι θάνατον ᾧ τὸ γῆρας δίξεσθαι.

23. Ἐγὼ δ' ὑψίθρονον Κλωθὼ] ἐγὼ δὲ τὴν τιμίαν φησὶ, Κλωθὼ, καὶ τὰς αὐτῆς ἀδελφὰς, παρακαλῶ τιλιοῦσαι τὰς εὐχὰς αὐτοῦ, ὅ ἐστι ἐκπεσοῦσαι, καὶ ἐκπεπλοωθῆσαι ταῖς εὐχαῖς τοῦ φίλου ἀνδρὸς, καὶ τέλος ἐπιθεῖναι. προσηύξατο δὲ καὶ Ὀλύμπια νικῆσαι, καὶ τρόπον κρατῆρα κεράσαι. ἐφορμαὶ δὲ οὐ πυρίως αἱ εὐχαὶ, ἀλλ' αἱ ἐντολαί. εὐχὴ δὲ, ἡ παρὰ (f. παρὰ) τῶν ὑπερεχόντων αἴτησις.

27. Τέμεν σ' ὦ χρυσέρματον Αἰακίδαι] ὑμᾶς δὲ, ὦ σίμιοι παῖδες τὰ ἅρματα Αἰακίδαι, νόμιμον καὶ σύνηθες εἶναί μοι λίγω σαφέστατον καὶ δῆλον, εἰς μνήμην ἐπισχομένῳ τῆς Αἰγίνης, πρότερον ἐγκωμιάζειν. ἴσα τὸ ὑπερβατὸν οὕτως ἔχει· ἐμοὶ δὲ τήνδε τὴν πόσιν ἐστιατορευομένῳ, πρότερους ὑμᾶς, ὦ χρυσέρματοι Αἰακίδαι, νόμιμόν ἐστι μέλπειν τοῖς ὕμνοις καὶ ἐγκωμιάζειν.

31. Μυρίαι δ' ἔργων παλῶν] τῶν γὰρ ἀγαθῶν ἔργων φασὶ πολλαὶ μεγάλαι αἱ τῶν ἐγκωμίων ὁδοί. ὅστι καὶ πίρα Νείλου διαβαίνειν, καὶ εἰς Τιρυνθίους, ἀπαντᾶ καὶ ἀπαντοδίπους τὸ ἐγκώμιον. Ἄλλως. ὁδοὶ πολλαί εἰσιν ἑκατόμπυλοι, τουτέστι μεγάλαι, καὶ κατὰ τὸ ἐξῆς φέρουσαι τῶν ὑμετέρων πράξιων εἰς τοὺς ὕμνους. ἐστὶ τὰ πίρατα ὑμῶν ἤπαι ἡ ἐβαλια, μέχρι Νείλου καὶ Τιρυνθίων. τὰ δὲ ἑκατόμπυλα παρείληφε πίρατα, τὴν σύμπασαν οἰκουμένην Ἑλλήνων εἰπεῖν. στόμηνται δὲ, κατόρθωνται, πρόπτωται.

34. Οὐδ' ἔστιν οὕτω βάρσαρος,] οὐδαμῶς δέ ἐστιν οὕτω βάρσαρος, οὐδὲ τὴν γλῶσσαν ἀλλόκοτος πόλις, ἥτις τοῦ Πηλίως οὐ πατακούει τὴν δίξαν.

38. Οὐδ' ἥτις Αἴαντος Τελαμωνιάδα] οὐδ' ἥτις πόλις τοῦ Τελαμῶνος τοῦ Αἰακοῦ παιδὸς, καὶ τοῦ πατρός. εἶτα ἀπὸ κοινοῦ, οὐ πατακούει τὴν δίξαν. ὃν τινα Τελαμῶνα, εἰς ἰσχυρότατον πόλεμον συστήναγτα σὺν τοῖς Ἀργείοις αὐτοῦ ὑπερβάτως ὁ Ἡρακλῆς, πρίθυμον ὄντα σύμμαχον, καὶ μεγάλην βλάβην τοῖς κατὰ Τροίαν οἰκοῦσιν ἔχοντα, τῶν τοῦ Δαομέδοντος ἀμαρτιῶν χάριν. ὁ

γὰρ Ἡρακλῆς μετὰ Τελαμῶνος δοκεῖ κατεργάσθαι τὰ πολλά.

45. Εἶλε δὲ Περγαμίαν] καὶ ἱστόρησε τὴν Πέργαμόν, φησιν. οὕτω γὰρ τὴν τῶν πόλεων ἀκρόπολιν λεγομένην εἶπεν, ὡς καὶ Ὅμηρος μεμαντύνι καί μιν (f. ὀνομάζει δ) ναιομένην (f. πόλιν) ὁ δὲ νοῦς· σὺν δὲ τῷ Τελαμῶνι, καὶ τὰ τῶν Κώων ἴδιη καταγωνισάμενος ἀπῆλθ.

47. Καὶ τὸν βουδόραν οὔρεϊ ἴσον Φλίγρασιν εὗρὲν Ἀλκυονῆ] Φλίγρα, τῆς Θράκης χωρίον. διίτριβε δὲ ὁ Ἀλκυονεὺς κατὰ τὸν Θρακικὸν Ἰσθμόν. βουδόραν δὲ τὸν βουκόλον φησὶ παρ' οὗ τὰς Ἡλίου βοῦς ἀπήλασε.

τεξεύσας ὁ Ἡρακλῆς. (v. Apollod. i. 6. 1) ὁ δὲ νοῦς· ἐν δὲ τῇ Φλεγραίᾳ ὁ Ἡρακλῆς ἰδὼν τὸν Ἀλκυονέα μέγαν, καὶ ἱκτράσιλον καὶ στερεωθὲν τὸ σῶμα, οὐκ ἰφείσατο τοῦ ἰαυτοῦ σέβεν. καὶ (f. καλέσας) τὸν Αἰακοῦ παῖδα τὸν Τελαμῶνα εἰς τοῦτον τὸν πλοῦν, καὶ ταύτην τὴν συμμαχίαν (forte ἐπὶ Τροίαν) ἔτυχεν ἀντιρρὶν ἰωχούμενον τὸν Τελαμῶνα. Ἄλλως. ταῦτα ἀτήρτισαι, τὸ κατάλληλον οὐκ ἴσχοντα. ἃ δὲ ὁ Ἀρίσταρχος σημειοῦται. καὶ εἰσὶν οἳ κιχιάσθαι φασίν. ὅτι ἰδίως ἱστιόζληκεν ὡς ἐν διαστολῇ τοῦ, οὐκ ἰφείσατο.

51. Ἀλλ' Αἰακίδαν καλέων] ἀναπρίχων ἐπὶ τὴν ἀρχὴν τῆς ἱστορίας. οὐκ ἴστι δὲ ἴδιον, ἐὰν ὁ ἄλλος, ἀντὶ τοῦ δὴ, τάσσηται, Αἰακίδαν δὲ καλῶν. νῦν ἄρχεται τῶν ἐπὶ μέρους ἀκριβῶς τὸ ὅλον στρατηθείς.

